singula signa petantur, deinde consequenter de manifestioribus sigillatim exponere. Physiognomonia ergo tractat, sicut et nomen ipsius docet, de naturalibus passionibus, quæ sunt in anima, et de signis adscitis ad indolem dignoscendam idoneis, quæcumque ubi superveniunt immutant (aliquid); qualia autem hæc sint, posterius declarabitur. Nunc autem dicam, ex quibus generibus signa petantur et sint omnia: ex motibus enim indolem dignoscunt, et ex figuris, et coloribus, et ex moribus apparentibus in facie, et ex pilis, et ex lævitate, et ex voce, et ex carne, et ex partibus, et ex figura totius corporis. Universaliter itaque hujusmodi sunt, quæ dicunt physiognomones de universis generibus quibus signa insunt. Quodsi igitur obscura aut non dilucida foret talis expositio, sufficerent prædicta; nunc vero fortasse melius est, sigillatim de omnibus quæcumque manifesta e signis ad indolem dignoscendam idoneis petuntur, accuratius loqui, enumerantem signa, qualia sint singula, et quorsum referantur, quæcumque scilicet in prædictis exposita non fuere. Colores ergo significant acuti quidem calidum et sanguineum, albi vero cum rubore bonam indolem quando in lævi corpore accidit hic color; pili autem molles quidem ignavum, duri autem fortem. Hoc autem signum sumptum est ex omnibus animalibus: ignavissimum enim est cervus, lepus, ovis, et pilum mollissimum habent; fortissimum autem leo, aper, et pilum durissimum gestant. Est autem et in avibus hoc idem videre: universaliter enim quæcumque quidem habent duram pennam, fortes, quæcumque autem mollem, ignavi. Et particulariter hoc idem videre licet in coturnicibus et in gallis gallinaceis. Similiter autem et in generibus hominum hoc idem accidit: qui enim sub ursis habitant, fortes sunt et durorum pilorum, qui autem versus meridiem, ignavi et mollem pilum gestant. Hirsuti autem circa ventrem pili loquacitatem significant; hoc autem refertur ad genus avium: pertinent enim ad signa corporea avibus propria pili hirsuti circa ventrem, ad ea autem quæ sunt circa intellectum, loquacitas. Caro autem dura quidem et nitida stupidum significat, mollis autem et ingeniosum et inconstantem, nisi in valido corpore et validis artubus prædito hoc accidat. Motus autem tardi quidem mollem animam, acuti vero calidam. In voce autem gravis quidem et intensa fortem, acuta autem et remissa ignavum. Figuræ autem et passiones quæ apparent in facie, secundum similitudines accipiuntur cum passione: superveniunt enim, ubi patitur aliquid: verbi gratia, si talem præ se fert faciem qualem ubi quis irascitur, ad iracundiam pertinet signum ejusdem generis. Mas autem femina major est et robustior et artus corporis validiores habet pinguioresque ac nitidiores et potiores secundum omnes virtutes. Signis autem quæ partibus corporis innituntur,

τῶν ἐπὶ τοῖς μέρεσι σημείων ἐστὶ τὰ ἐν τοῖς ἤθεσι τοῖς ἐν τοῖς ἐπιφαινομένοις λαμβανόμενα καὶ τὰ κατὰ τὰς κινήσεις καὶ τὰ σχήματα. Ὅλως δὲ τὸ ἑνὶ μὲν πιστεύειν τῶν σημείων εὔηθες· ὅταν δὲ πλείω συμφωνοῦντα καθ' ἑνὸς λάβῃ, μᾶλλον ἤδη κατὰ τὸ εἰκὸς ἂν τις ὑπολαμβάνοι ἀληθῆ εἶναι τὰ σημεῖα. Ἔστι δ' ἄλλος τρόπος καθ' ὃν ἄν τις φυσιογνωμονοίη· οὐδεὶς μέντοι ἐπικεχείρηκεν· οἷον εἰ ἀνάγκη ἐστὶ τὸν ὀργίλον καὶ τὸν δυσάνιον καὶ μικρὸν τὸ ἦθος φθονερὸν εἶναι, εἰ καὶ μή ἐστι φθονεροῦ σημεῖα, ἐξ ἐκείνων δὲ τῶν προτέρων ἐνδέχοιτο ἂν τῷ φυσιογνώμονι καὶ τὸν φθονερὸν εὑρίσκειν. Μάλιστα μὲν ἂν ὁ τοιοῦτος ἴδιος τρόπος εἴη τοῦ πεφιλοσοφηκότος· τὸ γὰρ δύνασθαι τινῶν ὄντων ἀναγκαῖον εἶναι, ἴδιον ὑπολαμβάνοιμεν φιλοσοφίας· ὅπερ ἐστὶν ὅτ' ἐναντιοῦται, τούτῳ κατὰ τὰ πάθη φυσιογνωμονεῖν καὶ τὰ κακά.

Περὶ φωνῆς κατὰ μὲν τὸ πάθος ἐπισκοπῶν ὀξεῖαν οἰηθείη ἄν τις δυεῖν ἕνεκεν τιθέναι τοῦ θυμοειδοῦς· ὁ γὰρ ἀγανακτῶν καὶ ὀργιζόμενος ἐπιτείνειν εἴωθε τὸν φθόγγον καὶ ὀξὺ φθέγγεσθαι, ὁ δὲ ῥᾳθύμως διακείμενος τόν τε τόνον ἀνίησι καὶ βαρὺ φθέγγεται. Τῶν δ' αὖ ζῴων τὰ μὲν ἀνδρεῖα βαρύφωνά ἐστι, τὰ δὲ δειλὰ ὀξύφωνα, λέων μὲν καὶ ταῦρος καὶ κύων ὑλακτικός, καὶ τῶν ἀλεκτρυόνων οἱ εὔψυχοι βαρύφωνοι φθέγγονται· ἔλαφος δὲ καὶ λαγὼς ὀξύφωνά ἐστιν. Ἀλλ' ἴσως καὶ ἐν τούτοις κρεῖσσόν ἐστι μὴ ἐν τῷ βαρεῖαν ἢ ὀξεῖαν εἶναι τὴν φωνὴν αὐτῶν ἀνδρεῖον ἢ δειλὸν τιθέναι, ἀλλ' ἐν τῷ τὴν μὲν ἐρρωμένην ἀνδρείου, τὴν δ' ἀνειμένην καὶ ἀσθενῆ δειλοῦ ὑποληπτέον εἶναι. Ἔστι δὲ κράτιστον, ὅταν τὰ σημεῖα μὴ ὁμολογούμενα, ἀλλ' ὑπεναντιούμενα, μηδὲν τιθέναι, εἰ μή ἐστι τῶν διῃρημένων, ποῖα ποίων πιστότερα, καὶ μάλιστα μὲν εἰς εἴδη, ἀλλὰ μὴ εἰς ὅλα τὰ γένη ἀναφέρειν· ὁμοιότερα γάρ ἐστι τῷ ζητουμένῳ· οὐ γὰρ ὅλον τὸ γένος τῶν ἀνθρώπων φυσιογνωμονοῦμεν, ἀλλά τινα τῶν ἐν τῷ γένει.

validiora sunt quæ petuntur e moribus supervenientibus, et quæ secundum motus et figuras determinantur. Omnino autem uni quidem signorum credere stultum est; ubi autem plura consentientia de una re deprehenduntur, magis verisimiliter jam autumabit quis vera esse signa. Est autem alius etiam modus, secundum quem aliquis indolem dignoscere possit; nullus tamen adgressus est: verbi gratia si necesse sit, iracundum et morosum et pusillanimem invidum esse, etiamsi non adsint invidi signa, ex illis certe prioribus licebit physiognomoni et invidum detegere. Maxime sane talis ratio propria fuerit philosopho: posse enim, ubi certa quædam signa adsunt, necessarium esse (aliud), proprium putare debemus philosophiæ; hoc autem fit quando, adversantibus inter se passionibus et vitiis, eo ipso passionum ope et vitia dignoscimus.

Secundum passionem autem de voce considerans quispiam acutam putarit duplicem ob causam iracundo tribuendam esse: qui enim ægre fert et irascitur, intendere consuevit vocem et acute loqui; qui autem placide degit, remittit intentionem et graviter loquitur. Rursus autem animalium fortia quidem gravis vocis sunt, ignava autem acutæ vocis, leo quidem et taurus, et canis ad latrandum proclivis, et gallorum qui sunt boni animi, graviter vociferantur; cervus autem et lepus acutæ vocis sunt. Sed forte et in his melius est, non eo quod ipsorum vox sit gravis aut acuta, fortem aut ignavum ponere, sed eo quod fortis quidem valida est vox, dum ignavi remissam et imbecillem habere debemus. Est autem optimum, quando signa non consentiunt, sed aliquatenus contraria sunt, nihil decernere, nisi pertineant ad ea de quibus determinavimus, quænam aliis credibiliora sint, et maxime quidem in species, sed non in tota genera referre: similiora enim sunt hæc ei quod quæritur, quippe non totius generis hominum indolem investigamus, sed alicujus eorum qui ad genus pertinent.

CAP. III.

Ἀνδρείου σημεῖα τρίχωμα σκληρόν, τὸ σχῆμα τοῦ σώματος ὀρθόν, ὀστᾶ καὶ πλευραὶ καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἰσχυρὰ καὶ μεγάλα, καὶ κοιλία πλατεῖα καὶ προσεσταλμένη, ὠμοπλάται πλατεῖαι καὶ διεστηκυῖαι, οὔτε λίαν συνδεδεμέναι, οὔτε παντάπασιν ἀπολελυμέναι, τράχηλος ἐρρωμένος, οὐ σφόδρα σαρκώδης, τὸ στῆθος σαρκῶδές τε καὶ πλατύ, ἰσχίον προσεσταλμένον, γαστροκνημίαι κάτω προσεσπασμέναι, ὄμμα χαροπόν, οὔτε λίαν ἀνεπτυγμένον, οὔτε παντάπασι συμμῦον, αὐχμηρότερον τὸ χρῶμα τὸ ἐπὶ τοῦ σώματος, ὀξὺ μέτωπον, εὐθύ, οὐ μέγα, ἰσχνόν, οὔτε λεῖον, οὔτε παντάπασι ῥυτιδῶδες. Δειλοῦ σημεῖα τριχωμάτιον μαλακόν, τὸ σῶμα συγκεκαθικός, οὐκ ἐπισπερχής· αἱ δὲ γαστροκνημίαι ἄνω ἀνεσπασμέναι· περὶ τὸ πρόσωπον ὕπωχρος, ὄμματα ἀσθενῆ καὶ σκαρδαμύττοντα, καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἀσθενῆ, καὶ μικρὰ σκέλη,

Signa fortis: pili duri, figura corporis erecta, ossa et costæ et artus corporis validi et magni, et venter latus et strictus, scutula operta lata et distantia, nec valde colligata, nec omnino soluta, collum robustum, non vehementer carnosum, pectus carnosum et latum, coxa stricta, suræ inferne adtractæ, oculus flavus, nec valde apertus, nec omnino connivens, squalidior color in copore, acuta frons, recta, non magna, gracilis, neque lævis, neque omnino rugosa. Signa ignavi: pili molles; corpore considenti, non festinus; suræ sursum adtractæ; circa faciem subpallidus; oculi imbecilles et nictantes, et artus corpo-

καὶ χεῖρες λεπταὶ καὶ μακραί· ὀσφὺς δὲ μικρὰ καὶ ἀσθενής· τὸ σχῆμα σύντονον ἐν ταῖς κινήσεσιν· οὐκ ἰταμός, ἀλλ' ὕπτιος καὶ τεθαμβηκώς· τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου εὐμετάβολον, κατηφής. Εὐφυοῦς σημεῖα σὰρξ ὑγροτέρα καὶ ἁπαλωτέρα, οὐκ εὐεκτική, οὐδὲ πιμελώδης σφόδρα· τὰ περὶ τὰς ὠμοπλάτας καὶ τράχηλον ἰσχνότερα καὶ τὰ περὶ τὸ πρόσωπον, καὶ σύνδετα τὰ περὶ τὰς ὠμοπλάτας καὶ τὰ κάτω ἀφειμένα, εὔλυτα τὰ περὶ τὰς πλευράς· καὶ τὸν νῶτον ἀσαρκότερος· τὸ σῶμα λευκέρυθρον καὶ καθαρόν, τὸ δερμάτιον λεπτόν, τριχωμάτιον μὴ λίαν σκληρόν, μηδὲ λίαν μέλαν, ὄμμα χαροπόν, ὑγρόν. Ἀναισθήτου σημεῖα τὰ περὶ τὸν αὐχένα καὶ τὰ σκέλη σαρκώδη καὶ συμπεπλεγμένα καὶ συνδεδεμένα, κοτύλη στρογγύλη, ὠμοπλάται ἄνω ἀνεσπασμέναι, μέτωπον μέγα, περιφερές, σαρκῶδες, ὄμμα χλωρόν, κωφόν, κνῆμαι περὶ σφυρὸν παχεῖαι, σαρκώδεις, στρογγύλαι, σιαγόνες μεγάλαι, σαρκώδεις, ὀσφὺς σαρκώδης, σκέλη μακρά, τράχηλος παχύς, πρόσωπον σαρκῶδες, ὑπόμακρον ἱκανῶς. Τὰς δὲ κινήσεις καὶ τὸ σχῆμα καὶ τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου ἐπιφαινόμενον κατὰ τὰς ὁμοιότητας ἀναλαμβάνει. Ἀναιδοῦς σημεῖα ὀμμάτιον ἀνεπτυγμένον καὶ λαμπρόν, βλέφαρα ὕφαιμα καὶ παχέα· μικρὸν ἔγκυρτος· ὠμοπλάται ἄνω ἐπηρμέναι· τῷ σχήματι μὴ ὀρθός, ἀλλὰ μικρῷ προπετέστερος, ἐν ταῖς κινήσεσιν ὀξύς, ἐπίπυρρος τὸ σῶμα· τὸ χρῶμα ὕφαιμον· στρογγυλοπρόσωπος· τὸ στῆθος ἀνεσπασμένον. Κοσμίου σημεῖα· ἐν ταῖς κινήσεσι βραδύς, καὶ διάλεκτος βραδεῖα καὶ φωνὴ πνευματώδης καὶ ἀσμενής, ὀμμάτιον ἀλαμπές, μέλαν, καὶ μήτε λίαν ἀνεπτυγμένον, μήτε παντάπασι συμμεμυκός, σκαρδαμυκτικὸν βραδέως· τὰ μὲν γὰρ ταχέως σκαρδαμύττοντα τῶν ὀμμάτων τὰ μὲν δειλόν, τὰ δὲ θερμὸν σημαίνει. Εὐθύμου σημεῖα μέτωπον εὐμέγεθες καὶ σαρκῶδες καὶ λεῖον, τὰ περὶ τὰ ὄμματα ταπεινότερα, καὶ ὑπνωδέστερον τὸ πρόσωπον φαίνεται, μήτε δεδορκός, μήτε σύννουν· ἔν τε ταῖς κινήσεσι βραδὺς ἔστω καὶ ἀνειμένος· τῷ σχήματι καὶ τῷ ἤθει τῷ ἐπὶ τοῦ προσώπου μὴ ἐπισπερχής, ἀλλὰ ἀγαθὸς φαινέσθω. Ἀθύμου σημεῖα· τὰ ῥυτιδώδη τῶν προσώπων, καὶ ἰσχνὰ ὄμματα καταχεκλασμένα· ἅμα δὲ καὶ τὰ κεκλασμένα τῶν ὀμμάτων δύο σημαίνει, τὸ μὲν μαλακὸν καὶ θῆλυ, τὸ δὲ κατηφὲς καὶ ἄθυμον· ἐν τῷ σχήματι ταπεινὸς καὶ ταῖς κινήσεσιν ἀπηγορευκώς. Κιναίδου σημεῖα ὄμμα καταχεκλασμένον· γονύκροτος· ἐγκλίσεις τῆς κεφαλῆς εἰς τὰ δεξιά· αἱ φοραὶ τῶν χειρῶν ὕπτιαι καὶ ἔκλυτοι, καὶ βαδίσεις διτταί, ἡ μὲν περινεύοντος, ἡ δὲ κρατοῦντος τὴν ὀσφύν· καὶ τῶν ὀμμάτων περιβλέψεις, οἷος ἂν εἴη Διονύσιος ὁ σοφιστής. Πικροῦ σημεῖα τὸ πρόσωπον σεσηρός· μελανόχρως, ἰσχνός· τὰ περὶ τὸ πρόσωπον διεξυσμένα, τὸ πρόσωπον ῥυτιδῶδες, ἄσαρκον· εὐθύθριξ καὶ μελάνθριξ. Θυμώδους σημεῖα· ὀρθὸς τὸ σῶμα, τῷ σχήματι εὔπλευρος, εὔθυμος, ἐπίπυρρος· ὠμοπλάται διεστηκυῖαι καὶ μεγάλαι καὶ πλα-

ris imbecilles, et crura parva, manus tenues et longæ; lumbi autem parvi et imbecilles; figura contensa in motibus; non alacer, sed supinus et stupidus; mos qui est in facie, mobilis, demissus. Ingeniosi signa: caro humidior et mollior, non nitida, neque valde pinguis; quæ sunt circa scutula operta et collum, macriora; item quæ circa faciem, atque quæ circa scutula operta, colligata et ab inferiori parte remissa; quæ sunt circa costas, bene soluta, et quæ secundum dorsum, pauciori carne vestita; corpus album misto rubore et purum; cutis tenuis; pili non valde duri, nec valde nigri; oculus fulvus, lubricus. Stolidi signa: quæ sunt circa collum et crura, carnosa, complexa et colligata; acetabulum rotundum; scutula operta sursum retracta; frons magna, rotunda, carnosa; oculus pallidus, hebes; crura circa malleolos crassa, carnosa, rotunda; mandibulæ magnæ, carnosæ; lumbi carnosi; crura longa; collum crassum; facies carnosa, sublonga satis. Motus autem et figuram et morem qui apparet in facie, secundum similitudines accipit. Impudentis signa: oculus apertus et splendidus, palpebræ sanguine suffusæ et crassæ; et paululum incurvus; scutula operta sursum elevata; figura non rectus, sed paulo pronior; in motibus autem acutus, corpore rubescens; color sanguine subfusus; facies rotunda; pectus sursum tractum. Modesti signa: in motibus tardus, et loquelatarda, ac vox plena spiritus, mitis; oculus non splendidus, niger, neque valde apertus, neque omnino clausus, tarde nictans: oculorum enim qui celeriter nictantur, partim quidem ignavum, partim vero calidum significant. Animosi signa: frons vasta et carnosa et lævis; quæ sunt circa oculos, humiliora; facies vero somnolentior videtur, neque spectabunda, neque cogitabunda; in motibus tardus esto et remissus; figura et more qui est in facie, non præceps, sed appareto bonus. Tristis signa: rugosa facies et macri oculi, confracti; simul autem et confracti oculorum duo significant, partim quidem molle et femininum, partim vero demissum et tristem; in figura humilis et motibus remissus. Signa cinædi: oculus confractus; genua complodens; inclinationes capitis ad dextram; gesticulationes manuum supinæ et dissolutæ, et incessus duplex, partim quidem quoquoversum nutantis, partim vero retinentis lumbos; et oculorum circumspectiones, qualis utique fuerit Dionysius sophista. Signa avari: facies ringens; nigri coloris, macer; quæ sunt circa faciem, quasi sulcata; facies rugosa, non carnosa; recti crinis et nigri. Signa iracundi. rectus corpore, figura bene costatus, animosus, subrufus; scu-

τεῖαι· ἀκρωτήρια μεγάλα καὶ ἐγκρατῆ· λεῖος καὶ περὶ τὰ στήθη καὶ περὶ βουβῶνας, εὐπώγων· εὐαυξὴς ὁ περίδρομος τῶν τριχῶν, κάτω κατεληλυθώς. Πραέος σημεῖα· ἰσχυρὸς τὸ εἶδος, εὔσαρκος· ὑγρὰ σὰρξ καὶ πολλή· εὐμεγέθης καὶ σύμμετρος· ὕπτιος τῷ σχήματι· ὁ περίδρομος τῶν τριχῶν ἀνεσπασμένος. Εἴρωνος σημεῖα· πίονα τὰ περὶ τὸ πρόσωπον, καὶ τὰ περὶ τὰ ὄμματα ῥυτιδώδη· ὑπνῶδες τὸ πρόσωπον τῷ ἤθει φαίνεται. Μικροψύχου σημεῖα· μικρομελής, μικρογλάφυρος, ἰσχνός, μικρόμματος καὶ μικροπρόσωπος, οἷος ἂν εἴη Κορίνθιος, ἢ Λευκάδιος. Φιλόκυβοι γαλεαγκῶνες καὶ ὀρχησταί. Φιλολοίδοροι οἷς τὸ ἄνω χεῖλος μετέωρον, καὶ τὰ εἴδη προπετεῖς, ἐπίπυρροι. Ἐλεήμονες ὅσοι γλαφυροὶ καὶ λευκόχροοι καὶ λιπαρόμματοι καὶ τὰ ῥινία ἄνωθεν διεξυσμένοι, καὶ ἀεὶ δακρύουσιν. Οἱ αὐτοὶ οὗτοι καὶ φιλογύναιοι καὶ θηλυγόνοι καὶ περὶ τὰ ἤθη ἐρωτικοὶ καὶ ἀειμνήμονες καὶ εὐφυεῖς καὶ ἔνθερμοι. Τούτων δὲ σημεῖα εἴρηται· ἐλεήμων ὁ σοφὸς καὶ δειλὸς καὶ κόσμιος, ἀνελέητος ἀμαθὴς καὶ ἀναιδής. Ἀγαθοὶ φαγεῖν οἷς τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς στῆθος μεῖζόν ἐστιν ἢ τὸ ἐντεῦθεν πρὸς τὸν αὐχένα. Λάγνου σημεῖα· λευκόχρως καὶ δασὺς εὐθείαις θριξὶ καὶ παχείαις καὶ μελαίναις· καὶ οἱ κρόταφοι δασεῖς εὐθείαις θριξίν· λιπαρὸν τὸ ὀμμάτιον καὶ μάργον. Φίλυπνοι οἱ τὰ ἄνω μείζω ἔχοντες καὶ γυπώδεις καὶ θερμοί, εὐεκτικὴν σάρκα ἔχοντες, καὶ γλαφυροὶ τὰ εἴδη, καὶ δασεῖς τὰ περὶ τὴν κοιλίαν. Μνήμονες οἱ τὰ ἄνω ἐλάττονα ἔχοντες καὶ γλαφυρὰ καὶ σαρκωδέστερα.

tula operta distantia et magna et lata; artus magni et validi; lævis, et circa pectus, et circa inguina, barbatus probe; capillorum ambitus floridus, deorsum tendens. Signa mansueti : specie validus, bene carnosus; caro humida, multa; bonæ magnitudinis, et commensuratus; figura supinus; ambitus capillorum sursum retractus. Cavillatoris signa : quæ circa faciem sunt, pinguia, quæ vero circa oculos, rugosa; somnolenta facies de more videtur. Pusillanimi signa : parvorum membrorum, exiguus et concinnus, macer, et parvorum oculorum et parvæ faciei, qualis fuerit Corinthius, aut Leucadius. Talorum amantes curtis cubitis, saltatores. Amatores contumeliarum, quibus superius labium fluitat; et specie proni sunt et subrufi. Misericordes sunt quicumque sunt sciti, albi coloris, et habent oculos pingues et nares superne sulcatas, et semper plorant. Iidem etiam amatores sunt mulierum et genitores feminarum, et moribus in amorem proclives, et semper memores, ingeniosi et calidi. Horum autem signa dicta sunt : misericors est sapiens et ignavus et modestus; immisericors et indoctus et impudens. Voraces sunt hi quibus id quod est ab umbilico ad pectus, majus est quam quod inde est usque ad collum. Signa libidinosi : qui est albi coloris et hirsutus rectis capillis et crassis et nigris; et tempora hirsuta capillis rectis; oculus pinguis et lascivus. Amatores autem somni sunt qui habent superiora majora, vulturi similes, habentes carnem nitidam, eleganti specie, hirsuti circa ventrem. Memores qui habent superiora majora, scita et carnosa potius.

CAP. IV.

Δοκεῖ δέ μοι ἡ ψυχὴ καὶ τὸ σῶμα συμπαθεῖν ἀλλήλοις, καὶ ἡ τῆς ψυχῆς ἕξις ἀλλοιουμένη συναλλοιοῖ τὴν τοῦ σώματος μορφήν, πάλιν θ' ἡ τοῦ σώματος μορφὴ ἀλλοιουμένη συναλλοιοῖ τὴν τῆς ψυχῆς ἕξιν· ἐπειδὴ γάρ ἐστι ψυχῆς τὸ ἀνιᾶσθαί τε καὶ εὐφραίνεσθαι, καταφανὲς ὅτι οἱ ἀνιώμενοι σκυθρωπότεροί εἰσι καὶ οἱ εὐφραινόμενοι ἱλαροί. Εἰ μὲν οὖν ἦν τῆς ψυχῆς λελυμένης ἔτι τὴν ἐπὶ τοῦ σώματος μορφὴν μένειν, ἦν μὲν ἂν καὶ οὕτως ἡ ψυχή τε καὶ τὸ σῶμα συμπαθῆ, οὐ μέντοι συνδιατελοῦντα ἀλλήλοις· νῦν δὲ καταφανὲς ὅτι ἑκάτερον ἑκατέρῳ ἕπεται. Μάλιστα μέντοι ἐκ τοῦδε δῆλον γένοιτο· μανία γὰρ δοκεῖ εἶναι περὶ ψυχήν, καὶ οἱ ἰατροὶ φαρμάκοις καθαίροντες τὸ σῶμα καὶ διαίταις τισὶ πρὸς αὐτοῖς χρησάμενοι ἀπαλλάττουσι τὴν ψυχὴν τῆς μανίας. Ταῖς δὴ τοῦ σώματος θεραπείαις καὶ ἅμα ἥ τε τοῦ σώματος μορφὴ λέλυται καὶ ἡ ψυχὴ μανίας ἀπήλλακται. Ἐπειδὴ οὖν ἅμα ἀμφότερα λύονται, δῆλον ὅτι συνδιατελοῦσιν ἀλλήλοις. Συμφανὲς δὲ καὶ ὅτι ταῖς δυνάμεσι τῆς ψυχῆς ὅμοιαι αἱ μορφαὶ τοῖς σώμασιν ἐπιγίνονται, ὥστ' ἐστὶν ἅπαντα ἐν τοῖς ζῴοις τοῦ αὐτοῦ τινος δηλωτικά. Πολλὰ δὲ καὶ ὧν

Videntur autem mihi anima et corpus affectus secum invicem communicare, et animæ habitus immutatus simul immutat corporis formam, rursusque forma corporis immutata simul immutat animæ habitum : quando enim ad animam pertinent tristitia et gaudium, manifestum est mœstos tristiores esse, gaudentes autem hilares. Quodsi igitur fieri posset ut anima soluta, forma quæ est in corpore, adhuc persisteret, sane et ita anima et corpus inter sese consentirent; non tamen conjunctim perdurari possent; nunc autem manifestum alterum alterum consequi. Maxime tamen id ex hoc manifestum fiat : furor videtur esse circa animam, et medici medicinis purgantes corpus et victus ratione quadam insuper utentes liberant animam a furore. Curationibus itaque corporis simul et corporis forma solvitur, et anima a furore liberatur. Quoniam igitur utraque simul solvuntur, palam fit ea conjunctim perdurare. Manifestum insuper est, facultatibus animæ similes corporis formas supervenire : quare erunt omnia in animalibus ejusdem cujuspiam rei declarativa. Multa autem eorum quæ

διαπράττεται τὰ ζῷα, τὰ μὲν ἴδια ἑκάστου γένους πάθη τῶν ζῴων ἐστί, τὰ δὲ κοινά. Ἐπὶ μὲν οὖν τοῖς ἰδίοις ἔργοις τῆς ψυχῆς ἴδια τὰ πάθη κατὰ τὸ σῶμα, ἐπὶ δὲ τοῖς κοινοῖς τὰ κοινά. Κοινὰ μὲν οὖν ἐστιν ὕβρις τε καὶ ἡ περὶ τὰ ἀφροδίσια ἔκστασις. Τῶν μὲν οὖν λοφούρων κοινόν ἐστιν ὕβρις, τῶν δ' ὄνων τε καὶ συῶν ἡ περὶ τὰ ἀφροδίσια ἕξις. Ἴδιον δ' ἐστὶν ἐπὶ μὲν τῶν κυνῶν τὸ λοίδορον, ἐπὶ δὲ τῶν ὄνων τὸ ἄλυπον. Ὡς μὲν οὖν τὸ κοινόν τε καὶ τὸ ἴδιον χρὴ διελέσθαι, εἴρηται· δεῖ μέντοι πρὸς ἅπαντα πολλῆς συνηθείας, εἰ μέλλει τις αὐτὸς ἔσεσθαι ἱκανὸς περὶ τούτων ἕκαστα λέγειν· ἐπειδὴ γὰρ τὰ δρώμενα ἐπὶ τῶν σωμάτων λέγεται ἀναφέρεσθαι ἐπὶ τὰς ὁμοιότητας τάς τ' ἀπὸ τῶν ζῴων καὶ τὰς ἀπὸ τῶν πράξεων γινομένας, καὶ ἰδέαι τινὲς ἄλλαι ἀπὸ θερμοτήτων καὶ ἀπὸ ψυχροτήτων γίνονται, ἔστι τε τούτων ἔνια τῶν ἐπιφαινομένων ἐπί τε τοῖς σώμασι μικραῖς διαφοραῖς κεχρημένα καὶ τῷ αὐτῷ ὀνόματι προσαγορευόμενα, οἷον αἵ τ' ἀπὸ φόβων ὠχρότητες καὶ ἀπὸ πόνων (αὗται γὰρ ὀνόματί τε τῷ αὐτῷ κέχρηνται, καὶ διαφορὰν μικρὰν ἔχουσι πρὸς ἀλλήλας), μικρᾶς δ' οὔσης τῆς διαφορᾶς οὐ ῥᾴδιον γινώσκειν ἀλλ' ἢ ἐκ τῆς συνηθείας τῆς μορφῆς τὴν ἐπιπρέπειαν εἰληφότα. Ἔστι μὲν οὖν καὶ τάχιστος καὶ ἄριστος ὁ ἀπὸ τῆς ἐπιπρεπείας, καὶ ἔστι γ' οὕτω τούτῳ χρώμενον πολλὰ διαγινώσκειν (καὶ οὐ μόνον καθόλου χρήσιμόν ἐστιν, ἀλλὰ καὶ πρὸς τὴν τῶν σημείων ἐκλογήν· ἕκαστον γὰρ τῶν ἐκλεγομένων καὶ πρέπειν δεῖ τοιοῦτον οἷον τὸ ἐκλεγόμενον θέλει), ἔτι τε κατὰ τὴν ἐκλογὴν τῶν σημείων καὶ τῷ συλλογισμῷ, ᾧ δεῖ χρῆσθαι ὅπου ἄν τι τύχῃ, προστιθέντας τοῖς προσοῦσι τὰ προσήκοντα, οἷον εἰ ἀναιδής τ' εἴη καὶ μικρολόγος, καὶ κλέπτης ἂν εἴη καὶ ἀνελεύθερος, καὶ κλέπτης μὲν ἑπομένως τῇ ἀναιδείᾳ, τῇ δὲ μικρολογίᾳ ἀνελεύθερος. Ἐπὶ μὲν οὖν τῶν τοιούτων ἑκάστου δεῖ τοῦτον τὸν τρόπον προσαρμόζοντα τὴν μέθοδον ποιεῖσθαι.

peragunt animalia, partim quidem unicuique generi animalium proprii sunt affectus, partim vero communes. Proprias igitur animæ actiones proprii consequuntur in corpore affectus communes autem communes. Communes itaque sunt insolentia, et qui est circa rem veneream, stupor. Jumentorum itaque communis est insolentia; asinorum vero et suum proclivitas in rem veneream. Proprium autem est in canibus quidem obtrectatio, in asinis autem innocentia. Quomodo igitur commune quidem et proprium conveniat distinguere, dictum est; ad hæc omnia tamen opus est multa consuetudine, si quis idoneus esse debeat qui de singulis his disserat : quoniam enim ea quæ videntur in corporibus, dicuntur referri ad similitudines, quæ petuntur ab animalibus, quæque ab actibus proveniunt, quumque differentiæ quædam aliæ a caliditate et frigiditate oriuntur, quumque eorum quædam quæ corporibus superveniunt, parvam ostendunt differentiam et eodem nomine adpellantur, ut pallores, qui fiunt a timoribus, et qui a laboribus (hi enim eodem nomine utuntur, et differentiam parvam habent inter se), parva, inquam, quum sit differentia, non facile est cognoscere, nisi ex consuetudine formam præcellentissimam desumamus. Est autem optimus et citissimus, (modus) qui ad hanc formam pertinet, atque ita certe hoc utenti multa licet dignoscere (nec solum universaliter utile est hoc, sed ad signorum quoque delectum : electorum enim quodque eadem ratione oportet excellere qua signum quod eligitur, vult), prætereaque in delectu signorum et syllogismo, quo uti opus est, ubicumque tandem fuerit, iis quæ jam adsunt adjungenti convenientia, ut si impudens sit et sordidus, et fur utique erit et illiberalis; et furacitas quidem consequentia erit impudentiæ, parsimoniæ vero illiberalitas. In talibus igitur quibusque oportet hoc modo adaptantem agendi rationem instituere.

CAP. V.

Νυνὶ δὲ πρῶτον πειράσομαι τῶν ζῴων διελέσθαι, ὁποῖα αὐτῶν προσήκει διαλλάττειν πρὸς τὸ εἶναι ἀνδρεῖα καὶ δειλὰ καὶ δίκαια καὶ ἄδικα. Διαιρετέον δὲ τὸ τῶν ζῴων γένος εἰς δύο μορφάς, εἰς ἄρσεν καὶ θῆλυ, προσάπτοντα τὸ πρέπον ἑκατέρᾳ μορφῇ, ἔστι δ' ὅμοια. Ἐπιχειροῦμεν οὖν τρέφειν τῶν θηρίων προσηνέστερα καὶ μαλακώτερα τὰς ψυχὰς τὰ θήλεα τῶν ἀρρένων, ἧττόν τε ῥωμαλεούμενα, τάς τε τροφὰς καὶ τὰς χειροηθείας μᾶλλον προσδεχόμενα· ὥστε τοιαῦτα ὄντα εἴη που ἂν ἀθυμότερα τῶν ἀρρένων. Καταφανὲς δὲ τοῦτο ἐξ ἡμῶν πού ἐστιν, ὅτι ἐπὰν ὑπὸ θυμοῦ κρατηθῶμεν, δυσπαραπειστότεροί τε, καὶ μάλιστα ἐρρώμεθα πρὸς τὸ μηδαμῇ μηδὲν εἶξαι, ἐπὶ τὸ βιάζεσθαι δὲ καὶ πρᾶξαι φερόμεθα, πρὸς ὃ ἂν ὁ θυμὸς ὁρμήσῃ. Δοκεῖ δέ μοι καὶ κακουργότερα γίνεσθαι τὰ θήλεα τῶν ἀρρένων καὶ προπετέστερά τε καὶ ἀναλκέστερα. Αἱ μὲν

Nunc autem primum tentabo inter animalia distinguere, quænam apud ipsa immutari debeant, ut sint fortia et ignava, justa et injusta. Distinguendum autem animalium genus in duas formas, in marem et feminam, adjungentem quod convenit unicuique formæ; sunt autem similia. Conamur itaque potius nutrire feras feminas quam mares, quippe quum animis mitiores et molliores sunt maribus, minusque robustæ sunt educationemque ac cicurationem facilius admittunt : quare tales quum sint, erunt aliquatenus minus iracundæ maribus. Manifestum autem id ex nobis quodammodo est, quoniam quum ira vincimur, difficilius nobis persuaderi sinimus, et maxime eo insistimus ut nequaquam ulla in re cedamus; ferimur autem ad violentiam inferendam, et patrandum ad quodcumque ira impulerit. Videntur autem mihi magis improbæ nasci feminæ maribus, et proterviores, et im-

οὖν γυναῖκες καὶ τὰ περὶ ἡμᾶς τρεφόμενα καὶ πάνυ που φανερὰ ὄντα· τὰ δὲ περὶ τὴν ὕλην πάντες ὁμολογοῦσιν οἱ νομεῖς τε καὶ θηρευταὶ ὅτι τοιαῦτά ἐστιν οἷα προείρηται. Ἀλλὰ μὴν καὶ τόδε δῆλον, ὅτι ἕκαστον ἐν ἑκάστῳ γένει θῆλυ ἄρρενος μικροκεφαλώτερόν ἐστι καὶ στενοπροσωπότερον καὶ λεπτοτραχηλότερον, καὶ τὰ στήθη ἀσθενέστερα ἔχει, καὶ ἀπλευρότερά ἐστι, τά τε ἰσχία καὶ τοὺς μηροὺς περισαρκότερα τῶν ἀρρένων, γονύκροτα δὲ καὶ τὰς κνήμας λεπτὰς ἔχοντα, τούς τε πόδας κομψοτέρους, τήν τε τοῦ σώματος ὅλην μορφὴν ἡδίω μάλιστ' ἂν ἢ γενναιοτέραν, ἀνευρότερα δὲ καὶ μαλακώτερα, ὑγροτέραις σαρξὶ κεχρημένα· τὰ δ' ἄρρενα τούτοις ἅπασιν ἐναντία τὴν φύσιν ἀνδρειοτέραν καὶ δικαιοτέραν εἶναι γένει, τὴν δὲ τοῦ θήλεος δειλοτέραν καὶ ἀδικωτέραν. Τούτων οὕτως ἐχόντων, φαίνεται τῶν ζῴων ἁπάντων λέων τελεώτατα μετειληφέναι τῆς τοῦ ἄρρενος ἰδέας· ἔστι γὰρ ἔχων στόμα εὐμέγεθες, τὸ δὲ πρόσωπον τετραγωνότερον, οὐκ ἄγαν ὀστῶδες, τὴν ἄνω τε γένυν οὐ προεξεστηκυῖαν, ἀλλὰ ἰσορροποῦσαν τῇ κάτω, ῥῖνα δὲ παχυτέραν ἢ λεπτοτέραν, χαροποὺς ὀφθαλμούς, ἐγκοίλους, οὐ σφόδρα περιφερεῖς, οὔτ' ἄγαν προμήκεις, μέγεθος δὲ μέτριον, ὀφρὺν εὐμεγέθη, μέτωπον τετράγωνον, ἐκ μέσου ὑποκοιλότερον, πρὸς δὲ τὰς ὀφρῦς καὶ τὴν ῥῖνα ὑπὸ τοῦ μετώπου οἷον νέφος ἐπανεστηκός. Ἄνωθεν δὲ τοῦ μετώπου κατὰ τὴν ῥῖνα ἔχει τρίχας ἐκκλινεῖς οἷον ἀνάσιλον, κεφαλὴν μετρίαν, τράχηλον εὐμήκη, πάχει σύμμετρον, θριξὶ ξανθαῖς κεχρημένον, οὐ φριξαῖς, οὔτ' ἄγαν ἀπεστραμμέναις, τὰ περὶ τὰς κλεῖδας εὐλυτώτερα μᾶλλον ἢ συμπεφραγμένα, ὤμους ῥωμαλέους, καὶ στῆθος νεανικόν, καὶ τὸ μετάφρενον πλατὺ καὶ εὔπλευρον καὶ εὔνωτον ἐπιεικῶς· ζῷον ἀσαρκότερον τὰ ἰσχία καὶ τοὺς μηρούς· σκέλη ἐρρωμένα καὶ νευρώδη, βάσιν τε νεανικήν, καὶ ὅλον τὸ σῶμα ἀρθρῶδες καὶ νευρῶδες, οὔτε λίαν σκληρόν, οὔτε λίαν ὑγρόν· βαδίζον δὲ βραδέως, καὶ μεγάλα διαβαῖνον, καὶ διασαλεῦον ἐν τοῖς ὤμοις, ὅταν πορεύηται. Τὰ μὲν οὖν περὶ τὸ σῶμα τοιοῦτον· τὰ δὲ περὶ τὴν ψυχὴν δοτικὸν καὶ ἐλεύθερον, μεγαλόψυχον καὶ φιλόνικον, καὶ πραῢ καὶ δίκαιον καὶ φιλόστοργον πρὸς ἃ ἂν ὁμιλήσῃ. Ἡ δὲ πάρδαλις τῶν ἀνδρείων εἶναι δοκούντων θηλυμορφότερόν ἐστιν, ὅτι μὴ κατὰ τὰ σκέλη· τούτοις δὲ συνεργεῖ καί τι ἔργον ῥώμης ἀπεργάζεται· ἔστι γὰρ ἔχον πρόσωπον μικρόν, στόμα μέγα, ὀφθαλμοὺς μικρούς, ἐκλεύκους, ἐγκοίλους, αὐτοὺς δὲ περιπολαιοτέρους· μέτωπον προμηκέστερον, πρὸς τὰ ὦτα περιφερέστερον ἢ ἐπιπεδώτερον· τράχηλον μακρὸν ἄγαν καὶ λεπτόν, στῆθος ἄπλευρον, καὶ μακρὸν νῶτον, ἰσχία σαρκώδη καὶ μηρούς, τὰ δὲ περὶ τὰς λαγόνας καὶ γαστέρα ὁμαλὰ μᾶλλον· τὸ δὲ χρῶμα ποικίλον, καὶ ὅλον ἄναρθρόν τε καί ἀσύμμετρον. Ἡ μὲν οὖν τοῦ σώματος ἰδέα τοιαύτη· τὰ δὲ περὶ τὴν ψυχὴν μικρὸν καὶ ἐπίκλοπον καί, ὅλως εἰπεῖν, δολερόν. Τὰ μὲν οὖν ἐκπρεπέστερα μετειληφότα ζῷα τῶν δοκούντων ἀνδρείων εἶναι τῆς τε τοῦ ἄρρενος ἰδέας καὶ

becilliores. Mulieres igitur, et quæ apud nos nutriuntur, vel omnino manifesta sunt quodammodo; quæ vero sunt circa silvam, omnes confitentur pastores et venatores talia esse qualia ante sunt dicta. At vero et hoc manifestum est, quod in unoquoque genere singulæ feminæ maribus minoris capitis et angustioris faciei et subtilioris colli sunt, et pectora imbecilliora habent et costas praviores, coxasque et femora magis carnosa habent maribus; genua vero complodunt, et crura tenuia habent, pedesque elegantiores et formam totius corporis jucundam magis quam generosam, enervesque sunt potius et molliores, quippe præditæ humidioribus carnibus; mares autem horum omnium e contrario natura sunt fortiores et justiores genere: feminæ autem ignavior est et injustior natura. His ita se habentibus, videtur leo omnium animalium perfectissime maris formam participare: leo enim habet os vastum, faciem autem quadratam potius, non valde osseam, superiorem mandibulam non prominentem, sed æquilibrem inferiori, nasum autem magis crassum quam tenuem, oculos fulvos, concavos, non valde rotundos, neque valde oblongos, magnitudinem vero moderatam, supercilium vastum, frontem quadratam, ex medio potius subcavam; ad supercilia autem et nasum sub fronte velut nubes superstat. Supra frontem juxta nasum habet pilos inclinatos quasi retro ad verticem flexos, caput moderatum, collum bonæ longitudinis, mediocri crassitudine, crinibus flavis vestitum, neque horridis, neque valde aversis, quæ sunt circa claviculas, soluta magis quam constricta, scapulas validas, et pectus juvenile, interscapilium latum, bene costatum dorsoque sat valido fultum; femora non carnosa, nec coxas, habet animal, crura robusta et nervosa, gressum juvenilem, et totum corpus articulatum et nervosum, neque valde durum, neque admodum humidum; ambulat autem tarde magnisque passibus incedit, et spatulas conquassat ambulans. Talis itaque est secundum ea quæ sunt circa corpus; iis vero quæ animam spectant, ad donandum promptus est et liberalis, magnanimus et amans victoriæ, et mansuetus, et justus, et in amorem proclivis eorum quibuscum versatur. Pardus autem inter animalia quæ fortia esse videntur, femineæ formæ magis est, nisi secundum crura: his autem sibi opitulatur et aliquod vigoris opus peragit: habet enim faciem parvam, os magnum, oculos parvos, albidissimos, concavos, ipsosque potius circumvagantes, frontem oblongiorem, versus aures rotundam magis quam planam, collum longum valde et tenue, pectus pravis costis instructum, et longum dorsum, femora carnosa et coxas, quæ vero sunt circa ilia et ventrem, glabra magis, colorem autem varium, et totum corpus non articulatum et absque mensura est. Forma itaque corporis talis est; in his autem quæ secundum animam, pusillus est et furax, et, ut uno verbo dicam, dolosus. Animalium igitur quæ videntur fortia, ea quæ eximie propriam maris atque feminæ

τῆς τοῦ θήλεος εἴρηται· τὰ δ' ἄλλα οἷα τυγχάνει, ῥᾴδιον ἤδη μετιέναι· ὅσα δὲ πρὸς τὸ φυσιογνωμονῆσαι συνιδεῖν ἁρμόττει ἀπὸ τῶν ζῴων, ἐν τῇ τῶν σημείων ἐκλογῇ ῥηθήσεται.

formam referunt, dicta sunt; reliqua autem qualia sint, facile jam adsequi licet; quæcumque autem ad indolem dignoscendam perspicere conveniat ab animalibus petita, in delectu signorum dicentur.

CAP. VI.

Ἡ δ' ἐκλογὴ τῶν σημείων ἡ κατὰ τοὺς ἀνθρώπους ὧδε λαμβάνεται. Ὅσοις οἱ πόδες εὐφυεῖς τε καὶ μεγάλοι, διηρθρωμένοι τε καὶ νευρώδεις, ἐρρωμένοι τὰ περὶ τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν γένος. Ὅσοι δὲ τοὺς πόδας μικρούς, στενούς, ἀνάρθρους ἔχουσιν, ἡδίους τε ἰδεῖν ἢ ῥωμαλεωτέρους, μαλακοὶ τὰ περὶ τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ θῆλυ γένος. Οἷς τῶν ποδῶν οἱ δάκτυλοι καμπύλοι, ἀναιδεῖς, καὶ ὅσοις ὄνυχες καμπύλαι· ἀναφέρεται ἐπὶ τοὺς ὄρνεις τοὺς γαμψώνυχας. Οἷς τῶν ποδῶν τὰ δάκτυλα συμπεφραγμένα ἐστί, δειμαλέοι· ἀναφέρεται ἐπὶ τοὺς ὄρτυγας τοὺς στενόποδας τῶν λιμναίων. Ὅσοις τὰ περὶ τὰ σφυρὰ νευρώδη τε καὶ διηρθρωμένα ἐστίν, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν γένος. Ὅσοι τὰ σφυρὰ σαρκώδεις καὶ ἄναρθροι, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ γένος. Ὅσοι τὰς κνήμας ἔχουσιν ἠρθρωμένας τε καὶ νευρώδεις καὶ ἐρρωμένας, εὔρωστοι τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δὲ τὰς κνήμας λεπτάς, νευρώδεις ἔχουσι, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας. Ὅσοι τὰς κνήμας περιπλέους σφόδρα ἔχουσιν, οἷον ὀλίγου διαρρηγνυμένας, βδελυροὶ καὶ ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἱ γονύκροτοι κίναιδοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἱ τοὺς μηροὺς ὀστώδεις καὶ νευρώδεις ἔχοντες εὔρωστοι· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Οἱ δὲ τοὺς μηροὺς ὀστώδεις καὶ περιπλέους ἔχοντες μαλακοί· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Ὅσοι δὲ πῦγα ὀξεῖαν ὀστώδη ἔχουσιν, εὔρωστοι, ὅσοι δὲ σαρκώδη, πίονα ἔχουσι, μαλακοί· ὅσοι δ' ἔχουσιν ὀλίγην σάρκα, οἷον ἀπωμοργμένα, κακοήθεις· ἀναφέρεται ἐπὶ τοὺς πιθήκους. Οἱ ζωνοὶ φιλόθηροι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας καὶ τοὺς κύνας· ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς φιλοθηροτάτους ζωνοὺς ὄντας. Οἷς τὰ περὶ τὴν κοιλίαν λαπαρά, εὔρωστοι· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δὲ μὴ λαπαροί, μαλακοί· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Ὅσοις τὸ νῶτον εὐμέγεθές τε καὶ ἐρρωμένον, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δὲ τὸ νῶτον στενὸν καὶ ἀσθενὲς ἔχουσι, μαλακοί· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Οἱ εὔπλευροι εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Οἱ δ' ἄπλευροι μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Ὅσοι δ' ἐκ τῶν πλευρῶν περίογκοί εἰσιν, οἷον πεφυσημένοι, λάλοι καὶ μωρολόγοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς, ἢ ἐπὶ τοὺς βατράχους. Ὅσοι δὲ τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς τὸ ἀκροστήθιον μεῖζον ἔχουσιν ἢ τὸ ἀπὸ τοῦ ἀκροστηθίου πρὸς τὸν τράχηλον, βοροὶ καὶ ἀναίσθητοι, βοροὶ μὲν ὅτι τὸ τεῦχος μέγα ἔχουσιν ᾧ

Delectus autem signorum apud homines sic capitur. Quibuscumque pedes commodi, magni, articulati et nervosi, validi sunt iis quæ animam spectant; referuntur ad masculinum genus. Quicumque autem pedes parvos, angustos, male articulatos habent, aspectu potius gratiosi quam robusti sunt, molles sunt iis quæ animam spectant; referuntur ad femininum genus. Quibus pedum digiti curvi, impudentes, et quibus ungues curvi; referuntur ad aves uncis unguibus instructas. Quibus pedum digiti constricti sunt, timidi; referuntur ad coturnices lacustres angustis pedibus præditas. Quibuscumque ea quæ circa malleolos sunt, nervosa sunt et articulata, validi secundum animum; referuntur ad masculinum genus. Quicumque autem sunt malleolis carnosi et male articulati, molles secundum animam; referuntur ad femininum genus. Quicumque crura habent articulata et nervosa et robusta, validi secundum animam; referuntur ad masculinum genus. Quicumque crura tenuia nervosaque habent, libidinosi; referuntur ad aves. Quicumque crura admodum plena habent et quasi parum dirupta, turpes sunt ac impudentes; referuntur ad formam præcellentissimam. Qui genua complodunt, cinædi; referuntur ad formam præcellentissimam. Qui habent femora ossea et nervosa, robusti sunt; referuntur ad masculinum genus. Qui vero habent femora ossea ac plena, molles sunt; referuntur ad femininum genus. Quicumque nates osseas acutasque habent, validi sunt; qui vero carnosas et pingues, molles; qui autem habent modica carne vestitas, quasi detersas, improbi sunt; referuntur ad simias. Quicumque autem bene lumbosi sunt, venatum amant; referuntur ad leones et canes; videbit utique aliquis et canes venationis amantissimos lumbosos esse. Quibus ea quæ sunt circa ventrem, mollia sunt, robusti sunt; referuntur ad masculinum genus; quicumque autem non molles hac parte, molles sunt; referuntur ad formam præcellentissimam. Quicumque dorsum vastum ac robustum habent, anima sunt validi; referuntur ad masculinum genus. Qui autem dorsum angustum et imbecille habent, molles; referuntur ad femininum genus. Quicumque autem bene costati, validi sunt secundum animam; referuntur ad masculinum genus. Qui autem non bene costati, molles sunt secundum animam; referuntur ad femininum genus. Quicumque ex lateribus circumquaque tumidi sunt, sicut inflati, loquaces et stultiloqui; referuntur ad boves, vel ranas. Quicumque autem majus habent quod ab umbilico est usque ad extremum pectoris, eo quod est ab extremitate pectoris usque ad collum, voraces et stolidi, voraces quidem, quoniam conceptaculum magnum habent, quo

δέχονται τὴν τροφήν, ἀναίσθητοι δ' ὅτι στενώτερον τὸν τόπον ἔχουσιν αἱ αἰσθήσεις, συνηνωμένον τε τῷ τὴν τροφὴν δεχομένῳ, ὥστε τὰς αἰσθήσεις βεβαρύνθαι διὰ τὰς τῶν σιτίων πληρώσεις ἢ ἐνδείας. Ὅσοι δὲ τὰ στηθία ἔχουσι μεγάλα καὶ διηρθρωμένα, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δὲ τὸ μετάφρενον ἔχουσι μέγα καὶ εὔσαρκον καὶ ἀρθρώδες, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δ' ἀσθενὲς καὶ ἄσαρκον καὶ ἄναρθρον, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Ὅσοις δὲ τὸ μετάφρενον κυρτόν ἐστι σφόδρα οἵ τ' ὦμοι πρὸς τὸ στῆθος συνηγμένοι, κακοήθεις· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν, ὅτι ἀφανίζεται τὰ ἔμπροσθεν προσήκοντα φαίνεσθαι. Ὅσοι δὲ τὸ μετάφρενον ὕπτιον ἔχουσι, γαῦνοι καὶ ἀνόητοι· ἀναφέρεται ἐπὶ τοὺς ἵππους. Ἐπεὶ δ' οὔτε κυρτὸν σφόδρα δεῖ εἶναι, οὔτε κοῖλον, τὸ μέσον ζητητέον τοῦ εὖ πεφυκότος. Ὅσοις αἱ ἐπωμίδες ἐξηρθρωμέναι καὶ οἱ ὦμοι, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοις δ' οἱ ὦμοι ἀσθενεῖς, ἄναρθροι, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Ταὐτὰ λέγω ἅπερ περὶ ποδῶν καὶ μηρῶν. Ὅσοις ὦμοι εὔλυτοί εἰσιν, ἐλεύθεροι τὰς ψυχάς· ἀναφέρεται δ' ἀπὸ τοῦ φαινομένου, ὅτι πρέπει τῇ φαινομένῃ μορφῇ ἐλευθεριότης. Ὅσοις δ' οἱ ὦμοι δύσλυτοι, συνεσπασμένοι, ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἷς τὰ περὶ τὰς κλεῖδας εὔλυτα, αἰσθητικοί· εὐλύτων γὰρ ὄντων τῶν περὶ τὰς κλεῖδας, εὐκόλως τὴν κίνησιν τῶν αἰσθήσεων δέχονται. Οἷς δὲ τὰ περὶ τὰς κλεῖδας συμπεφραγμένα ἐστίν, ἀναίσθητοι· δυσλύτων γὰρ ὄντων τῶν περὶ τὰς κλεῖδας ἐξαδυνατοῦσι τὴν κίνησιν παραδέχεσθαι τῶν αἰσθήσεων. Ὅσοι τὸν τράχηλον παχὺν ἔχουσιν, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν· ὅσοι δὲ λεπτόν, ἀσθενεῖς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Οἷς τράχηλος παχὺς καὶ πλέως, θυμοειδεῖς· ἀναφέρεται ἐπὶ τοὺς θυμοειδεῖς ταύρους. Οἷς δ' εὐμεγέθης μὴ ἄγαν παχύς, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἷς λεπτός, μακρός, δειλοί· ἀναφέρεται ἐπὶ τοὺς ἐλάφους. Οἷς δὲ βραχὺς ἄγαν, ἐπίβουλοι· ἀναφέρεται ἐπὶ τοὺς λύκους. Οἷς τὰ χείλη λεπτὰ καὶ ἐπ' ἄκραις ταῖς συγχειλίαις χαλαρά, ὡς ἐπὶ τοῦ ἄνω χείλους πρὸς τὸ κάτω ἐπιβεβλῆσθαι τὸ πρὸς τὰς συγχειλίας, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας· ἴδοι δ' ἄν τις τοῦτο καὶ ἐπὶ τῶν μεγάλων καὶ εὐρώστων κυνῶν. Οἷς τὰ χείλη λεπτά, σκληρά, κατὰ τοὺς κυνόδοντας τὸ ἐπανεστηκός, οἱ οὕτως ἔχοντες εὐγενεῖς· ἀναφέρεται ἐπὶ τοὺς ὗς. Οἱ δὲ τὰ χείλη ἔχοντες παχέα καὶ τὸ ἄνω τοῦ κάτω προκρεμώμενον, μωροί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους τε καὶ πιθήκους. Ὅσοι δὲ τὸ ἄνω χεῖλος καὶ τὰ οὖλα προεστηκότα ἔχουσι, φιλολοίδοροι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ τὴν ῥῖνα ἄκραν παχεῖαν ἔχοντες ῥάθυμοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ δὲ τὴν ῥῖνα ἀκρόθεν παχεῖαν ἔχοντες, ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὗς. Οἱ τὴν ῥῖνα ἄκραν ὀξεῖαν ἔχοντες, δυσόργητοι· ἀναφέρεται ἐπὶ

alimenta recipiant; insensibiles autem, quia angustiorem locum habent sensus, atque unitum ei qui recipit cibum, ita ut sensus graventur propter repletiones ciborum, aut indigentiam. Quicumque autem pectus magnum habent et articulatum, validi sunt secundum animam; referuntur ad masculinum genus. Quicumque autem interscapilium habent magnum et bene carnosum et articulatum, validi sunt secundum animam; referuntur ad masculinum genus. Quicumque autem imbecille et non carnosum et male articulatum, molles sunt secundum animam; referuntur ad femininum genus. Quibuscumque autem interscapilium curvum est valde humerique ad pectus adducti, mali moris sunt; referuntur ad formam præcellentissimam, quia pereunt quæ ab anteriori parte in conspectum venire debebant. Quicumque autem interscapilium resupinatum habent, gloriosi et insipientes; referuntur ad equos. Quoniam autem neque convexum vehementer oportet esse, neque concavum interscapilium, medium quærendum bene nato. Quibuscumque summæ scapulæ humerique bene ex articulis prodeunt, validi sunt secundum animam; referuntur ad masculinum genus. Quibuscumque vero humeri imbecilles et male articulati, molles sunt secundum animam; referuntur ad femininum genus. Eadem dico quæ de pedibus et femoribus. Quibuscumque humeri bene soluti sunt, liberales sunt secundum animam; referuntur ad habitum apparentem, quia convenit apparenti formæ liberalitas. Quibuscumque vero difficulter solubiles sunt humeri ac contracti, illiberales; referuntur ad formam præcellentissimam. Quibuscumque autem ea quæ sunt circa claviculam, bene solubilia sunt, sensibus præstant: nam quum bene solubilia sunt quæ sunt circa claviculam, facile motum sensuum recipiunt. Quibus vero quæ circa claviculas sunt, constricta sunt, stolidi sunt: difficulter enim quum solvuntur quæ circa claviculas sunt, recipere motum sensuum non valent. Qui collum crassum habent, validi sunt secundum animam; referuntur ad masculinum genus; qui autem tenue habent, imbecilles sunt; referuntur ad femininum genus. Quibuscumque collum crassum et plenum, iracundi; referuntur ad iracundos tauros. Quibuscumque autem est vastum, non valde crassum, magnanimi; referuntur ad leones. Quibus est tenue ac longum, ignavi sunt; referuntur ad cervos. Quibus autem breve valde, insidiatores; referuntur ad lupos. Quibus sunt labia tenuia et in extremis commissuris laxa, ita ut superiori labio, si cum inferiori conferatur, incumbant commissuræ labiorum, magnanimi sunt; referuntur ad leones; videbit utique aliquis hoc et in magnis et robustis canibus. Quibus labia tenuia, dura, ita ut dentibus caninis respondeat pars supereminens, qui ita habent, generosi (ignobiles *ant. vers.*); referuntur ad sues. Qui autem crassa labia habent et superius ante inferius propendens, fatui; referuntur ad asinos et simias. Quicumque autem superius labium et gingivas prominentes habent, obtrectatores sunt; referuntur ad canes. Quicumque autem nasum extremum crassum habent, segnes sunt; referuntur ad boves. Qui autem nasum ab apice crassum habent, stolidi sunt; referuntur ad sues. Qui nasum extremum acutum habent, difficili excandescere solent ira; referuntur ad canes.

τοὺς κύνας. Οἱ δὲ τὴν ῥῖνα περιφερῆ ἔχοντες ἄκραν, ἀμβλεῖαν δέ, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ τὴν ῥῖνα ἄκραν λεπτὴν ἔχοντες ὀρνιθώδεις. Οἱ ἐπίγρυπον ἀπὸ τοῦ μετώπου εὐθὺς ἀγομένην, ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς κόρακας. Οἱ δὲ γρυπὴν ἔχοντες καὶ τοῦ μετώπου διηρθρωμένην, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς ἀετούς. Οἱ δὲ τὴν ῥῖνα ἔγκοιλον ἔχοντες τὰ πρὸ τοῦ μετώπου περιφερῆ, τὴν δὲ περιφέρειαν ἄνω ἀνεστηκυῖαν, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἀλεκτρυόνας. Οἱ δὲ σιμὴν ἔχοντες λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἐλάφους. Οἷς δ' οἱ μυκτῆρες ἀναπεπταμένοι, θυμώδεις· ἀναφέρεται ἐπὶ τὸ πάθος τὸ ἐν τῷ θυμῷ γινόμενον. Οἱ τὸ πρόσωπον σαρκῶδες ἔχοντες ῥάθυμοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ τὰ πρόσωπα ἰσχνὰ ἔχοντες ἐπιμελεῖς, οἱ δὲ σαρκώδη δειλοί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους καὶ τὰς ἐλάφους. Οἱ μικρὰ τὰ πρόσωπα ἔχοντες μικρόψυχοι· ἀναφέρεται ἐπ' αἴλουρον καὶ πίθηκον. Οἷς τὰ πρόσωπα μεγάλα, νωθροί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους καὶ βόας. Ἐπεὶ δ' οὔτε μικρόν, οὔτε μέγα δεῖ εἶναι, ἡ μέση ἕξις εἴη ἂν τούτων ἐπιεικής. Οἷς δὲ τὸ πρόσωπον φαίνεται μικροπρεπές, ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἷς τὸ ἀπὸ τῶν ὀφθαλμῶν οἷον κύστιδες προκρέμανται, οἰνόφλυγες· ἀναφέρεται ἐπὶ τὸ πάθος· ἔστι γὰρ τοῖς σφόδρα ἐμπεπωκόσι τὰ πρὸ τῶν ὀφθαλμῶν οἷον κύστιδες· ἐφεστήκασι, φίλυπνοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ἐξ ὕπνου ἀνεστηκόσιν ἐπικρέμαται τὰ ἐπὶ τοῖς ὀφθαλμοῖς. Οἱ τοὺς ὀφθαλμοὺς μικροὺς ἔχοντες μικρόψυχοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν καὶ ἐπὶ πίθηκον. Οἱ δὲ μεγαλόφθαλμοι νωθροί· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Τὸν ἄρα εὖ φύντα δεῖ μήτε μικρούς, μήτε μεγάλους ἔχειν τοὺς ὀφθαλμούς. Οἱ δὲ κοίλους ἔχοντες κακοῦργοι· ἀναφέρεται ἐπὶ πίθηκον. Ὅσοι ἐξόφθαλμοι, ἀβέλτεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειάν τε καὶ τοὺς ὄνους. Ἐπεὶ δ' οὔτ' ἐξόφθαλμον, οὔτε κοιλόφθαλμον δεῖ εἶναι, ἡ μέση ἕξις ἂν κρατοίη. Ὅσοις ὀφθαλμοὶ μικρὸν ἐγκοιλότεροι, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας· οἷς δ' ἐπὶ πλεῖον, πραεῖς· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ τὸ μέτωπον μικρὸν ἔχοντες ἀμαθεῖς· ἀναφέρεται ἐπὶ τοὺς ὗς. Οἱ δὲ μέγα ἄγαν ἔχοντες νωθροί· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ δὲ περιφερὲς ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. Οἱ μακρότερον ἐπίπεδον ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ τετράγωνον σύμμετρον τῷ μετώπῳ ἔχοντες μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ συννεφὲς ἔχοντες αὐθάδεις· ἀναφέρεται ἐπὶ ταῦρον καὶ λέοντα. Οἱ δ' ἀτενὲς ἔχοντες κόλακες· ἀναφέρεται ἐπὶ τὸ γινόμενον πάθος· ἴδοι δ' ἄν τις ἐπὶ τῶν κυνῶν, ὅτι οἱ κύνες ἐπειδὰν θωπεύωσι, γαληνὲς τὸ μέτωπον ἔχουσιν. Ἐπειδὴ οὖν ἥ τε συννεφὴς ἕξις αὐθάδειαν ἐμφαίνει ἥ τε γαληνὴ κολακείαν, ἡ μέση ἂν τούτων ἕξις εὐαρμόστως ἔχοι. Οἱ σκυθρωπὰ μέτωπα ἔχοντες δυσάνιοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ἀνιώμενοι σκυθρωποί εἰσιν. Οἱ

Qui nasum extremum habent rotundum, sed obtusum, magnanimi; referuntur ad leones. Qui vero nasum extremum tenuem habent, avibus similes sunt. Qui nasum habent, mox ubi a fronte abducitur, aduncum, impudentes sunt; referuntur ad corvos. Quicumque autem aduncum habent atque a fronte articulo disjunctam, magnanimi; referuntur ad aquilas. Quicumque nasum concavum habent, ante frontem rotundum et convexitatem sursum consurgentem, libidinosi; referuntur ad gallos gallinaceos. Qui vero simum habent, libidinosi sunt; referuntur ad cervos. Quibuscumque nares sunt apertæ, iracundi sunt; referuntur ad passionem quæ fit in ira. Quicumque faciem carnosam habent, segnes sunt; referuntur ad boves. Qui faciem macilentam habent, solliciti; qui autem carnosam, ignavi; referuntur ad asinos et cervos. Qui parvam habent faciem, pusillanimi; referuntur ad felem et ad simiam. Quibus facies magna, torpidi; referuntur ad asinos et boves. Quum vero neque parvam, neque magnam oportet esse, habitus utique horum medius erit conveniens. Quibus autem facies videtur vilis, illiberales sunt; referuntur ad formam præcellentissimam. Quibus autem partes oculis subjectæ tamquam vesiculæ dependent, vinolenti sunt; referuntur ad passionem: qui enim affatim potant, iis partes oculis antepositæ ut vesiculæ sunt; quibuscumque vero hæ partes prominent, somnolenti sunt; referuntur ad passionem, quoniam ex somno surgentibus imminent quæ oculis imposita sunt. Quicumque oculos parvos habent, pusillanimi; referuntur ad formam præcellentissimam et ad simiam. Quicumque vero habent oculos magnos, torpidi sunt; referuntur ad boves. Igitur bene natum oportet neque parvos, neque magnos habere oculos. Qui vero concavos habent, improbi; referuntur ad simiam. Quicumque habent oculos prominentes, stulti; referuntur ad formam præcellentissimam et ad asinos. Quoniam autem neque prominentes oculos, neque concavos oportet habere, medius utique habitus præstabit. Quibuscumque autem oculi sunt paulo concaviores, magnanimi; referuntur ad leones; quibus vero plus, mansueti; referuntur ad boves. Quicumque frontem parvam habent, indociles sunt; referuntur ad sues. Qui autem magnam valde habent, torpidi; referuntur ad boves. Qui rotundam habent, stolidi; referuntur ad asinos. Quicumque longiorem (in fronte) planitiem habent, stolidi (sagaces *ant. vers.*); referuntur ad canes. Quicumque quadratam habent fronti accommodatam, magnanimi; referuntur ad leones. Quicumque autem nubilam habent, adrogantes sunt; referuntur ad taurum et leonem. Quicumque autem intentam habent, adulatores; referuntur ad passionem quæ fit; id in canibus utique videbit quispiam, quippe quum canes, ubi blandiuntur, placidam habeant frontem. Quando itaque nebulosus habitus adrogantiam significat, tranquilla autem frons adulationem, medius habitus utique horum bene quadrabit. Quicumque torvam habent frontem, morosi; referuntur ad passionem, quoniam mœsti torvi sunt; qui autem demissam,

δὲ κατηφεῖς ὀδύρται· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὀδυρόμενοι κατηφεῖς. Οἱ τὴν κεφαλὴν μεγάλην ἔχοντες αἰσθητικοί· ἀναφέρεται ἐπὶ τοὺς κύνας· οἱ δὲ μικρὰν ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. Οἱ τὰς κεφαλὰς φοξοὶ ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς γαμψώνυχας. Οἱ τὰ ὦτα μικρὰ ἔχοντες πιθηκώδεις· οἱ δὲ μεγάλα ὀνώδεις· ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς ἀρίστους μέτρια ἔχοντας ὦτα.

Οἱ ἄγαν μέλανες δειλοί· ἀναφέρεται ἐπὶ τοὺς Αἰγυπτίους, Αἰθίοπας. Οἱ δὲ λευκοὶ ἄγαν δειλοί· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. Τὸ δὲ πρὸς ἀνδρείαν συντελοῦν χρῶμα μέσον δεῖ τούτων εἶναι. Οἱ ξανθοὶ εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ πυρροὶ ἄγαν πανοῦργοι· ἀναφέρεται ἐπὶ τὰς ἀλώπεκας. Οἱ δ' ἔνωχροι καὶ τεταραγμένοι τὸ χρῶμα δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος τὸ ἐκ τοῦ φόβου γινόμενον. Οἱ δὲ μελίχλωροι ἀπεψυγμένοι εἰσίν· τὰ δὲ ψυχρὰ δυσκίνητα· δυσκινήτων δ' ὄντων τῶν κατὰ τὸ σῶμα εἶεν ἂν βραδεῖς. Οἷς τὸ χρῶμα ἐρυθρόν, ὀξεῖς, ὅτι πάντα τὰ κατὰ τὸ σῶμα ὑπὸ κινήσεως ἐκθερμαινόμενα ἐρυθραίνεται. Οἷς δὲ τὸ χρῶμα φλογοειδές, μανικοί, ὅτι τὰ κατὰ τὸ σῶμα σφόδρα ἐκθερμανθέντα φλογοειδῆ χροιὰν ἴσχει· οἱ δ' ἄκρως θερμανθέντες μανικοὶ ἂν εἴησαν. Οἷς δὲ περὶ τὰ στήθη ἐπιφλεγές ἐστι τὸ χρῶμα, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος· τοῖς γὰρ ὀργιζομένοις ἐπιφλέγεται τὰ περὶ τὰ στήθη. Οἷς τὰ περὶ τὸν τράχηλον καὶ τοὺς κροτάφους αἱ φλέβες κατατεταμέναι εἰσί, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ὀργιζομένοις ταῦτα συμβαίνει. Οἷς τὸ πρόσωπον ἐπιφοινίσσον ἐστίν, αἰσχυντηλοί εἰσιν· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς αἰσχυνομένοις ἐπιφοινίσσεται τὸ πρόσωπον. Οἷς αἱ γνάθοι ἐπιφοινίσσουσιν, οἰνόφλυγες· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς μεθύουσιν ἐπιφοινίσσουσιν αἱ γνάθοι. Οἷς δ' οἱ ὀφθαλμοὶ ἐπιφοινίσσουσιν, ἐκστατικοὶ ὑπ' ὀργῆς· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὑπ' ὀργῆς ἐξεστηκότες ἐκφοινίσσονται τοὺς ὀφθαλμούς. Οἷς δ' οἱ ὀφθαλμοὶ ἄγαν μέλανες, δειλοί· ἡ γὰρ ἄγαν μελαίνη χρόα ἐφάνη δειλίαν σημαίνουσα. Οἱ δὲ μὴ ἄγαν μέλανες, ἀλλὰ κλίνοντες πρὸς τὸ ξανθὸν χρῶμα, εὔψυχοι. Οἷς δ' οἱ ὀφθαλμοὶ γλαυκοὶ ἢ λευκοί, δειλοί· ἐφάνη γὰρ τὸ λευκὸν χρῶμα δειλίαν σημαῖνον. Οἱ δὲ μὴ γλαυκοί, ἀλλὰ χαροποί, εὔψυχοι· ἀναφέρεται ἐπὶ λέοντα καὶ ἀετόν. Οἷς δ' οἰνωποί, μάργοι· ἀναφέρεται ἐπὶ τὰς αἶγας. Οἷς δὲ πυρώδεις, ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ ὠχρόμματοι ἐντεταραγμένους ἔχοντες τοὺς ὀφθαλμούς, δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ φοβηθέντες ἔνωχροι γίνονται χρώματι οὐχ ὁμαλῷ. Οἱ δὲ τοὺς ὀφθαλμοὺς στιλπνοὺς ἔχοντες, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἀλεκτρυόνας καὶ κόρακας.

Οἱ δασείας ἔχοντες τὰς κνήμας λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς τράγους. Οἱ δὲ περὶ τὰ στήθη καὶ τὴν κοιλίαν ἄγαν δασέως ἔχοντες οὐδέποτε πρὸς τοῖς αὐτοῖς διατελοῦσιν· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας, ὅτι ταῦτα

lamentabundi sunt; referuntur ad passionem, quia lamentantes demissi sunt. Quicumque autem habent magnum caput, sensibus præstant; referuntur ad canes; qui vero parvum, stolidi; referuntur ad asinos. Qui habent capita acuminata, impudentes; referuntur ad aves uncis unguibus præditas. Quicumque aures parvas habent, simiis similes sunt; quicumque autem magnas, asinis; videbit utique aliquis et canum optimos mediocres aures habere.

Qui valde nigri sunt, ignavi; referuntur ad Ægyptios et Æthiopes. Albi autem valde ignavi sunt; referuntur ad mulieres. Color autem qui confert ad fortitudinem, medium horum oportet esse. Flavi æquo animo sunt; referuntur ad leones. Rufi vero admodum improbi; referuntur ad vulpes. Pallidi, colore turbati, timidi sunt; referuntur ad passionem quæ fit ex timore. Qui autem sunt mellei coloris, sunt frigidi : frigida enim difficulter moventur; quum vero difficulter moventur quæ ad corpus pertinent, erunt utique tardi. Quibus color ruber est, acuti sunt, quoniam omnia quæ ad corpus pertinent, a motu calefacta rubescunt. Quibus color flammeus est, in furorem proni, quia ea quæ sunt in corpore, vehementer calefacta flammeum colorem habent; qui autem sunt summe calefacti, in furorem utique proclives erunt. Quibus autem est flammeus color circa pectus, difficili excandescunt ira; referuntur ad passionem : iratis namque superaccenduntur ea quæ sunt circa pectus. Quibus autem circa collum et tempora venæ distensæ sunt, difficili excandescunt ira; referuntur ad passionem, quia iratis hæc accidunt. Quibus facies erubescens est, verecundi sunt; referuntur ad passionem, quia pudibundis erubescit facies. Quibus genæ erubescunt, vinolenti sunt; referuntur ad passionem, quia ebriis erubescunt genæ. Quibus autem oculi erubescunt, extra se feruntur ob iram; referuntur ad passionem, quia qui ab ira efferuntur, erubescunt oculis. Quibus autem oculi valde nigri, ignavi sunt : nam admodum niger color ignaviam significare compertus est. Qui autem non sunt valde nigri, sed declinant ad flavum colorem, æquo animo sunt. Quibus autem oculi cæsii, aut albi, ignavi sunt : compertus enim est albus color ignaviam significare. Qui autem non sunt cæsii, sed fulvi, æquo animo sunt; referuntur ad leonem et aquilam. Quibus autem vinosi sunt, lascivi sunt; referuntur ad capras. Quibus ignei sunt oculi, impudentes; referuntur ad canes. Qui autem oculos pallidos habent et turbatos, ignavi; referuntur ad passionem, quia qui timent, pallidi fiunt colore non æquali. Quicumque oculos splendidos habent, libidinosi; referuntur ad gallos gallinaceos et corvos.

Qui tibias hirsutas habent, lascivi sunt; referuntur ad hircos. Qui autem ea quæ sunt circa pectus et ventrem, valde hirsuta habent, numquam in eisdem perseverant; referuntur ad aves, quia ee pectus et ventrem

τὰ στήθη καὶ τὴν κοιλίαν δασυτάτην ἔχουσιν. Οἱ τὰ στήθη ψιλὰ ἄγαν ἔχοντες ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. Ἐπειδὴ οὖν οὔτ' ἄγαν δασέα δεῖ εἶναι, οὔτε ψιλά, ἡ μέση ἕξις κρατίστη. Οἱ τοὺς ὤμους δασεῖς ἔχοντες οὐδέποτε πρὸς τοῖς αὐτοῖς διατελοῦσιν· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας. Οἱ τὸν νῶτον δασὺν ἔχοντες ἄγαν ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰ θηρία. Οἱ δὲ τὸν αὐχένα ὄπισθεν δασὺν ἔχοντες ἐλευθέριοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δ' ἀκρογένειοι εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ συνόφρυες δυσάνιοι· ἀναφέρεται ἐπὶ τὴν τοῦ πάθους ὁμοιότητα. Οἱ δὲ τὰς ὀφρῦς κατεσπασμένοι πρὸς τῆς ῥινός, ἀνεσπασμένοι δὲ πρὸς τὸν κρόταφον εὐήθεις· ἀναφέρεται ἐπὶ τοὺς σῦς. Οἱ φριξὰς τὰς τρίχας ἔχοντες ἐπὶ τῆς κεφαλῆς δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι καὶ οἱ ἔκφοβοι γινόμενοι φρίσσουσιν. Οἱ τὰς τρίχας σφόδρα οὔλας ἔχοντες, δειλοί· ἀναφέρεται ἐπὶ τοὺς Αἰθίοπας. Ἐπειδὴ οὖν αἵ τε φριξαὶ καὶ αἱ σφόδρα οὖλαι δειλίαν ἀναφέρουσιν, αἱ ἄκρουλοι ἂν εἶεν πρὸς εὐψυχίαν ἄγουσαι· ἀναφέρεται δὲ καὶ ἐπὶ τὸν λέοντα. Οἱ τοῦ μετώπου τὸ πρὸς τῇ κεφαλῇ ἀνάσιλον ἔχοντες ἐλευθέριοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ ἐπὶ τῆς κεφαλῆς προσπεφυκυίας ἔχοντες τὰς τρίχας ἐπὶ τοῦ μετώπου κατὰ τὴν ῥῖνα ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν, ὅτι δουλοπρεπὲς τὸ φαινόμενον.

Μακροβάμων καὶ βραδυβάμων εἴη ἂν νωθρεπιθέτης, τελεστικός, ὅτι τὸ μακρὰ βαίνειν ἀνυστικόν, τὸ βραδέως δὲ μελλητικόν. Βραχυβάμων βραδυβάμων νωθρεπιθέτης, οὐ τελεστικός, ὅτι τὸ βραχέα βαίνειν καὶ βραδέως οὐκ ἀνυστικόν. Μακροβάμων ταχυβάμων οὐκ ἐπιθετικός, τελεστικός, ὅτι τὸ μὲν τάχος τελεστικόν, ἡ δὲ μακρότης οὐκ ἀνυστικόν. Βραχυβάμων ταχυβάμων ἐπιθετικός, οὐ τελεστικός. Περὶ δε χειρὸς καὶ πήχεος καὶ βραχίονος φορᾶς, αἱ αὐταὶ ἀναφέρονται. Οἱ δὲ τοῖς ὤμοις ἐπισαλεύοντες ὀρθοῖς ἐκτεταμένοις γαλεαγκῶνες· ἀναφέρεται ἐπὶ τοὺς ἵππους. Οἱ τοῖς ὤμοις ἐπενσαλεύοντες ἐγκεκυφότες μεγαλόφρονες· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ τοῖς ποσὶν ἐξεστραμμένοις πορευόμενοι καὶ ταῖς κνήμαις θηλείαις· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. Οἱ δὲ τοῖς σώμασι περικλώμενοι καὶ ἐντριβόμενοι κόλακες· ἀναφέρεται ἐπὶ τὸ πάθος. Οἱ ἐγκλινόμενοι εἰς τὰ δεξιὰ ἐν τῷ πορεύεσθαι κίναιδοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἱ εὐκινήτους τοὺς ὀφθαλμοὺς ἔχοντες ὀξεῖς, ἁρπαστικοί· ἀναφέρεται ἐπὶ τοὺς ἱέρακας. Οἱ σκαρδαμύκται δειλοί, ὅτι ἐν τοῖς ὄμμασι πρῶτα τρέπονται. Οἱ κατιλλαντιωρίαν * τε, καὶ οἷς τὸ ἕτερον βλέφαρον ἐπιβέβηκε τοῖς ὀφθαλμοῖς, κατὰ μέσον τῆς ὄψεως ἑστηκυίας, καὶ οἱ ὑπὸ βλέφαρα τὰ ἄνω τὰς ὄψιας ἀνάγοντες, μαλακόν τε βλέποντες, καὶ οἱ τὰ βλέφαρα ἐπιβεβληκότες, ὅλως τε πάντες οἱ μαλακόν τε καὶ διακεχυμένον βλέποντες· ἀναφέρονται ἐπὶ τὴν ἐπιπρέπειαν καὶ τὰς γυναῖκας. Οἱ τοὺς ὀφθαλμοὺς διὰ συχνοῦ χρόνου κινοῦντες, ἔχοντές τε βάμμα λευκώματος ἐπὶ τῷ

valde hirsuta habent. Qui pectus habent valde nudum, impudentes sunt; referuntur ad mulieres. Quoniam igitur oportet nec valde birsutum esse, neque valde nudum, medius habitus erit optimus. Quicumque humeros hirsutos habent, numquam in eisdem perseverant; referuntur ad aves. Qui dorsum habent hirsutum, valde impudentes sunt; referuntur ad feras. Quicumque autem collum retro hirsutum habent, liberales sunt; referuntur ad leones. Qui autem tenuem barbam habent, æquo animo sunt; referuntur ad canes. Quicumque habent supercilia conjuncta, morosi sunt; referuntur ad similitudinem passionis. Quorum supercilia a naso deorsum versus, ad tempora vero sursum trahuntur, fatui sunt; referuntur ad sues. Qui capillos horridos habent in capite, ignavi sunt; referuntur ad passionem, quia consternati etiam horrescunt. Qui capillos valde crispos habent, ignavi sunt; referuntur ad Æthiopas. Quoniam igitur et horridi et vehementer crispi ignaviam referunt, subcrispi ad animi præstantiam ducent; referuntur autem et ad leonem. Quibus id frontis quod est versus caput, capillis retro flexis instructum est, liberales sunt; referuntur ad leones. Qui in capite adnatos habent capillos ad frontem juxta nasum, sunt illiberales; referuntur ad formam præcellentissimam, quia servis congruit hicce habitus.

Qui longis et tardis passibus incedit, lente res adgredietur, sed activus erit, quia incessus qui magnis fit passibus, activum designat; qui vero tardis, cunctatorem. Qui parvis ac tardis passibus incedit, lente res aggreditur, neque activus est, quia incessus qui parvis ac tardis fit passibus, activitatem non indicat. Qui magnis ac celeribus passibus incedit, adgrediendo promptus non est, sed activus, quia celeritas activitatem denuntiat, magnitudo vero passuum perfectorem non indicat. Qui parvis ac celeribus passibus incedit, adgrediendo promptus est, sed non activus. De manus et brachii et lacerti motu eadem referuntur. Qui humeros conquassant rectos atque tensos, curtis sunt brachiis; referuntur ad equos. Qui humeros conquassant inclinati, magnanimi sunt; referuntur ad leones. Qui pedibus extro versis ambulant, et cruribus sunt femininis; referuntur ad mulieres. Qui vero corporibus confracti et attriti, adulatores sunt; referuntur ad passionem. Inclinati autem ad dextram in ambulando cinædi sunt; referuntur ad formam præcellentissimam. Quicumque oculos habent mobiles, acuti, rapaces sunt; referuntur ad accipitres. Qui nictantur, ignavi sunt, quia oculis primum in fugam vertuntur. Qui oculos contortos habent, delicatuli sunt; item quibus altera palpebra oculis incumbit, ipso oculo in medio stante, quique oculos sub palpebras superiores retrahunt molliterque spectant, quique palpebras oculis injectas habent, atque in universum omnes qui molliter dissoluteque spectant; referuntur ad formam præcellentissimam et ad mulieres. Qui oculos magnis intervallis moventes tincturam albuginis in oculo habent, ita ut offendere videan-

ὀφθαλμῷ, ὡς προσεστηκότας, ἐννοητικοί· ἂν γὰρ πρός τινι ἐννοίᾳ σφόδρα γένηται ἡ ψυχή, ἵσταται καὶ ἡ ὄψις.

Οἱ μέγα φωνοῦντες βαρύτονον ὑβρισταί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. Ὅσοι δὲ φωνοῦσιν ἀπὸ βαρέος ἀρξάμενοι, τελευτῶσι δ' εἰς ὀξύ, δυσθυμικοί, ὀδύρται· ἀναφέρεται ἐπὶ τοὺς βοῦς καὶ ἐπὶ τὸ πρέπον τῇ φωνῇ. Ὅσοι δὲ ταῖς φωναῖς ὀξείαις, μαλακαῖς, κεκλασμέναις διαλέγονται, κίναιδοι· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας καὶ ἐπὶ τὴν ἐπιπρέπειαν. Ὅσοι βαρύτονον φωνοῦσι μέγα, μὴ πεπλεγμένον, ἀναφέρεται ἐπὶ τοὺς εὐρώστους κύνας καὶ ἐπὶ τὴν ἐπιπρέπειαν. Ὅσοι μαλακόν, ἄτονον φωνοῦσι, πραεῖς· ἀναφέρεται ἐπὶ τὰς ὄϊς. Ὅσοι δὲ φωνοῦσιν ὀξὺ καὶ ἐγκεκραγός, μάργοι· ἀναφέρεται ἐπὶ τὰς αἶγας.

Οἱ μικροὶ ἄγαν ὀξεῖς· τῆς γὰρ τοῦ αἵματος φορᾶς μικρὸν τόπον κατεχούσης καὶ αἱ κινήσεις ταχὺ ἄγαν ἀφικνοῦνται ἐπὶ τὸ φρονοῦν. Οἱ δ' ἄγαν μεγάλοι βραδεῖς· τῆς γὰρ τοῦ αἵματος φορᾶς μέγαν τόπον κατεχούσης αἱ κινήσεις βραδέως ἀφικνοῦνται ἐπὶ τὸ φρονοῦν. Ὅσοι τῶν μικρῶν ξηραῖς σαρξὶ κεχρημένοι εἰσίν, ἢ καὶ χρώμασιν ἃ διὰ θερμότητα τοῖς σώμασιν ἐπιγίνονται, οὐδὲν ἀποτελοῦσιν· οὔσης γὰρ τῆς φορᾶς ἐν μικρῷ καὶ ταχείας διὰ τὸ πυρῶδες, οὐδέποτε κατὰ ταὐτόν ἐστι τὸ φρονεῖν, ἀλλ' ἄλλοτ' ἐπ' ἄλλων, πρὶν τὸ ὑπερέχον περᾶναι. Ὅσοι δὲ τῶν μεγάλων ὑγραῖς σαρξὶ κεχρημένοι, ἢ καὶ χρώμασιν ἃ διὰ ψυχρότητα ἐγγίνονται, οὐδὲν ἐπιτελοῦσιν· οὔσης γὰρ τῆς φορᾶς ἐν μεγάλῳ τόπῳ καὶ βραδείας διὰ τὴν ψυχρότητα, οὐ συνανύει ἀφικνουμένην ἐπὶ τὸ φρονοῦν. Ὅσοι δὲ τῶν μικρῶν ὑγραῖς σαρξὶ κεχρημένοι εἰσὶ καὶ χρώμασι διὰ ψυχρότητα, γίνονται ἐπιτελεστικοί· οὔσης γὰρ τῆς κινήσεως ἐν μικρῷ, τὸ δυσκίνητον τῆς κράσεως συμμετρίαν παρέσχε τὸ πρῶτον ἐπιτελεῖν. Ὅσοι δὲ τῶν μεγάλων ξηραῖς σαρξὶ κεχρημένοι εἰσὶ καὶ χρώμασι διὰ θερμότητα, γίνονται ἐπιτελεστικοὶ καὶ αἰσθητικοί· τὴν γὰρ τοῦ μεγέθους ὑπερβολὴν σαρκῶν τε καὶ χρώματος ἡ θερμότης ἠκέσατο, ὥστε σύμμετρον εἶναι πρὸς τὸ ἐπιτελεῖν. Τὰ μὲν οὖν μεγέθεσιν ὑπερβάλλοντα τῶν σωμάτων, ἢ σμικρότησιν ἐλλείποντα, ὡς τυχόντα ἐπιτελεστικά ἐστι καὶ ὡς ἀτελῆ, εἴρηται· ἡ δὲ τούτων μέση φύσις πρὸς τὰς αἰσθήσεις κρατίστη καὶ τελεστικωτάτη, οἷς ἂν ἐπιθῆται· αἱ γὰρ κινήσεις οὐ διὰ πολλοῦ οὖσαι ῥᾳδίως ἀφικνοῦνται πρὸς τὸν νοῦν· οὖσαί τ' οὐ κατὰ μικρὸν ὑπερχωροῦσιν· ὥστε τὸν τελεώτατον πρὸς τὸ ἐπιτελεῖν θ' ἃ ἂν προθῆται καὶ αἰσθάνεσθαι μέλλοντα μέτριον δεῖ εἶναι τὸ μέγεθος. Οἱ ἀσύμμετροι πανοῦργοι· ἀναφέρεται ἐπὶ τὸ πάθος καὶ τὸ θῆλυ· εἰ γὰρ οἱ ἀσύμμετροι πανοῦργοι, οἱ σύμμετροι δίκαιοι ἂν εἴησαν καὶ ἀνδρεῖοι. Τὴν δὲ τῆς συμμετρίας ἀναφορὰν πρὸς τὴν τῶν σωμάτων εὐαγωγίαν καὶ εὐφυΐαν ἀνοιστέον, ἀλλ' οὐ πρὸς τὴν τοῦ ἄρρενος ἰδέαν, ὥσπερ ἐν ἀρχῇ διῃρέθη. Καλῶς δ' ἔχοι καὶ πάντα τὰ σημεῖα, ὅσα προείρηται, ἀναφέρειν ἐπὶ τὴν ἐπιπρέπειαν καὶ

tur, intellectu præstant : si enim cuipiam rei intellectus vehementer incumbat, sistitur et oculus.

Qui voce magna vociferantur graviter, injuriosi sunt; referuntur ad asinos. Quicumque autem vociferantes a gravi voce incipiunt, sed in acutam desinunt, mœsti ac lamentatores sunt; referuntur ad boves et ad id quod voci convenit. Quicumque autem vocibus acutis, mollibus ac fractis colloquuntur, cinædi sunt; referuntur ad mulieres et ad formam præcellentissimam. Quicumque graviter vociferantur magna voce, non vero plexa, referuntur ad robustos canes et ad formam præcellentissimam. Quicumque molliter sine contentione vociferantur, mansueti sunt; referuntur ad oves. Quicumque vociferantur acute et clamose, lascivi sunt; referuntur ad capras.

Parvi valde acuti sunt : motu enim sanguinis parvum locum occupante, motiones quoque valde velociter deveniunt ad cogitationis sedem. Qui autem sunt valde magni, tardi : motu enim sanguinis magnum locum occupante, motus tarde accedunt ad cogitationis sedem. Quicumque autem parvorum siccis carnibus utuntur, aut et coloribus, qui per caliditatem corporibus superveniunt, nihil absolvunt : quum enim motus in parvo fiat loco et velox sit propter igneam qualitatem, numquam eodem loco manet cogitatio, sed modo hic, modo illic, priusquam quod maxime interest, perficiat. Quicumque magnorum humidis carnibus utentes, aut coloribus qui propter frigiditatem innascuntur, nihil præstant : quum enim motus in magno loco fiat, tardusque sit propter frigiditatem, una non conficit iter ad cogitationis sedem ducens. Quicumque autem parvorum humidis carnibus utuntur et coloribus a frigore pendentibus, strenui fiunt : quum enim motus in parvo fiat loco, difficultas movendi quam temperamento debent, moderationem præbere solet ad primum perficiendum. Quicumque magnorum siccis carnibus utuntur et coloribus a caliditate pendentibus, fiunt strenui et sensibus præstantes : nimiam enim magnitudinem compensat carnium et coloris caliditas, ita ut justam habeant proportionem ad agendum. Corpora igitur magnitudinibus modum excedentia, aut parvitudinibus deficientia quomodo se habere debeant, ut res vel ad finem perducant, vel imperfecte conficiant, dictum est; media autem natura horum ad sensus præstantissima atque ad perficiendum aptissima quæcumque adgrediatur : motus enim quum non per magnum fiant spatium, facile ad mentem accedunt : quo ubi pervenerint, ne tantillum quidem supergrediuntur : quare perfectissimum ad perficiendum quæcunque sibi proposuerit, si simul sensurus sit, oportet modicam habere magnitudinem. Qui proportione carent, improbi sunt; referuntur ad passionem et ad femininum genus : si enim proportione carentes improbi sunt, commensurati utique erunt et justi et fortes. Relationem autem proportionis ad corporum bonam educationem et bonam naturam reducere oportet, sed non ad formam maris, sicut in principio dictum est. Bene se haberet quoque si omnia signa, quæcumque prædicta sunt, referremur

εἰς ἄρρεν καὶ θῆλυ· ταῦτα γὰρ τελεωτάτην διαίρεσιν διῄρηται, καὶ ἐδείχθη ἄρρεν θήλεος δικαιότερον καὶ ἀνδρειότερον, καὶ ὅλως εἰπεῖν, ἄμεινον. Ἐν ἁπάσῃ δὲ τῇ τῶν σημείων ἐκλογῇ ἕτερα ἑτέρων σημεῖα μᾶλλον δηλοῦσιν ἐναργῶς τὸ ὑποκείμενον· ἐναργέστερα δὲ τὰ ἐν ἐπικαιροτάτοις τόποις ἐγγινόμενα· ἐπικαιρότατος δὲ τόπος ὁ περὶ τὰ ὄμματά τε καὶ τὸ μέτωπον καὶ κεφαλὴν καὶ πρόσωπον, δεύτερος δ' ὁ περὶ τὰ στήθη καὶ ὤμους, ἔπειτα περὶ τὰ σκέλη τε καὶ πόδας· τὰ δὲ περὶ τὴν κοιλίαν ἥκιστα. Ὅλως δ' εἰπεῖν, οὗτοι οἱ τόποι ἐναργέστατα σημεῖα παρέχονται, ἐφ' ὧν καὶ φρονήσεως πλείστης ἐπιπρέπεια γίνεται.

ad formam præcellentissimam et ad marem et feminam : hæc enim perfectissima divisione divisa sunt, et demonstratum est, marem femina esse justiorem et fortiorem et, ut uno verbo dicam, meliorem. In omni autem delectu signorum alia aliis signis magis declarant manifesto subjectum; manifestissima autem, quæ in principalibus locis fiunt; principalissimus autem locus est, qui est circa oculos et frontem et caput et faciem; secundus vero, qui est circa pectus et scapulas; deinde circa crura et pedes; quæ autem circa ventrem, minime. In universum autem ut dicam, ista loca manifestissima signa præbent, in quibus et cogitationis plurimæ decor apparet.

ΠΡΟΛΟΓΟΣ

ΤΟΥ ΕΡΜΗΝΕΩΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΦΥΤΩΝ

ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Τῷ τῆς Ἀριστοτελικῆς ἀειθαλεῖ φιλοσοφίας λειμῶνι πολλαὶ μὲν καὶ ἄλλαι δέλτοι κατὰ τὰ εὐγενῆ παραπεφύκασι τῶν φυτῶν, παμφόρους μὲν οἷς θεωροῦμεν, πολυχόας δὲ καὶ οἷς διαπραττόμεθα προϊέμεναι τοὺς καρπούς. Ἦν δὲ πρὸς ταῖς ἄλλαις καὶ ἡ περὶ φυτῶν ὅσα καὶ φυτὸν εὐφυὲς βραχὺ μέν, ἀλλὰ συχναῖς ταῖς χάρισι βρύον καὶ καλλίστοις ἐκφορίοις τοὺς τῶν λόγων ἐραστὰς δεξιούμενον, οὐ μόνον λέγω τοὺς ἡμετέρους, τοὺς πάνυ, τοὺς περιφανεῖς τὰ ἐς λόγους καὶ τὴν σοφίαν ἀπαραμίλλους καὶ τὴν σύνεσιν Αὔσονας, ἀλλὰ καὶ τοὺς ἐκ μοίρας Ἰταλικῆς, καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ ὅσους τοιούτους οἶδεν ἡ τῶν εὐδαιμόνων Ἀράβων τρέφειν καὶ τῶν Ἰνδῶν· συχνὸν γὰρ ἐνέβαλεν ἵμερον τῶν ἑαυτοῦ συγγραμμάτων τοῖς ὁπουδήποτε φιλοσόφοις ὁ ἐκ Σταγείρων ἄκρος φιλόσοφος. Ἀλλὰ τὸ τοιοῦτον φυτὸν οὐκ οἶδ' ὅπως οὐ μόνον αὔανσιν πέπονθε παρ' ἡμῖν, ἀλλοίωσίν τινα τάχα περὶ τὸ χεῖρον, οἷα φιλεῖ χρόνος ποιεῖν, ἀλλὰ καὶ προθέλυμνον ἐκκοπὴν καὶ εἰς τὸ μὴ ὂν ἀποστροφήν, ὡς οὐδ' ἂν ποτε φυτηκόμον εἶδεν, οὐδ' εἰ προῆλθεν εἰς φῶς. Ὑπέστη τὰ ἴσα καὶ Ἰταλὸς μακρὸν χρόνον σὺν ἡμῖν χηρεύων τοῦ χρήματος. Τοῖς Ἄραψιν ἐγνωρίζετο μόνοις, καὶ μόνοι τῶν τούτου καρπῶν ἀφθόνως ἀπέλαυον. Ἀλλά τις Κελτὸς μὲν τὸ γένος, ἐς τοσοῦτον δὲ τῆς τῶν Ἰταλῶν σοφίας ἐλάσας ὡς τῶν πρωτείων παραχωρεῖν μηδενί, εἶτα βραχὺ τοῦτο, καίπερ ὂν τοσοῦτον, καθ' ἑαυτὸν οἰηθείς, ἂν μὴ καὶ τὴν τῶν Ἀράβων μετὰ τῶν Λατίνων μεταλάβῃ γνῶσιν καὶ τὴν καλλίστην ἕξιν ἀσκήσειεν, ὅλος γίνεται τοῦ ἔργου, καὶ εἰς πέρας τὴν γνώμην ἀγαγεῖν θέλει καὶ τυχεῖν παντοίως τοῦ ἐφετοῦ. Στέλλεται λοιπὸν τὴν ἀλλοδαπήν, χρῆται τοῖς Ἄραψι παιδευταῖς, καὶ τῇ εὐφυΐᾳ συμμετρήσας σπουδὴν τοσοῦτον εὐμοιρῆσαι παιδείας φασὶν ὡς δύνασθαι καὶ τὰ τῶν Ἀράβων εἰς Ἰταλοὺς καὶ τὰ τῶν Ἰταλῶν μεταπορθμεύειν εἰς Ἄραβας. Οὗτος οὖν πρός τισιν ἄλλαις καὶ τὴν περὶ φυτῶν τήνδε βίβλον μεθερμηνεύει, κἀκ τῶν λογικῶν Ἀραβικῶν λειμώνων ὅσα καὶ φυτὸν εὐγενὲς εἰς τὰς Ἰταλικὰς μετακηπεύει φυταλιάς. Ἔχαιρε γοῦν Ἰταλὸς ἐπὶ τούτῳ, καὶ τὰ μεγάλα ἐκόμπαζεν· ταῖς Ἀριστοτελικαῖς γὰρ φιλοτιμεῖσθαι βίβλοις ὑπὲρ πάντας βρενθύεται· καὶ τοσοῦτον ἐνεκαυχᾶτο τῷ χρήματι, Ξέρξης οὐχ ἧττον ἐκεῖνος εἰς ἣν ὑπεσκιάσθη καὶ ἣν χρυσέαν ἔδειξε πλάτανον. Ἦλθον εἰς ἐπιθυμίαν (μακρὸς ἐξότου χρόνος) κἀγὼ τοῦ φυτοῦ· λόγοι γάρ μοι τῶν τοῦ κόσμου πάντων χρῆμα τὸ τιμιώτατον. Ἐπόθουν ἐμφορηθῆναι τῶν τούτου καρπῶν, τῶν νοημάτων εἰς ἕξιν ἐλθεῖν. Ἐψυχαγώγει μοι τὴν ἐπιθυμίαν ἐλπίς, καὶ τὴν ἐλπίδα πάλιν εὐχὴ διεδέχετο. Ἀλλὰ μέχρι πολλοῦ τὰ τῆς ἐπιθυμίας ἀτέλεστα, ἡ ἐλπὶς καὶ μόνον ἐλπίς· τὰ δὲ τῆς εὐχῆς ἐπετείνετο. Τί δ' ἡ τῶν ἀγαθῶν ἁπάντων παντελὴς αἰτία καὶ ὑπερτελὴς καὶ προτέλειος; ἠρεμίαν τῇ ἐπιθυμίᾳ χορηγεῖ, τῇ ἐλπίδι πέρας, καὶ τὰ τῆς αἰτήσεως τῇ εὐχῇ. Ἰταλὸς γάρ τις ἔκποθεν ἡμῖν αἰφνιδίως ἀναφανείς, ἱκανῶς ἔχων λογικῆς παιδείας καὶ γνώσεως, πρόσεισιν ὡς ἡμᾶς, ἀσπάζεται χαριέντως, τὰ φιλικὰ προσλαλεῖ, εἶτα τὴν ποθουμένην βίβλον ἡμῖν ἐγχειρίζεται. Ηὐφράνθην ἐγὼ ὡς ἐφ' ἑρμαίῳ τῷ χρήματι, ἐδεξάμην τὴν βίβλον ἐκθύμως, ὅλος αὐτῆς ἐγενόμην, τὸν ἐγκείμενον νοῦν ἀνελεξάμην ἐπιμελῶς, καὶ οἷον ὡς ἐν ἐσόπτρῳ τῇδε ἐκ πρώτης αὐτῆς βαλβῖδος τὸν Ἀριστοτέλην ἔγνων καὶ τοὺς Ἀριστελικοὺς κατὰ τῶν πάλαι φιλοσοφούντων ἀντιλογικοὺς ἐτασμούς. Ἀδικεῖν δ' ᾠήθην μὰ τοὺ-

PRÆFATIO

INTERPRETIS LIBRI DE PLANTIS

ARISTOTELIS.

(814.)

Ad semper florens philosophiæ Aristotelicæ pratum instar nobilium plantarum multi pullulant codices, omnimodos quidem proferentes fructus quibus spectemus, uberes vero et quibus nobis comparemus (hanc philosophiam). Erat præter reliquos et de plantis tractatus, ceu nobilis planta, parvus quidem, sed multis scatens leporibus pulcherrimisque proventibus sermonum amatores salutans, non loquor de nostratibus solum quippe illustrissimis, rebusque doctrinam spectantibus eminentibus, sapientia nemini æquiparandis et intellectu Ausonibus, verum et de regionis Italicæ incolis, nec de his solum, sed etiam de omnibus quotcumque ejusmodi viros nutrire novit felicum Arabum et Indorum regio : frequens enim librorum suorum desiderium cujuscumque regionis philosophis injecit summus Stagirita philosophus. Verum hæc planta nescio quomodo, apud nos non solum perpessa est tabem, ad pejus forsan quamdam mutationem, qualem efficere solet ætas, sed radicitus factam exstirpationem atque ad nihilum demigrationem, perinde ac si numquam novisset hortulanum, neque in lucem prodiisset. Eadem expertus est Italus, per longum temporis spatium nobiscum his opibus viduatus. Arabibus solis cognita erat solique affatim ejus fructibus perfruebantur. At vir quidam natione quidem Celta, sed ad tantum Italorum sapientiæ gradum pervectus, ut inter primates nemini cederet, deinde exiguum hoc, etiamsi tanta sit res, apud sese reputans, nisi Arabum quoque scientiæ una cum Latinis fieret particeps pulcherrimasque facultates excoleret, totus negotio incumbit, consiliumque ad finem usque persequi ac quovis modo voti compos fieri decernit. Peregre jam profectus est, Arabibus utitur præceptoribus ac studio ingenuam indolem æquiparans tantam doctrinam feliciter sibi comparasse dicitur ut cum Arabum scripta ad Italos, tum Italorum ad Arabes transvehere posset. Hic itaque præter quædam alia et hunc de plantis librum interpretatur atque e doctis Arabum pratis, utpote nobilem plantam, in Italicos transplantat hortos. Italus igitur de re gavisus est maximeque exsultabat : Aristotelicorum enim librorum æmulatione se omnes superare jactabat ac tantumdem de re gloriabatur, quantum Xerxes ille de platano qua obumbrabatur quamque auream esse ostendebat. Me quoque jamdiu abhinc plantæ incessit cupido; sermones enim omnium in mundo rerum apud me maximo habentur honore. Cupiebam fructibus ejus satiari sententiarumque in potestatem venire. Fovebat mihi cupidinem spes, atque spem rursus preces excipiebant. Verum diu cupido finem attingere nequivit atque spes tantummodo spes erat, precesque augebantur. Quid tandem omnium bonorum plenaria, modum excedens ac præcidanea fuit causa? quietem affert cupidini, spem voti compotem facit, precibus quæ expetebant, subministrat : Italus enim quidam undecumque nobis subito apparens, sufficienter rationali disciplina scientiaque instructus nos adit, comiter excipit, amice adloquitur, deinde librum concupitum nobis in manus tradit. Gavisus sum de re tamquam de lucro insperato librumque alacriter accepi, totus ei me tradidi, sententiam quam continebat, sedulo perlegi, et quasi in speculo hoc a primo inde limine Aristotelem cognovi Aristotelicasque adversus priscos philosophos controversiosas castigationes. Injuriam me intulisse, per libros, putassem cum ipsis libris,

λόγους, τοὺς λόγους αὐτοὺς καὶ τοὺς αὐτῶν ἐραστάς, καὶ γραφῆναι βασκάνου ψυχῆς ηὐλαβήθην, ἂν μὴ ταύτην ἱκανῶς ἔχων ὑπὸ τῆς ἄνωθεν χάριτος πρὸς τὴν Ἑλλάδα μεθερμηνεύσαιμι γλῶτταν καὶ ταῖς λοιπαῖς Ἀριστοτελικαῖς δέλτοις δείξαιμι συναρίθμιον. Τῷ τοι καὶ σὺν θεῷ τὸ ἔργον διήνυσα, καὶ εἰς κοινὴν προὐθέμην τὴν βίβλον τοῖς αἱρουμένοις ἀπόλαυσιν, πολλὴν εὑρὼν τὴν δυσχέρειαν καὶ τὴν τῶν ὀνομάτων σύγχυσιν διὰ τὰς συχνὰς τῶν μεθερμηνεύσεων μεταβολὰς ἐκ τῆς ἡμετέρας εἰς τὴν τῶν Ἰταλῶν, εἰς τοὺς Ἄραβας ἐκεῖθεν, καὶ πάλιν ἐξ Ἀράβων εἰς Ἰταλούς, καὶ εἰς ἡμᾶς ἐκ τούτων ἐπ' ἔσχατον· οὐ γὰρ διπρόσωπος, ὅσον ἐπὶ ταύτῃ τῇ βίβλῳ, ὁ Σταγειρίτης ὤφθη κατὰ τὸν θρυλλούμενον Ἰάνον ἐκεῖνον, ὃν καὶ εἰς χρόνον ἄγει λόγος ἰσχνός, ἀλλὰ πολύμορφος κατὰ τὸν Πρωτέα τὸν Φάριον. Ἐπεὶ δὲ πᾶσα δέλτος ἐκ μιᾶς πρὸς ἑτέραν μεταφερομένη διάλεκτον ἢ κατὰ λέξιν, ἢ κατ' ἔννοιαν προχωρεῖ, καὶ ἡ μὲν ὑστέρα τὸ σαφὲς ἔχουσα τοῦ ἀκριβοῦς ἀπολείπεται, ἡ δ' ἑτέρα καὶ προτέρα προσόντος τοῦ ἀκριβοῦς εἰς ἀσάφειαν καταστρέφεται, ἡμεῖς ὡς ἀσφαλεστέρῳ τούτῳ τῷ μέρει καὶ ἀδιαβλήτῳ στοιχοῦντες, καθὼς καὶ ἐν ἑτέραις πεποιήκαμεν δέλτοις, τῆς ἀκριβείας ἐχόμεθα. Ἵνα δὲ μὴ φαινοίμεθα καὶ χώραν τῇ ἀσαφείᾳ διδόντες, ἣν κακίαν παντελῆ τοῖς λόγοις ἐγνώκαμεν, ἐπανερμηνείαις τισὶ καὶ σχολικαῖς παρασημειώσεσιν, εἴ τι που ἐκ τῆς ἀσαφείας ἄχαρι καὶ ἀτερπές, ἐψυχαγωγήσαμεν, κἀκ τῆς σκληρᾶς καὶ τραχείας τοὺς λογικοὺς ὁδίτας εἰς τὴν λείαν τε καὶ πλατεῖαν ἐχειραγωγήσαμεν, καὶ τῷ ὑπὲρ ἡμᾶς τὴν εὐχαριστίαν καὶ τήν, ὡς εἰκός, ἀνθομολόγησιν ἀπενείμαμεν· τοῦτο γὰρ ἀφ' ἡμῶν ἀπαιτεῖ τῶν ὑπὸ χεῖρα ὁ μόνος σοφὸς καὶ δυνατὸς θεὸς κατὰ τὸν θεῖον ἀπόστολον· τίνος γὰρ ἄλλου δεῖται παρ' ἡμῶν, ὅς διά τινος τῶν προφητῶν περὶ ἑαυτοῦ λέγει « τὸν οὐρανὸν πληρῶ καὶ τὴν γῆν, » καὶ οὗ ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς, κατὰ τὸν Δαβίδ, καὶ μεθ' οὗ πᾶς ἀγρὸς παντοίοις ὡραϊσμένος φυτοῖς;

tum eorum amatoribus, atque animi invidi accusari metuissem, nisi hunc librum, quo divinæ gratiæ beneficio ipse affatim fruerer, in Græcam linguam transtulissem atque ceteris codicibus Aristotelicis adnumerandum esse ostendissem. Idcirco igitur, nec non adjuvante deo, opus perfeci atque in publicum proposui librum omnibus eo perfrui cupientibus, multamque inveni difficultatem atque nominum confusionem propter frequentes translationum vices, e nostra lingua in Italicam, inde in Arabicam, ex Arabico rursus in Italam, ac postremo ex hac in nostram : neque enim duplicem tantummodo faciem, quantum ad hunc librum attinet, præ se ferre conspiciebatur Stagirita, Jani instar illius pervulgati, quem ad tempus quoque refert inepta traditio, sed multiformis esse ad modum Protei Pharii. Quum autem quivis codex, ubi ex una lingua ad alteram traducitur, vel ad verbum, vel ad sententiam procedit, atque hæc quidem ratio, etiamsi perspicuitate prædita accurationis respectu deficit, altera vero quam primam nominavi, quamvis accurationem habeat, ad obscuritatem deflectitur, nos ab hac parte tamquam tutiori ac criminis experta incedentes, quemadmodum et circa reliquos codices feceramus, accurationi studuimus. Ne autem locum dare videremur obscuritati, quam absolutum librorum esse vitium cognovimus, interpretationum quarumdam adnotationumque quales in scholis fieri solent, cumulo eam, si quid forsan ex obscuritate redundaret ingrati vel injucundi, demulsimus et manu doctos viatores ex aspera et salebrosa via in planam latamque traduximus, eique qui super nos est, grati animi documentum votique ratihabitionem, ut par est, retulimus : hoc enim a nobis ex iis quæ præsto sunt, petit solus sapiens ac potens deus secundum divinum apostolum : quo enim alio ei a nobis opus est, qui verbis prophetarum alicujus de se ipso dicit : cœlum impleo atque tellurem, atque ad quem pertinent orbis terrarum et quæ eum implent, secundum David, et quocum omnis ager cujusvis generis exornatur plantis.

ΠΕΡΙ ΦΥΤΩΝ

ΒΙΒΛΙΟΝ Α.

DE PLANTIS

LIBER I.

CAP. I.

Ἡ ζωὴ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς εὑρέθη, ἀλλ' ἐν μὲν τοῖς ζῴοις φανερὰ καὶ πρόδηλος, ἐν τοῖς φυτοῖς δὲ κεκρυμμένη καὶ οὐκ ἐμφανής. Εἰς τὴν ταύτης γοῦν βεβαίωσιν πολλὴν ἀνάγκη ἐστὶ ζήτησιν προηγήσασθαι· συνίσταται γάρ, πότερον ἔχουσιν, ἢ οὐχί, τὰ φυτὰ ψυχὴν καὶ δύναμιν ἐπιθυμίας, ὀδύνης τε καὶ ἡδονῆς καὶ διακρίσεως. Ἀναξαγόρας μὲν οὖν καὶ Ἐμπεδοκλῆς ἐπιθυμίᾳ ταῦτα κινεῖσθαι λέγουσιν, αἰσθάνεσθαί τε καὶ λυπεῖσθαι καὶ ἥδεσθαι διαβεβαιοῦνται· ὧν ὁ μὲν Ἀναξαγόρας καὶ ζῷα εἶναι καὶ ἥδεσθαι καὶ λυπεῖσθαι εἶπε, τῇ τ' ἀπορροῇ τῶν φύλλων καὶ τῇ αὐξήσει τοῦτο ἐκλαμβάνων, ὁ δ' Ἐμπεδοκλῆς γένος ἐν τούτοις κεκραμένον εἶναι ἐδόξασεν. Ὡσαύτως καὶ ὁ Πλάτων ἐπιθυμεῖν μόνον αὐτὰ διὰ τὴν σφοδρὰν τῆς θρεπτικῆς δυνάμεως ἀνάγκην ἔφησεν· ὃ ἐὰν συσταίη, ἥδεσθαι ὄντως αὐτὰ καὶ λυπεῖσθαι αἰσθάνεσθαί τε σύμφωνον ἔσται. Ἂν δὲ συσταίη τοῦτο, τῷ ἐπιθυμεῖν, εἰ καὶ ἀεὶ τῷ ὕπνῳ ἀνακτῶνται καὶ ἐγείρονται ταῖς ἐγρηγόρσεσι, σύμφωνον ἔσται· ὡσαύτως καὶ ἐὰν ζητήσωμεν, εἰ πνοὴν καὶ γένος ἐκ συγκράσεως ἔχουσιν, ἢ τὸ ἐναν-

Vita in animalibus et plantis inventa est, in animalibus manifesta apparens, in plantis vero occulta, non evidens : ad hujus enim assertionem multam necesse est inquisitionem præcedere : constaret enim, utrum habeant, nec ne, plantæ animam et virtutem desiderii dolorisque et delectationis discretivam. Anaxagoras autem et Abrucalis desiderio eas moveri dicunt, sentire quoque et tristari delectarique asserunt : quorum Anaxagoras animalia esse has, lætarique et tristari dixit, fluxum foliorum argumentum assumens; Abrucalis autem sexum in his permixtum opinatus est. Plato siquidem desiderare tantum eas propter vehementem nutrimenti necessitatem ait : quod si constet, gaudere quoque et tristari, sentireque eas, consequens erit. Id quoque constare desiderem, an somno reficiantur excitenturque vigiliis, spiritum quoque et sexuum permixtionem sexumque habeant, vel contra.

τίον, πολλὴν ἂν τὴν περὶ τούτου ἀμφιβολίαν καὶ μακρὰν ποιήσωμεν τὴν ζήτησιν. Τὸ δὲ τὰ τοιαῦτα παραλιμπάνειν καὶ μὴ εὐαναλώτοις περὶ τὰ καθ' ἕκαστον ἐρεύναις ἐνδιατρίβειν πρέπον ἐστίν. Τινὲς δ' ἔχειν ψυχὰς τὰ φυτὰ εἶπον, ὅτι γεννᾶσθαι, τρέφεσθαι καὶ αὐξάνεσθαι, νεάζειν καὶ χλοάζειν γήρᾳ τε διαλύεσθαι τεθεωρήκασιν, ἐπείπερ οὐδὲν ἄψυχον ταῦτα μετὰ τῶν φυτῶν ἔχει κοινά· διότι δ' ἔχουσι ταῦτα τὰ φυτά, καὶ τὸ ἐπιθυμίᾳ ὡσαύτως κατέχεσθαι ἐπίστευον.

Multa autem circa hæc ambiguitas longam facit inquisitionem. Hæc siquidem prætermittere, nec dispendiosis circa singula perscrutationibus immorari opportunum. Quidam autem habere animas has dixerunt, quia generari, nutriri, augeri, virescere juventute, senioque dissolvi conspexerunt, quum nullum inanimatum hæc cum plantis habeat communia. Quæ si habuerint plantæ, desiderio quoque affici credebant.

CAP. II.

Ἀλλὰ πρῶτον τοῖς φανεροῖς, εἶτα καὶ τοῖς κεκρυμμένοις ἀκολουθήσωμεν. Λέγομεν τοίνυν ὡς ἐὰν εἴ τι τρέφεται, ἤδη καὶ ἐπιθυμεῖ, καὶ ἡδύνεται μὲν τῷ κόρῳ, λυπεῖται δ' ὅτε πεινᾷ· καὶ οὐκ ἐμπίπτουσιν αὗται αἱ διαθέσεις εἰ μὴ μετὰ αἰσθήσεως. Τούτου ἄρα θαυμάσιος μέν, οὐ μὴν φαῦλος πλανᾶται σκοπός, ὃς καὶ τὰ φυτὰ αἰσθάνεσθαι καὶ ἐπιθυμεῖν ἐδόξασεν· ὁ δ' Ἀναξαγόρας καὶ ὁ Δημόκριτος καὶ ὁ Ἐμπεδοκλῆς καὶ νοῦν καὶ γνῶσιν εἶπον ἔχειν τὰ φυτά· ἡμεῖς δὲ τὰ τοιαῦτα ὡς φαῦλα ἀποτρεπόμενοι τῷ ὑγιεῖ ἐνστῶμεν λόγῳ. Λέγομεν οὖν ὅτι τὰ φυτὰ οὔτε ἐπιθυμίαν, οὔτ' αἴσθησιν ἔχουσιν· ἡ γὰρ ἐπιθυμία οὐκ ἔστιν εἰ μὴ ἐξ αἰσθήσεως, καὶ τὸ τοῦ ἡμετέρου δὲ θελήματος τέλος πρὸς τὴν αἴσθησιν ἀποστρέφεται. Οὐχ εὑρίσκομεν γοῦν ἐν τοῖς τοιούτοις αἴσθησιν, οὔτε μέλος αἰσθανόμενον, οὔθ' ὁμοιότητα αὐτοῦ, οὔτ' εἶδος διωρισμένον, οὔτε τι ἀκόλουθον τούτῳ, οὔτε τοπικὴν κίνησιν, οὔθ' ὁδὸν πρός τι αἰσθητόν, οὔτε σημεῖόν τι δι' οὗ ἂν κρίνωμεν ταῦτα αἴσθησιν ἔχειν, καθὼς σημεῖα δι' ὧν ἐπιστάμεθα ταῦτα καὶ τρέφεσθαι καὶ αὐξάνεσθαι εὑρίσκομεν. Οὐδὲ συνίσταται παρ' ἡμῶν τοῦτο εἰ μὴ διότι τὸ θρεπτικὸν καὶ αὐξητικὸν νοοῦμεν μέρη εἶναι τῆς ψυχῆς. Ὁπόταν γοῦν τὸ τοιοῦτον φυτὸν εὑρίσκωμεν, τὶ μέρος ψυχῆς τοιαύτης ἐν ἑαυτῷ ἔχον ἐξ ἀνάγκης νοοῦμεν καὶ ψυχὴν ἔχειν αὐτό· ὅτε δὲ στερεῖται αἰσθήσεως, τότε αἰσθητικὸν αὐτὸ μὴ εἶναι μὴ ἐγχωρεῖν οὐ δεῖ· ἡ γὰρ αἴσθησις αἰτία ἐστὶν ἐλλάμψεως ζωῆς, τὸ δὲ θρεπτικὸν αἰτία ἐστὶν αὐξήσεως πράγματός τινος ζῶντος.

Primo ergo manifesta, mox occulta prosequamur. Dico ergo : quicquid cibatur, desiderat et delectatur saturitate, tristaturque quum esurierit; et non accidunt hæ dispositiones nisi cum sensu. Hujus igitur mirabilis, non tamen fœda erat intentio, qui eas sentire et desiderare opinabatur. Anaxagoras autem et Democritus et Abrucalis illas intellectum intelligentiamque habere dicebant; nos vero, hæc ut fœda repudiantes, sano insistamus sermoni. Dico ergo, quod plantæ nec sensum habent, nec desiderium : desiderium enim non est nisi ex sensu, et nostræ voluntatis finis ad sensum convertitur. Nec invenimus in eis sensum, nec membrum sentiens, nec similitudinem ejus, nec formam terminatam, nec consecutionem rerum, nec motum, nec iter ad aliquid sensatum, nec signum aliquod, per quod judicemus illas sensum habere, sicut signa, per quæ scimus, eas nutriri et crescere. Nec constat hoc nobis, nisi quia nutrimentum et augmentum partes sunt animæ. Quumque plantam talem invenimus, aliquam partem animæ illi inesse necessario intelligimus sensu que careat; tunc sensatum esse, concedere non oportet, quia sensus est causa illustrationis vitæ, nutrimentum vero causa est augmenti rei vivæ.

CAP. III.

Αὗται δ' αἱ διαφοραὶ προβαίνουσιν ἐν τῷ τόπῳ τούτῳ, ὅτι δυσχερὲς ἐν ταὐτῷ μεταξὺ ζωῆς καὶ τῆς στερήσεως αὐτῆς μέσον τι καταλαβεῖν. Εἴποι δέ τις ἂν ὡς ἐπεὶ τὸ φυτὸν ζῶν ἐστιν, ἤδη τοῦτο καὶ ζῷον εἴποιμεν ἄν. Οὐδαμῶς· καὶ γὰρ δυσχερές ἐστι τὴν διοίκησιν τοῦ φυτοῦ ἀποδιδόναι τῇ διοικήσει τῆς ψυχῆς τοῦ ζῴου· τὸ γὰρ τὰ φυτὰ τοῦ ζῆν ἀποφάσκον οὕτως, τοῦτό ἐστιν ὅτι οὐκ αἰσθάνονται· καὶ γάρ εἰσι καί

Hæ autem diversitates proveniunt suo loco : difficile nimirum inter vitam et ejus privationem medium apprehendere. Dicet quoque aliquis, plantam, si sit vivens, esse animal : namque difficile est, vitæ plantarum regimen assignare præter regimen vitæ altricis. Qui autem plantas vivere negant, est, quod non sentiunt, quia sunt

τινα ζῷα γνώσεως ἐστερημένα. Ἐπεὶ δ' ἡ φύσις τὴν τοῦ ζῴου ζωὴν ἐν τῷ θανάτῳ φθείρουσα, πάλιν ἐν τῷ ἰδίῳ γένει ταύτην διὰ γενέσεως συντηρεῖ, πάντη ἀσύμφωνόν ἐστιν ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου ἄλλο τι μέσον τιθῶμεν. Ἐπιστάμεθα δ' ὅτι καὶ τὰ κογχύλιά εἰσι ζῷα, γνώσεως ἐστερημένα, διότι εἰσὶ φυτὰ ἐν ταὐτῷ καὶ ζῷα. Μόνη ἄρα ἡ αἴσθησίς ἐστιν αἰτία δι' ἣν ταῦτα λέγονται ζῷα· τὰ γὰρ γένη διδόασι τοῖς οἰκείοις εἴδεσιν ὀνόματα καὶ ὁρισμούς, τά τ' εἴδη τοῖς οἰκείοις ἀτόμοις ὀνόματα. Δεῖ τε τὸ γένος ἐκ μιᾶς καὶ κοινῆς αἰτίας εἶναι ἐν τοῖς πολλοῖς, καὶ οὐκ ἐκ πολλῶν, ὁ λόγος δὲ τῆς αἰτίας, δι' ἣν βεβαιοῦται τὸ γένος, οὐ τῷ τυχόντι ἐστὶ γνώριμος. Πάλιν εἰσὶ ζῷα ἅπερ στεροῦνται γένους θήλεος, ἕτερα ἅπερ οὐ γεννῶσιν, ἕτερα ἅπερ κίνησιν οὐκ ἔχουσιν, καί εἰσιν ἄλλα διαφόρων χρωμάτων, καί εἰσί τινα ἃ ποιοῦσι τόκον ἑαυτοῖς ἀνόμοιον, εἰσί τ' ἄλλα ἃ αὐξάνουσιν ἐκ τῆς γῆς ἢ ἐκ δένδρων.

quædam animalia sapientia et intellectu carentia. Natura tamen, alimalis vitam in morte corrumpens, ipsam in genere suo per generationem conservat; estque inconveniens, ut inter animatum et inanimatum medium ponamus. Scimus autem, quod conchylia animalia sunt sapientia et intellectu carentia, suntque plantæ et animalia. Solus ergo sensus est causa, quare illa dicuntur animalia, quia genera dant suis speciebus nomina et definitiones, species vero suis individuis nomina. Debetque genus ex una causa esse in multis, et non ex multis; intentio autem causæ, per quam confirmatur genus, non cuilibet est pervia. Sunt autem animalia, quæ sexu carent femineo, et sunt quæ non generant, suntque quæ motum non habent, et sunt quædam diversorum colorum, et sunt quæ faciunt prolem sibi dissimilem, et sunt quæ ex terra vel arboribus crescunt.

CAP. IV.

Τίς οὖν ἐστιν ἡ ἀρχὴ ἡ ἐν τῇ ψυχῇ τοῦ ζῴου; τί ἄλλο εἰ μὴ τὸ εὐγενὲς ζῷον, ὃ τὸν οὐρανὸν περιοδεύει, τὸν ἥλιον, τὰ ἄστρα καὶ τοὺς πλάνητας, τὰ ἀπὸ τῆς ἐνειρμένης ἐξωτερικὰ ἀμφιβολίας, ἃ δὴ καὶ ἀπαθῆ εἰσιν; ἡ γὰρ αἴσθησις τῶν αἰσθανομένων πάθος. Ἰστέον δὲ καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ κίνησιν ἐξ ἑαυτῶν· τῇ γὰρ γῇ εἰσι πεπηγότα, ἡ δὲ γῆ ἀκίνητός ἐστιν. Συλλογισόμεθα τοίνυν πόθεν ἂν ταύτῃ ζωήν, ἵνα ποιήσωμεν καὶ αὐτὰ αἰσθητικά; οὐ γὰρ περιέχει ταῦτα ἓν πρᾶγμα κοινόν. Λέγομεν δ' ὅτι τῆς ζωῆς τῶν ζῴων κοινή ἐστιν αἰτία ἡ αἴσθησις, αὕτη δὲ ποιεῖ διάκρισιν μέσον ζωῆς καὶ θανάτου. Ὁ οὐρανὸς δ' ἐπεὶ ἔχει διοίκησιν εὐγενεστέραν καὶ ἀξιολογωτέραν τῆς ἡμετέρας διοικήσεως, ἀπεμακρύνθη τούτων. Δεῖ τοίνυν, ἵνα τὸ ζῷον τὸ τέλειον καὶ τὸ ἠλαττωμένον ἔχῃ τι κοινόν, καὶ τοῦτό ἐστιν ὁ σκοπὸς τῆς ζωῆς. Τῇ ταύτης γοῦν στερήσει δεῖ ἵνα πᾶς τις ἀποχωρῇ τῶν τοιούτων ὀνομάτων, ὅτι οὐκ ἔστι μέσον· ἡ δὲ ζωή ἐστι μέσον· τὸ γὰρ ἄψυχον οὐκ ἔχει ψυχήν, οὐδέ τι τῶν μερῶν αὐτῆς. Τὸ δὲ φυτὸν οὐκ ἔστιν ἐκ τῶν στερουμένων ψυχῆς, ὅτι ἐν αὐτῷ ἐστί τι μέρος ψυχῆς, ἀλλ' οὐκ ἔστι ζῷον, ὅτι οὐδ' αἴσθησις ἐν αὐτῷ· ἐξέρχεται δ' ἐκ ζωῆς εἰς μὴ ζωὴν κατὰ βραχύ, ὡς καὶ τὰ καθ' ἕκαστον. Δυνάμεθα δὲ καὶ ἄλλως λέγειν, ὅτι ἐστὶν ἔμψυχον τὸ φυτόν, καὶ οὐ λέγομεν ὅτι ἄψυχον. Εἰ ἔχει δὲ ψυχήν, οὐ λέγομεν ὅτι καί τινα ἤδη ἔχει αἴσθησιν· πρᾶγμα γὰρ τὸ τρεφόμενον οὐκ ἔστιν ἄνευ ψυχῆς. Πᾶν δὲ ζῷον ἔχει ψυχήν· τὸ δὲ φυτόν ἐστιν ἀτελὲς πρᾶγμα. Πάλιν τὸ ζῷον ἔχει μέλη διωρισμένα, τὸ φυτὸν ἀδιόριστα, ἔχει δ' ὕλην οἰκείαν κινήσεως, ἣν ἔχει ἐν ἑαυτῷ. Πάλιν δυνάμεθα λέγειν τὰ φυτὰ ψυχὴν ἔχειν, ὅτι ψυχή ἐστιν ἡ ποιοῦσα ἐν αὐτοῖς γεννᾶσθαι τὰς κινήσεις, ἐπιθυμία δὲ καὶ κίνησις ἡ ἐν τόποις οὐκ ἔστιν εἰ μὴ μετὰ αἰσθή-

Quid ergo est principium vitæ animalis, quidve animal nobile, ut quod circuit cœlum, solem et stellas planetas, ab intricata extrahet ambiguitate? Impassibilia enim sunt, sensus vero sentientis passio. Non autem habet planta motum ex se : terræ enim affixa est; hæc autem immobilis. Unde ergo syllogizabimus, ei vitam ut faciamus, aliquid verisimile? Non enim continet illas res una communis. Dicimus ergo, quod vitæ animalis commune est sensus, quia sensus facit discretionem inter vitam et mortem; sed cœlum, quum habeat regimen nobilius et dignius nostro regimine, elongatum est ab his. Oportet autem, ut animal perfectum et diminutum habeant aliquid commune, et hoc est intentio vitæ et ejus privatio. Nec oportet, ut quisquam recedat ab his nominibus, quia non est medium inter animatum et inanimatum, nec inter vitam et ejus privationem; sed inter inanimatum et vitam est medium, quia inanimatum est quod non habet animam, nec aliquam partem ipsius. Sed planta non est de his quæ carent anima, quia in illa est aliqua pars animæ; et non est animal, quia in illa non est sensus; et exit de vita ad non vitam paulatim ut singula. Possumus etiam alio modo dicere, quod est animatum, et non dico tamen, quod sit inanimatum : si habuerit animam, et aliquem sensum, quia res quæ cibatur, non est sine anima. Et omne animal habet animam, sed planta est res imperfecta, et animal habet membra determinata, et planta indeterminata, et habet planta naturam propriam ex motu quem habet in se. Potestque dicere aliquis, quod habet animam, quia anima est quod facit motus nasci in locis et desideria, et motus in locis non erunt nisi cum sensu,

σεως. Πάλιν τὸ ἕλκειν τροφήν ἐστιν ἐξ ἀρχῆς φυσικῆς, καὶ τοῦτ' αὐτό ἐστι τὸ κοινὸν ζῴου καὶ φυτοῦ· οὐκ ἔσται δὲ φροντὶς ἐπὶ τῇ ἑλκύσει τῆς τροφῆς αἰσθήσεως τὸ παράπαν, ὅτι πᾶν τὸ τρεφόμενον χρῄζει ἐν τῇ οἰκείᾳ τροφῇ δύο ποιοτήτων τινῶν, θερμότητός φημι καὶ ψυχρότητος, καὶ διὰ τοῦτο δεῖται τροφῆς ὑγρᾶς ὁμοίως καὶ ξηρᾶς· ἡ δὲ θερμότης καὶ ἡ ψυχρότης εὑρίσκεται ἐν βρώμασι ξηροῖς καὶ ὑγροῖς· οὐδεμία δὲ τῶν τοιούτων φύσεων χωρίζεται τῆς συμμετόχου αὐτῆς· διὰ τοῦτο γὰρ καὶ πρώτως ἐγένετο ἡ τροφὴ τῷ τρέφοντι συνεχὴς ἕως καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς φθορᾶς, καὶ ὀφείλουσι χρῆσθαι ταύτῃ τὸ ζῷον καὶ τὸ φυτὸν τοιαύτῃ ὁποῖόν ἐστιν ἑκάτερον αὐτῶν.

sed attrahere cibum erit ex principio naturali, et illud commune est animali et plantæ; et non erit cum attractione cibi sensus omnino, quia omne cibabile utitur in sua cibatione duabus rebus, scilicet calore et frigore. Et proprie eget animal cibo humido et cibo sicco, quia frigiditas inventa est in cibo sicco, quia nulla istarum duarum naturarum separatur a socio suo. Et ideo factus est cibus cibanti continuus usque ad horam corruptionis, et debent uti animal et planta tali, quale est illud.

CAP. V.

Διερευνήσωμεν οὖν καὶ τοῦτο, ὃ προηγήσατο ἐν τῷ ἡμετέρῳ λόγῳ, περὶ ἐπιθυμίας φυτοῦ καὶ κινήσεως αὐτοῦ καὶ ψυχῆς ἰδίας, καὶ εἴ τι ἀναλύεται ἀπ' αὐτοῦ τοῦ φυτοῦ, ὅσον εἰς πνοήν· Ἀναξαγόρας γὰρ εἶπε ταῦτα ἔχειν καὶ πνοήν. Καὶ πῶς, εἴπερ εὑρίσκομεν πολλὰ ζῷα μὴ ἔχοντα πνοήν; Καὶ πάλιν εὑρίσκομεν ἀκριβῶς ὅτι τὰ φυτὰ οὔθ' ὑπνώττουσιν, οὔτε γρηγοροῦσιν· τὸ γὰρ γρηγορεῖν οὐδέν ἐστιν εἰ μὴ ἀπὸ διαθέσεως τῆς αἰσθήσεως, τὸ δ' ὑπνώττειν οὐδὲν εἰ μὴ ἀσθένεια αὐτῆς, καὶ οὐχ εὑρίσκεταί τι τούτων ἐν πράγματι τρεφομένῳ μὲν πάσαις ὥραις κατὰ διοίκησιν μίαν, ἐν τῇ οἰκείᾳ δὲ φύσει μὴ αἰσθανομένῳ. Τὸ γὰρ ζῷον ὅτε τρέφεται, τί συμβαίνει; τὸ ἀναβαίνειν ἀναθυμίασιν ἀπὸ τῆς τροφῆς πρὸς τὴν κεφαλὴν αὐτοῦ, καὶ ὑπνώττειν ἐντεῦθεν πάντως, καὶ ὅταν καταναλωθῇ ἡ ἀναθυμίασις ἡ ἀναβαίνουσα πρὸς τὴν κεφαλήν, τότε γρηγορεῖ. Ἔν τισι δὲ τῶν ζῴων ἐστὶν αὕτη ἡ ἀναθυμίασις πολλή, καὶ τέως ὀλίγον ὑπνώττουσιν. Ὁ δὲ νυσταγμός ἐστι συνοχὴ τῆς κινήσεως, ἡ δὲ συνοχὴ πάλιν ἠρεμία πράγματος κινουμένου.

[II]. Perscrutemur ergo nunc id quod præcessit in sermone nostro, de desiderio plantæ et motu ejus et anima sua, et quod resolvitur ab ea. Et non habet planta spiritum, licet Anaxagoras dixerit, ipsam habere spiritum; et jam invenimus multa animalia quæ non habent spiramen. Et invenimus visibiliter, quod plantæ non dormiunt, nec vigilant, quia vigilare est de effectu sensus, et dormire est debilitas sensus, et non invenitur aliquod horum in re quæ vegetatur in omnibus horis secundum dispositionem unam et ipsa in natura sua est non sentiens. Et quando cibatur animal, ascendit vapor a cibo ejus ad caput, et dormit; et quando consumitur vapor ascendens ad caput, vigilat. Et in quibusdam animalibus est hic vapor multus, quæ tamen parum dormiunt. Et dormitatio est comprehensio motus, et compressio est quies rei motæ.

CAP. VI.

Ὃ δὲ μάλιστα καὶ κυρίως ἐστὶ ζητητέον ἐν ταύτῃ τῇ ἐπιστήμῃ, τοῦτό ἐστιν ὅπερ εἶπεν ὁ Ἐμπεδοκλῆς, ἤγουν εἰ εὑρίσκεται ἐν τοῖς φυτοῖς γένος θῆλυ καὶ γένος ἄρρεν, καὶ εἰ ἔστιν εἶδος κεκραμένον ἐκ τούτων τῶν δύο γενῶν. Λέγομεν τοίνυν ὅτι τὸ ἄρρεν, ὅτε γεννᾷ, εἰς ἄλλο γεννᾷ, καί εἰσιν ἄμφω κεχωρισμένα ἀπ' ἀλλήλων. Ἐπεὶ γοῦν εὑρίσκεται ἐν τοῖς φυτοῖς ὅτι ἔχει τὰ φυτὰ γένος ἄρρεν καὶ θῆλυ, καὶ πάντως τὸ μὲν ἄρρεν ἐστὶ τραχύτερον καὶ σκληρότερον καὶ μᾶλλον φρίσσον, τὸ δὲ θῆλυ ἀσθενέστερον καὶ καρποφόρον πλέον, πάλιν ὀφείλομεν ζητεῖν, πότερον εὑρίσκονται ταῦτα τὰ δύο γένη κεκραμένα ἅμα ἐν τοῖς φυτοῖς, ὡς εἶπεν Ἐμπεδοκλῆς. Ἀλλ' ἐγὼ οὐχ ὑπολαμβάνω

Et quod maxime et proprie inquirendum in hac scientia, est quod dixit Abrucalis, videlicet si invenitur in plantis sexus femineus et sexus masculinus, sive species commixta ex his duobus sexubus? Sed dicimus, sicut diximus quia masculus, quando generat, in aliud generat, et femina, quando generat, ab alio generat, et sunt ambo separati ab invicem, et illud non invenitur in plantis, quia quælibet species plantæ masculinæ, quod erit ex ea, erit asperius, durius, rigidius, et femina erit debilis et fructifera. Et debemus inquirere, utrum inveniantur illæ duæ species simul conjunctæ in unum esse in plantis, sicut dixit Abrucalis. Sed ego non opinor, quod hoc ita sit, quia res

τοῦτο τὸ πρᾶγμα οὕτως ἔχειν· τὰ γὰρ κεκραμένα ὀφείλουσιν εἶναι πρῶτον ἁπλᾶ ἐν ἑαυτοῖς, καὶ εἶναι καθ' αὑτὸ μὲν τὸ ἄρρεν, καθ' αὑτὸ δὲ τὸ θῆλυ, κἀντεῦθεν κιρνᾶσθαι· ἡ δὲ κρᾶσις οὐκ ἔσται εἰ μὴ διὰ τὴν οἰκείαν γένεσιν. Εὑρέθη γοῦν ἐν τοῖς φυτοῖς πρὸ τῆς κράσεως κρᾶσις, ἣ καὶ ὀφείλει εἶναι αἰτία ποιητικὴ καὶ παθητικὴ ἐν μιᾷ ὥρᾳ, ἀλλ' οὐχ εὑρίσκεται ἀρρενότης καὶ θηλύτης ἡνωμέναι ἔν τινι τῶν φυτῶν. Εἰ δὲ τοῦτο οὕτως ἦν, τάχα ἂν τὸ φυτὸν ἦν τελειότερον τοῦ ζῴου. Καὶ πῶς, εἴπερ τὸ ζῷον οὐ δεῖται ἐν τῇ οἰκείᾳ γενέσει πράγματός τινος ἐξωτερικοῦ, τὸ δὲ φυτὸν τοῦτο δεῖται ἐν τοῖς καιροῖς τοῦ ἔτους; δεῖται γὰρ ἡλίου καὶ εὐκρασίας καὶ τοῦ ἔαρος πλέον, καὶ τούτων δεῖται μᾶλλον ἐν τῇ ὥρᾳ τῆς ἐκφύσεως αὐτοῦ. Ἔστι δὲ καί τις ἀρχὴ τῆς μὲν τροφῆς τῶν φυτῶν ἀπὸ τῆς γῆς, καὶ πάλιν ἀρχὴ ἑτέρα τῆς γενέσεως ἀπὸ τοῦ ἡλίου. Εἶπε δὲ καὶ Ἀναξαγόρας ὅτι ἡ ὑγρότης τούτων ἐστὶν ἀπὸ τῆς γῆς, καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον ὅτι ἡ γῆ μήτηρ μέν ἐστι τῶν φυτῶν, ὁ δ' ἥλιος πατήρ. Ἀλλὰ τὴν κρᾶσιν τοῦ ἄρρενος τῶν φυτῶν καὶ τοῦ θήλεος ὀφείλομεν διατυπώσασθαι οὐχ οὕτως, ἀλλ' ἄλλῳ τινὶ τρόπῳ, οἷον ὅτι τὸ σπέρμα τοῦ φυτοῦ ὅμοιόν ἐστιν ἐγκυμονήσει ζῴου, ἥ τίς ἐστι μίξις ἄρρενός τε καὶ θήλεος. Καὶ ὥσπερ ἐστὶν ἐν τοῖς ᾠοῖς ὅτε γίνεται νεοσσός, ἔστιν ἐντεῦθεν καὶ ἡ τροφὴ αὐτοῦ μέχρι καὶ αὐτῆς τῆς ὥρας τῆς συμπληρώσεως καὶ τῆς οἰκείας ἐξόδου, καὶ τότε τὸ θῆλυ ἐκτίθησι τὸν νεοσσὸν ἐν μιᾷ ὥρᾳ· οὕτω καὶ τὸ σπέρμα τοῦ φυτοῦ. Εἶπε δὲ πάλιν Ἐμπεδοκλῆς ὅτι τὰ φυτά, εἰ καὶ νεοσσοὺς οὐ γεννῶσι, διότι τὸ γεννώμενον οὐ γεννᾶται εἰ μὴ ἐκ τῆς φύσεως τοῦ σπέρματος, καὶ ὅτι ὅπερ μένει ἐξ αὐτοῦ ἐν τῇ ἀρχῇ τροφὴ γίνεται τῆς ῥίζης, καὶ τὸ γεννώμενον κινεῖ αὐτὸ ἑαυτὸ παραυτίκα, ὅμως οὕτως ὀφείλομεν ὑπολαμβάνειν καὶ ἐν τῇ μίξει τῶν ἀρρένων καὶ τῶν θηλέων φυτῶν, ὡς ἐπὶ τῶν ζῴων, ὅτι καὶ ἡ μίξις τῶν φυτῶν ἐστιν ἐν διοικήσει τινί, ἀλλ' ἐν τοῖς ζῴοις, ὅτε μίγνυνται τὰ γένη, μίγνυνται καὶ αἱ δυνάμεις τῶν γενῶν, αἳ ἦσαν πρότερον κεχωρισμέναι, καὶ προῆλθεν ἐκ τούτων ἀμφοτέρων πρᾶγμά τι ἕν· ὃ δὴ οὐκ ἔστιν ἐν τοῖς φυτοῖς· οὐ γὰρ ὅτε μίγνυνται τὰ γένη καὶ αἱ δυνάμεις αὐτῶν, μετὰ ταῦτα γίνονται κεχωρισμέναι. Εἰ γοῦν ἡ φύσις ἔμιξε τὸ ἄρρεν μετὰ τοῦ θήλεος, καλῶς προέβη, ὅτι οὐχ εὑρίσκομεν ἐνέργειάν τινα ἐν τοῖς φυτοῖς παρὰ τὴν γένεσιν τῶν καρπῶν· οὐδὲ γάρ ἐστι ζῷον κεχωρισμένον τοῦ θήλεος εἰ μὴ ἐν ὥραις αἷς οὐ συνάπτεται· τοῦτο δ' ἐστὶ διὰ τὰς πολλὰς ἐνεργείας αὐτοῦ καὶ διὰ τὰς πολλὰς αὐτοῦ ἐπιστήμας.

quæ permiscentur, debent prius esse simplices in se, et erit per se masculus et per se femina; deinde commiscentur, et commixtio rei non erit nisi per suam generationem. Inventa ergo fuit planta ante suam commixtionem, et oportet ut sit efficiens et patiens in una hora, nec inveniuntur masculinitas et femininitas conjunctæ in aliqua herbarum. Et si hoc ita esset, esset planta perfectior animali, quia non indigeret in sua generatione re extrinseca, et ipsa indiget temporibus anni et sole et temperantia et vere plus omni re. His ergo indiget in hora pullulationis arborum, estque principium cibi plantarum a terra, et principium generationis fructuum a sole. Et ideo Anaxagoras dixit, quod earum fructus est ab aëre, et ideo dicit lechineon, quod terra mater est plantarum et sol pater. Sed mixtionem masculi vegetabilium et feminæ debemus imaginari alio modo, quia semen plantæ simile est impregnationi, quæ est mixtio masculi et feminæ. Et sicut est in uno ovo vis generandi pullum et materia cibi ejus usque ad horam sui complementi et sui exitus ab eo, et femina ponit ovum in una hora: ita et planta. Dixitque bene Abrucalis, quod arbores altæ pullos non generant, quia res quæ nascitur, non nascitur nisi ex parte seminis, et fit quod remanet ex eo, in principio cibus radicis, et nascens movet se statim. Ergo sic debemus opinari in mixtione masculorum et feminarum plantarum, sicut et animalium, quæ (quia?) est causa plantarum in dispositione quadam, et quia in animali, quando commiscentur sexus, commiscentur vires sexuum, postquam erant separati, et provenit ex illis ambobus res una; et ita non est in plantis. Et si natura miscuit masculum cum femina, recte processit, et non invenimus aliquam operationem in plantis nisi generationem fructuum, et non est animal separatum nisi in horis, in quibus non coit, et hoc propter multa opera ejus et multas scientias ejus.

CAP. VII.

Εἰσὶ δ' οἵτινες τὰ φυτὰ πεπληρωμένα ὑπολαμβάνουσι, καὶ τὴν χάριν τῆς ζωῆς αὐτῶν εἶναι διὰ τὰς δύο δυνάμεις ἃς ἔχει, ἤγουν διὰ τὴν τροφὴν τὴν ἐπι-

Sunt autem qui putant, plantam completam et integram esse propter duas vires quas habet, et propter cibum qui adaptatus est ad cibandum illam, et longitudinem suæ

τηδείαν εἰς τὸ τρέφειν αὐτὰ καὶ διὰ τὴν μακρότητα τῆς οἰκείας ὑπάρξεως καὶ τοῦ καιροῦ. Ὁπόταν βλαστάνῃ καὶ καρποφορῇ ἡ ζωὴ αὐτῶν, καὶ στρέφηται πρὸς αὐτὰ ἡ νεότης αὐτῶν, καὶ οὐ γίνεται ἐν αὐτοῖς τι περιττόν. Οὐ δεῖται δὲ τὸ φυτὸν ὕπνου διὰ πολλὰς αἰτίας, ὅτι κεῖται τὸ φυτὸν ἐν τῇ γῇ, καὶ δεσμεῖται ὑπ' αὐτῆς, καὶ οὐκ ἔχει κίνησιν ἐν ἑαυτῷ, οὐδ' ὅρον διωρισμένον ἐν τοῖς οἰκείοις μέρεσιν, οὔτ' αἴσθησιν ἔχει, οὔτε κίνησιν αὐτοπροαίρετον, οὔτε ψυχὴν τελείαν· τοῦτο δ' ἔχει μᾶλλον μέρος μέρους ψυχῆς. Καὶ τὸ φυτὸν οὐκ ἐδημιουργήθη εἰ μὴ διὰ τὸ ζῷον, τὸ δὲ ζῷον οὐκ ἐδημιουργήθη διὰ τὸ φυτόν. Καὶ πάλιν ἐὰν εἴπῃ τις ὅτι τὸ φυτὸν δεῖται μὲν τροφῆς εὐτελοῦς καὶ μοχθηρᾶς, εἰ καὶ δεῖται δὲ τοιαύτης, ὅμως κατὰ πολὺ σταθηρᾶς καὶ συνεχοῦς καὶ μὴ ῥᾳδίως διαφθειρομένης, κἀντεῦθεν συνίσταται ἵνα τὸ φυτὸν ἔχῃ τι κρεῖττον παρὰ τὸ ζῷον, καὶ διὰ τοῦτο ἀνάγκη καὶ πράγματα ἄψυχα εἶναι εὐγενέστερα τῶν ἐμψύχων. Ἀλλ' ἔργον ἓν τοῦ ζῴου ἐστὶ κρεῖττον παρὰ πᾶν ἔργον τοῦ φυτοῦ. Ἄλλως τε εὑρίσκομεν καὶ ἐν τῷ ζῴῳ πάσας τὰς δυνάμεις τὰς ἐν τῷ φυτῷ, καὶ ἄλλας πολλάς, οὐ μὴν καὶ ἔμπαλιν. Εἶπε πάλιν ὁ Ἐμπεδοκλῆς ὅτι τὰ φυτὰ ἔχουσι γένεσιν ἐν κόσμῳ ἠλαττωμένῳ καὶ οὐ τελείῳ κατὰ τὴν συμπλήρωσιν αὐτοῦ, ταύτης δὲ συμπληρουμένης [οὐ] γεννᾶται ζῷον. Ἀλλ' οὗτος ὁ λόγος ἀνάρμοστός ἐστι, διότι ὁ κόσμος ὁλοτελής ἐστι καὶ διηνεκής, καὶ οὐκ ἔπαυσε πώποτε γεννᾶν ζῷα καὶ φυτὰ καὶ πάντα ἀλλοῖα εἴδη. Ἐν ἑκάστῳ δ' εἴδει τῶν φυτῶν ἔστι θερμότης καὶ ὑγρότης φυσική, ἥ τις ὁπόταν ἀναλωθείη, ἀσθενοῦσι τὰ φυτὰ καὶ γηράσκουσι καὶ φθίνουσι καὶ ξηραίνονται. Καί τινες μὲν λέγουσι τοῦτο φθοράν, ἄλλοι δ' οὐχί.

existentiæ et temporis sui. Et quando frondueril et fructificaverit, durabit vita ejus, et convertetur ad illam juventus ejus, et non fiet in ea aliquid superfluum. Et planta non indiget dormitione propter multas causas, quia posita est et plantata in terra et alligata ei, et non habet motum in se, nec terminum terminatum in suis partibus, nec habet sensum, nec motum voluntarium, nec animam perfectam; imo non habet nisi partem partis animæ. Et planta non est creata nisi propter animal, et animal non est creatum propter plantam. Et si dixerit aliquis, quod planta eget cibo vili, malo, indiget eo multum stabili et continuo, non interrupto. Et si constaret, quod planta habeat meliorationem super animal, oporteret ut res inanimatæ sint meliores et nobiliores rebus animatis. Et opus unum animalis nobilius est et melius quam omne opus plantæ, et invenimus in animali omnes virtutes quæ sunt in planta, et multas alias. Dixitque Abrucalis, quod plantæ habent generationem, mundo tamen diminuto et non perfecto in complemento suo, et eo completo generabatur animal. Sed hic sermo est inconveniens, quia mundus totalis est, perpetuus, sempiternus, nec cessavit umquam generare animalia et plantas et omnes suas species. Et in qualibet specie plantarum est calor et humor naturalis, qui quando consumebantur, infirmabitur et veterascet et corrumpetur et arefiet. Et quidam dicunt hoc corruptionem, quidam non.

CAP. VIII.

Τινὰ τῶν φυτῶν ἔχουσί τι ὑγρὸν ὡς ῥητίνην, ὡς κόμμι, ὡς σμύρναν, ὡς θυμίαμα καὶ ὡς κόμμι Ἀραβικόν. Πάλιν τινὰ δένδρα ἔχουσι δεσμοὺς καὶ φλέβας καὶ κοιλίαν καὶ φιτροὺς καὶ φλοιὸν καὶ μυελὸν ἐντός, καί τινα ὡς ἐπὶ τὸ πλεῖστόν εἰσι φλοιός, καί τινων μὲν ὁ καρπὸς ὑπὸ τὸν φλοιόν, ἤγουν ἐντὸς τοῦ φλοιοῦ καὶ τοῦ φιτροῦ. Καί τινα μὲν μέρη τοῦ δένδρου εἰσὶν ἁπλᾶ, ὡς ὁ χυμὸς ὁ εὑρισκόμενος ἐν αὐτοῖς καὶ οἱ δεσμοὶ καὶ αἱ φλέβες· τινὰ δ' εἰσὶ σύνθετα ἐκ τούτων, ὡς κλάδοι καὶ λύγοι καὶ φύλλα. Ταῦτα δὲ πάντα οὐχ εὑρίσκομεν ἐν πᾶσι τοῖς φυτοῖς· τινὰ γὰρ τῶν φυτῶν ἔχουσι καὶ ταῦτα καὶ ἄλλα μέρη, λύγους, φύλλα, κλάδους, ἄνθη καὶ βλαστοὺς καὶ φλοιὸν τὸν περικυκλοῦντα τὸν καρπόν.

[III] Quædam arbores habent gummi, ut resinam et gummi amigdali et myrrham et thus et gummi Arabicum. Quædam arbores nodos habent et venas et ventrem et lignum et corticem et medullam interius, et quædam secundum plurimum sunt cortex, et quarumdam fructus sub cortice est, scilicet inter corticem et lignum. Et partes arboris simplices sunt, ut humor inventus in ea et nodi et venæ, et quædam partes sunt compositæ ex his, ut rami et virgæ et similia. Et hæc omnia non inveniuntur in omnibus plantis, quia quædam habent has partes, quædam illas, quædam non. Habent quoque plantæ alias partes, ut radices, virgas, folia, ramos, flores, pullulationes, rotunditatem, et corticem, qui circumdat fructum.

CAP. IX

Καὶ καθὼς εἰσὶ καὶ ἐν τοῖς ζῴοις μέλη ὁμοιομερῆ, οὕτω καὶ ἐν τοῖς φυτοῖς, καὶ ἕκαστα τῶν μερῶν τοῦ

Et sicut sunt in animali similium partium membra, ita et in plantis, et quælibet partium plantæ compositæ

φυτοῦ σύνθετά εἰσιν ὅμοια μέλεσι ζῴου· ὁ δὲ φλοιὸς τοῦ φυτοῦ ὅμοιός ἐστι φυσικῶς δέρματι ζῴου, οἱ δὲ δεσμοὶ πάλιν ὅμοιοι νεύροις ζῴου· ὁμοίως καὶ τὰ λοιπὰ τὰ ἐν αὐτῷ. Καί τινα μὲν τῶν μερῶν διαιροῦνταί πως διὰ μερῶν ἀνομοίων, τινὰ δὲ δι' ὁμοίων, οἷον ὡς ἐπὶ τοῦ πηλοῦ· οὗτος γὰρ ἑνὶ τρόπῳ διαιρεῖται διὰ τῆς γῆς μονον, καὶ ἀλλοτρόπως διὰ τῶν στοιχείων. Ὡσαύτως ὁ πνεύμων καὶ ἡ σὰρξ διαιροῦνται μὲν πρώτως, καί εἰσι μέρη τούτων σὰρξ καὶ πνεύμων· ἄλλως δὲ διαιροῦνται καὶ διὰ τῶν στοιχείων· ὁμοίως καὶ αἱ τῶν φυτῶν ῥίζαι. Πλὴν οὐ διαιρεῖται καὶ ἡ χεὶρ εἰς ἄλλην χεῖρα, οὐδ' ἡ ῥίζα εἰς ἄλλην ῥίζαν, οὐδὲ τὰ φύλλα εἰς ἄλλα φύλλα. Ἐν ταύταις γοῦν ταῖς ῥίζαις καὶ ἐν αὐτοῖς τοῖς φύλλοις ἐστὶν ἡ σύνθεσις. Πάλιν τινὲς μὲν τῶν καρπῶν εἰσιν ἐκ μερῶν ὀλίγων συγκείμενοι, τινὲς δ' ἐκ μερῶν πολλῶν, ὡς ἐπὶ τῶν ἐλαιῶν· αὗται γὰρ ἔχουσι φλοιόν, σάρκα καί τι ὀστρακῶδες καὶ σπέρμα καὶ καρπόν· τινὰ δ' ἔχουσι καὶ περικαλύμματα. Πάντα δὲ τὰ σπέρματά εἰσιν ἐκ δύο φλοιῶν. Καὶ μέρη μὲν τῶν φυτῶν εἰσιν ἅπερ εἴπομεν· ἡ δ' ἀκρότης τοῦ παρόντος λόγου ἐστὶ διορίσασθαι ταῦτα τὰ μέρη τῶν φυτῶν, τὰ περικαλύμματα αὐτῶν καὶ τὰς αὐτῶν διαφοράς· ὅπερ ἐστὶ πάνυ δυσχερές, καὶ ἐξαιρέτως τὸ διορίσασθαι τὴν οὐσίαν αὐτῶν καὶ τὸ χρῶμα καὶ τὸν καιρὸν τῆς διαμονῆς αὐτῶν καὶ τὰς συνοχὰς τὰς περιπιπτούσας αὐτοῖς. Καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ ἤθη ψυχῆς, οὐδὲ διάθεσιν ἴσην διαθέσει ψυχῆς. Ἐὰν γοῦν κατὰ ἀναλογίαν θῶμεν τὰ μέρη τῆς ψυχῆς μετὰ τῶν μερῶν τοῦ φυτοῦ, μηκυνθήσεται ὁ λόγος, καὶ τυχὸν οὐδὲ δυνηθείημεν διεξελθεῖν ἂν ταῦτα, μεγάλαις διαφοραῖς ἀπαριθμοῦντες τὰ μέρη τῶν φυτῶν· καὶ γὰρ μέρος ἑκάστου πράγματος ἐκ τοῦ ἰδίου γένους ἐστὶ καὶ ἐκ τῆς ἰδίας οὐσίας, καὶ ὅταν γεννηθῇ τι εἶδος φυτοῦ, μένει ἐν τῇ οἰκείᾳ διαθέσει, ἂν μή τινι χρονικῇ ἀσθενείᾳ καὶ βαρείᾳ τῆς οἰκείας ἐκπέσῃ τοιᾶσδε διαθέσεως. Τῶν ἀνθέων τοίνυν καὶ τῶν καρπῶν καὶ τῶν φύλλων τῶν ἐν τοῖς φυτοῖς τινὰ μὲν ἐν παντὶ ἔτει εἰσί, τινὰ δ' οὐχ οὕτως ἔχει, οὐδὲ διαμένουσιν, ὡς ὁ φλοιὸς καί τι σῶμα πῖπτον ἀπὸ πράγματος τοῦ ἀπορρίπτοντος τοῦτο διά τινα αἰτίαν. Οὐ μένουσι δὲ ταῦτα ἐν τῷ φυτῷ, ὅτι πολλάκις πίπτουσιν ἐξ αὐτοῦ μέρη τινὰ μὴ διωρισμένα, ὡς τρίχες ἐξ ἀνθρώπων καὶ ὄνυχες, πλὴν γεννῶνται τρίχες ἢ ἐν αὐτοῖς τοῖς μέρεσιν ὅθεν ἐξέπεσον, ἢ ἐκτὸς ἐν ἄλλοις. Καὶ ἤδη φανερὸν γέγονεν ὅτι τὰ μέρη τοῦ φυτοῦ οὐκ εἰσὶ διωρισμένα, εἴτε καὶ μή, ἀλλὰ μόνον ἀδιόριστα. Ἡμῖν δ' αἰσχρόν ἐστι λέγειν πράγματά τινα μεθ' ὧν αὐξάνεται τὸ ζῷον καὶ συμπληροῦται μετ' αὐτῶν, μὴ εἶναι μέρη αὐτοῦ, ἀλλ' εἶναι κατὰ τὰ φύλλα καὶ πάντα τὰ τοιαῦτα τὰ ἐν τῷ φυτῷ, κἂν καὶ οὐκ ὦσι διωρισμένα τὰ τοιαῦτα μέρη τοῦ ζῴου, κἂν καὶ κατὰ μικρὸν ἐκπίπτωσιν, ὡς τὰ κέρατα τῆς ἐλάφου καὶ κόμαι τινῶν ζῴων καὶ τρίχες ἄλλων, ἃ δὴ κρύπτουσιν ἑαυτὰ κατὰ τὸν χειμερινὸν καιρὸν ἐν ὀπαῖς καὶ ὑπὸ γῆν πίπτουσι κἂν

sunt similes membris animalis, quia cortex plantæ similis est cuti animalis, et radix plantæ similis est ori animalis, nodi quoque illius similes sunt nervis animalis, et similiter reliqua quæ sunt in ea. Et quælibet harum partium dividuntur aliquo modo per partes consimiles, et dividuntur etiam per partes dissimiles, quasi lutum uno modo per terram tantum, et alio modo per aquam. Pulmo quoque et caro dividuntur, et sunt partes eorum carnes, et alio modo dividuntur per elementa seu radices. Et non dividitur manus ad aliam manum, nec radix ad aliam radicem, nec folia ad alia folia; sed in his radicibus et foliis est compositio. Sed fructuum quidam sunt compositi ex partibus paucis, et quidam ex partibus multis, ut olivæ: illæ enim habent corticem et carnem et testam et semen et fructum; quidam habent tres coopertuas. Omnia semina sunt ex duobus corticibus. Et plantarum partes sunt illæ, quas diximus, et summa quidem sermonis est determinare partes plantæ et coopertuas ejus et diversitates ejus. Est valde difficile, et præcipue terminare essentiam ejus, et colorem, et tempus durabilitatis ejus, et impressiones quæ ei eveniunt. Et non habent plantæ mores animæ, nec effectum æqualem effectui animalis. Et si proportionaverimus partes animalis cum partibus plantæ, prolongabitur noster sermo, et fortasse non evademus a magnis diversitatibus in nominando partes plantarum, quia pars rei est de suo genere et de sua substantia propria, et quando generabitur, remanebit in sua dispositione species, nisi aliqua chronica infirmitate a sua dispositione recederit. Et flores et fructus et folia plantarum quandoque omni anno erunt, quædam vero non sic, nec remanent, ut cortex et corpus cadens aere abjiciente ipsum propter causam. Et non est istud in planta, quia multotiens cadunt de planta partes multæ non determinatæ sicut pili hominis et ungues in animali, et nascuntur pro eis aliæ partes vel in loco in quo fuerunt, vel extra in alio. Et jam certum est, quod partes plantæ non sunt determinatæ, sive sint partes plantæ, sive non. Et turpe est nobis dicere res cum quibus crescit animal et completur cum eis, non esse partes ejus; sed folia et omnia quæ sunt in illo, sunt partes ejus, licet non sint determinatæ et paulatim decidant, quoniam cornua cervi, et capilli quorumdam animalium et pili quorumdam de eis, quæ se abscondunt in tempore hyemali

καὶ τὸ τοιοῦτον πάθος παρόμοιον ἔχωσι τῇ πτώσει τῶν φυτῶν.

in cavernis et sub terra, cadunt, et illud est simile casui foliorum.

CAP. X.

Ὀφείλομεν οὖν εἰπεῖν περὶ τῶν πραγμάτων ὧν πρότερον ἱστορήσαμεν, καὶ ἄρξασθαι ἀπαριθμεῖν τὰ ἴδια μέρη τῶν φυτῶν καὶ τὰ κοινὰ καὶ τὰς τούτων διαφοράς. Λέγομεν τοίνυν ὡς ἐπὶ τοῖς μέρεσι τῶν φυτῶν ἐστι μεγάλη διαφορὰ ἐν τῷ πλήθει καὶ ἐν τῇ ὀλιγότητι, ἐν τῷ μεγέθει καὶ ἐν τῇ σμικρότητι, ἐν τῇ δυνάμει καὶ ἐν τῇ ἀσθενείᾳ. Τοῦτο δ' ἐστὶν ὅτι ὁ χυμὸς ὁ ἐν τοῖς μεγάλοις δένδροις ἔν τισι μέν ἐστιν ὡς γάλα, οἷον ἐπὶ τῆς συκῆς, ἔν τισιν ὅμοιος ὑγρᾷ πίσσῃ, ὡς ὁ χυμὸς ὁ στάζων ἐκ τῆς ἀμπέλου, ἔν τισι δ' ἀρχέγονος, ὡς ἐν τῷ ὀριγάνῳ καὶ ἐν φυτῷ τῷ λεγομένῳ ὀπιγαῖς καὶ ἐν ἄλλοις. Πάλιν ἔστι φυτὸν τὸ ἔχον μέρη ξηρά, ἕτερον ὑγρά, καὶ τὰ τοιαῦτα. Καὶ ἔστι τὸ ἔχον μέρη διακεκριμένα, οὔθ' ὅμοια, οὔτ' ἶσα. Καί τινα ἔχει μέρη ὅμοια μέν, οὐκ ἶσα δέ· τινὰ ἶσα μέν, οὐχ ὅμοια δέ. Καὶ ὅτι οὐδ' ἐστὶ τόπος ἐν τούτοις ὡρισμένος. Αἱ διαφοραὶ δὲ τῶν φυτῶν ἐν τοῖς οἰκείοις μέρεσι γινώσκονται καλῶς· ὁμοίως δὲ καὶ τὰ σχήματα αὐτῶν ἐκ τοῦ χρώματος, ἐκ τῆς ἀραιότητος, ἐκ τῆς πυκνότητος, ἐκ τῆς τραχύτητος, καὶ ἐκ πάντων ἄλλων τῶν συμβεβηκότων αὐτοῖς ἐν ἰσότητι, ἐν αὐξήσει φυσικῇ, ἐν διακρίσει, ἐν μεγέθει, ἐν σμικρότητι. Καί εἰσι μὲν ταῦτα τοιούτου τρόπου, ἔχουσι δὲ καὶ διαφορὰς πολλάς, καθὼς καὶ προείπομεν.

Debemus ergo loqui de rebus quæ prius nominavimus, et incipiamus nominare partes proprias et communes et earum diversitates. Dicamus ergo, quod partibus plantæ inest magna diversitas in multitudine et paucitate, et magnitudine et parvitate, et in fortitudine et debilitate. Et hoc est, quia humor qui est in magnis arboribus, in quibusdam est ut lac, ut in ficubus, et in quibusdam similis est pici [*ut in abiete, et in quibusdam est aquosus*,] ut humor qui est in vite, et in quibusdam est origanalis, ut qui est in origano et in planta quæ dicitur opigaidum. Item est planta quæ habet partes siccas; et est quæ habet partes terminatas, nec similes, nec æquales, et quædam habent partes similes ad invicem, et quædam habent partes æquales, nec similes, et non est locus ejus in situ. Diversitas autem plantæ in suis partibus cognita est, et figuræ ejus et coloris et raritatis et spissitudinis et asperitatis et lævitatis, et omnia quæ accidunt ei in diversitatibus in æqualitate et augmento numeri et ejus detrimento, et magnitudine et parvitate. Et quædam non erit unius modi, sed habebit diversitates multas, ut prædiximus.

CAP. XI.

Καὶ πάλιν τῶν φυτῶν τινα προάγουσι καρπὸν ἐπάνω τῶν ἰδίων φύλλων, τινὰ δ' ὑποκάτω τῶν φύλλων, καί τινων μὲν ὁ καρπὸς ἀπῃώρηται τοῦ ἰδίου φιτροῦ, τινῶν δ' ἀπὸ τῆς ῥίζης, ὡς τὰ ἐν Αἰγύπτῳ φυτὰ τὰ λεγόμενα μαργαρῖται· τινῶν δ' οἱ καρποὶ ἐν μέσῳ αὐτῶν. Καί τινων οἱ καρποὶ καὶ τὰ φύλλα καὶ οἱ δεσμοὶ ἀδιάκριτοί εἰσι, καί τινων τὰ φύλλα πρὸς ἄλληλα ὅμοια, ἄλλων δ' οὔ, καί τινα μὲν ἔχουσι κλάδους ἴσους, τινὰ δ' οὐ τοιούτους. Εἰσὶ δὲ καὶ τὰ μέρη ἅ περ ὠνομάσαμεν ἐν πᾶσι τοῖς δένδροις, αὔξησιν πάσχοντα καὶ πρόσθεσιν, ὡς ἡ ῥίζα, οἱ λύγοι, οἱ φιτροὶ καὶ οἱ κλάδοι, καὶ ταῦτα παρομοιοῦνται μέλεσιν ἀνθρώπων τοῖς περιέχουσι πάντα τὰ ἄλλα μέλη. Καὶ ἡ μὲν ῥίζα μεσιτεύει ἔν τε τῷ φυτῷ καὶ ἐν τῇ τροφῇ, καὶ καλοῦμεν αὐτὴν οὐ μόνον ῥίζαν, ἀλλὰ καὶ αἰτίαν ζωῆς· αὕτη γὰρ ζωὴν τοῖς φυτοῖς προσφέρει. Καὶ φιτρὸς μέν ἐστιν ὁ μόνος γινόμενος ἀπὸ τῆς γῆς, καί ἐστιν ὅμοιος ἡλικίᾳ ἀνθρώπου. Παραφυάδες δ' εἰσὶ τὰ ἀπὸ τῆς ῥίζης τοῦ δένδρου βλαστάνοντα, κλάδοι δ' οἵ τινες αὐξάνουσιν ἐπάνω τῶν παραφυάδων· οὐχ εὑρίσκονται δὲ ταῦτα ἐν πᾶσι τοῖς φυτοῖς. Καὶ πάλιν τῶν κλάδους ἐχόντων

[IV] Et plantarum quædam producunt fructum super folia sua, quædam sub foliis, et quarundam fructus suspensus est a stipite suo, et quarundam a radice, ut arbores Ægyptiæ, quæ dicuntur vargariaton, et quarundam fructus in medio earum. Et quarundam folia et nodi indiscreti sunt, et quarundam sunt folia æqualia et ad invicem similia, et quædam habent ramos æquales earum quæ habent ramos. Et sunt partes quas nominabimus, omnium plantarum, et sunt crescentes et addentes, hoc est radix et virgæ et stipites et rami plantarum, et ista assimilantur membris animalium quæ continent omnia membra. Et radix plantæ mediatrix est inter plantam et cibum, et ideo vocant eam Græci radicem et causam vitæ plantarum, quia ipsa causam vitæ plantis adducit. Sed stipes plantæ est quæ sola nascitur a terra, et est similis staturæ arboris; surculi vero sunt quæ a radice arboris pullulant; sed rami sunt qui nascuntur supra surculos, et non inveniuntur in omnibus plantis. Et plantarum ramos habentium quidam

τινὰ μέν εἰσι διηνεκῆ, τινὰ δ' οὐχί, μᾶλλον δ' ἀπ' ἔτους μετ' ἔτος. Καὶ πάλιν εἰσὶ φυτὰ μὴ ἔχοντα κλάδους, μηδὲ φύλλα, ὡς οἱ μύκητες καὶ τὰ ὅμοια. Οἱ κλάδοι δ' οἱ γεννώμενοι ἐν τοῖς δένδροις καὶ οἱ φλοιοὶ καὶ οἱ φιτροὶ καὶ οἱ μυελοὶ οὐ γεννῶνται εἰ μὴ ἀπ' αὐτοῦ τοῦ χυμοῦ τῶν δένδρων, καί τινες καλοῦσιν αὐτὸν τὸν μυελὸν τὸν ἐν τοῖς δένδροις μήτραν, ἄλλοι σπλάγχνα, ἕτεροι δὲ καρδίαν. Ταῦτα δὲ καὶ αἱ φλέβες καὶ ἡ σὰρξ ὅλου τοῦ δένδρου ἐκ τῶν τεσσάρων στοιχείων πεφύκασιν. Καὶ πολλάκις εὑρίσκονται μέρη τινὰ ἐπιτήδεια εἰς τὸ γεννᾶν φύλλα καὶ ἄνθη. Καὶ λύγοι δέ τινες βραχεῖς εἰσιν, εἰς τὸ γεννᾶν ἐπιτήδειοι ἄνθη, ὡς ἐπὶ τῶν ἰτεῶν, τινὲς δὲ καὶ ἄνθη καὶ καρποὺς ἐν τοῖς δένδροις, καὶ τἄλλ' ὁπόσα γεννῶνται ἐκ σπέρματος, καὶ ὅσα περικαλύπτουσιν αὐτά.

sunt non sempiterni, imo sunt anno post annum. Et plantæ sunt non habentes ramos, nec folia, ut fungi et tuberes. Et rami non nascuntur nisi in arboribus. Et cortices et lignum et medulla arboris nascuntur ab humore, et quidam vocant hanc medullam arboris matricem, et quidam vocant eam viscera arboris, et quidam cor. Et nodi et venæ et caro totius plantæ ex quatuor sunt elementis. Et multotiens inveniuntur partes, quæ aptæ sunt ad generandum, ut folia et flores et parvæ virgæ, quæ sunt flores præter plantam; eodem modo et fructus et rami in planta, et quæ nascuntur ex semine, et quod circumdat illud.

CAP. XII.

Καὶ πάλιν τῶν φυτῶν τινα μέν εἰσι δένδρα, τινὰ δὲ μέσον δένδρων καὶ βοτανῶν, καὶ ταῦτα ὀνομάζονται θάμνοι, καί τινα μέν εἰσι βοτάναι, τινὰ δὲ λάχανα. Σχεδὸν μὲν οὖν πάντα τὰ φυτὰ τοῖς τοιούτοις ὑποπίπτουσιν ὀνόμασιν. Πάλιν εἰσὶ δένδρα ἅπερ ἔχουσιν ἐκ τῆς οἰκείας ῥίζης φιτρόν, καὶ γεννῶνται ἐν αὐτοῖς κλάδοι πολλοί, ὡς συκαῖ καὶ ἐλαῖαι· τινὰ δ' οὔ. Πάλιν εἰσὶν ἄλλα φυτὰ μέσον, ὡς εἴπομεν, δένδρων καὶ βοτανῶν σμικρῶν, τὰ λεγόμενα θάμνοι, ἔχοντα ἐν ταῖς ῥίζαις αὐτῶν πολλοὺς κλάδους, ὡς τὰ καλούμενα ἄγνοι καὶ βάτοι. Λάχανα δ' εἰσὶ τὰ ἔχοντα πολλοὺς φιτροὺς ἐκ μιᾶς ῥίζης καὶ πολλοὺς κλάδους, ὡς τὸ πήγανον, αἱ κράμβαι καὶ τὰ τοιαῦτα. Εἰσὶ δὲ καὶ βοτάναι αἵ τινες οὐκ ἔχουσι φιτρὸν ἐκ τῆς οἰκείας ῥίζης, ἀλλὰ παραυτίκα φέρουσι φύλλα, καί τινα μὲν κατὰ πᾶν ἔτος γεννῶνται καὶ ξηραίνονται, ὡς σῖτος καὶ τὰ παραπλήσια, τινὰ δ' οὔ. Οὐ δυνάμεθα δὲ ταῦτα πάντα ἐπίστασθαι εἰ μὴ διὰ συλλογισμῶν καὶ παραδειγμάτων καὶ ὑπογραφῶν. Πάλιν εἰσὶ βοτάναι εἰς δύο ἄκρα κλίνουσαι, ὡς τὸ λεγόμενον λάχανον βασιλικόν. Εἰσὶ δ' ἄλλαι αἱ λεγόμεναι ἐν ταὐτῷ βοτάναι καὶ λάχανα, καί τινες ἄλλαι αἳ ἐν τῷ γεννᾶσθαι μὲν πρώτως φαίνονται ἐν σχήματι στάχυος, μετὰ ταῦτα δὲ γίνονται δένδρα, ὡς οἱ Ἀραβικοὶ βέντελοι καὶ τὸ φυτὸν τὸ λεγόμενον ἡλιοσκόπον. Μυρσίνη δὲ καὶ μηλέα καὶ ὄχνη καὶ τὰ λοιπὰ ὅμοια δένδρα εἰς τοῦτο τὸ γένος περιέχονται, ὧν πολλοὶ καὶ μάταιοί εἰσι κλάδοι, ἐκ τῶν ῥιζῶν αὐτῶν φυόμενοι. Καὶ διὰ τοῦτο πρέπον προσδιορίζειν ταῦτα, ἵν' ὦσιν εἰς παράδειγμα καὶ συλλογισμόν· οὐ γὰρ ὀφείλομεν διερευνᾶν ὁρισμοὺς ἐν πᾶσιν.

Plantarum quædam sunt arbores, quædam inter arbores et herbas, nominanturque illæ ambrachion, et quædam sunt herbæ, et quædam sunt olera. Et fere omnis planta sub his cadit nominibus. Et arbor est, quæ habet ex sua radice stipitem, et nascuntur in eo multi rami, ut olivæ et fici. Sed planta quæ est inter arbores et herbas minutas, quæ dicitur ambrachion, habet in radicibus suis multos ramos, ut id quod dicitur magnus cannæ et rubus. Sed olera sunt quæ multos stipites habent ex una radice et multos ramos, ut ruta et caulis. Sunt autem herbæ quæ non habent stipitem, sed folia ex sua radice, et quædam omni anno nascuntur et arescunt, ut triticum et olera. Et non possumus hæc omnia nisi per syllogismos et exempla et descriptiones manifestare. Et quædam herbæ ad duas extremitates declinant, ut olus quod dicitur olus regium, quia est herba et olus, et similiter acelga. Et quædam nascuntur in primis in figura granorum plantæ, et postea fit arbor, ut vovet et fingekest, i. e. pentaphyllon, et planta quæ dicitur bacca caprarum. Et forte myrtus quoque et malus et pirus sub hoc genere continentur, quia harum omnium multi et superflui sunt stipites de radicibus earum. Et ideo oportet determinare eas, ut sint in exemplum et syllogismum, et non debemus perscrutari omnium definitiones.

CAP. XIII.

Πάλιν τῶν φυτῶν τὰ μέν εἰσι κατοικίδια, τὰ δὲ κηπαῖα, καὶ ἕτερα ἄγρια. Τοιουτοτρόπως δὲ λέγο-

Plantarum quædam est domestica, quædam hortensis, quædam silvestris et eodem modo animalia. Puto quo-

μεν ὄχνας καὶ ἄλλα τοιαῦτα εἴδη φυτῶν ἄγρια, ὅτι οὐκ εἰσὶν ἐξ ἐπιμελείας γεωργικῆς. Πάλιν τῶν φυτῶν τινα μὲν ποιοῦσι καρπόν, τινὰ δ' οὔ, ὡς ἰτέαι καί τινα εἴδη δρυῶν, καί τινα μὲν ποιοῦσιν ἔλαιον, τινὰ δ' οὐχί, καί τινα μὲν ποιοῦσι φύλλα, τινὰ δ' οὔ, καί τινων μὲν πίπτουσι τὰ φύλλα, τινῶν δ' οὔ, καί τισι μὲν γίνονται κλάδοι, τισὶ δ' οὔ. Περὶ διαφορᾶς γοῦν τῶν φυτῶν ἐν μεγέθει καὶ σμικρότητι, ἐν ὡραιότητι καὶ ἀμορφίᾳ, ἐν χρηστότητι καρπῶν καὶ κακίᾳ πολλά ἐστιν εἰπεῖν. Πάλιν τὰ ἄγριά δένδρα μᾶλλον καρποφοροῦσι παρὰ τὰ κηπαῖα, καὶ οἱ καρποὶ τῶν κηπαίων κρείττονές εἰσι τῶν ἀγρίων. Καί τινα μὲν τῶν φυτῶν γεννῶνται ἐν τόποις ξηροῖς, τινὰ δ' ἐν θαλάσσῃ, καί τινα μὲν ἐν ποταμοῖς, ἄλλα δ' ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, καί τινα ἐν τόποις μὲν ἄλλοις μεγάλα, ἐν ἑτέροις δὲ μικρά, καί τινα μὲν γεννῶνται ἐν ὄχθαις ποταμῶν, τινὰ δ' ἐν λίμναις. Καὶ τῶν γεννωμένων ἐν τόποις ξηροῖς τινα μὲν γεννῶνται ἐν ὄρεσι, τινὰ δ' ἐν πεδιάδι, καί τινα ζῶσιν ἐν τόποις ξηροτάτοις, ὡς τὰ ἐν τῇ γῇ τῶν Αἰθιόπων καὶ ἐκεῖσε κρειττόνως αὐξάνουσι παρὸ ἀλλαχοῦ, καί τινα μὲν ζῶσιν ἐν τόποις ὑψηλοῖς, τινὰ δ' ἐν χθαμαλοῖς, καί τινα μὲν ζῶσιν ἐν τόποις ὑγροῖς, τινὰ δ' ἐν ξηροῖς, τινὰ δ' ἐν ἑκατέροις, ὡς ἡ ἰτέα. Τὰ γοῦν φυτὰ κατὰ πολὺ ἐναλλάττονται τῇ διαφορᾷ τῶν τόπων, καὶ ἐντεῦθεν χρὴ κατανοεῖν καὶ τὰς διαφορὰς αὐτῶν. Πάλιν τῶν φυτῶν τινα μὲν τῇ γῇ πεπήγασι καὶ οὐ φιλοῦσι χωρίζεσθαι ἀπ' αὐτῆς· τινὰ δ' ἐν τόποις κρείττοσι μετατίθενται. Ὁμοίως τινὲς τῶν καρπῶν κρείττονές εἰσιν ἐν τῷδε τῷ τόπῳ παρὸ ἐν ἑτέρῳ. Καί τινων μὲν φυτῶν τὰ φύλλα σκληρά εἰσι, τινῶν δε λεῖα, καί τινων μὲν ἐσχισμένα, ὡς τὰ τῶν ἀμπέλων καὶ τῶν συκῶν, τινῶν δ' οὔ· ἑτέρων δὲ κατὰ πολὺ ἐσχισμένα, ὡς τὰ τῆς πεύκης· τινὰ δὲ φυτά εἰσιν ὅλως φλοιὸς μεσιτεύων. Καί τινα ἔχουσι δεσμούς, ὡς οἱ κάλαμοι, τινὰ δ' οὔ, καί τινα ἔχουσιν ἀκάνθας, ὡς αἱ ῥάμνοι, τινὰ δ' ἐστέρηνται ἀκανθῶν, καί τινα ἔχουσι πολλοὺς κλάδους, ὡς ἡ ἀγρία μορέα, τινὰ δ' οὔ, καί τινα μὲν ἔχουσι διαφορὰς ἄλλας ἐξ ὧν προβαίνουσι παραφυάδες καὶ ἐξ ὧν οὐχί· τοῦτο δ' οὐκ ἄλλοθέν ἐστιν εἰ μὴ ἐκ τῆς διαφορᾶς τῶν ῥιζῶν. Τινὰ δ' ἔχουσι μίαν ῥίζαν, ὡς ἡ σκίλλα· αὕτη δὲ γεννᾶται ἐκ τοῦ ἐδάφους, καὶ ἀραιῶς πρόεισιν, ὅτι ὑποκάτω πλατύνεται, καὶ ἀκολουθοῦσα μᾶλλον διακρίνεται τῷ ἡλίῳ· ὅταν γὰρ προσβάλλῃ αὐτῇ, αὐξάνει· οὗτος δὲ ταύτης καὶ τὰς παραφυάδας κάτωθεν ἐκμυζᾷ.

que quod omnes species plantæ, quando non fuerint cultæ, silvestres fiunt. Plantarum quoque quædam faciunt fructum, et quædam non, et quædam faciunt oleum, et quædam non, et quædam faciunt folia, et quædam non; quibusdam folia cadunt, quibusdam non; quibusdam insunt rami, quibusdam non. Et diversitas plantarum in magnitudine et parvitate, et pulcritudine et deformitate, et in bonitate fructuum et in malicia est multa. Et arbores silvestres magis fructificant quam hortenses, sed fructus hortensium meliores sunt quam silvestrium. Et quædam plantarum nascuntur in locis siccis, et quædam in maribus, quædam in fluminibus, et quæ nascuntur in mari rubro, erunt illic magnæ, et in aliis locis parvæ, et quædam plantarum nascuntur in ripis fluminum, et quædam in stagnis. Sed plantarum quæ nascuntur in locis siccis, quædam nascuntur in montibus, quædam in planitie, et quædam nascuntur et vivunt in locis aridissimis, ut in terra Æthiopum, quæ dicitur Zara, et ibi melius procreantur quam alibi, et quædam vivunt in locis altis, et quædam in humido loco, et quædam in arido, et quædam vivunt in utroque, ut salix et atharafa. Et planta multum permutatur secundum diversitatem locorum, et ideo oportuit considerare diversitates eorum. [V] Et planta terræ affixa non separatur ab ea. Quidam quoque loci meliores sunt quibusdam. Similiter fructuum quidam meliores sunt in uno loco quam in alio. Et quarundam plantarum folia sunt aspera, et quarundam lævia; quarundam quoque parva sunt folia, quarundam scissa, ut folia vitis, et quædam habent unum corticem, ut ficus, quædam multos, ut pineæ; quædam vero plantæ sunt totæ cortex, ut mediannus. Et quædam habent nodos, ut canne, et quædam spinas, ut alaz, i. e. rhamnus. Et quædam carent ramis, et quædam habent ramos multos, ut morus silvestris, et quædam habent diversitates multas, ut sunt ex quibus prodeunt surculi, et ex aliis non, et non erit hoc nisi ex diversitate radicum, et quædam habent tantum unam radicem, ut squilla, quia illa nascitur in solo ramo, proceditque solum inferius dilatando se, et quanto magis creverit solique accesserit, augebitur, quia sol surculos elicit.

CAP. XIV.

Πάλιν τῶν χυλῶν τῶν ἐν τοῖς καρποῖς οἱ μέν εἰσι ποτοί, οἱ δ' οὐ ποτοί· καὶ ποτοὶ μὲν οἱ τῶν σταφυλῶν καὶ τῶν ῥοιῶν καὶ λοιπῶν ἄλλων πολλῶν, ἄποτοι δ' ἄλλων φυτῶν, καί τινων μέν εἰσι λιπαροί, ὡς οἱ τῆς ἐλαίας, τῆς πεύκης καὶ τῆς καρύας, τινῶν δ' οὔ, καί τινων μὲν γλυκεῖς καὶ μελιηδεῖς, ὡς τῶν φοινίκων

Succorum qui fructibus insunt, quidam sunt potabiles, ut succus uvarum, malorum granatorum, mororum et myrti; quidam vero unctuosi, ut succus olivæ et nucis pineæ; quidam dulces mellares, ut dactyli et ficus; qui-

καὶ τῶν συκῶν, καὶ τινων μὲν θερμοὶ καὶ δριμεῖς, ὡς τοῦ ὀριγάνου καὶ τοῦ σινήπιος, τινῶν δὲ πικροί, ὡς τοῦ ἀψινθίου καὶ τῆς κενταυρέας. Πάλιν τῶν καρπῶν οἱ μέν εἰσι σύνθετοι ἐκ σαρκῶν καὶ κόκκων καὶ λεμμάτων, ὡς οἱ σικυοί, τινὲς δ' ἐκ χυμοῦ καὶ κόκκων, ὡς αἱ ῥοιαί, καί τινα μὲν τοὺς φλοιοὺς ἔχουσιν ἐκτός, τὴν δὲ σάρκα ἐντός, τινὰ δὲ τὸ ὀστοῦν ἐντὸς καὶ τὴν σάρκα ἐκτός, τινὰ δ' εἰσὶν ἐν οἷς παραυτίκα γίνεται τὸ σπέρμα καὶ τὸ περικάλυμμα ᾧ περικαλύπτεται, ὡς οἱ καρποὶ τῶν φοινίκων καὶ τῶν ἀμυγδαλῶν· τινῶν δ' οὐχί. Καί τινες καρποί εἰσι βρώσιμοι καὶ κατὰ συμβεβηκὸς ἄβρωτοι, καί τινες καρποὶ ἡμῖν μὲν ἄβρωτοι, ἄλλοις δὲ βρώσιμοι, ὡς ὁ ὑοσκύαμος καὶ ὁ ἐλλέβορος ἀνθρώποις μὲν δηλητήριον, τροφὴ δὲ τοῖς ὄρτυξιν. Πάλιν τινὲς τῶν καρπῶν εἰσιν ἐν θήκαις, ὡς οἱ κόκκοι τοῦ κυάμου, τινὲς ἐν περικαλύμματι καὶ ἐν λέμματι, οἷον ὑφάσματί τινι, ὡς ἐν σίτῳ εὑρίσκεται καὶ τοῖς λοιποῖς, καί τινες μὲν ἐν σαρκί εἰσιν, ὡς οἱ τῶν φοινίκων καρποί, τινὲς δ' οἷον ἐν οἰκίσκοις, ὡς αἱ βάλανοι, ἄλλοι δ' ἐν οἰκίσκοις πολλοῖς καὶ λέμμασι καὶ ὀστράκοις, ὡς τὰ κάρυα. Καί τινες μὲν ὀξέως πεπαίνονται, ὡς οἱ καρποὶ τῆς μορέας καὶ τῆς κεράσου, τινὲς δὲ βραδέως, ὡς πάντες οἱ καρποὶ οἱ ἄγριοι, ἢ οἱ πλείονες αὐτῶν. Καί τινα μὲν φυτὰ ὀξέως προάγουσι φύλλα καὶ καρπούς, τινὰ δὲ βραδέως, καὶ τούτων τινὰ τῷ χειμῶνι ἀκολουθοῦσι πρὶν ἂν πεπανθῶσιν. Καὶ πάλιν τὰ χρώματα τῶν φύλλων καὶ τῶν καρπῶν καὶ τῶν οἷον ἐπ' αὐτοῖς ὑφασμάτων λίαν εἰσὶ διάφορα· τινὰ γὰρ τῶν φυτῶν ἐν τῇ οἰκείᾳ ὁλότητί εἰσι χλοάζοντα, καί τινα μὲν ἐκκλίνουσιν εἰς μελανίαν, τινὰ δ' εἰς λευκότητα, καί τινα εἰς ἐρυθρότητα διὰ τὴν θερμότητα τὴν ἐκκαίουσαν τὸν ἀέρα τὸν κεκραμένον μετὰ τοῦ προσγείου. Πάλιν τὰ σχήμα α τῶν καρπῶν, εἰ εἰσὶν ἄγρια, καὶ διαφόρων εἰσὶ θέσεων· οὐδὲ γὰρ πάντες οἱ καρποί εἰσι γωνιώδεις, οὐδὲ πάντες διὰ γραμμῆς εὐθείας.

dam calidi et acuti, ut origani et sinapis, et quidam amari, ut absinthium et centaurea. Fructuum quidam sunt compositi ex carne et osse et grano, ut pruna; quidam ex carne et grano, ut cucumeres, et quidam ex humore et grano, ut mala granata, et quidam corticem habent exterius et carnem interius, et quidam carnem exterius et granum interius, et quidam, in quibus statim fit semen cum coopercula quo operiuntur, ut dactyli et amygdali; quidam vero non sic. Sed fructus comestibiles et incomestibiles sunt per accidens, et quosdam fructus quidam comedere possunt, quidam vero non, et quosdam quædam animalia comedunt, quædam vero non. Fructuum iterum quidam sunt in siliquis, ut grana; quidam in coopertura et tela, ut triticum; quidam in carne, ut dactyli, et quidam in casta, ut belotæ glandes, et quidam in castis multis et tela et testa, ut nuces. Et quidam cito maturantur, ut mora et cerasa, et quidam tarde, ut omnes fructus silvestres, vel plures eorum. Et plantæ quædam cito folia producunt et fructus, quædam tarde, et earum quædam hiemem consequuntur antequam maturescant. Sed colores fructuum et florum valde sunt diversi, et planta quædam cum totalitate sua est viridis, et quædam declinat ad nigredinem, quædam ad albedinem, quædam ad rubedinem. Sed et figura fructus, si fuerit silvestris, est diversorum modorum, quia non omnes fructus sunt angulosi, nec omnes sunt super rectam lineam.

CAP. XV.

Πάλιν τῶν ἀρωματοφόρων δένδρων τινῶν μὲν ἡ ῥίζα ἀρωματική ἐστιν, τινῶν ὁ φλοιός, τινῶν τὸ ξύλον, ἄλλων τὰ μέρη ὅλα εἰσὶν ἀρωματικά, ὡς τὸ βάλσαμον.

[VI] Arborum aromaticarum quarundam radix aromatica est, quarundam cortex, quarundam flos, quarundam lignum, aliarum ro omnes partes aromaticæ, ut balsami.

CAP. XVI.

Πάλιν τῶν δένδρων τὰ μὲν γεννῶνται ἐκ σπέρματος, τὰ δὲ δι' ἑαυτῶν, καὶ πάλιν τὰ μὲν ἀπὸ ῥιζῶν ἐκσπῶνται καὶ μεταφυτεύονται, τὰ δ' ἐκ τοῦ φιτροῦ, τὰ δ' ἐκ τῶν κλάδων, ἢ ἀπὸ τοῦ σπέρματος, καί τινα μὲν δι' ἑαυτῶν κατὰ μικρὸν ἐκτείνονται, τινὰ δ' ἐν τῇ γῇ, καί τινα μὲν ἐν τοῖς δένδροις φυτεύονται, ὡς τὰ ἐγκεντριζόμενα. Ἔστι δὲ βελτίων ὁ ἐγκεντρισμὸς ὁμοίων εἰς ὅμοια· ἔστι δὲ καὶ ἀναλογία ἄλλη τις, δι' ἧς ἀρίστως συμβαίνουσι τὰ ἀνόμοια, ὡς αἱ μηλέαι μετὰ τῶν

Et quædam arbores nascuntur plantatæ, quædam ex semine, quædam vero per se, plantatæ siquidem vel a radice evelluntur, vel a stipite, vel a ramis, vel a semine, vel tota transfertur, quædam vero parum contusæ; quædam iterum in terra, quædam in arboribus plantantur, ut insitæ. Est quoque melior insitio similium in similia et proportionalia : talia enim optime proveniunt, ut mali in

ὀχνῶν· ἐν δὲ τοῖς ὁμοίοις. ὡς συκῆ ἐν συκῇ καὶ ἄμπελος ἐν ἀμπέλῳ καὶ ἀμυγδαλῆ ἐν ἀμυγδαλῇ. Ἔστι δὲ καὶ ἄλλος ἐμφυλλισμὸς ἐν ἄλλοις διαφόροις γένεσιν, ὡς ἀρτεμισία εἰς ἀγρίαν ἀρτεμισίαν καὶ καλλιέλαιος εἰς ἀγριέλαιον καὶ ἡ μορέα εἰς πολλὰ δένδρα, τῶν δένδρων πάλιν τὰ ἄγρια καὶ τὰ κηπαῖα. Καὶ πᾶν φυτὸν οὐ προάγει σπέρμα ὅμοιον τῷ σπέρματι ἐξ οὗ ἀνεφύη ἕκαστον· τινὰ γὰρ κρεῖττον σπέρμα ποιοῦσι, τινὰ χεῖρον, καὶ ἔκ τινων κακῶν σπερμάτων καλὰ δένδρα προβαίνουσιν, ὡς τὰ ἐξ ἀμυγδαλῆς πικρᾶς καὶ ῥοιᾶς ὀξώδους. Τινῶν δένδρων πάλιν σπέρμα ἂν ἀσθενὲς γένηται, ἐκλείπει τὸ γενέσθαι καλὰ αὐτά, ὡς αἱ πεῦκαι καὶ οἱ φοίνικες. Οὐ προέρχονται δὲ ῥᾳδίως ἐκ σπέρματος κακοῦ καλὰ δένδρα, οὐδ' ἐκ σπέρματος ἀγαθοῦ κακὰ δένδρα· τὸ δ' ἐκ πονηροῦ γενέσθαι ἀγαθόν, καὶ τὸ ἐναντίον, ἐν τοῖς ζῴοις πολλάκις εὑρίσκεται.

pirum, et ficus in ficum, et vitis in vitem. Et quandoque fit insitio in diversis generibus, ut artemisiæ in adul silvestri, et olivarum in botam, et mori in multas arbores, arborumque silvestrium in hortenses. Et non omnis planta producit semen simile semini a quo orta est: quædam enim melius faciunt, quædam pejus, et a quibusdam malis seminibus bonæ arbores proveniunt, ut ex amygdalis amaris et malis granatis. Quarundam iterum semen, quum debiles fuerint, deficit, ut pinus et palmæ. Et non provenit de facili ex semine malo planta bona, nec ex bono semine arbor mala; ceterum in animali multociens hæc contingunt.

CAP. XVII.

Πάλιν δένδρον τὸ ἔχον σκληρὸν λίαν τὸν φλοιὸν στεῖρον ἀποκαθίσταται· ἐὰν δὲ σχισθῇ ἡ ῥίζα αὐτοῦ καὶ τῇ σχισμῇ λίθος ἐμβληθῇ, εὔφορον γίνεται. Ἐν δὲ τοῖς φοίνιξιν ἂν φύλλα, ἢ ψῆνες, ἢ φλοιὸς τοῦ ἄρρενος φοίνικος τοῖς φύλλοις τοῦ θήλεος συντεθείη, ἵνα πως συναφθῶσι, ταχέως πεπαίνονται οἱ καρποί, κωλύεται δὲ καὶ ἡ πτῶσις αὐτῶν. Διακρίνεται δ' ὁ ἄρρην ἀπὸ τοῦ θήλεος, ὅτι πρώτως βλαστάνουσι τὰ τούτου φύλλα, ἃ εἰσι παρὰ τὰ τοῦ θήλεος μικρότερα, ἀλλὰ καὶ διὰ τῆς εὐωδίας· ἀλλαχοῦ δ' ἔκ τινος τούτων, ἢ ἐκ πάντων συμβαίνει. Τυχὸν δὲ καὶ εἰ ἐκ τῆς εὐωδίας τοῦ ἄρρενος ἐπαγάγῃ τι ἄνεμος πρὸς τὸν θῆλυν, πεπαίνονται καὶ οὕτως οἱ καρποί, ὥσπερ ὁπόταν τὰ φύλλα τοῦ ἄρρενος τῷ θήλει ἀπαιωρῶνται. Συκαῖ ὡσαύτως ἄγριαι εἰς τὴν γῆν ἐξαπλωθεῖσαι συμβάλλονται τὰ πολλὰ ταῖς κηπαίαις συκαῖς. Τὰ βαλαύστια ταῖς ἐλαίαις συμβάλλουσιν, ὅταν ὁμοῦ φυτεύωνται. Πάλιν τῶν φυτῶν τινα μεταλλάττονται, ὡς φασίν, εἰς ἄλλο εἶδος, ὡς ἡ καρύα, ὅταν γηράσῃ. Λέγουσι πάλιν ὡς ἡ καλαμίνθη μεταβάλλεται εἰς ἡδύοσμον· καὶ τὸ τράγιον δὲ τμηθὲν καὶ φυτευθὲν παρὰ τὴν θάλασσαν τυχὸν ἔσται σισύμβριον. Φασὶ πάλιν ὡς ὁ σῖτος καὶ τὸ λίνον μεταβάλλονται εἰς ἕτερον εἶδος. Βελένιον δὲ τὸ δηλητηριῶδες, τὸ γινόμενον ἐν τῇ Περσίδι, μεταφυτευόμενον ἐν Αἰγύπτῳ, ἢ ἐν Παλαιστίνῃ, γίνεται βρώσιμον. Ὡσαύτως ἀμυγδαλῆ καὶ ῥοιὰ μεταβάλλονται ἀπὸ τῆς ἰδίας κακίας διὰ γεηπονίαν εἰς τὸ χρηστότερον. Ἀλλ' αἱ ῥοιαὶ μέν, χοιρείας κόπρου ἐμβεβλημένης ταῖς ῥίζαις καὶ δι' ὕδατος γλυκέος καὶ ψυχροῦ ποτιζόμεναι, βελτιοῦνται· ἀμυγδαλαῖ δ' ἥλων ἐμπηγνυμένων αὐταῖς, καὶ κόμμεως διὰ πολλοῦ καιροῦ ἐντεῦθεν ἐκβαλλομένου. Πολλὰ δὲ φυτὰ ἄγρια διὰ ταύτης τῆς ἐπιτεχνήσεως γίνονται κηπαῖα. Τόπος δὲ καὶ γεηπονία σφόδρα τούτοις συμβάλλονται, καὶ μᾶλλον ὁ τοῦ ἔτους καιρός, οὗ χρήζουσι μᾶλλον οἱ φυτευταί. Πάλιν τῶν φυτῶν τὰ

Arbor quoque durum corticem habens, sterilis effecta, si findatur radix ejus, et fissuræ illi lapis immittatur, rursus fiet fructifera. In palmis quoque si folia, vel pulvis foliorum, vel cortex masculæ palmæ foliis femineæ palmæ apponantur, ut coeant, cito maturabuntur fructus ejus, prohibebitque casum eorum. Discernitur quidem masculus a femina, quia prius pullulat, foliaque ejus parva sunt, et per odorem, ex quibusdam horum, vel omnibus. Contingetque forte, quod ventus deferet odorem masculi ad feminam, maturabunturque dactyli ejus, simulque cohærebunt, quando folia masculi inter illa fuerint apprehensa. Ficus quoque silvestres in terram expansæ conferunt ficubus hortensibus. Balaustia similiter conferunt olivis, quum simul plantantur. [VII] Item plantarum quædam transmutantur in aliam speciem, ut nux, quum inveterata fuerit. Dicitur quoque, quod calamentum transmutatur in mentam, terugenaque abscissa et plantata secus mare viride fortasse fiet sesebram. Triticum quoque et linum transmutantur in seilam. Belenum quoque perniciosum natum in Persia transmutatur, et transplantatum in Ægyptum et in Jerusalem factum est comestibile. Amygdalæ quoque et mala granata mutantur a malitia tua per culturam. Sed mala granata, stercore porcino fimata et aqua dulci frigida rigata, meliorantur. Sed amygdali quoque clavis confixæ gummi per multum tempus emittunt. Multæque plantæ silvestres per hoc artificium fiunt hortenses. Locus vero et labor huic rei conferunt, et maxime tempus anni in quo plantatur. Plantarum quoque quædam indigent plantatore, quædam non. Plantantur quoque plurimæ in vere,

πλείονα φυτεύονται ἐν ἔαρι, ὀλίγα ἐν χειμῶνι καὶ φθινοπώρῳ, καὶ ὀλίγιστα ἐν θέρει μετὰ τὴν ἐπιτολὴν τοῦ κυνάστρου· ἐν ὀλίγοις δὲ τόποις γίνεται ἡ τοιαύτη φυτεία, καὶ οὐδέποτε γίνεται εἰ μὴ ἀραιῶς ἐν τῇ Ῥώμῃ κατὰ τήνδε τὴν ὥραν· ἐν Αἰγύπτῳ δ' οὐ γίνεται ἡ φυτεία εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ.

paucæ in hieme et autumno, paucissimæ in æstate post ortum stellæ caniculæ: in paucis enim locis fit plantatio hoc tempore, et nusquam fit nisi in Coruma bac hora; sed in Ægypto non fit plantatio nisi semel in anno.

CAP. XVIII.

Πάλιν τινὰ τῶν φυτῶν ἐκ τῶν οἰκείων ῥιζῶν φύλλα προβάλλονται, τινὰ ἐκ τῶν οἰκείων κόμμεων ἢ ἐκ τῶν οἰκείων ξύλων, καί τινα μὲν πλησίον τῆς γῆς, τινὰ δὲ πόρρω, τινὰ ἐν μέσῳ. Καί τινα μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ καρποφοροῦσι, τινὰ δὲ πλειστάκις, ἀλλ' οὐ πεπαίνονται οἱ καρποὶ αὐτῶν, ἀπομένουσι δ' ὠμοί. Καί τινα δένδρα εἰσὶν εὔφορα διὰ πολλῶν χρόνων, ὡς αἱ συκαῖ· τινὰ ἐν ἑνὶ καρποφοροῦσιν ἔτει, ἐν δὲ τῷ ἑτέρῳ ἀνακτῶνται ἑαυτά, ὡς αἱ ἐλαῖαι πολλοὺς κλάδους προβαλλόμεναι οἷς καὶ περικαλύπτονται. Καί τινα μὲν τῶν φυτῶν εὐφορώτερά εἰσιν ἐν γήρᾳ, τινὰ δ' ἐκ τοῦ ἐναντίου μᾶλλον καρποφοροῦσιν ἐν νεότητι, ὡς ἀμυγδαλαῖ καὶ ὄχναι καὶ αἴγειροι. Ἡ διαφορὰ δὲ τῶν φυτῶν τῶν ἀγρίων καὶ τῶν κηπαίων διακρίνεται δι' ἀρρένων καὶ θηλέων, ὁπόταν ἕκαστον αὐτῶν γνωρισθείη διὰ τῶν ἰδιωμάτων τῶν εὑρισκομένων ἐν αὐτοῖς, ὅτι τὸ μὲν ἄρρεν ἐστὶ πυκνότερον, σκληρότερον καὶ πολυκλωνότερον, ἧττον ὑγρόν, καὶ ταχύτερον εἰς πέπανσιν, καὶ φύλλα ἔχον διάφορα καὶ παραφυάδας· τὸ δὲ θῆλυ ἐπ' ἔλαττον ἔχει ταῦτα.

Quædam arbores ex suis radicibus folia producunt, quædam ex suis gemmis, quædam ex suo ligno, quædam ubique; quædam prope terram, quædam longe, quædam in medio; quædam quoque diversis temporibus folia pauca. Et quædam in anno semel fructificant, quædam pluries, et non maturantur fructus earum, sed remanent crudi. Et quædam multum fertiles sunt per multa tempora, ut ficus; et quædam uno anno fructifiant, altero reficiuntur, ut olivæ, licet multos ramos producant, quibus cooperiuntur. Quædam in juventute fertiliores sunt quam in senectute; quædam e converso melius fructificant [*in senectute*], ut amygdali, piri et ilex. Diversitas quoque plantarum silvestrium et hortensium discernitur per masculos suos et feminas, quoniam quamlibet earum cognoscunt per proprietatem inventam in eis, quia masculus spissior, durior, ramosior, minus humorosus, fructus brevior, minus maturabilis, folia diversa, et similiter surculi.

CAP. XIX.

Δεῖ τοίνυν, ὅταν κατανοήσωμεν ταῦτα, πάλιν στοχάσασθαι, πῶς ἂν γνοίημεν τὰ δένδρα καθ' αὑτὰ καὶ τὰ γένη καθ' αὑτά, καὶ περὶ τῶν βοτανῶν ὡσαύτως, πῶς ἂν κατανοήσωμεν ἃ εἶπον οἱ παλαιοί. Πῶς; ἐὰν ἐπιμελῶς σκοπήσωμεν τὰς βίβλους αὐτῶν ἃς ἔγραψαν, καὶ δυνηθείημεν διερευνῆσαι τούτων τὸν μυελὸν ἐρεύνῃ συνοπτικῇ, καὶ γνωρίσαι βοτάνας τὰς ἐλαιώδεις καὶ βοτάνας τὰς σπέρμα μόνον ἐχούσας, καὶ τὰς βοήθειαν χορηγούσας, καὶ τὰς ἰατρικὰς καὶ τὰς φθοροποιούς· ὡσαύτως καὶ τὰ δένδρα μετὰ τῶν βοτανῶν. Πρὸς δὲ τὸ μαθεῖν καὶ τὰς αἰτίας αὐτῶν ὀφείλομεν ζητῆσαι τὴν γένεσιν τούτων, πῶς τινα μὲν γεννῶνται ἔν τισι τόποις, ἐν ἄλλοις δ' οὔ· ἔτι δὲ καὶ τὰς φυτείας αὐτῶν, καὶ τὰς ῥίζας, καὶ τὰς διαφορὰς τῶν χυλῶν καὶ τῶν ὀδμῶν καὶ τοῦ γάλακτος. καὶ τοῦ κόμμεως, καὶ τὴν χρηστότητα καὶ τὴν κακίαν ἑκάστων, καὶ τὰς διαμονάς, πῶς τινων μὲν διαμένουσιν οἱ καρποί, τινῶν δ' οὔ, καὶ δι' ἣν αἰτίαν τινῶν μὲν σήπονται συντόμως, τινῶν δὲ βραδέως, ἐρευνῆσαί τε καὶ τὰς ἰδιότητας τῶν φυτῶν, καὶ μᾶλλον τῶν ῥιζῶν· καὶ πῶς τινῶν μὲν καρποὶ μαλθάσσονται, τινῶν δ' οὔ· καὶ πῶς τινες ἀφροδίτην προκα-

Oportet ergo, quando consideramus hæc, conjecturas facere, ut cognoscamus arbores per se et grana per se, et similiter in herbis minutis. Et consideremus, quæ dixerunt in his antiqui, et inspiciamus libros eorum de his scriptos, et nos poterimus perscrutari eorum medullam perscrutati ı e compendiosa, et est, quod considerabimus herbas oleares, et herbas semina facientes, et plantas vinales, et plantas medicinales, et plantas interficientes. Et hæc omnia nota sunt de arboribus et plantis; sed ad sciendum causas earum, debemus inquirere generationem earum, quare quædam earum nascuntur in quibusdam locis, et in quibusdam non, et quibusdam temporibus, et quibusdam non; et plantationes earum, et radices earum, et diversitatem succorum et odorum et lactis et gummi, et bonitatem et maliciam singulorum, et durationem quorundam fructuum, et quorundam non, quare quidam cito putrefiant, quidam tardius. Et inquiramus proprietates omnium plantarum, et maxime radicum, et quare quidam fructus mollescunt, quidam non, et quare quidam vene-

λοῦνται, τινὲς δ' ὕπνον, τινὲς δὲ καὶ διαφθείρουσι, καὶ πολλὰς ἄλλας διαφοράς· καὶ πῶς τινων μὲν οἱ καρποὶ ποιοῦσι γάλα, τινῶν δ' οὔ.

rem provocant, quidam somnum, quidam interficiunt, et multas alias diversitates, quare quarundam fructus faciunt lac, quarundam non.

LIBER II.

CAP. I.

Τὸ δένδρον τρεῖς ἔχει δυνάμεις, πρώτην ἐκ τοῦ γένους τῆς γῆς, δευτέραν ἐκ τοῦ γένους τοῦ ὕδατος, τρίτην ἐκ τοῦ γένους τοῦ πυρός· ἀπὸ τῆς γῆς γάρ ἐστιν ἡ ἔκφυσις τῆς βοτάνης, ἀπὸ τοῦ ὕδατος ἡ σύμπηξις, ἀπὸ τοῦ πυρὸς ἡ ἕνωσις τῆς συμπήξεως τοῦ φυτοῦ. Βλέπομεν δὲ πολλὰ τούτων καὶ ἐν τοῖς ὀστρακώδεσιν· εἰσὶ γὰρ ἐν τούτοις τρία, πηλός, ἐξ οὗ γίνεται πλίνθος ὀστρακώδης, δεύτερον ὕδωρ, ὅπερ ἐστὶ τὸ στερεοῦν τὰ ὀστρακώδη, τρίτον τὸ πῦρ τὸ συνάγον τὰ μέρη αὐτοῦ, ἕστ' ἂν δι' αὐτοῦ πληρωθείη ἡ τούτου γένεσις. Ἡ φανέρωσις γοῦν ὅλης τῆς ἑνώσεως τούτων ἀπὸ τοῦ πυρός ἐστιν, ὅτι ἀραιότης ἔνεστι τοῖς ὀστρακώδεσι κατὰ τὰ ἴδια μέρη, καὶ ὁπόταν μίξῃ ταῦτα τὸ πῦρ, τελειοῦται ἡ ὕλη τοῦ ὑγροῦ, καὶ συγκολλῶνται τὰ μέρη τοῦ πηλοῦ, προέρχεταί τε ξηρότης ἐν τῷ τόπῳ τοῦ ὑγροῦ, καὶ διὰ τὴν ἐπικράτειαν ἕπεται πέψις ἐν παντὶ ζῴῳ καὶ φυτῷ καὶ μετάλλοις· πέψις γάρ ἐστιν, ὅπου ὑγρότης καὶ θερμότης ἰδίῳ πέρατι ἀκολουθεῖ. Ἔστι δὲ τοῦτο ἐν τῇ πέψει τοῦ λίθου καὶ τῶν μετάλλων ἐκφανές· ἐν τῷ ζῴῳ δὲ καὶ τῷ φυτῷ οὐχ οὕτως, ὅτι τούτων τὰ μέρη οὐκ εἰσὶ συμπεπηγότα εἰς ἓν ὡς τοῖς λίθοις, καὶ ὅτι ἐκ τούτων καταρροή τις προβαίνει. Ἐκ δὲ τῶν λίθων καὶ τῶν μετάλλων οὐκ ἔξεισι καταρροή, ἤ τις ἱδρώς· τὰ γὰρ μέρη αὐτῶν οὐκ εἰσὶν ἀραιά, κἀντεῦθεν οὐδέ τινα ἀπ' αὐτῶν ἐξέρχονται, ὡς ἀπὸ τοῦ ζῴου καὶ τοῦ φυτοῦ, περιττώματα. Οὐδὲ γίνεται ἔξοδός τις ἄλλη [ἢ] ἀπὸ τῆς ἀραιότητος· ἐν ᾧ γὰρ ἀραιότης οὐκ ἔστιν, ἀπ' αὐτοῦ παντελῶς οὐδέν τι ἐξέρχεται. Διὰ τοῦτο στερεόν ἐστιν, εἰς ὃ αὐξάνεσθαί τι οὐ πέφυκεν· καὶ γὰρ τὸ αὐξάνεσθαι πεφυκὸς δεῖται τόπου, ἐν ᾧ ἂν πλατυνθείη καὶ περατωθείη· λίθοι δὲ καὶ ὄστρακα καὶ τὰ τοιαῦτα ἀεί εἰσιν ἐν ταὐτῷ, οὔτ' αὐξάνουσιν, οὔτ' ἐκτείνονται· πάλιν τοῖς φυτοῖς δευτέρῳ τρόπῳ ἔνεστι κίνησις, ἔστι καὶ ἐφέλκυσις, ἥ τίς ἐστι δύναμις ἐκ τῆς γῆς ἐφελκομένη τὸ ὑγρόν· ἔστι δὲ τῇ ἐφελκύσει κίνησις ἥ τις ἔρχεται εἰς τόπον, καὶ τελειοῦταί πως ἡ πέψις. Καὶ διὰ τοῦτο, ὡς ἐπὶ τὸ πλεῖστον, αἱ μικραὶ βοτάναι μιᾷ ὥρᾳ μιᾶς ἡμέρας γεννῶνται, οὐκ ἔστι δὲ τοῦτο καὶ ἐν τοῖς ζῴοις· ἡ γὰρ ὕλη ἐν τοῖς ζῴοις ἐστὶ καθ' ἑαυτὴν καὶ διῃρημένη· οὐκ ἔστι δ' οὐδ' ἡ πέψις εἰ μὴ ἐν χρήσει μάλιστα καὶ αὕτη. Ἡ ὕλη δὲ τοῦ φυτοῦ τούτῳ ἐστὶ πλησίον, καὶ διὰ τοῦτο ὀξυτέρα ἐστὶν ἡ τούτου γένεσις, γεννᾶται δὲ καὶ αὐξάνει καὶ ὅπερ

Planta tres habet vires, primam ex genere terræ, secundam ex genere aquæ, tertiam ex genere ignis: a terra enim fixio est plantæ, ab aqua coagulatio, ab igne coadunatio fixionis plantæ. Videmusque multa ex his in fictilibus: sunt enim in his tria: lutum, quod est quasi cementum fictilis; secundum est aqua, quæ est qua uniuntur fictilia; tertium ignis, qui congregat partes illius, donec per ipsum compleatur generatio ejus. Apparitio igitur totius conjunctionis ab igne est, quia raritas inest fictilibus secundum partes suas, et quando usserit illas ignis, finietur materia humoris, et cohærebunt partes luti, provenietque siccitas loco humoris propter victoriam et digestionem in omni animali et planta et minera: digestio enim est, ubi humor est et calor, quando terminum consequuntur; eritque in digestione lapidum et minerarum. In animali vero et planta non sic, quia partes eorum non sunt compactæ, unde et ab eis fluxus venit; sed in mineris non est fluxus, nec sudor, quia partes earum non sunt raræ, et ideo nihil ab ipsis præter ipsa egreditur, ut ab animali et planta superflua quædam. Nec fit exitus nisi ex raritate: in quo ergo raritas non est, ab eo nihil omnino egreditur. Ideoque solidum est quod augeri non potest, quia quod augeri potest, indiget loco in quo dilatetur et crescat, ideoque lapides, sales, terra, unius modi sunt semper, nec augentur, nec crescunt; plantæ vero secundo modo inest motus, et est attractio, quæ est vis terræ quæ attrahit humorem, eritque in attractione motus, venitque ad locum, finiturque quodammodo digestio. Et ideo utplurimum herbæ minutæ in una hora unius diei generantur, non sicut animal: natura enim animalis a se diversa est: non enim erit digestio nisi in usu materiæ ab animali. Sed materia plantæ illi est vicina, et ideo velox est ejus generatio, nasciturque et crescit quod subtile est, citius quam spissum:

μᾶλλόν ἐστι λεπτὸν ἐν αὐτῷ παρὸ τὸ πυκνόν· τὸ γὰρ πυκνὸν πολυτρόπων δεῖται δυνάμεων διά τε τὴν διαφορὰν τοῦ οἰκείου σχήματος καὶ διὰ τὸ μῆκος τῶν μερῶν αὐτοῦ πρὸς ἄλληλα. Κἀντεῦθεν ὀξυτέρα καὶ φυτοῦ γένεσις, διὰ τὴν λεπτότητα ἑτέρου πρὸς ἕτερον, καὶ ταχυτέρα ἡ τελείωσις. Τὰ μέρη τῶν φυτῶν, ὡς ἐπὶ τὸ πλεῖστον, εἰσὶν ἀραιά, ὅτι ἡ θερμότης αὐτῶν τὴν ὑγρότητα πρὸς τὰ ἄκρα τῶν φυτῶν ἐφέλκεται, διασπείρεταί θ' ἡ ὕλη ἡ θρεπτικὴ εἰς ὅλα τὰ μέρη αὐτῶν· ὃ δὲ περιττεύει, ἐκχεῖται. Ὥσπερ δ' ἐν τοῖς βαλανείοις ἡ θερμότης τὴν ὑγρότητα ἐφέλκεται καὶ ταύτην εἰς ἀτμίδα μεταστρέφει, αὕτη δὲ κουφιζομένη, ὁπόταν περιττεύσῃ, μεταβάλλεται εἰς σταγόνας, οὕτω καὶ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς τὰ περιττώματα ἀναβαίνουσιν ἀπὸ τῶν κατωτέρων εἰς τὰ ἀνώτερα, καὶ καταβαίνουσιν ἀπὸ τῶν ἀνωτέρων εἰς τὰ κατώτερα.

spissum enim multis indiget viribus propter diversitatem suæ figuræ et elongationem partium ejus ab invicem. Et ideo velox est generatio propter similitudinem alterius ad alterum, citiusque completum est. Partes autem plantarum secundum plurimum sunt raræ, quia calor humorem ad extremitatem plantæ trahit, dispergiturque materia per omnes partes ejus, et quod superfluit, emanabit. Ut in balneo calor humorem attrahit, et in vaporem convertit, qui elevatur, et quando superfluus fuerit, vertetur in guttas, similiter quoque in animali et planta superfluitates ascendunt ab inferioribus ad superiora, et descendunt a superioribus ad inferiora in actionibus suis.

CAP. II.

Τοιουτοτρόπως δὲ καὶ οἱ ποταμοὶ οἱ ὑπὸ τὴν γῆν γεννῶνται ἀπὸ τῶν ὀρέων· ὕλη γὰρ αὐτῶν εἰσιν οἱ ὑετοί, καὶ ὅταν πληθυνθῶσι τὰ ὕδατα καὶ στενοχωρῶνται ἐντός, γίνεται ἐκ τούτων ἀτμὶς περιττή, ἥ τις διὰ τὸν ἐντὸς συμπιεσμὸν σχίζει τὴν γῆν, καὶ οὕτω φαίνονται πηγαὶ καὶ ποταμοὶ οἱ πρότερον μὴ φαινόμενοι, ἀλλ' ἐγκεκρυμμένοι τυγχάνοντες. Ἐκτεθείκαμεν δ' αἰτίας περὶ τῆς γενέσεως τῶν πηγῶν καὶ τῶν ποταμῶν ἐν τῷ ἡμετέρῳ βιβλίῳ τῷ περὶ μετεώρων, ἐν ᾧ εἴπομεν καὶ περὶ σεισμῶν, ὅτι πολλάκις δεικνύουσιν οὗτοι πηγὰς καὶ ποταμούς, οἳ πρότερον οὐκ ἐφαίνοντο, οἷον ὅτε σχίζεται ἡ γῆ ἐκ τῆς ἀναθυμιάσεως. Πολλάκις δ' εὑρίσκομεν ὅτι καὶ πηγαὶ καὶ ποταμοὶ συζεύγνυνται, ὅτε γίνεται σεισμός· τοῦτο δὲ τῷ φυτῷ οὐ συμβαίνει, ὅτι ἀὴρ ἐν τῇ ἀραιότητι τῶν μερῶν αὐτοῦ ἐστιν. Καὶ τοῦδε πάλιν σημεῖον· οὐδὲ σεισμὸς οὐδ' ἐν τοῖς τόποις τοῖς ψαμμώδεσι πέφυκε γίνεσθαι, ἀλλ' ἐν τόποις πυκνοῖς καὶ σκληροῖς, ὁποῖοί εἰσιν οἱ τῶν ὑδάτων καὶ τῶν ὀρέων· καὶ γὰρ συμβαίνει σεισμὸς ἐν τοῖς τόποις τούτοις, ὅτι τὸ ὕδωρ ἐστὶ στερρὸν καὶ οἱ λίθοι στερροί· τῇ φύσει δὲ τοῦ ἀέρος τοῦ θερμοῦ καὶ ξηροῦ ἔνεστι τὸ ἀναβαίνειν ἐκ τῆς κουφότητος. Ὅταν γοῦν συνέλθωσι τὰ μέρη αὐτοῦ καὶ κατακυριεύσωσι, συνωθοῦσι τὸν τόπον, καὶ ἐντεῦθεν ἐξέρχεται ἀπ' αὐτοῦ βιαία ἀναθυμίασις. Ἐὰν δ' ὁ τόπος ἦν ἀραιός, οὐκ ἂν ἐξήρχετο οὕτως, ἀλλ' ὡς ἐπὶ τῆς ψάμμου συμβαίνει· ἐξέρχεται γὰρ καὶ ἐντεῦθεν ἀναθυμίασις, ἀλλὰ κατὰ βραχύ, καὶ διὰ τοῦτο οὐ γίνεται σεισμός. Ἁπλῶς οὖν ἐν τοῖς στερεοῖς πᾶσι τοῦτο οὐ συμβαίνει, λέγω τὸ κατὰ βραχὺ τὸν ἀέρα ἐξέρχεσθαι· συναγόμενα γὰρ τὰ μέρη τούτου δύνανται τὴν γῆν σχίζειν, καὶ τοῦτ' ἐστὶν αἰτία τοῦ σεισμοῦ ἐν σώμασι στερεοῖς, ἐν τοῖς μέρεσι δὲ τῶν φυτῶν καὶ τῶν ζῴων σεισμὸς οὐ γίνεται, ἀλλ' ἐν ἄλλοις πᾶσι, καὶ πλειστάκις ἔν τε τοῖς ὀστρακώδεσι καὶ ἐν ὑέλῳ καὶ λοιποῖς μετάλλοις· ἐν ᾧ γὰρ σώματί ἐστι

Et eodem modo fluvii, qui sub terra generantur a montibus, materiaque eorum pluviæ sunt. Quando ergo multiplicantur aquæ, et constrictæ interius fuerint, fiet ex eis vapor superfluus propter compressionem interius, scinditque terram, et apparebunt fontes et flumina, quæ prius cooperta erant. [II.] Præmisimus autem generationes fontium et fluviorum in libro Meteororum. Et terræ motus ostendunt sæpe fontes et flumina, quæ prius non apparuerant, quando scinditur terra ex vapore. Sæpe etiam invenimus fontes et flumina submergi, quando fiunt terræ motus; sed hoc plantæ non contingit, quia aer est in raritate partium ejus. Signum autem est, quod terræ motus in arenosis locis non fit, sed in locis duris, quæ sunt loca aquarum et montium. Similiter quoque ascendit terræ motus in eis, quia aqua est solida lapidesque solidi, naturaque aeris calidi et sicci est ascendere. Quum ergo convenerint ejus partes, corroboratur, impelletque locum, exitque ab eo ille vapor, qui, si locus rarus esset, exiret vapor primitus paulatim; sed quia solidus, hoc ei non evenit, ut paulatim exiret, congregatisque partibus suis, potuit terram scindere. Hoc ergo est causa terræ motus in corporibus solidis, et ideo in partibus plantæ et animalis terræ motus non erit, in aliis vero erit, multotiensque in fictilibus et in vitro et in mineris alicubi; sed cujus fuerit multa raritas,

πολλὴ ἀραιότης, ἔθος καὶ τὴν ἀναθυμίασιν ἀναβαίνειν· ὑποκουφίζει γὰρ αὐτὴν ὁ ἀήρ. Καὶ συχνάκις τοῦτο βλέπομεν, ὅταν βάλλωμεν χρυσὸν εἰς τὸ ὕδωρ, ἢ ἄλλο τι βαρύ, καὶ παραυτίκα βυθίζεται· καὶ πάλιν ὅταν βάλλωμεν ξύλον ἀραιόν, ἢ βραχύ, καὶ ἐπιπλέει, καὶ οὐ βυθίζεται. Ὅθεν οὐ διὰ τὰ φύλλα οὐ καταδύεται τὸ καταδυόμενον πολλάκις ξύλον, οὐδὲ διὰ τὸ ὑποκείμενον τὸ βαρύ, ἀλλ' ὅτι τὸ μέν ἐστι στερρὸν καὶ πυκνόν, τὸ δ' ἀραιόν· τὸ δ' ἀραιὸν παντάπαν οὐ βυθίζεται· ἔβενος δὲ καὶ τὰ αὐτῷ παραπλήσια βυθίζονται, ὅτι μικρά ἐστιν ἐν τούτοις ἡ ἀραιότης, καὶ οὐδ' ἔστιν ἐν αὐτοῖς ἀὴρ ὁ δυνάμενος ταῦτα κουφίσαι. Καταδύονται δέ, ὅτι τὰ μέρη αὐτῶν λίαν εἰσὶ πυκνὰ καὶ στερρά· πᾶν δ' ἔλαιον καὶ πάντα τὰ φύλλα τοῦ ὕδατος ὑπερνήχονται. Καὶ τοῦτο ἤδη ἀποδεικνύομεν· ἔγνωμεν γὰρ ὅτι ἐν τούτοις ἐστὶν ὑγρότης καὶ θερμότης, καὶ ἔθος τοῦ ὑγροῦ ἐστι τοῖς τοῦ ὕδατος μέρεσι συνάπτεσθαι· ἡ δὲ θερμότης ποιεῖ ἀνάγεσθαι τὸ ὑγρόν, καθὼς παρέπεται ἐν τῷ καιρῷ τοῦ ἔαρος· ἔθος δὲ καὶ τοῦ ὕδατος τὸ κουφίζειν πάντα πρὸς τὴν ἰδίαν ἐπιφάνειαν ἕως τῆς τοῦ ἀέρος ἐπιφανείας, ὥστε ποιεῖν αὐτὸν ἀνέρχεσθαι· τὴν δ' ἐπιφάνειαν αὐτοῦ οὐχ ὑπερβαίνει τὸ ὕδωρ· ἡ γὰρ ὅλη ἐπιφάνεια αὐτοῦ μία ἐστὶ μετὰ τῆς τοῦ ἀέρος, καὶ διὰ τοῦτο ἄνεισι καὶ τὸ ἔλαιον ὑπεράνω τοῦ ὕδατος. Εἰσὶ δὲ καί τινες λίθοι οἳ τοῦ ὕδατος ὑπερνήχονται διὰ τὸ κενὸν μόνον τὸ ἐν τούτοις μεῖζον ὂν τῶν ἐν αὐτοῖς μερῶν, καὶ διὰ τὸ τὸν τόπον τοῦ ἀέρος μείζονα εἶναι τοῦ τόπου τοῦ σώματος τῆς γῆς· φύσις γάρ ἐστι τοῦ ὕδατος ὑπεράνω βαίνειν τῆς γῆς, τοῦ δ' ἀέρος τὸ ὑπεράνω βαίνειν τοῦ ὕδατος. Ἡ τοῦ ἀέρος τοίνυν φύσις τοῦ ἐγκλειομένου τῷ λίθῳ ἀναβαίνει ἐπάνω τοῦ ὕδατος, καὶ τῷ ὅλῳ ἀέρι συνάπτεται· καὶ γὰρ ἕκαστον τὸ οἰκεῖον ὅμοιον ἐφέλκεται, καὶ συνακολουθεῖ ἡ φύσις τοῦ μέρους τῷ ὅλῳ ᾧ συζεύγνυται. Εἰ τοίνυν ἔσται τις ῥαγία κούφη, τὸ μὲν ἥμισυ αὐτῆς καταδύσεται ἐν ὕδατι, τὸ δὲ λοιπὸν ὑπερνήξεται, ὅτι μείζων ἐν αὐτῷ ὁ ἀὴρ τοῦ λοιποῦ σώματος τοῦ λίθου. Διὰ τοῦτο πάντα τὰ δένδρα βαρύτερά εἰσι τῶν τοιούτων λίθων. Οἱ ἐν τοῖς ὕδασι δὲ λίθοι γίνονται ἐκ τῆς συγκρούσεως τῶν ὑδάτων τῆς ἰσχυρᾶς· γίνεται γὰρ πρῶτον ἀφρός, εἶτα συμπήγνυται οὕτως οἷόν τι γάλα λιπαρόν, καὶ ὅτε τὸ ὕδωρ τῇ ψάμμῳ προστρίβεται, συναθροίζει ἡ ψάμμος τὴν λιπότητά πως τοῦ ἀφροῦ, ξηραίνει τ' αὐτὴν ἡ ξηρότης τῆς θαλάσσης μετὰ περιττῆς τῆς ἁλυκότητος, καὶ οὕτω συνάγονται τὰ μέρη τῆς ψάμμου, καὶ τῷ ἐπιμήκει τοῦ χρόνου γίνονται λίθοι.

consuevit ascendere : sublevat enim ipsum aer. Multotiens quoque hoc videmus, quum projicimus aureum in aquam, vel aliud ponderosum, et mergitur statim, et projicimus lignum rarum, et non mergitur. Ergo non propter folia mergitur, nec propter ponderositatem, sed quia est solidum; sed rarum non mergitur omnino. Ebenus quoque et quæ sunt illi vicina, merguntur, quia in eis est parva raritas, unde non erit in ipso aer, qui ipsum posset extollere. Merguntur ergo : partes enim ejus ut multum solidæ sunt; sed oleum omne et folia aquæ supernatant. Id autem jam ostendimus : scimus enim, quod in his est calor et humor, et consuetudo humoris est partibus aquæ adhærere, et caloris quod facit ascendere et quod consequitur ad partes aeris, et mos aquæ quod elevat ea ad superficiem, ususque aeris ut faciat se ipsum ascendere, et ideo ad superficiem ejus non ascendit aqua, quia tota superficies aquæ una est, ideoque ascendit cum oleo super aquam. Lapides quoque quidam aquæ supernatant propter inanitatem, quæ est in eis major quam quantitas suarum partium, eritque idem locus aeris major loco corporis terræ, naturaque aquæ super terram ascendere, aeris vero super aquam. Materia ergo lapidis, quæ est ex genere terræ, mergitur in aquam, naturaque aeris inclusi in lapide ascendit super aquam. Quidlibet ergo suum simile attrahit e contrario naturæ ejus cum quo conjungitur. Si ergo mutaketia (*hoc est proportio commixta*), mergetur medietas lapidis in aquam, medietasque supereminebit; quodsi major fuerit aer, natabit lapis super aqua. Eodem modo omnes arbores ponderant. Sed lapides qui sunt ex collisione undarum forti, sunt primum spuma, coagulabunturque ut lac unctuosum, et quando unda arenæ illiditur, congregabit arena unctuositatem spumæ, siccabitque illam siccitas maris cum superflua salsedine, et congregabuntur partes arenæ, et hæ per longitudinem temporis fient lapides.

CAP. III.

Ἡ δήλωσις δ' ὅτι ἡ θάλασσα ποιεῖ καθ' ἑαυτὴν ψάμμον, οὕτως ἐστίν, ὅτι πᾶσα γῆ οὐκ ἔστι γλυκεῖα. Ὅτε οὖν στῇ ἐν αὐτῇ τι ὕδωρ, κωλύεται ὁ ἀὴρ ἀλλοιῶ-

Significatio vero, quod mare sit super arenas, est quod omnes terræ sunt dulces in gustu. Et quando steterit aqua, prohibetur a sua alteratione facietque in loco illo aquam

σαι αὐτό. Ἔτι δὲ χρονίζοντος τῷ τόπῳ τοῦ ἐμπεριειλημμένου ὕδατος, ἐπεὶ οὐ δύναται τοῦτο παρομοιῶσαι ἑαυτῷ ὁ ἀὴρ (κυριεύουσι γὰρ ἐν αὐτῷ τῷ ὕδατι τὰ μέρη τὰ γεώδη, ἅ εἰσιν ἁλυκά), ἀνάγκη ἐπὶ πλέον θερμανθέντα κατὰ βραχὺ καὶ ἄμφω ποιῆσαι πηλὸν ἔμφυτον. Τοῦτο δ' οὐ δύναται γενέσθαι ἐν ὕδασι γλυκεροῖς διὰ τὴν γλυκύτητα καὶ τὴν λεπτότητα αὐτῶν, ἀλλ' ἐν τοῖς ἁλμυροῖς, ὅτι κυριεύει ἐν τούτοις ἡ ξηρότης τῆς γῆς, καὶ ἢ μεταβάλλει τὸ ὕδωρ εἰς τὸ εἶδος αὐτῆς, ἢ πλησίον αὐτῆς τοῦτο ποιεῖ, καὶ ἑκάτερον ἀλλοιοῦται. Σκληρύνουσα δ' ἡ σκληρότης τῆς γῆς κατὰ τὴν δύναμιν τῆς συμπήξεως αὐτῆς τὴν ὑπόστασιν τοῦ ὕδατος, διαιρεῖ τὸν πηλὸν εἰς ἴδια μέρη σμικρά, καὶ διὰ τοῦτο γίνεται ἡ γῆ ἡ τῇ θαλάσσῃ πλησιάζουσα ψαμμώδης. Οὕτω καὶ αἱ πεδιάδες, αἵ τινες οὐκ ἔχουσιν ὅπερ ἂν περικαλύψῃ αὐτὰ ἀπὸ τοῦ ἡλίου, εἰσί τε καὶ μεμακρυσμέναι ἀφ' ὕδατος γλυκεροῦ· ξηραίνει γὰρ ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος τῆς γλυκείας, ἀπομένει δ' ὃ ἐστιν ἐκ τοῦ γένους τῆς γῆς, καὶ διότι ἐνδιατρίβει ὁ ἥλιος ἐν τούτῳ τῷ τόπῳ τῷ ἀπερικαλύπτῳ, διαχωρίζονται τὰ μέρη τοῦ πηλοῦ, καὶ γίνεται ἐντεῦθεν ψάμμος. Τούτου δὲ σημεῖόν ἐστιν, ὅτι ἐν τοιούτῳ τόπῳ βαθὺ κοιλαίνομεν καὶ εὑρίσκομεν πηλὸν ἔμφυτον, καὶ ἔστιν οὗτος ῥίζα ψάμμου. Οὐ γίνεται δὲ ψάμμος εἰ μὴ κατὰ συμβεβηκός· συμβαίνει δὲ τοῦτο, ὅτι ἔστι διατριβὴ τῆς κινήσεως τοῦ ἡλίου, ὡς ἔφημεν, καὶ μακρυσμὸς ἀφ' ὕδατος γλυκεροῦ. Τοιουτοτρόπως νοητέον καὶ περὶ τῆς ἁλμυρότητος τῶν ὑδάτων τῆς θαλάσσης· ἡ ῥίζα μὲν γὰρ πάντων τῶν ὑδάτων ἐστὶ γλυκερά, καὶ οὐκ ἄλλως συμβαίνει αὐτῇ ἁλμυρότης εἰ μὴ κατὰ τὸν τρόπον τὸν λεχθέντα. Καὶ τοῦτο σημεῖόν ἐστιν αἰσθητὸν ὅτι ἡ γῆ μέν ἐστιν ὑποκάτω τοῦ ὕδατος, τὸ δ' ὕδωρ ὑπεράνω ἐξ ἀνάγκης καὶ φυσικῶς, κἀντεῦθεν καὶ κυριώτερον συμβέβηκε τῷ ὕδατι τὸ εἶναι στοιχείῳ παρὸ τῇ γῇ. Ἐφρόνησαν δέ τινες στοιχεῖον εἶναι τὸ πάντων τῶν ὑδάτων πλεῖστον· πλεῖστον δ' ἐστὶ τὸ ὕδωρ τῆς θαλάσσης, καὶ διὰ τοῦτο καὶ στοιχεῖον πάντων ἐκρίθη τῶν ὑδάτων. Ἔστι δὲ τὸ ὕδωρ φυσικῶς ὑπερέχον τῆς γῆς καὶ λεπτότερον αὐτῆς, καὶ διὰ τοῦτο ἀπεδείξαμεν ὅτι καὶ τὸ ὕδωρ πάντως κουφότερόν ἐστι τὸ γλυκὺ τοῦ ἁλμυροῦ. Πλὴν λάβωμεν καὶ ὡς ἐν παραδείγματι δύο σκεύη ἴσα, καὶ θῶμεν ἐν αὐτοῖς ὕδωρ γλυκὺ καὶ ὕδωρ ἁλμυρόν· μετὰ ταῦτα προσλάβωμεν ᾠόν, θῶμεν δὲ τοῦτο ἐν τῷ ὕδατι τῷ γλυκεῖ, καὶ αὐτίκα καταδύσεται. Μετὰ ταῦτα θῶμεν αὐτὸ καὶ ἐν τῷ ὕδατι τῷ ἁλμυρῷ, καὶ ὑπερνήξεται, καὶ ἀναβήσεται ἐπάνω τῶν μερῶν τοῦ τοιούτου ὕδατος, διότι τὰ μέρη τούτου οὐ διαζεύγνυνται ὡς τὰ μέρη τοῦ ὕδατος τοῦ γλυκεροῦ· ἐκείνου μὲν γὰρ τὰ μέρη οὐ δύνανται ὑπομένειν διὰ τὴν λεπτότητα βάρος, τούτου δὲ διὰ τὴν παχύτητα δύνανται, καὶ διὰ τοῦτο οὐ καταδύεται τὸ ἐπιτεθὲν αὐτῷ. Οὕτω φυσικῶς ἐν τῇ νεκρᾷ θαλάσσῃ οὔτε καταδύεται ζῷον, οὔτε γεννᾶται· κυριεύει γὰρ ἡ ξηρότης ἐν αὐτῷ, καὶ ἐν παντὶ ὅπερ ἐστὶ πλησίον

comprehensam, nec sublimabit eam aer; obtinuerunt ergo in ea partes terræ, factæque sunt salsæ, et calefactæ paulatim sunt : lutum enim ingenuum est in fluminibus dulcibus propter suavitatem et subtilitatem aquæ; et quia obtinuit in aqua siccitas terræ, convertit eam in genus terrarum, vel prope eam, incrispavitque utrumque alterum, duravitque postea siccitas secundum durationem fixionis terræ et existentiam aquæ, divisitque lutum per parvas partes, et ideo terra mari propinqua arenosa. Et sic campi, qui non habent quod eas cooperiat a sole, et sunt remoti ab aqua dulci, siccavitque sol partes humiditatis dulcis, remansitque quod est de genere terræ, et quia perseveravit sol in hoc loco non cooperto, separatæ sunt partes luti, factaque est arena. Hujus quoque signum, quod quum in hoc loco profunde cavaverimus, inveniemus lutum ingenuum. Erit ergo hoc radix arenæ, nec fiet arena nisi per accidens contingensque illi, quod est mora motus solis, et elongatio ab aquis dulcibus. Eodem quoque modo sciendum est de salsedine aquarum maris, quia radix omnium aquarum est dulcis, nec accidit ei salsedo, nisi ut diximus. Hujus signum sensatum, quod terra sub aqua est, aquaque super terram necessario naturaliter, quæ aqua propius accedit ad elementum. Senserunt autem quidam, quod communius est omnium ipsorum plurimum; plurimum autem aqua maris : mare ergo elementum omnium aquarum. Est autem aqua naturaliter eminens super terram et subtilior ipsa : jam enim ostendimus, quod aqua est elevatior elevatione terræ secundum altitudinem corporis aquæ. Accipiamus ergo duo vasa æqualia, ponamusque in illis aquam dulcem et aquam salsam; postea accipiamus ovum, et ponamus ipsum in aqua dulci, et mergetur; postea ponamus in salsa, et natabit. Ergo ascendit super partes aquæ salsæ, quia partes ejus non merguntur, sicut partes aquæ dulcis, et illæ partes potuerunt sustinere illud pondus, et non est mersum. Sic autem in mari mortuo non mergitur animal, nec generatur, quia vincit siccitas in eo, et est propinquum

τοῦ σχήματος τῆς γῆς. Φαίνεται τοίνυν ἐντεῦθεν ὅτι τὸ ὕδωρ τὸ παχύ ἐστιν ὑποκάτω τοῦ μὴ παχέος· τὸ γὰρ παχύ ἐστιν ἐκ τοῦ γένους τῆς γῆς, τὸ δὲ λεπτὸν καὶ ἀραιὸν ἐκ τοῦ γένους τοῦ ἀέρος, καὶ διὰ τοῦτο ὑπερέχει τὸ ὕδωρ τὸ γλυκὺ πάντων τῶν ὑδάτων· ἐκεῖνο γάρ ἐστιν ὑπάρχον τῆς γῆς πορρωτέρω. Ἤδη τοιγαροῦν ἔγνωμεν ὅτι τὸ ὕδωρ τὸ πορρωτάτω τῆς γῆς φυσικόν ἐστι, καὶ τὸ γλυκὺ τοῦ θαλαττίου ὑπερκεῖσθαι ἀπεδείξαμεν, καὶ φυσικὸν τοῦτο εἶναι τῷ ῥηθέντι σημείῳ φανερὸν καὶ ἀναγκαῖον ἐγένετο. Γεννᾶται δὲ τὸ ἅλας ἐν ἱσταμένοις ὕδασιν, οἷς τὸ γλυκὺ γίνεται ἁλμυρόν· ὑπερβαίνει δ' ἡ ἁλμυρότης τῆς γῆς ἐκείνην τὴν ἁλμυρότητα· ἀπομένει γὰρ ἐκείνῃ μὲν ἀὴρ ἐγκεκλεισμένος, ταύτῃ δ' οὔ, καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐκεῖνο τῆς γῆς τὸ σῶμα γλυκύτητός τινος μετέχον κατὰ πάντα τρόπον, εἰ καὶ τὸ γένος τοῦτο ἐξ ὕδατός ἐστιν, ὃ ἐξέρχεται ἐξ αὐτῆς τῆς γῆς ὡς ἱδρώς.

figuræ terræ. Patet ergo, quod aqua spissa est sub non spissa : spissa enim est de genere terræ, rara vero de genere aeris, et ideo supereminet aqua dulcis omnibus aquis : illa ergo a terra est remotior. Jam autem scimus, quod aqua quæ remotissima est a terra, naturalis est; aquam autem dulcem ceteris supereminere ostendimus : hanc ergo naturalem esse, hoc signo certum et necessarium est. Generatur quoque sal in lacunis, quia aqua dulcis fit salsa : superat ergo salsedo terræ illam salsedinem, remanebitque aer inclusus, et non erit ideo illud corpus dulce. Aliquo modo ergo ejus esse est ex aquis, quod exit ab eis ut sudor.

CAP. IV.

Πρὸς τούτοις ὀφείλομεν εἰδέναι ὅτι καὶ αἱ βοτάναι καὶ τὰ εἴδη οὐκ εἰσὶν εἰ μὴ ἐκ συνθέσεως, καὶ οὐκ ἐξ ὕλης ἁπλῆς, ἀλλ' ὥσπερ ἐστὶν ἡ ἁλυκότης ἀπὸ τοῦ ὕδατος τῆς θαλάσσης καὶ τῆς οὐσίας τῶν ψάμμων· αἱ ἀναθυμιάσεις γὰρ αἱ ἀναβαίνουσαι, ὅταν συμπαγῶσι, δύνανται συμπεριλαβεῖν τὴν αἰτίαν τῆς τῶν βοτανῶν ὑπάρξεως· καταπίπτει γὰρ ἀὴρ ἐντεῦθεν, καὶ δροσίζει τὸν τόπον, καὶ προέρχονται ἐξ αὐτοῦ διὰ τῆς δυνάμεως τῶν ἀστέρων τὰ εἴδη τῶν σπερμάτων. Ὕλη δ' ἀναγκαία ἐστὶ τὸ ὕδωρ, εἰ καὶ διαφορά ἐστιν ἐν τῷ γένει τοῦ ὕδατος· τὸ γὰρ ἀνερχόμενον οὐκ ἔστιν εἰ μὴ ὕδωρ γλυκύ· τὸ δ' ἁλμυρὸν βαρύ ἐστι, καὶ οὐ συναναβαίνει τῷ γλυκεῖ· τὸ δ' ὑπερβαῖνον τοῦτο τὸ λεπτότερόν ἐστι τοῦ ὕδατος· ὃ δὴ ἐὰν ἐφελκυσθείη ὑπὸ τοῦ ἀέρος, λεπτύνεται καὶ ἐπὶ πλέον ἀναβαίνει, κἀντεῦθεν γίνονται πηγαὶ καὶ ποταμοὶ ἐν τοῖς ὄρεσι, καὶ εἰς πολὺ διατρέχουσιν. Καὶ σημεῖον τούτου ἐστὶ τὸ αἷμα τὸ ἀνερχόμενον εἰς τὸν ἐγκέφαλον· ὥσπερ γάρ τι ἐκ τῶν τροφῶν μετὰ τῆς ἀναθυμιάσεως ἀνέρχεται, οὕτω καὶ εἰς πάντα τὰ ὕδατα· καὶ γὰρ καί τι τοῦ ὕδατος τοῦ ἁλυκοῦ ἄνεισι μετ' ἐκείνου ὃ ἐξήρανεν ἡ θερμότης, εἰς τὸ εἶδος τοῦ ἀέρος, ὅς ἐστιν ἀκριβῶς ὑπεράνω παντὸς γλυκέος ὕδατος καὶ ἁλμυροῦ. Παράδειγμα δὲ τοῦ λόγου τούτου εὑρήκαμεν ἐν τοῖς βαλανείοις πολλάκις· ὅταν γὰρ τὸ ὕδωρ τὸ ἁλμυρὸν καταλάβῃ θερμότης, λεπτύνει τὰ μέρη αὐτοῦ, ἀναβαίνει τ' ἀναθυμίασις, ἥ τις ἦν ἐν τῷ ἐδάφει τοῦ βαλανείου, καὶ ἀναχωροῦσι τὰ πυκνὰ μέρη τῆς ἁλυκότητος μετὰ τοῦ ὑγροῦ τοῦ φυσικοῦ (οὐδὲ γάρ εἰσιν ἐκ τοῦ γένους τοῦ ἀέρος), ἵνα ἀκολουθήσωσι τῇ ἀναθυμιάσει, ἥ τις μία μετὰ τὴν ἄλλην προχωρεῖ ἄνω. Ὅταν γοῦν προχωρήσωσι πολλαί, καταπιέζεται ὁ ὄροφος, κἀντεῦθεν συνάγεται καὶ συμπήγνυται καὶ ἐπιστρέφει καὶ κάτω στάζει τὸ ὕδωρ τὸ

[III] Eodem modo quoque herbæ et species non fient nisi per compositionem, non per naturam simplicem, ut salsedo ab aqua maris et substantia arenarum, quia vapores ascendentes, quum coagulati fuerint, poterunt comprehendere has herbas, cadetque aer, rorificabitque locum, provenietque ex eo per virtutem stellarum forma illorum seminum. Sed materia necessaria (hæc autem est aqua), quamvis fuerit diversitas generum, et non ascendit aqua nisi dulcis, et sic aqua salsa ponderosior est, et sic quod super aquam ascendit, subtilius est aqua. Quum ergo attraxerit illud aer, subtiliabitur et ascendet magis, et ideo fiunt fontes et flumina in montibus, ut ascendunt phlegma et sanguis ad cerebrum; sic quoque cibi omnes ascendunt, et sic omnes aquæ. Sed aqua salsa ascendit cum eo quod siccavit calor, ad genus aeris, et quia fuit aer super aquam, fuit quod ascendit super aquam salsam, dulce. Invenimus autem sæpe illud in balneo : quum enim aquam salsam apprehenderit calor, subtiliabuntur partes ejus, ascenditque vapor e contrario quam erat in fundo balnei, et recesserunt partes salsedinis cum humore naturali, quia est ex genere aeris, et sequitur vaporem, proceditque unus post alium sursum, et quando accesserint, comprimunt illud tectum. Congregabitur ergo et inspissabitur et convertetur deorsum aqua dulcis guttatim, et

γλυκύ, καὶ οὕτως ἐν πᾶσι τοῖς βαλανείοις τοῖς ἁλμυροῖς ἐστιν ὕδωρ γλυκύ.

sic in omnibus balneis salsis erit vapor dulcis.

CAP. V.

Αἱ τοίνυν βοτάναι αἱ φυόμεναι ἐν τοῖς ὕδασι τοῖς ἁλυκοῖς οὐκ ὀφείλουσιν ἔχειν πληθυσμὸν διὰ τὴν ξηρότητα· καὶ γὰρ τὸ φυτὸν δύο δεῖται, ὕλης λέγω καὶ τόπου, τῇ ἰδίᾳ φύσει ἁρμοζόντων. Ὅταν γοῦν τὰ τοιαῦτα δύο παρῶσιν ὁμοῦ, προκόπτει τὸ φυτόν· ὅταν δ' εὕρωμεν ὕλην πορρωτάτω τῆς εὐκρασίας, ἐπὶ κενῆς ἐστιν· ἐμποδὼν γάρ ἐστι τῷ εἶναι τὸ ἐν τόπῳ εἶναι μὴ εὐκραεῖ. Ἔτι κοινῶς οὐχ εὑρίσκομεν φυτὸν ἐν χιόνι, πλὴν βλέπομέν ποτε φυτὸν φαινόμενον ἐν αὐτῇ, καί τινα ζῷα, καὶ ἐξαιρέτως ἕλμινθας· οὗτοι γὰρ γεννῶνται ἐν τῇ χιόνι, καὶ φλόμος, καὶ πᾶσαι βοτάναι πικραί. Ἀλλ' ἡ χιὼν οὐ ζητεῖ προχωρεῖν ἐπὶ τούτῳ, ἂν μὴ καὶ συζευχθείη τις αἰτία ἐν αὐτῇ, καὶ αὕτη ἐστὶν ὅτι ἡ χιὼν κατέρχεταί ποτε ὁμοία καπνῷ, συμπήγνυσί τε ταύτην ἄνεμος καὶ συσφίγγει ἀήρ. Πλὴν γίνεταί καὶ ἀραιότης τις ἐν τοῖς μέρεσιν αὐτῆς· κατέχεται γὰρ ἐν τούτοις θερμόν τι μέρος ἀέρος, μένει τ' ἐξ αὐτοῦ καὶ ὕδωρ σεσημμένον. Ὅταν γοῦν ὁ ἀὴρ ὁ ἐγκεκλεισμένος πλείονος γένηται πλατύνσεως καὶ ὁ ἥλιος παρουσιάσηται, ἀπορρήγνυται ὁ ἀὴρ ὁ συμπιληθεὶς ἐν τῇ χιόνι, καὶ φαίνεται ἡ ὑγρότης ἡ σεσημμένη, ἥ τις καὶ συμπήγνυται μετὰ τῆς θερμότητος τοῦ ἡλίου, καὶ οὕτω φύονταί τινες βοτάναι. Ἐὰν δ' ᾖ ὁ τόπος περικεκαλυμμένος, οὐ γίνονται ἐν αὐτῷ βοτάναι ἀλλ' ἢ ἄνευ φύλλων· ἀπεχώρησε γὰρ ἀπ' αὐτοῦ ἡ εὐκρασία τῆς γῆς ἡ ὁμογενὴς αὐτῇ· ὅθεν ἄνθη καὶ φύλλα ἐν βοτάναις μικραῖς μεμιγμένα εὑρίσκονται ἐν τόποις κεκραμένοις καθαρῶς δι' ἀέρος καὶ ὕδατος· ἐν ἑτέροις δὲ μὴ τοιούτοις σπάνιά εἰσι τὰ ἄνθη καὶ τὰ φύλλα τῶν φυτῶν τῶν συμβαινόντων ἐν τῇ χιόνι. Ὁμοίως καὶ ἐν τόποις πολλοῖς ἁλμυροῖς καὶ ξηροῖς ὡς ἐπὶ τὸ πλεῖστον οὐ φαίνεται φυτόν· οὗτοι γὰρ οἱ τόποι πόρρω εἰσὶν εὐκρασίας· ἐλαττονεῖται γὰρ ἡ γῆ, ἐξ ἧς μακράν εἰσιν ὑγρότης καὶ θερμότης, ἅπερ εἰσὶν ἴδια γλυκέος ὕδατος. Γίνεται δέ ποτε ἡ γλυκερὰ γῆ νεκρά, καὶ τότε οὐ γεννῶνται ὀξέως ἐν αὐτῇ βοτάναι.

Sed herbæ natæ in aqua salsa non debent esse propter multum frigus et siccitatem, et hoc est quod planta indiget duobus, materia scilicet et loco suæ naturæ convenienti, quumque hæc duo præsentia fuerint, proveniet planta. Invenimus autem nivem remotissimam naturam a temperantia, nec est in superfluo nisi prohibitio essendi in loco temperato. Non ergo invenimus plantam in nive; invenimus tamen sæpe plantam apparentem et omnia animalia, et præcipue lumbricos, quia hi fiunt in nive, et vibex omnesque herbæ amaræ. Sed nix non exigit ut sit hoc, sed vincit aliquid esse nivis, et hoc est quia nix descendit similis fumo, congelatque eam ventus et constringit eam aer. Erit ergo raritas inter partes ejus, retinebiturque aer in ea et calefiet manatque de ea aqua putrida quæ aerem incluserat, quumque fuerit aer multæ amplitudinis solque affuerit, erumpet aer comprehensus in nive apparebitque humiditas, putrida coagulabiturque cum calore soli. Quodsi fuerit locus coopertus, fient in eo plantæ sine foliis, quia recessit a temperantia terræ quæ homogenealis est. Et hoc est quod flores et folia in herbis minutis mixti sunt in locis temperatis in aere et aqua, et ideo pauci sunt flores et folia plantæ quæ contingit in nive. Eodem quoque modo in locis multum salitis et siccis : secundum plurimum non apparet in eis planta, quia hæc loca remota sunt a temperantia, et minoratur terra, quia longe sunt calor et humor, quæ propria sunt aquæ dulcis. Et ideo facta est terra dulcis montuosa, et cito nascantur ibi plantæ.

CAP. VI.

Ἐν τόποις δὲ θερμοῖς, ὅπου ἔστιν ὕδωρ γλυκὺ καὶ θερμότης πολλή, προφθάνει πέψις ἐκ τῶν δύο μερῶν, ἐκ τῆς διαθέσεως τοῦ τόπου μετὰ καὶ τοῦ ἀέρος τοῦ ἐν αὐτῷ ὑπάρχοντος, ἡ δὲ πέψις τοῦ ἀέρος ἐκ τῆς θερμότητός ἐστι τοῦ ἡλίου τῆς ἐν ἐκείνῳ τῷ τόπῳ. Ἐντεῦθεν καὶ τὰ ὄρη ἐφέλκονται ὑγρότητα, βοηθεῖ τ' αὐτοῖς καὶ ἡ θερμότης τοῦ ἀέρος, ἐπισπεύδει δὲ καὶ ἡ πέψις, καὶ διὰ τοῦτο τὰ φυτὰ ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ὄρεσι φύονται. Ἐν δὲ ταῖς ψάμμοις νικᾷ, ὡς προέρημεν, ἡ ἁλμυρότης, καὶ ἀπομένουσιν ἐν τοῖς μέρεσι τῆς ψάμ-

Sed in locis calidis, quia dulcis est aqua et calor multus, provenit decoctio duabus partibus, ex effectu loci cum aere in eo existente, et decoctio aeris ex calore solis in illo loco. Montes vero quia attrahunt humores et adjuvat illos claritas aeris et festinat decoctio, et ideo plantæ ut multum in montibus sunt. In eremis quoque vincit salsedo, ut præostendimus, et remanent ibi inter partes

μου ἀραιότητες ὅμοιαι πρὸς ἀλλήλας. Ὁ τοίνυν ἥλιος οὐκ ἔχει δύναμιν ἵν' ἐν αὐταῖς ἀπαρτίσῃ καὶ βεβαιώσῃ συνέχειαν οὐσίας. Τῷ τοι καὶ φυτὰ ἐν αὐταῖς, ὡς τὰ πολλά, οὐ γίνονται· εἰ δὲ καὶ γίνονται, οὐ κατὰ εἴδη ἴδια καὶ διάφορα, ἀλλὰ κατὰ εἴδη ὅμοια πρὸς ἄλληλα. Τὰ δὲ φυτὰ ἃ ἐν τῇ ἐπιφανείᾳ τοῦ ὕδατος γεννῶνται, οὐκ ἄλλως γεννῶνται εἰ μὴ διὰ τὸ πάχος τοῦ ὕδατος· ὅταν γὰρ θερμότης ἅψηται τοῦ ὕδατος, ἥ τις ἄνω που οὐκ ἔχει πῶς ἂν κινηθείη, τότε προέρχεται ἐπ' αὐτὴν παρόμοιόν τι νεφέλῃ, ὀλίγον τε τοῦ ἀέρος κατέχει, καὶ σήπεται τὸ τοιοῦτον ὑγρόν, ἐφέλκεταί τ' αὐτὸ ἡ θερμότης, ἥ τις ἐκτείνεται εἰς τὴν ὄψιν τοῦ ὕδατος, καὶ γίνεται ἐντεῦθεν φυτόν. Οὐκ ἔχει δὲ ῥίζαν, ὅτι ἡ ῥίζα ἐν τοῖς μέρεσιν ἑδράζεται τῆς γῆς, ἔχουσα μέρη διῃρημένα. Οὐκ ἔχει δὲ πάλιν οὐδὲ φύλλα, ὅτι μακράν ἐστιν ἀπὸ τῆς εὐκρασίας, καὶ οὐδὲ τὰ μέρη αὐτοῦ εἰσι συμπεπηγότα. Τοῦτο δὲ τὸ φυτὸν οἷον εἰς ὁμοιότητα φύλλων γεννᾶται, καὶ καλεῖται ἐπίπτερον. Τῶν δὲ λοιπῶν φυτῶν τῶν ἐν τῇ γῇ, ἐπεὶ τὰ τῆς γῆς μέρη εἰσὶ συμπεπηγότα, καὶ τὰ μέρη ἐξ ἀνάγκης τούτων εἰσὶ τοιαῦτα. Τὰ γοῦν φυτὰ τὰ ἐκ τῆς γῆς συμπεπηγότα γίνονται ἐκ σήψεων ἐν τόπῳ ὑγρῷ καὶ καπνώδει· αἱ γὰρ σήψεις κατέχουσιν ἀέρα, καὶ ὅταν πληθύνωνται οἱ ὑετοὶ καὶ οἱ ἄνεμοι, ὁ ἥλιος φαίνεσθαι ποιεῖ αὐτάς, κατεπείγει τε ξηραίνεσθαι καὶ συμπήγνυσθαι, καὶ ἡ ξηρότης τῆς γῆς τὰς ῥίζας αὐτῶν ποιεῖ, καὶ γίνονται ἐντεῦθεν φυτὰ καὶ μύκητες καὶ ὕδνα καὶ τὰ ὅμοια. Πάντα δὲ ταῦτα γίνονται ἐν τόποις θερμοῖς κατὰ λόγον διότι ἡ θερμότης πέττει τὸ ὕδωρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, κατέχει τε ταύτην ὁ ἥλιος, καὶ γίνεται ἀναθυμίασις, καὶ ἐντεῦθεν συμβαίνει ἡ ἀλλοίωσις εἰς φυτόν· ὁμοίως καὶ ἐν πᾶσι τόποις ὡς ἐπὶ τὸ πλεῖστον θερμοῖς πληροῦται ἡ τοῦ φυτοῦ ἀπάρτισις. Οἱ δὲ τόποι οἱ ψυχροί, εἰ καὶ οὗτοι τὸ ὅμοιον ποιοῦσί ποτε, πλὴν ἐκ τοῦ ἐναντίου· ὁ γὰρ ψυχρὸς ἀὴρ τὸ θερμὸν συμπιέζει κάτω, συμπήγνυσί τε τὰ μέρη αὐτοῦ, καὶ ὁ τόπος ἕψησιν πάσχει μετὰ τῆς προσούσης ὑγρότητος αὐτῷ. Τοῦ γοῦν περισσοῦ ὑγροῦ ξηρανθέντος, σχίζεται ὁ τόπος, καὶ ἐξέρχονται ἐξ αὐτοῦ φυτά. Ἐν τόποις δὲ γλυκεροῖς, ἐν οἷς τὸ ὕδωρ μὴ ἐπὶ πολὺ συμβαίνει χωρίζεσθαι, ὁπόταν ὁ ἀὴρ τῇ γῇ ἐγκλειόμενος ξηρανθῇ, ἡ ὑγρότης τε τοῦ ὕδατος συμπαγῇ, καὶ ὁ αὐτὸς ἀὴρ μείνῃ ἐν τοῖς ἐνδοτέρω τοῦ ὕδατος, ἐξέρχονται φυτά, ὡς τὸ νοῦφαρ τὸ ἰατρικὸν καὶ εἴδη βοτανῶν ἄλλα πολλῶν καὶ σμικρῶν, ἃ δὴ τοιουτοτρόπως γεννῶνται, πλὴν οὐκ εἰσὶν ἐκτεταμένα, διότι αἱ ῥίζαι αὐτῶν εἰσιν ἐπιπολαίως ἐν τῇ γῇ. Ἐν τόποις ὡσαύτως ἐν οἷς ὕδωρ θερμὸν τρέχει, πολλάκις φυτὰ γεννῶνται, διότι ἡ θερμότης τοῦ ὕδατος ἐφέλκεται ἀναθυμιάσεις προσφάτους ἐπὶ τῆς γῆς, ἡ δὲ ψυχρὰ φύσις τῆς ὑγρότητος τοῦ ὕδατος ὑποκάτω ἀπομένει, καὶ συμπήγνυται ὁ ἀὴρ ὁ ἐν τούτῳ τῷ ὑγρῷ, καὶ ὅταν πεφθῇ ἡ θερμότης τοῦ ἀέρος, πάλιν ἐν τούτῳ γεννᾶται τὸ φυτόν, οὐκ ἄλλως εἰ μὴ ἐν καιρῷ πολλῷ. Αἱ βοτάναι δ' αἱ μικραὶ αἱ φαινόμεναι ἐν

arenæ raritates similes ad invicem. Non ergo habebit sol virtutem, ut efficiat, vel confirmet continuitatem essentiæ. Plantæ ergo in eremis non erunt species propriæ, sed similes ad invicem. [IV] Planta autem quæ super superficiem aquæ nascitur, non erit nisi ex grossitudine aquæ, et hoc est quia, quum calor tetigerit aquam quæ cursum non habet quo moveatur, pervenit super eam simile nubi, parumque aeris retinet, putrescitque ille humor, attrahitque illum calor, et expansus est super faciem aquæ; et non habet radicem, quia radices in partibus duris terræ erunt, et aqua partes habet disgregatas et expansas. Evenit ergo calor cum putredine quæ nata est super faciem aquæ, et ideo non habet folia quia longe est a temperantia; et non sunt partes ejus compactæ, quia nec aquæ partes compactæ: unde etiam hæc planta ad similitudinem foliorum nascitur. Et quia terræ partes compactæ sunt, plantæ quoque compactæ sunt quæ super terram. Aliquotiens putrefiunt in loco humido et fumoso putredines quæ detinent aerem, et quando multiplicabuntur pluviæ et venti, sol apparere faciet illas, et faciet siccari et coagulari siccitas terræ radices illarum, et erunt inde fungi et tuberes et similia. Et quod erit in locis calidis vehementer, et hoc est quia calor digerit aquam in interioribus terræ, detinetque eum sol: fit ergo vapor, contingitque inde planta, et similiter in omnibus locis calidis, completurque in illo efficacia. Loca autem frigida simile faciunt per contrarium: frigidus enim aer calorem comprimit deorsum, et congregantur partes ejus, et locus decoquitur cum hac humiditate præsenti, finditurque locus, egrediturque ex eo planta. A locis vero dulcibus aqua ut multum non separatur: quum ergo aer terræ inclusus excitatus fuerit, manebit humiditas aquæ, coagulabiturque aer in interioribus aquæ, egrediturque planta, ut nenufar et species herbarum multarum, et hæ erectæ nascuntur, non expansæ, quia radices earum sunt super terram. In locis quoque in quibus aqua calida currit, multotiens planta nascitur, quia caliditas aquæ attrahit vapores retentos in terra, frigidumque humorem sursum trahit, et coagulatur aer ex eo humore, quem digerit caliditas aquæ, apparetque planta, sed nonnisi post tempus longum. Herbæ

τόποις θειώδεσι γίνονται ὅταν ἄνεμοι ὀξέως πνέωσιν ἀντίπνοιάν τε ποιῶσι καὶ ἀντιπλήττωσιν ἀλλήλους καὶ ἐξεγερθῇ ὁ ἀὴρ ὁ ἐν αὐτοῖς καὶ θερμανθῇ ὁ τόπος καὶ γένηται ἐντεῦθεν πῦρ καὶ μετὰ ταῦτα γεννηθῇ ὅπερ ἐστὶν ἐν τῷ βάθει ἀρσενίκιον, ὃ καταβαίνει ἐκ τῆς ἰλύος τοῦ ἀέρος, καὶ ἐφέλκεται πῦρ μετὰ σήψεως (τοῦτο γὰρ τὸ ἀρσενίκιον)· τότε γὰρ γίνεται ἐκ τούτου φυτά. Οὐ πολλὰ δὲ ταῦτα προβάλλεται φύλλα, καθὼς προαπεδείξαμεν, ὅτι ἡ εὐκρασία ἐκ τούτων πόρρω ἐστίν.

quoque minutæ quæ apparent in locis sulphureis, ventus quum vehementer flaverit super auripigmentum, repercutientur ad invicem, excitabiturque aer qui est in eo, et calefiet locus et fiet inde ignis, et postea fiet quod est in fundo auripigmenti, quod descendit ex fæce aeris, et attrahit ipsum ignis cum putredine auripigmenti, fietque ex eo planta, et ut multum non habebit folia multa, ut præostendimus, quia a temperantia remota est.

CAP. VII.

Ὅπερ δὲ φέρει τρόφιμόν τι φυτόν, ἐκεῖνο φύεται ἐν τόποις θερμοῖς καὶ κούφοις καὶ ὑψηλοῖς, καὶ μᾶλλον ἐν τῷ κλίματι τῷ τρίτῳ καὶ τῷ τετάρτῳ, καὶ πάλιν ὃ δένδρον ποιεῖ τι ἐγγὺς τροφίμου, ἐκεῖνο γεννᾶται ἐν τόποις ὑψηλοῖς καὶ ψυχροῖς. Καὶ διὰ τοῦτο πληθύνονται τὰ εἴδη ἐν τόποις τοιούτοις, διὰ τὴν ἐφέλκυσιν τοῦ ὑγροῦ καὶ τὴν εὐκρασίαν τὴν ἐκ τῆς θερμότητος τοῦ ἡλίου ἐν ἡμέραις χειμεριναῖς. Ὁμοίως καὶ ὁ πηλὸς ὁ ἔμφυτος ὀξέως προάγει φυτὰ πίονα· ἡ συμπίλησις γὰρ τῆς ὑγρότητος τούτου ἐν τόποις γλυκεροῖς γίνεται, ὡς προειρήκαμεν. Πάλιν τὸ φυτὸν τὸ ἐν τοῖς λίθοις τοῖς στερροῖς γεννώμενον μακρῷ χρόνῳ συμβαίνει· ὁ γὰρ ἀὴρ ὁ ἐμπεριειλημμένος τούτοις βιάζεται ἀναβῆναι, ἔξοδον δὲ μὴ εὑρίσκων διὰ τὴν ἰσχυρότητα τῶν λίθων ἐπαναστρέφει καὶ θερμαίνει ἑαυτόν, ἐφέλκεταί τε τὸ ὑγρὸν τὸ ἐναπολειφθὲν τοῖς λίθοις ἄνω, ἐξέρχεταί τ' ἀναθυμίασις σὺν ὑγρότητι μετὰ ἀναλύσεως σμικροτάτων μερῶν τῶν ἐν τοῖς λίθοις· καὶ γὰρ πολλάκις ἔθος ἐστὶ τοῖς λίθοις ἵνα βοηθῇ αὐτοῖς ὁ ἥλιος διὰ τῆς ἰδίας πέψεως, καὶ οὕτω γεννᾶται ἐξ αὐτῶν φυτόν· ὃ δ' οὐκ ἀναβαίνει ἐὰν μὴ πλησίον ᾖ γῆς, ἢ ὑγροῦ· ἡ γὰρ ὑπόστασις τοῦ φυτοῦ δεῖται γῆς, ὕδατος καὶ ἀέρος. Κατανοείσθω τοιγαροῦν τὸ φυτόν, καὶ εἰ ἔστι πλησίον τοῦ ἡλίου, ταχέως γεννᾶται· εἰ δ' ἐστὶν ὁ ἥλιος πρὸς δυσμάς, βραδύνει. Πάλιν τὸ φυτὸν ἐν ᾧ κυριεύει τὸ ὕδωρ, οὐ παραχωρεῖ τῷ ἀέρι ἀναβαίνειν, καὶ διὰ τοῦτο οὐ τρέφεται. Ὁμοίως καὶ ἡ ξηρότης ὅταν κρατήσῃ, ἀναστρέφει ἡ φυσικὴ θερμότης εἰς τὰ ἄκρα, καὶ βύει τοῦ φυτοῦ τὰς ὁδοὺς δι' ὧν οἱ πόροι, καὶ διὰ τοῦτο οὐ τρέφεται τὸ φυτόν. Καθολικῷ δὲ λόγῳ πᾶν φυτὸν τεττάρων τινῶν δεῖται, σπέρματος διωρισμένου, τόπου ἁρμοδίου, ὕδατος συμμέτρου καὶ ἀέρος ὁμοίου. Ὅταν οὖν ταῦτα πάντα συντελεσθῶσι, γεννᾶται φυτὸν καὶ αὐξάνει· ὅτε δὲ ταῦτα ἀποχωρήσουσιν, ἀσθενεῖ τῇ ἀποχωρήσει καὶ τὸ φυτόν. Πάλιν τὸ φυτὸν τὸ προϊὸν ἐν ὄρεσιν ὑψηλοῖς, εἰ ἔσται εἶδος, ἔσται προχειρότερον καὶ προσφυέστερον εἰς ἰατρείαν· ὁ καρπὸς δ' ὁ σκληρότερος εἰς πέψιν οὐχ, ὡς ἐπὶ τὸ πολύ, τρέφει. Τόποι δ' ἀπομεμακρυσμένοι τοῦ ἡλίου οὐκ εἰσὶ πολλῶν βοτανῶν γεννητικοί. Ὁμοίως ἐὰν ὁ ἥλιος μακρότητα

Quod autem comestibile est ex planta, erit in locis calidis, lenibus, altis, et maxime in climate tertio et quarto, et quod erit prope cibum, in locis frigidis et altis. Et ideo multiplicantur species in locis frigidis altis propter attractionem humorum et temperantiam in calore solis in diebus vernalibus. Similiterque lutum ingenuum cito producit plantam unctuosam, et comprehensio ejus est in aqua dulci, ut prædiximus. [V] Planta autem quæ super solidos lapides nascitur, longo tempore contingit: aer enim comprehensus in illis nititur ascendere, quumque viam non invenerit propter fortitudinem lapidum, revertitur et calefit et attrahit humorem residuum qui est in lapidibus, sursum exitque vapor cum illo humore cum resolutione parvarum partium lapidis, et quia sæpe usus est lapide, adjuvat eum sol in sua digestione, fitque ex eo planta. Et fere non ascendit, nisi propinqua fuerit terræ, vel humori; sed quod remanet de planta, eget terra, aqua, aere. Et consideratur planta, et si fuerit prope solem, citius nascetur, et si fuerit ad occidentem, retardabitur. Et planta, quando dominabitur in illa aqua, retinebit aerem, nec permittet eum ascendere, et non nutritur planta. Eodem modo siccitas quando obtinuerit, convertetur calor naturalis ad extremitates, et obturabit vias per quas erant meatus aquæ, et non nutritur planta. [VI] Tota siquidem planta quatuor indiget; animal quoque similiter: semine terminato, loco convenienti, aqua moderata, aere consimili, quumque hæc quatuor perfecta fuerint, nascetur planta et crescet; quodsi defecerint, debilitabitur secundum defectum. Planta autem quæ provenit in montibus altis, si fuerit species, erit promtior et aptior medicinæ; fructus vero durior ad digerendum et non multum nutriet. Loca vero a sole remota non erunt multarum plantarum, animalium quoque similiter, quia sol producit

τῇ ἡμέρᾳ προσάγῃ ἐν τῇ κινήσει αὐτοῦ καὶ κατακυριεύῃ τῆς ὑγρότητος, οὐκ ἔχει τὸ φυτὸν δυνάμεις φύλλα καὶ καρποὺς προάγειν. Τί δὲ καὶ περὶ τῶν φυτῶν χρὴ νοεῖν ἃ γεννῶνται ἐν ὑδαρώδεσι τόποις; ἐν τούτοις ὅτε τὸ ὕδωρ ἠρεμεῖ, γίνεταί τι καθάπερ ἰλύς, καὶ οὐκ ἔστι δύναμις ἐν τῷ ἀέρι ἵνα ὑποστήσῃ τὰ μέρη τοῦ ὕδατος· κατέχεται γὰρ αὐτὸς ὁ ἀὴρ ἐν τοῖς ἐνδοτέροις τῆς γῆς, καὶ κωλύει τὴν παχύτητα τοῦ ὕδατος ἀναβαίνειν. Εἰ γοῦν πλημμυρήσῃ ἄνεμος ἐν ἐκείνῳ τῷ τόπῳ καὶ συσφιγχθῇ ἡ γῆ, συμπιέσῃ θ' ἑαυτὸν ὁ ἐμπεριειλημμένος ἀήρ, καὶ συμπήξῃ ὁ ἄνεμος τὴν ὑγρότητα, προελεύσεται ἐκ ταύτης τῆς ὑγρότητος φυτὰ οὐ πολὺ διαφέροντα ἀλλήλων ἐν εἴδει καὶ σχήματι διὰ τὴν διαμονὴν καὶ τὴν παχύτητα τοῦ ὕδατος καὶ τὴν θερμότητα τοῦ ἡλίου ἄνωθεν. Πάλιν περὶ τῶν φυτῶν ἅ εἰσιν ἐν τόποις ὑγροῖς καὶ ἡ ἐπιφάνεια αὐτῶν φαίνεται ἐν τῇ ὄψει τῆς γῆς χλοάζουσα, λέγω ὅτι ἐν ἐκείνῳ τῷ τόπῳ μικρά ἐστιν ἀραιότης. Ὅταν οὖν ἐμπεσὼν ὁ ἥλιος κινήσῃ τὴν ἐν ἐκείνῳ ὑγρότητα, καὶ θερμάνῃ τὸν τόπον τῇ συμβαινούσῃ κινήσει καὶ τῇ θερμότητι τῇ ἐμπεριειλημμένῃ τοῖς ἐνδοτέροις τῆς γῆς, ὅ περ δὴ οὐ συμβαίνει ἐν οἷς οὐκ ἔχει τὸ φυτὸν ὅθεν ἂν αὐξηθῇ, καὶ ἡ ὑγρότης τῇ ἰδίᾳ ἐκτάσει διαχυθῇ, γίνεται καπνὸς ὑπεράνω τῆς γῆς ὡς ὕφασμα χλοάζον, κἀντεῦθεν γεννᾶται φυτὸν μὴ ἔχον φύλλα, ὑπάρχον ἐκ τοῦ γένους τοῦ φυτοῦ τοῦ φαινομένου εἰς τὴν ἐπιφάνειαν τοῦ ὕδατος. Ἔστι δὲ μεῖζον ἐκείνου, διότι πλησίον ἐστὶ τῆς γῆς, εἰ καὶ οὐκ ἀναβαίνειν καὶ ἐπεκτείνεσθαι δύναται. Πολλάκις δὲ καὶ ἐν φυτοῖς ἄλλο φυτὸν γεννᾶται οὐ τοῦ αὐτοῦ εἴδους καὶ τῆς αὐτῆς ὁμοιώσεως ἄνευ ῥίζης. Κινεῖται δὲ τοῦτο οὕτως· ὁπόταν φυτὸν πολλῶν ἀκανθῶν ἐν πίονι ὕδατι κινήσῃ ἑαυτό, ἀνοίγονται τὰ μέρη αὐτοῦ, καὶ ἀνιμᾶται ὁ ἥλιος τὰς ἐν αὐτῷ σήψεις, πέψιν τε ποιεῖ τούτῳ, καὶ τῇ ἰδίᾳ φύσει εἰς τὸν τόπον τὸν σεσημμένον βοήθειαν χορηγεῖ μετὰ θερμότητος εὐκράτου, κἀντεῦθεν αὐξάνει τὸ φυτόν, ὡς δοκεῖν νήματα ἐκτείνεσθαι εἰς ὅλον αὐτό. Καὶ τοῦτο ἴδιόν ἐστι τοῖς φυτοῖς τοῖς ἔχουσι πολλὰς ἀκάνθας. Τότε γοῦν γεννᾶται βοτάνη ἡ λεγομένη λινόζωστις καὶ τὰ ταύτῃ ὅμοια.

longitudinem diei in remotione sua, et comprebendit humorem illum, nec babebit planta vires folia et fructus producendi. Sed planta quæ nascitur in locis aquosis, aqua quum quieverit, fiet ut fæx, nec erit vis in aere ut subtiliet partes aquæ, detinebiturque aer in interioribus terræ, prohibebitque grossitudinem aquæ ascendere, mundabitque ventus in loco illo, et findetur terra, reprimetque se aer compressus,et coagulabit ventus illum humorem, provenietque ex illa humiditate planta stagnorum, et, ut multum, non differunt in forma propter perseverantiam et grossitudinem aquæ et calorem solis desuper. Sed planta quæ erit in locis udis, apparebit super faciem terræ ut viriditas. Dico ergo, in illo loco parvam esse raritatem, quumque ceciderit sol, movebit illam humiditatem, et calefiet locus cum motu contingente et calore compresso in interioribus terræ, et non habuit planta unde cresceret, et adjuvit eam humor sua expansione, et diffusa est super terram ut pannus viridis, nec habet folia. Nascitur autem de genere plantæ quæ apparet super superficiem aquæ, et hæc minor in quantitate quam illa, quia prope est generi terræ, nec ascendit, nec distenditur. Sæpe etiam ex planta alia planta nascitur, non suæ formæ, sine radice, movetque se super plantam, quia planta multarum spinarum unctuosæ aquæ quum se moverit, aperientur partes ejus, vaporabitque sol illas putredines, digeretque herbam cum sua natura locus putridus, adjuvatque anima cum calore temperato, et crescit planta ut fila, et tenduntur super plantam, et hoc proprium est plantæ multum spinosæ, ut cuscute,et similia.

CAP. VIII.

Πᾶσαι δ' αἱ βοτάναι, καὶ εἴ τι αὐξάνει ἐπάνω τῆς γῆς καὶ ἐν τῇ γῇ, πρόεισιν ἔκ τινος τούτων τῶν πέντε, ἅ εἰσι σπέρμα, ὑγρότης ἐξ ὕδατος, τόπος ἐπιτήδειος, ἀὴρ καὶ φυτεία. Καὶ ταῦτα τὰ πέντε εἰσίν, ὡς ἂν εἴποι τις, ῥίζαι φυτῶν.

Herbæ autem, et quicquid crescit super terram et in terra, provenit ex aliquo istorum quinque, quæ sunt semen, putredo, humor aquæ, plantatio, super aliam plantam nasci. Et hæc quinque radices sunt plantarum.

CAP. IX.

Τριπλῶς δ' ἡ τῶν δένδρων εὐπορία ἀκολουθεῖ· ἢ γὰρ προάγουσι τοὺς καρποὺς πρὸ τῶν φύλλων, ἢ σύναμα τοῖς φύλλοις, ἢ μετὰ τὰ φύλλα. Ἔστι τοίνυν

[VII] Triplex quoque est arborum fecunditas : aut enim fructum producit ante folia, aut cum foliis, vel post folia procreata. Est quoque planta quæ non habet radicem, nec

φυτὸν ὅ περ οὐκ ἔχει ῥίζαν, ἢ φύλλα· ἔστι καὶ ὅ περ φέρει φιτρὸν ἄνευ καρποῦ καὶ φύλλων, ὡς ἡ λεγομένη χρυσοκόμη, ἢ χρυσῖτις. Ἀλλὰ τὰ φυτὰ ἃ καρπὸν πρὸ τῶν φύλλων προάγουσι, πολλὴν ἔχουσι τὴν πιότητα. Ὅταν γοῦν ἐκταθῇ ἡ θερμότης ἡ. οὖσα φυσικῶς τῷ φυτῷ, ταχύνει καὶ ἡ τούτου πέψις, ῥώννυταί τε καὶ ζέει ἐν τοῖς κλάδοις τοῦ φυτοῦ, κωλύει τε τὸν χυμὸν ἵνα μὴ ἀναβαίνῃ ἀπ' αὐτοῦ, κἀντεῦθεν προχωροῦσι καρποὶ καὶ φύλλα. Ἐν δὲ τοῖς φυτοῖς ἃ ταχύτερον τὰ φύλλα προάγουσι, τί νοητέον; αἱ διαθέσεις τῶν ὑγρῶν εἰσι πολλαί. Ὁπόταν γοῦν ἡ θερμότης τοῦ ἡλίου ἄρξηται διασπείρειν τὰ μέρη τοῦ ὕδατος, ἄνω ἐφέλκεται ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος, καὶ βραδύνει ἡ πεπειρότης, διότι ἡ πέψις τοῦ καρποῦ οὐκ ἔστιν εἰ μὴ ἐν συμπήξει, καὶ προηγοῦνται τὰ φύλλα τῶν καρπῶν τῇ προσαγωγῇ τῆς πολλῆς ὑγρότητος. Πολλάκις δὲ συμβαίνει αὐτοῖς καὶ πιότης, ὁπόταν ἡ ὑγρότης ἡ ἐν τῷ φυτῷ πέψιν λάβῃ καὶ ἀναβῇ ἐξ αὐτῆς ἀτμὶς πυκνή, καὶ ἑλκύσῃ αὐτὴν ὁ ἀὴρ μετὰ τοῦ ἡλίου· τότε γὰρ ἐξέρχεται ἐκ τῆς ὑγρότητος ἐκείνης καὶ πιότης καὶ καρπὸς καὶ φύλλα μιᾷ ἐκθέσει. Οἱ παλαιοὶ δὲ σοφοὶ τὰ φύλλα πάντα καρποὺς εἶναι διεβεβαιοῦντο. Ἰστέον οὖν ὡς ὅτε ἡ ὑγρότης ἐστὶ τόση ὥστε μὴ πεπαίνεσθαι, μηδὲ συμπήγνυσθαι διὰ τὴν ἐκ τοῦ ἀέρος ἀνάπτυξιν καὶ τὴν ἄνωθεν σπουδὴν τῆς ἐφελκύσεως τοῦ ἡλίου, τότε ἡ ὑγρότης αὕτη, εἰς ἣν οὐκ ἐνηργήθη πέψις, ἀλλοιοῦται εἰς φύλλα· ἃ δὴ οὐκ ἔχουσιν ἄλλον σκοπὸν εἰ μὴ τὴν ἐφέλκυσιν τῆς ὑγρότητος, καὶ ἵν' ὦσι καὶ περικαλύμματα τῶν καρπῶν ἀπὸ τῆς σφοδρότητος τοῦ ἡλίου. Οὐ τοίνυν ὁμοίως δεῖ ἵνα τὰ φύλλα ὦσιν ὡς οἱ καρποί· ὁ γὰρ χυμὸς ὁ ἀναβαίνων ἀλλοιωθείς, οὗτός ἐστι τὰ φύλλα, ὡς εἴπομεν. Τοιουτοτρόπως ἐστὶν ἡ κρίσις καὶ ἐν ταῖς ἐλαίαις, αἳ πολλάκις στερίσκονται τῶν ἰδίων καρπῶν· ὁπόταν γὰρ ἡ φύσις πέψιν ποιήσῃ, ἀναβαίνει πρώτως ἐκ τῆς λεπτότητος, ὅ περ οὐκ ἐπεπάνθη ἐκ τῆς θερμότητος. Ἔστιν οὖν αὕτη ἡ ὑγρότης φύλλα· ἡ δὲ πέψις ἐστὶν ἄνθος. Ὅταν δὲ τελειωθῇ τῷ δευτέρῳ ἔτει ἡ πέψις, γεννῶνται καρποί, καὶ ἐκβαίνει εἰς τέλος ἡ ὕλη κατὰ τὸν τόπον τὸν ἐν αὐτοῖς.

folia, et est quæ stipitem sine fructu et folio habet, ut barba Jovis. Adhuc quoque ostendimus has tres operationes. Sed quæ fructum ante folia producit, multam habet unctuositatem, quumque digesserit eam calor qui est naturalis plantæ, festinabit ejus maturatio confortabiturque, et defervescet in ramis plantæ, prohibebitque humorem ne ascendat, ex eoque præcedit fructus folia. In plantis autem quæ folia citius producunt quam fructus, effectus humorum erunt multi, quumque calor solis inceperit dispergere partes aquæ, sursum attrahit sol partes illius humoris, et tardabitur maturatio, quia digestio fructus non erit nisi in coagulatione, et præcedunt folia fructus. Planta vero quæ folia et fructus simul producit, multos habet humores, et multotiens accidit ei unctuositas: quam quum calor digesserit, ascendet ex eo cum illa unctuositate, attrahetque illud aer cum sole, egredieturque unctuositas fructus, et humor folia producet una expositione. Antiqui vero sapientes folia etiam omnia fructus esse asserebant. Sed humor tantus erat quod non maturabantur, nec coagulabantur propter apparitionem caloris desuper et propter festinationem attractus solis. Humor ergo in quem non operata est digestio, alteratus est in folia, nec habent folia aliam intentionem nisi attractum humoris, et ut sint cooperimentum fructuum a vehementia solis. Et ideo oportuit, similiter ut folia essent et fructus; sed humor ascendit super ea, et alterata sunt folia, ut diximus. Eodem modo est judicium in oleis; sed oleæ sæpe privantur fructu, quia natura quando digesserit, ascendet primo de subtili quod non maturaverit, eritque ille humor folia, eritque illa digestio flores, quumque maturaverit in secundo anno digestio, nascetur fructus, exibitque ad finem materiæ secundum locum qui est in eo.

CAP. X.

Αἱ ἄκανθαι ὡσαύτως εἰσὶν ἐκ τοῦ γένους τῶν φυτῶν, οὐ μὴν τῆς αὐτῆς φύσεως. Λέγω γοῦν ὅτι ἐν τῷ φυτῷ ἐστιν ἀραιότης, καὶ ἐν τῇ ἀρχῇ τῆς φύσεως αὐτοῦ ἐστι πέψις, καὶ ἀναβαίνει ὑγρότης ψυχρὰ καὶ μετ' αὐτῆς βραχεῖα διάκρισις, διερχομένη ἐν ἐκείνῃ τῇ ἀραιότητι. Ποιεῖ γοῦν ταύτην συμπήγνυσθαι ὁ ἥλιος, κἀντεῦθέν εἰσιν αἱ ἄκανθαι. Διὰ τοῦτο καὶ τὸ εἶδος αὐτῶν ἐστι πυραμοειδές· ἔστι γὰρ ἡ βάσις αὐτῶν ἀρχομένη ἀπὸ παχέος καὶ προχωροῦσα εἰς ἰσχνόν. Τοῦτο δὲ γίνεται, διότι κατὰ βραχὺ ὁ ἀὴρ ἐπεκτεινόμενος τῷ φυτῷ αὐξάνει τὰ μέρη αὐτοῦ μετ' ἐπιτάσεως τῆς ὑλι-

Spinæ vero non sunt de genere plantæ, nec de natura ejus; sed dico quod in planta est raritas, et erit in principio naturæ decoctio, et ascendit humor et frigus et cum eis parva decoctio, ambulatque in illa raritate, facitque illud coagulari sol, eruntque ex illo spinæ. Et ideo erit forma earum pyramidalis : est enim pedetentim incipiens a gracili et procedens ad grossius paulatim, quia aer quum elongatus fuerit a planta illa, augentur partes

κῆς. Τοιουτοτρόπως καὶ πᾶν δένδρον, ἢ φυτὸν γίνεται οὗ ἡ κεφαλή ἐστι πυραμοειδής.

ejus cum extensione materiæ. Eodem modo omnis planta, vel arbor cujus caput fuerit pyramidale.

CAP. XI.

Ἡ χλοάζουσα δὲ χροιὰ ὀφείλει εἶναι πρᾶγμα κοινότατον ἐν τοῖς δένδροις· βλέπομεν γὰρ ὅτι, ὥσπερ κοινή ἐστιν ἡ λευκότης ἐντός, οὕτω καὶ ἡ χλοερότης ἐκτός, καὶ τοῦτό ἐστιν ὅτι ὕλῃ χρῶνται πλησιωτέρᾳ, ἤγουν μᾶλλον πεπεμμένῃ. Δεῖ τοίνυν ἵν' ᾖ χλοερότης ἐν πᾶσι τοῖς φυτοῖς ὅτι αἱ ὕλαι ἕλκουσι καὶ ἀραιοῦσι τὸ ξύλον τοῦ δένδρου, βραχεῖάν θ' ἡ θερμότης πέψιν ἐργάζεται, καὶ ἀπομένει τι ἐκεῖ ὑγρόν, ὃ φαίνεται ἔξωθεν. Καὶ τοῦτό ἐστιν ἡ χλοερότης ἡ ἐν τοῖς φυτοῖς, ἐὰν μὴ μείζων γένηται ἡ πέψις· ὀφείλει δ' εἶναι μέση ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς ξύλοις τῇ δυνάμει. Ἡ δὲ χλοερότης οὐ φθείρεται ἐὰν ᾖ ὑγρότης ἐν αὐτῇ, ἥ τίς ἐστιν ἐκ τοῦ γένους τῆς γῆς. Ἐξ ἀμφοτέρων γοῦν τούτων ἡ χροιὰ γίνεται ἡ χλοερά. Τούτου σημεῖον ὅτι οἱ φλοιοὶ τοῦ δένδρου, ὅταν ξηραίνηται αὐτό, μελαίνονται, ἐντὸς δ' εἰσὶ λευκοί. Ἐν τοῖς δένδροις γοῦν μεταξὺ τῶν δύο χρωμάτων χρῶμα χλοερὸν γίνεται ἐν τῇ ἐπιφανείᾳ αὐτῶν.

[VIII] Viriditas plantæ debet esse res communissima: in arboribus enim videmus quod interius est albedo, et viriditas exterius, et hoc est quia materia utuntur propinquiori. Oportet ergo ut sit viriditas in omnibus plantis, quia materiæ attrahuntur et rarificant lignum arboris, facitque calor parvam digestionem, remanetque ibi humor, apparetque exterius: erit ergo viriditas, et hoc est in foliis nisi quia major inest digestio, et ipsa sunt media inter casuram et lignum in potentia. Sed viriditas non moratur, nec est nisi humor in illa, estque de genere terræ, fitque inter illa ambo color viridis. Hujus autem signum quod cortices arboris, quando arescunt, denigrantur, et fiunt ligna alba interius, fitque in illis inter illos duos colores color viridis in apparentia plantæ.

CAP. XII.

Τοῦ δὲ σχήματος τῶν φυτῶν τρεῖς εἰσι τρόποι· τινὰ γὰρ ἄνω προχωροῦσι, τινὰ κάτω, τινὰ μέσον. Τὰ μὲν οὖν ἄνω ἐκτεινόμενα ἔχουσιν αἰτίαν ὅτι ἡ φύσις αὐτῶν φαίνεται ἐν τῇ ἐντεριώνῃ καὶ ἕλκει τὴν θερμότητα καὶ συμπιέζει ἐν ἑαυτῇ τὸν ἀέρα τὸν ὄντα ἐν ταῖς ἀραιότησιν αὐτῆς, πυραμιδοῦνται δ' .ὥσπερ πυραμιδοῦται τὸ πῦρ ἐν ταῖς ἰδίαις ὕλαις καὶ κουφίζεται. Ὅσα δὲ κάτω ἐκτείνεται, τούτων οἱ πόροι συμπήγνυνται· ὅταν γὰρ πέψις γένηται, τότε ἡ ὕλη πυκνοῦται τοῦ ὑγροῦ ἐν ᾧ ἐστιν ἡ ἐντεριώνη, κἀντεῦθεν ἐκπορεύεται μὲν τὸ λεπτὸν ἄνω, ἐπαναστρέφει δὲ τὸ ὑγρὸν πρὸς τὰ μέρη ἐκεῖνα κάτω· κινεῖ γὰρ ταύτην ἡ οἰκεία βαρύτης. Ἃ δὲ φυτὰ μέσον τῶν δύο εἰσίν, ἔχουσιν οὕτως· λεπτύνεται τὸ ὑγρόν, ὅτι ἡ φύσις τῆς εὐκρασίας γειτνιάζει τῇ πέψει, εἰσί τε καὶ οἱ πόροι μέσοι, καὶ ἡ ὕλη ἐπεκτείνεται καὶ ἄνω καὶ κάτω. Ἔστι δ' ἡ μὲν πρώτη πέψις ὑπὸ τὸ φυτόν, ἡ δὲ δευτέρα ἐν τῇ ἐντεριώνῃ, ἥ τις ἐξέρχεται μὲν ἀπὸ τῆς γῆς· ἔστι δὲ καὶ ἐν τῷ μέσῳ τοῦ φυτοῦ, καὶ μετὰ ταῦτα γίνεται ἡ διαίρεσις, ἥ τις συμβαίνει ἀπὸ τῆς δευτέρας, οὐκ ἀπὸ τῆς πρώτης πέψεως. Ἡ δὲ τρίτη πέψις ἐστὶν ἐν τῷ ζώῳ· οὐ γὰρ γίνεται αὕτη ἡ πέψις εἰ μὴ διὰ τὴν διαίρεσιν τῆς φύσεως τῶν μελῶν καὶ τὴν διάστασιν τῶν φυσικῶν πρὸς ἄλληλα. Τὰ δὲ φυτὰ γείτονά εἰσι πρὸς ἑαυτά, καὶ διὰ τοῦτο πληθύνονται ἐν πολλοῖς τόποις· ὡς ἐπὶ τὸ πλεῖστον δ' ἡ ὕλη τῶν φυτῶν κάτω ἐκτείνεται. Τὰ σχήματα τοίνυν τῶν φυτῶν εἰσιν ἐν τῇ φύσει καὶ τῇ

Figuræ autem plantæ tres sunt modi: quædam enim sursum prodeunt, quædam deorsum, quædam inter hæc. Sed quæ tendit sursum, est quia materia ejus apparet in medulla plantæ, et attrahit calor, et comprimit ipsam aer qui est inter raritates ipsius, pyramidaturque sicut pyramidatur ignis in suis materiis et elevatur. Quæ autem deorsum tendit, meatus coangustantur, quumque digesta fuerit materia, inspissabitur aqua in qua est medulla plantæ, proceditque subtile sursum, convertiturque aqua ad partes illas deorsum, movetque illam sua ponderositate. Quæ vero inter duas partes fuerit, subtiliatur humor, et natura vicinatur temperantiæ in digestione, eruntque meatus medii, tenditque materia sursum et deorsum. Est autem prima digestio desub planta, et secunda, quæ est in medulla quæ exit a terra, quæ est in media planta, et postea apparent maturæ, dividunturque, nec digeruntur tertia digestione: tertia enim digestio est in animali: nec enim fit tertia digestio nisi propter diversitatem membrorum et remotionem naturarum ad invicem. Sed plantæ vicinæ sunt ad invicem, et ideo multiplicantur in multis locis, et, ut plurimum, materia plantarum inferius tendit. Figuræ vero plantarum

ποσότητι τῶν σπερμάτων, τὰ ἄνθη δὲ τῶν φυτῶν καὶ οἱ καρποί εἰσιν ἐν ταῖς ὑγρότησι καὶ ἐν ταῖς ὕλαις. Κεῖται τοίνυν ἡ πρώτη κίνησις καθολικῶς καὶ ἡ πέψις ἐν πᾶσι τοῖς ζῴοις, καὶ οὐκ ἀποχωροῦσιν ἀπ' αὐτῆς πάντα τὰ ζῷα· ἐν τοῖς φυτοῖς δ' ἐστὶν ἡ πρώτη πέψις, εἶτα ἡ πέπανσις κατὰ τὴν τροφὴν αὐτῶν. Ἕκαστον οὖν δένδρον ἀναβαίνει ἀεί, ἔστ' ἂν πληρωθείη· αἰτία δ' αὕτη ἐστὶν ὅτι ἐπὶ μὲν τῶν ζῴων ἑκάστου τὸ μῆκος πλησίον ἐστὶ τοῦ ἰδίου πλάτους, ἐν τῷ φυτῷ δὲ πόρρω, ὅτι ἡ ῥίζα αὐτοῦ, ἤγουν τὸ πῦρ καὶ τὸ ὕδωρ, σπεύδουσιν εἰς ἀνάβασιν, ἵνα δημιουργηθῇ τὸ φυτόν. Ἡ διαφορὰ δὲ τῶν φυτῶν ἐν τοῖς κλάδοις ἐστὶν ἐκ τῆς περιττῆς ἀραιότητος· ὅταν γὰρ συμπιεσθῶσιν οἱ χυμοί, θερμαίνεται ἡ φύσις καὶ σπεύδει εἰς τὴν πέψιν, κἀντεῦθεν τυποῦνται οἱ κλάδοι καὶ φαίνεται τὰ φύλλα, ὡς προείπομεν.

erunt in quantitate seminum; flos vero plantæ et fructus sunt in aquis et materiis. Et positus est motus primus maturatio et digestio in omnibus animalibus, nec recedunt ab hoc; sed in planta est prima digestio et maturatio secundum nutrimentum. Quælibet vero arbor ascendit semper, donec compleatur et intereat, et hoc est quia cujuslibet animalis longitudo propinqua est suæ latitudini; in plantis vero remota est, quia radix ejus, aqua et ignis, festinant in ascensu, et procreatur planta. Diversitas vero plantæ in ramis est de superflua raritate, quumque comprehensi fuerint humores, calefiet natura et festinabit in digerendo, formabunturque rami et apparebunt folia, ut prædiximus.

CAP. XIII.

Τὸ δὲ τὰ τῶν δένδρων φύλλα πίπτειν ἐστὶ διὰ τὴν ἐπιφορὰν τῆς ὀξείας ἀραιότητος· ὅταν γὰρ πεφθῇ ἡ ὑγρότης μετὰ τῆς ὕλης, πυραμιδοῦται, καὶ μετὰ ταῦτα κατισχναίνουσι, καὶ ὅταν φανῇ ἡ ὕλη τῇ πέψει πεπληρωμένη, τότε τελείως βύονται τὰ ἄκρα τῶν πόρων ἄνω, καὶ διὰ ταῦτα, ἐπεὶ τὰ φύλλα οὐκ ἔχουσιν ὕλην, ξηραίνονται καὶ πίπτουσιν· ἐὰν δὲ συμβῇ τὸ ἐναντίον ὧν εἴπομεν, οὐ πίπτει τὸ φυτὸν εἰς στέρησιν τῶν ἰδίων φύλλων. Ὅταν δὲ πάλιν νικήσῃ τὸ φυτὸν ψυχρότης, θερμαίνει αὐτὸ ἡ ἐγκλειομένη τούτῳ θερμότης, καὶ ἡ φανέρωσις τῆς ψυχρότητος γίνεται ἐκτὸς ἐν τοῖς ἄκροις αὐτοῦ, καὶ ἀποτελοῦνται ἐντεῦθεν τὰ φύλλα γλαυκά, καὶ οὐδὲ πίπτουσιν, ὡς οὐδ' ἐπὶ τῶν ἐλαιῶν καὶ τῶν μυρσινῶν καὶ τῶν λοιπῶν. Ὁπόταν δ' ἔχωσι τὰ δένδρα καὶ τὰ φυτὰ δύναμιν τοῦ ἕλκειν σφοδρῶς, γίνεται καρποφορία ὁμοῦ, ἥ τις συμβαίνει, ὅτι χρῆται ἡ φύσις πέψει κατὰ διαδοχὴν συχνῇ καὶ ἐν ἑκάστῃ πέψει καρπὸν προάγει πολύν, καὶ διὰ τοῦτό τινα φυτὰ καὶ πολλάκις ἐν τῷ χρόνῳ καρποφοροῦσιν. Τὸ δὲ φυτὸν ὅπερ ἐστὶν ὡς ἡ φύσις τοῦ ὕδατος, μόλις καρποφορεῖ διὰ τὴν ἐπικράτειαν τῆς ὑγρότητος αὐτοῦ καὶ τὸν πλατυσμὸν τῶν ἰδίων πόρων καὶ τὴν ἀπορροὴν τῶν ἰδίων ῥιζῶν· ὅταν δ' ἰσχυροποιηθῇ τὸ θερμόν, ταχύνει θ' ἡ τούτου πέψις καὶ λεπτύνεται ἡ ὑγρότης καὶ οὐ συμπήγνυται· οὐδ' οὕτω πάλιν γίνεσθαι καρποφορίαν συμβαίνει, καὶ τοῦτο εὑρίσκεται ἐν πάσαις ταῖς βοτάναις ταῖς λεπταῖς, ἀλλὰ δὴ καὶ ἔν τισι λαχάνοις.

[IX] Quod autem folia arborum cadunt, erit propter fluxibilitatem velocis raritatis, quumque digesta fuerit aqua cum materia, pyramidabitur, ideoque erunt meatus eorum interius ampli et posthac graciliabuntur et pyramidabuntur, et quando apparuerit materia cum digestione completaque fuerit perfecte, obturabit extremitates meatuum superius, nec habebunt folia materiam: siccantur ergo, et cum contrario ejus quod diximus, non cadit planta. Quumque vicerit plantam frigus, colorabit eam cum occultatione caloris in medio plantæ et apparitione frigoris exterius in extremitatibus ejus, et ideo glauca fiunt folia, nec cadunt, ut oliva, myrtus et similia. Sed quum habuerint arbores vel plantæ virtutem attrahentem vehementer, erit fructificatio una: quam si non habuerint, utetur natura digestione vicissim, et in qualibet digestione fructum producet, et ideo quædam plantæ sæpe in anno fructificant. Planta vero quæ est sicut natura aquæ, vix fructificat propter dominium humiditatis suæ et amplitudinem meatuum suorum et fluxibilitatem suarum radicum, quumque incanduerit calor, festinabit ejus digestio, et subtiliabitur propter aquam, et non coagulabitur, et istud invenitur in omnibus herbis minutis et in aliquibus oleribus.

CAP. XIV.

Φαιότης δὲ γίνεται ἐν τόποις σφόδρα θερμοῖς, καὶ ἔστιν ἐν τούτοις ὀλίγος καρπος ἐκ τῆς ὑγρότητος, διότι εἰσὶ στενοὶ οἱ πόροι. Ὅταν γοῦν θελήσῃ ἡ φύσις πέψιν ποιῆσαι, μὴ ἔχουσα ὑγρότητα ἀρκοῦσαν τῇ ὕλῃ, τότε γίνονται οἱ πόροι στενώτεροι. Ἐπαναστρέφει

Venetalitas autem erit in terris vehementer calidis, et erit ibi parum humoris, et fient angusti meatus, quumque voluerit natura digerere, non habebit humorem qui sufficiat materiæ, fientque meatus angusti. Revertetur ergo digestio, con-

γοῦν ἡ πέψις, καὶ συνεχῆ ταύτην ποιεῖ ἡ θερμότης, καὶ φαίνεται τότε τὸ μέσον λευκοῦ καὶ μέλανος ἐν χρώματι. Καὶ ὅταν τοῦτο τοιουτοτρόπως γένηται, τότε τὸ ξύλον φθάνει γίνεσθαι μέλαν, καὶ πᾶν τὸ πλησιάζον τῷ φαιῷ, καὶ τοῦτο ἔστιν ἰδεῖν ἀπὸ τοῦ ἐβένου καὶ τῆς πτελέας. Ὁ δ' ἔβενος καταδύεται ἐν τῷ ὕδατι, ὅτι τὰ μέρη αὐτοῦ εἰσι συμπεπηγότα καὶ οἱ πόροι στενοί, καὶ ἀὴρ οὐκ εἰσέρχεται ἐν αὐτοῖς. Ὃ δ' ἐκ τῶν ξύλων τῶν λευκῶν βυθίζεται, ἔστι διὰ τὴν στενότητα τῶν πόρων καὶ τὴν περιττότητα τῆς ὑγρότητος τῆς βυούσης τοὺς πόρους, ὥστε μὴ ἐξέρχεσθαι ἀπ' αὐτῶν ἀέρα. Τὸ δ' ἄνθος ἐκ λεπτῆς μόνον ὕλης ἐστίν, ὅταν ἄρξηται ἡ πέψις, καὶ διὰ τοῦτο προηγεῖται τοῦ φυτοῦ, ὡς ἐδείξαμεν. Ἐντεῦθεν γοῦν δεικνύομεν καὶ τὴν αἰτίαν δι' ἣν τὰ φυτὰ ἐκφέρουσι φύλλα πρότερον, εἶτα καρπούς. Ὃ δ' ἐν τῷ φυτῷ τῷ ἔχοντι στενοὺς πόρους γίνεται χρῶμα, ἔσται ἐν χρώματι σαπφειρίνῳ, καὶ διότι συμπιέζονται αὐτοῦ τὰ μέρη, εἰς λευκότητα κλίνει· ὅταν δ' εἰς εὐκρασίαν φθάσῃ, ἐστὶ γλαυκόν. Διότι δέ τινα φυτὰ ἄνθη οὐκ ἔχουσιν, ἔστιν ἡ αἰτία ὅτι, ὡς ἐπὶ τὸ πλεῖστον, γίνεται τοῦτο διὰ τὴν διαφορὰν τῶν ἐν αὐτοῖς μερῶν καὶ τὴν ἐν αὐτοῖς λεπτότητα καὶ τραχύτητα καὶ παχύτητα. Οὐκ ἔχουσι δ' ἄνθη φοίνικες, συκαῖ καὶ τὰ τούτοις ὅμοια.

tinebitque eam calor, videbiturque inter albedinem et nigredinem in colore. Quod autem hoc modo fuerit, lignum habebit nigrum, et omne quod approximatum fuerit inter albedinem et ebenum, et hoc est ab ebeno usque ad ulvam. Et ideo mergitur in aqua, quia partes ejus sunt compactæ et meatus angusti, nec aer intrat in illos. Quod autem de lignis album mergitur, erit propter angustiam meatuum et superfluum humorem, qui obturat meatus, ut non ingrediatur aer: ergo mergitur. Flos si quid de subtili tantum materia erit, quando incipit digestio, et ideo præcedit fructum in plantis, ut plurimum. Ostendimus autem causam, quare plantæ producant folia prius quam fructus. Quod ergo in planta angustarum partium fuerit, erit in colore ut lazulum, et quando non comprimentur partes ejus, ad albedinem declinabit; quumque temperatum fuerit, erit glaucum. Quod autem quædam flores non habent, ut plurimum fit propter soliditatem suarum partium et suam subtilitatem et asperitatem et grossitudinem. Non ergo habent flores, ut palma et similia.

CAP. XV.

Τὸ δὲ φυτὸν τὸ παχεῖς ἔχον φλοιοὺς ἐκτείνεται κατὰ τὴν ἔκτασιν τῆς ὑγρότητος καὶ τὴν συνώθησιν τῆς θερμότητος, καὶ τοῦτό ἐστιν ἐν τῇ πεύκῃ καὶ τῷ φοίνικι. Τὸ δὲ φυτὸν τὸ γάλα ἐκβάλλον ἔχει τοῦτο ἐν τῷ μέσῳ· ἔστι δ' ἡ θερμότης ὑποκάτω ἰσχυροτέρα, καὶ μένει ἐκεῖ πιότης. Ὁπόταν οὖν ἄρξηται ἡ θερμότης πέττειν, στρέφεται ἡ πιότης εἰς τὴν οἰκείαν ὑγρότητα, καὶ συμπήγνυσι ταύτην συμπήξει βραχείᾳ, καὶ θερμαινομένου τοῦ τόπου, γίνεται ἡ ὑγρότης λιπαρά, ὁμοία γάλακτι, ἐγείρεταί τ' ἀναθυμίασις ἀπὸ τῆς ὑγρότητος τῆς ἑλκούσης τὸ γάλα ἐκεῖνο εἰς τὰς ἀκρότητας, καὶ κατέχει ἡ ὑγρότης τὴν θερμότητα τὴν φαινομένην, καὶ οὕτω συμπήγνυται τὸ γάλα· φύσις γάρ ἐστι τῆς θερμότητος τὸ συμπηγνύειν. Ὁποῖον δή τι δὲ γάλα πολλῆς ἐστι συμπήξεως, τότε γίνεται, ὅταν ἐν τῷ δένδρῳ φανῇ ψῦχος· συμπηγνύμενον γὰρ μετὰ ταῦτα ἐξέρχεται ἀπὸ τοῦ οἰκείου τόπου, καὶ ἐντεῦθέν ἐστι τὸ κόμμι. Τὸ κόμμι δὲ τὸ θερμὸν προέρχεται ἐν τῷ στάζεσθαι· ὁπόταν γοῦν τοῦ ἀέρος ἅψηται, συμπήγνυται καὶ καταρρεῖ ἐν τόπῳ εὐκράτῳ, καὶ ἔστιν ὅμοιον ὕδατι. Ἕτερον δὲ χέεται καὶ συμπήγνυται ὅμοιον λίθοις, ἢ κογχυλίοις. Ὅτε δὲ κατὰ στράγγα ῥεῖ, μένον ἐν τῷ οἰκείῳ εἴδει, γίνεται ὡς τὸ λεγόμενον σμηρίον. Τὸ δ' ἀλλοιούμενον ὡς λίθος ἐστί, κατὰ τὸ φαινόμενον λίαν ψυχρόν· ποιεῖ δὲ τοῦτο ἡ θερμότης τοιοῦτον εἶναι·

Planta vero quæ grossos habet cortices, extenditur propter tensionem humoris et impulsionem caloris, et hoc est in pinu et palma. Sed planta quæ lac emittit, habebit lac in medio, eritque calor subterius fortis, eritque ibi unctuositas. Quumque inceperit calor digerere, convertetur unctuositas in illum humorem, et coagulabit ipsum cum coagulatione parva, et calefiet locus, fietque aqua unctuosa similis lacti, elevabiturque vapor ab humore, qui attrahet lac illud ad extremitates, et retinebit humor calorem apparentem. Et non coagulabitur illud lac, quia usus est caloris ut coagulet lac, et quodlibet lac multæ est coagulationis. Quum fuerit in arbore frigus apparens, coagulabitur lac, postquam exierit a loco, et inde erit gummi. Gummæ vero calidæ procedunt distillando, cumque aerem tetigerint, coagulabuntur. Et quædam manant in loco temperato, et erunt similes aquæ; quædam vero manant et coagulantur, similes lapidibus, vel conchis. Sed quod guttatim manat, remanet in forma sua, et erit ut arbor quæ dicitur aletafur. Quod vero alteratur, ut lapis, erit in apparentia valde frigidum et

ὅταν δ' ᾖ ψῦχος καὶ καταρρῇ, ἀπολιθοῦται. Πάλιν τῶν δένδρων τινὰ ἀλλοιοῦνται ἐν τῷ χειμῶνι, καί ποτε μὲν γίνονται χλοερά, ποτὲ δὲ γλαυκά, καὶ οὐ φθείρονται οὔτε τὰ φύλλα αὐτῶν, οὔθ' οἱ καρποί, ὅτι τὰ φυτὰ ἐν οἷς τοῦτο συμβαίνει, ἔχουσιν ἐπάνω θερμότητα παχεῖαν καὶ ἐν ταῖς ῥίζαις ὑγρότητα λεπτήν· ὅθεν ἐν τῇ προόδῳ τοῦ ἔτους κατέχει ἡ ὑγρότης ἐκεῖνο τὸ χρῶμα διὰ τὴν ψυχρότητα τοῦ ἀέρος. Καὶ ὅτε παραβάλλει ἡ θερμότης πρὸς τὴν ψυχρότητα, ὠθεῖ ἡ θερμότης τὴν ὑγρότητα ἔξωθεν, μετὰ τοῦ οὗ περ ἔβαψε χρώματος τοῦ ἐν τῇ ἐπιφανείᾳ τοῦ δένδρου ἀκολουθοῦντος. Ὅτε δὲ στρέφεται πάλιν ἡ ψυχρότης καὶ ἡ ξηρότης εἰς ἐνέργειαν καὶ ἡ ὑγρότης κατέχει τὴν θερμότητα, τότε τὸ χρῶμα φαίνεται τὸ γλαυκόν.

faciet calor ipsum apparere, quumque manaverit, lapidescet, fietque in terra calida superflue. Arborum autem quædam alterantur in hieme, fientque quandoque virides, quandoque glaucæ, et non corrumpuntur folia earum, nec fructus, quia arbores quibus accidit hoc, habebunt calorem grossum, et in barbis inferioribus aquam subtilem. Ergo in processu anni retinebit aqua illa calorem propter frigiditatam aeris, et quia accessit calor ad frigus, impulit calor humiditatem exterius cum eo quod tinxit colore caloris, et apparet ideo color in apparente arboris. Consequenter vertitur frigus et siccitas ad actum, et humor retinet calorem, et ideo apparet alius color.

CAP. XVI.

Πικρὸς δὲ γίνεται καρπός, ὅθ' ἡ θερμότης καὶ ἡ ὑγρότης οὐκ εἰσὶ πλήρεις ἐν τῇ πέψει· ἡ ψυχρότης γὰρ καὶ ἡ ξηρότης ἐμποδίζουσι τὴν τελείωσιν, καὶ οὕτω στρέφεται εἰς πικρίαν ὁ καρπός. Τούτου σημεῖον ὅτι τὸ πικρὸν εἰς πῦρ ἐμβληθὲν γλυκὺ γίνεται. Δένδρα δ' ὅσα γεννῶνται ἐν ὕδατι ὀξώδει, ποιοῦσι καρπὸν γλυκύν, διότι τὸ ὀξῶδες ἕλκει μετὰ θερμότητης τοῦ ἡλίου ὅπερ ἐστὶ τῆς ἰδίας ποιότητος, καὶ τοῦτο ψυχρότης ἐστὶ καὶ ξηρότης, κἀντεῦθεν ἀπομένουσιν ὑγρότητές τινες ὀλίγαι ἔνδον γλυκεῖαι, θερμαίνεταί τε καὶ ἡ κοιλία τοῦ δένδρου, ὅταν προσμείνῃ ἐς αὐτὴν ὁ ἥλιος, καὶ οὕτω γίνεται ὁ χυμὸς τοῦ καρποῦ στύφος ὀλίγον, καὶ ὅσον πλέον πεπεμμένος γένηται, διαλύεται κατὰ μικρὸν τὸ ὀξῶδες, ἔστ' ἂν καταναλωθῇ καὶ φανῇ ἡ γλυκύτης. Ἔσται τοίνυν ὁ καρπὸς γλυκύς, τὰ δὲ φύλλα αὐτοῦ καὶ οἱ ἀκρέμονες ξηροί. Ὅταν δὲ τελειωθῇ ἡ πεπειρότης, ἐπὶ πλέον γίνεται ὁ καρπὸς πικρός· τοῦτο δ' ἐστὶ διὰ τὴν περισσὴν θερμότητα μετὰ βραχείας ὑγρότητος· καταναλίσκεται γὰρ ἡ ὑγρότης, ποιεῖ θ' ὁ καρπὸς τὴν θερμότητα ἀναβαίνειν, καί ἐστι τότε ὁ καρπὸς πικρός. Γίνονται δὲ καὶ οἱ πυρῆνες πυραμοειδεῖς διὰ τὴν ἐφέλκυσιν τοῦ θερμοῦ καὶ τὴν περιττὴν ψυχρότητα καὶ ὑγρότητα τὴν ἐντὸς κειμένην, ἅ εἰσιν ἐκ γένους τοῦ ὀξώδους ὕδατος· μένει γὰρ τὸ ὑγρὸν ἐν μέσῳ καὶ καταπυκνοῦται καὶ ἰσχναίνει τὰ ἄκρα. Τὰ δένδρα δὲ τὰ ὄντα ἐν γῇ εὐκράτῳ ἐπισπεύδουσι τὴν πεπειρότητα πρὸ τῶν χειμερινῶν ἡμερῶν, ὅτι ἡ θερμότης ὅταν ᾖ πλησίον τῆς εὐκρασίας, γένηται δὲ καὶ ἡ ὑγρότης φανερὰ καὶ ὁ ἀὴρ καθαρός, καὶ οὐ δεῖται ὁ καρπὸς πολλῆς θερμότητός τε καὶ πέψεως, σπεύδει τότε ἡ τοῦδε πεπειρότης, καὶ πρόεισι πρὸ ἡμερῶν χειμερινῶν. Ἐν πᾶσι γοῦν τοῖς δένδροις, ὅταν πρῶτον φυτευθῶσιν, ἐπικρατεῖ τὸ πικρόν, ἢ τὸ στρυφνόν, ἐπεὶ ἡ ὑγρότης ὅταν ἐν τοῖς ἄκροις γένηται αὐτῶν, πέττει τοὺς τόπους τοὺς ὄντας ἐν τῷ μέσῳ τῶν δένδρων, ἐξ ὧν ἐστι καὶ ἡ ὕλη τῶν καρπῶν, προέρχε-

Fructus vero erit amarus, quia calor et humor non sunt completi in digestione; frigus quoque et siccitas impediunt, ut compleantur: convertuntur ergo ad amaritudinem. Hujus signum quod amarum missum in ignem dulcescit. Arbores autem quæ nascuntur in aqua acetosa, faciunt fructum dulcem, quia acetositas attrahit cum calore solis quod fuerit suæ qualitatis, et hoc est frigus et siccitas. Apparent ergo aquæ intrinsecæ dulces, calefitque venter arboris, quando perseveravit super eam sol, eritque sapor fructus acetosus in successione, et quanto plus digestum fuerit, dissolvetur paulatim acetositas, donec consumatur, apparebitque dulcedo. Erit ergo fructus dulcis, foliaque sua et extremitates acida. Quumque perfecta fuerit maturatio, erit amarus, et hoc est propter superfluum calorem cum pauco humore. Et consumitur humor, facitque fructus calorem ascendere, eritque amarus. Eruntque nuclei ejus pyramidales propter attractionem caloris superius, et frigiditatis et humoris inferius, quæ sunt ex genere aquæ acetosæ, remanetque humor in medio, inspissaturque medium et gracilliantur extremitates. Arbores vero quæ fuerint in terris temperatis, accelerant maturationem ante dies vernales, quia calor quando fuerit prope temperantiam, fueritque humor apparens, aerque clarus, non egebit fructus multo calore in digestione. Festinat ergo ejus maturatio, provenitque ante dies vernales. Omnibus quidem arboribus, quum primum plantatæ fuerint, dominabitur amaritudo, vel ponticitas. Causa, humor quando fuerit in extremitatibus illarum, et digesserit loca, quæ sunt in medio arborum, de quibus

ταί τε ξηρότης καὶ ἐπακολουθεῖ τῇ ὑγρότητι, καὶ οὕτω γίνεται ἡ πρώτη πέψις δριμεῖα, ἢ πικρά, ἢ στρυφνή. Αἰτία δ' ἐστὶν ὅτι μετὰ θερμότητος καὶ ὑγρότητός ἐστι πέψις· ὅταν δ' ἐπικρατήσῃ ὑγρότης καὶ ξηρότης τοῦ θερμοῦ, ἔστιν ἐξ αὐτοῦ καρπὸς ἐν τῇ ἀρχῇ οὐκ εὔπεπτος, διότι ἡ γέννησις τοῦ καρποῦ ἐν τῇ ἀρχῇ ἐστι χωρὶς γλυκύτητος.

erunt materiæ fructus, proveniet siccitas, et consequetur humorem, fietque prima digestio acida, vel amara, vel pontica. Causa, quia in calore et humore est digestio, quumque vicerit humor vel siccitas calorem, erit ex eo fructus in principio non bene digestus, et ideo generatio fructuum in principio est præter dulcedinem.

CAP. XVII.

Τῶν μυροβαλάνων δὲ δένδρων ἐν τῇ ἀρχῇ, ὅταν φανῶσιν, οἱ καρποί εἰσι γλυκεῖς· κοινῶς δ' εἰσὶ στρυφνοὶ καὶ ἐν τῇ κράσει αὐτῶν πικροί. Αἰτία δ' ἐστὶν ὅτι τὸ δένδρον αὐτῶν ἐστιν ἀραιὸν τοῖς κλάδοις· ἐν ὥρᾳ δὲ πέψεως, ὅταν ὦσιν οἱ πόροι πλατεῖς, ἕπεται θερμότης τῇ ὑγρότητι, καὶ πεπειροῦνται οἱ καρποί, καί εἰσιν ἐν τῇ ἀρχῇ γλυκεῖς. Πάλιν ἀκολούθως ἕλκει διὰ τὴν ἀραιότητα τοῦτο τὸ δένδρον πόρους, ἐπικρατεῖ τε ψυχρότης καὶ ξηρότης τοῦ θερμοῦ καὶ ὑγροῦ κἀντεῦθεν ἀλλοιοῦνται οἱ καρποὶ εἰς στρυφνότητα. Ἐπικρατεῖ πάλιν ὁ ἥλιος μετὰ τῆς θερμότητος διὰ τῆς ἐφελκύσεως τῆς περιττῆς ξηρότητος ἐν τῷ σπέρματι ἐκείνῳ, ὅ περ ἐστὶν ἐν τῇ ἐπιφανείᾳ τῶν δένδρων, νικᾷ θ' ἡ ψυχρότης τὴν ξηρότητα, καί εἰσιν οἱ καρποὶ ἰσχυρᾶς στρυφνότητος. Ἐντεῦθεν δὲ πάλιν ἀναβαίνει θερμότης φυσικὴ ἄνω, καὶ βοηθεῖ αὐτῇ ἡ θερμότης τοῦ ἡλίου ἔξωθεν, νικᾷ θ' ἡ θερμότης καὶ ἡ ξηρότης, καὶ γίνονται οἱ καρποὶ πικροί.

Myrobalanorum vero arboris sunt in principio, quum apparuerint, fructus dulces, consequenter pontici, et in completione amari. Causa ejus, quia arbor ejus rara nimis, et in hora digestionis, quum sint meatus ampli, sequetur calor humorem, et maturabit fructum. Erit ergo in principio dulcis. Consequenter attrahit calor siccitatem sibi similem, et angustabit meatus, vincentque frigiditas et siccitas calorem et humorem. Alterabitur ergo fructus ad ponticitatem. Vincetque sol cum calore per attractionem superfluam siccitatis in semine illo, quod est in apparenti arborum, vincetque frigus siccitatem. Erit ergo fructus fortis ponticitatis. Deinceps vero ascendet calor naturalis sursum, et adjuvabit eum calor solis extrinsecus. Vincent ergo calor et siccitas, et erit fructus amarus.

ΑΝΕΜΩΝ ΘΕΣΕΙΣ

ΚΑΙ ΠΡΟΣΗΓΟΡΙΑΙ.

ΕΚ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ ΣΗΜΕΙΩΝ.

(973.)

Βορρᾶς· οὗτος ἐν μὲν Μαλλῷ Παγρεύς· πνεῖ γὰρ ἀπὸ κρημνῶν μεγάλων καὶ ὀρῶν διπλῶν παρ' ἄλληλα κειμένων, ἃ καλεῖται Παγρικά· ἐν δὲ Καύνῳ Μέσης· ἐν δὲ Ῥόδῳ Καυνίας· πνεῖ γὰρ ἀπὸ Καύνου, ἐνοχλῶν τὸν λιμένα αὐτῶν τὸν Ἀκανίαν· ἐν δ' Ὀλβίᾳ τῇ κατὰ Μύγαλον τῆς Παμφυλίας Γαυρεύς· πνεῖ γὰρ ἀπὸ νήσου ἣ καλεῖται Γαυρίς. Τινὲς δ' αὐτὸν Βορρᾶν οἴονται εἶναι, ἐν οἷς καὶ Λυρναντεῖς οἱ κατὰ Φασηλίδα. Καικίας· οὗτος ἐν μὲν Λέσβῳ καλεῖται Θηβάνας· πνεῖ γὰρ ἀπὸ Θήβης πεδίου τοῦ ὑπὲρ τὸν Ἐλαιατικὸν κόλπον τῆς Μυσίας· ἐνοχλεῖ δὲ τὸν Μιτυληναίων λιμένα, μάλιστα δὲ τὸν Μαλόεντα· παρὰ δὲ * αἰκαυνίαις, ὃν ἄλλοι Βορρᾶν οἴονται εἶναι. Ἀπηλιώτης· οὗτος ἐν μὲν Τριπόλει τῆς Φοινίκης Ποταμεὺς καλεῖται· πνεῖ δ' ἐκ πεδίου ὁμοίου ἅλωνι μεγάλῃ, περιεχομένου ὑπό τε τοῦ Λιβάνου καὶ τοῦ Βαπύρου ὄρους, παρὸ καὶ Ποταμεὺς καλεῖται· ἐνοχλεῖ δὲ τὸ Ποσειδώνειον· ἐν δὲ τῷ Ἰσσικῷ κόλπῳ καὶ περὶ Ῥωσσὸν Συριάνδος· πνεῖ δ' ἀπὸ τῶν Συρίων πυλῶν, ἃς διέστηκεν (σεν?) ὅ τε Ταῦρος καὶ Ταυρόσια * ὄρη· ἐν δὲ τῷ Τριπολιτικῷ κόλπῳ Μαρσεύς, ἀπὸ Μάρσου κώμης· ἐν δὲ Προκοννήσῳ καὶ ἐν Τέῳ καὶ ἐν Κρήτῃ καὶ Εὐβοίᾳ καὶ Κυρήνῃ Ἑλλησποντίας· μάλιστα δ' ἐνοχλεῖ τόν τε τῆς Εὐβοίας Καφηρέα καὶ τὸν Κυρηναῖον λιμένα, καλούμενον δ' Ἀπολλωνίαν· πνεῖ δ' ἀφ' Ἑλλησπόντου· ἐν δὲ Σινώπῃ Βερεκυντίας ἀπὸ τῶν κατὰ Φρυγίαν τόπων πνέων· ἐν δὲ Σικελίᾳ Καταπορθμίας, πνέων ἀπὸ τοῦ πορθμοῦ. Τινὲς δ' αὐτὸν Καικίαν οἴονται εἶναι, Θηβάναν προσαγορεύοντες. Εὖρος· οὗτος ἐν μὲν Αἰγαῖς ταῖς κατὰ Συρίαν Σκοπελεὺς καλεῖται ἀπὸ τοῦ Ῥωσίων σκοπέλου· ἐν δὲ Κυρήνῃ Κάρβας ἀπὸ τῶν Καρβανῶν τῶν κατὰ Φοινίκην· διὸ καὶ τὸν αὐτὸν Φοινικίαν καλοῦσί τινες. Εἰσὶ δ' οἳ καὶ Ἀπηλιώτην νομίζουσιν εἶναι. Ὀρθρόνοτος· τοῦτον οἱ μὲν Εὖρον, οἱ δ' Ἀμνέα προσαγορεύουσιν. Νότος δ' ὁμοίως παρὰ πᾶσι καλεῖται· τὸ δ' ὄνομα διὰ τὸ νοσώδη εἶναι· ἔξω δὲ κάτομβρον, κατ' ἀμφότερα δὲ νότον. Λευκόνοτος ὁμοίως· τὸ δ' ὄνομα ἀπὸ τοῦ συμβαίνοντος· λευκαίνεται γάρ... Λίψ· καὶ οὗτος τὸ ὄνομα ἀπὸ Λιβύης, ὅθεν πνεῖ. Ζέφυρος· καὶ οὗτος τόδε τὸ ὄνομα διὰ τὸ ἀφ' ἑσπέρας πνεῖν· ἡ δ' ἑσπέρα... Ἰάπυξ· οὗτος ἐν Τάραντι Σκυλητῖνος ἀπὸ χωρίου Σκυλαντίμου· κατὰ δὲ οραλεοντο * Φρυγίας· ὑπὸ δέ τινων Φαραγγίτης· πνεῖ γὰρ ἔκ τινος φάραγγος τῶν κατὰ τὸ Πηγαῖον· παρὰ πολλοῖς δ' Ἀργέστης. Θρᾳκίας κατὰ μὲν Θρᾴκην Στρυμονίας (πνεῖ γὰρ ἀπὸ τοῦ Στρυμόνος ποταμοῦ), κατὰ δὲ τὴν Με-

VENTORUM SITUS

ET ADPELLATIONES.

EX ARISTOTELIS LIBRO DE SIGNIS.

Boreas, aquilo; hic in Ciliciæ Mallo Pagreus dicitur: flat namque a magnis præcipitiis ac montibus duplicibus sibi invicem adjacentibus, qui Pagrici montes adpellantur. Cauni Meses nominatur; in Rhodo vero Caunias, quoniam a Cauno spirat, portum eorum Acaniam infestans. Olbiæ prope Mygalum Pamphyliæ Gaureus dicitur, quia flat ab insula cui nomen Gauris. Nonnulli, quorum e numero sunt Lyrnantes prope Phaselida, eum pro Aquilone habent. *Cæcias*; hic in Lesbo quidem Thebanas vocatur: flat namque a Thebes campo supra Mysiæ sinum Elæaticum sito, infestatque Mitylenæorum portum, maxime vero Maloentem; apud Ae..... Caunias dicitur, quem alii Boream esse putant. *Apeliotes*, Subsolanus; hic in Tripoli quidem Phœniciæ Potameus vocitatur, flatque a campo magnæ areæ simili, qui a Libano et Bapyro monte cingitur: quamobrem et Potameus vocitatur. Infestat autem Posidonium. In Issico vero sinu et circa Rhossum nominatur Syriandus: flat namque a Syriis portis, quas Taurus et Rhoesii (?) montes dirimunt. In Tripolitico sinu Marseus nominatur, a Marso vico. In Proconneso, Teo, Creta, Eubœa et Cyrene dicitur Hellespontias, maximeque infestat Eubœæ Caphareum et Cyrenæum portum, nomine Apolloniam; flat autem ab Hellesponto. Apud Sinopenses vocatur Berecyntias, quoniam a Phrygiæ locis spirat; in Sicilia vero Cataporthmias, quoniam a freto spirat. Quidam eum Cæciam esse putant, ac Thebanam adpellitant. *Eurus*, Vulturnus; hic apud Ægas quidem Syriæ vocatur Scopeleus, a Rhossiorum scopulo; Cyrenis vero Carbas a Carbanis Phœniciæ: quamobrem et Phœnicias a quibusdam nuncupatur. Sunt qui et Apelioten eum esse arbitrantur. *Orthronotus*; hunc alii Eurum, alii Amneum adpellitant. *Notus*, Auster, eodem apud omnes vocatur nomine; nomen autem traxit ex eo quod morbosus sit, extra quidem pluviosus, utrobique vero notus. *Leuconotus*, albus Notus similiter; ex effectu nomen sortitus est: albescit enim.... *Libs*, Africus; et hic a Libya nomen sortitus est, quippe ab ea spirans. *Zephyrus*, Favonius: huic quoque id nomen ex eo impositum, quoniam ab occasu spirat; occasus autem... *Iapyx*: hic Tarenti Scyletinus dicitur, a loco; Scylacinus vero circa Dorylaium Phrygiæ (?). A quibusdam Pharangites adpellatur, quoniam e convalle quadam ad Pegæum sita spirat. Apud multos Argestes nominatur. *Thracias* in Thracia quidem Strymonias vocitatur, quippe qui a Strymone fluvio spirat; in Megarico

γαρικὴν Σκίρων ἀπὸ τῶν Σκιρωνίδων πετρῶν, ἐν δ' Ἰταλίᾳ καὶ Σικελίᾳ Κίρκας διὰ τὸ πνεῖν ἀπὸ τοῦ Κιρκαίου· ἐν δ' Εὐβοίᾳ καὶ Λέσβῳ Ὀλυμπίας· τὸ δ' ὄνομα ἀπὸ τοῦ Πιερικοῦ Ὀλύμπου· ὀχλεῖ δὲ Πυρραίους. Ὑπογέγραφα δέ σοι καὶ τὰς θέσεις αὐτῶν, ὡς κεῖνται καὶ πνέουσιν, ὑπογράψας τὸν τῆς γῆς κύκλον, ἵνα καὶ πρὸ ὀφθαλμῶν σοι τεθῶσιν.

vero tractu Sciron dicitur a Scironiis saxis; in Italia et Sicilia Circas, quoniam a Circæo spirat; in Eubœa et Lesbo Olympias, a Pierico Olympo tracto vocabulo; infestat autem Pyrrhæos. Delineavi porro tibi et situs eorum, prout siti sunt et spirant, descripto terrarum orbe, ut tibi ob oculos ponerentur.

ΠΕΡΙ ΑΤΟΜΩΝ ΓΡΑΜΜΩΝ*.

(968.)

Ἆρά γ' εἰσὶν.ἄτομοι γραμμαί, καὶ ὅλως ἐν ἅπασι τοῖς ποσοῖς ἔστι τι ἀμερές, ὥσπερ ἔνιοί φασιν; εἰ γὰρ ὁμοίως ὑπάρχει τό τε πολὺ καὶ τὸ μέγα, καὶ τὰ ἀντικείμενα τούτοις, τό τ' ὀλίγον καὶ τὸ μικρόν, τὸ δ' ἀπείρους σχεδὸν διαιρέσεις ἔχον οὐκ ἔστιν ὀλίγον, ἀλλὰ πολύ, φανερὸν ὅτι πεπερασμένας ἕξει .τὰς διαιρέσεις τὸ ὀλίγον καὶ τὸ μικρόν· εἰ δὲ πεπερασμέναι αἱ διαιρέσεις, ἀνάγκη τι εἶναι ἀμερὲς μέγεθος, ὥστ' ἐν ἅπασιν ἐνυπάρξει τι ἀμερές, ἐπείπερ καὶ τὸ ὀλίγον καὶ τὸ μικρόν. Ἔτι εἰ ἔστιν ἰδέα γραμμῆς, ἡ δ' ἰδέα πρώτη τῶν συνωνύμων, τὰ δὲ μέρη πρότερα τοῦ ὅλου τὴν φύσιν, διαιρετὴ ἂν εἴη αὐτὴ ἡ γραμμή· τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ τετράγωνον καὶ τὸ τρίγωνον καὶ τὰ ἄλλα σχήματα, καὶ ὅλως ἐπίπεδον αὐτὸ καὶ σῶμα· συμβήσεται γὰρ πρότερ' ἄττα εἶναι τούτων. Ἔτι εἰ σώματός ἐστι στοιχεῖα, τῶν δὲ στοιχείων μηδὲν πρότερον, τὰ δὲ μέρη τοῦ ὅλου πρότερα, ἀδιαίρετον ἂν εἴη τὸ πῦρ, καὶ ὅλως τῶν τοῦ σώματος στοιχείων ἕκαστον, ὥστ' οὐ μόνον ἐν τοῖς νοητοῖς, ἀλλὰ καὶ ἐν τοῖς αἰσθητοῖς ἔστι τι ἀμερές. Ἔτι δὲ κατὰ τὸν Ζήνωνος λόγον ἀνάγκη τι μέγεθος ἀμερὲς εἶναι, εἴπερ ἀδύνατον μὲν ἐν πεπερασμένῳ χρόνῳ ἀπείρων ἅψασθαι, καθ' ἕκαστον ἁπτόμενον, ἀνάγκη δ' ἐπὶ τὸ ἥμισυ πρότερον ἀφικνεῖσθαι τὸ κινούμενον, τοῦ δὲ μὴ ἀμεροῦς πάντως ἔστιν ἥμισυ. Εἰ δὲ καὶ ἅπτεται τῶν ἀπείρων ἐν πεπερασμένῳ χρόνῳ τὸ ἐπὶ τῆς γραμμῆς φερόμενον, τὸ δὲ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ πλεῖον διανύει, ταχίστη δ' ἡ τῆς διανοίας κίνησις, κἂν ἡ διάνοια τῶν ἀπείρων ἐφάπτοιτο καθ' ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ, ὥστ' εἰ τὸ καθ' ἕκαστον ἅπτεσθαι τὴν διάνοιαν ἀριθμεῖν ἐστιν, ἐνδέχεται ἀριθμεῖν τὰ ἄπειρα ἐν πεπερασμένῳ χρόνῳ. Εἰ δὲ τοῦτο ἀδύνατον, εἴη ἄν τις ἄτομος γραμμή. Ἔτι καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐν τοῖς μαθήμασι λέγουσιν, εἴη ἄν τις ἄτομος γραμμή, ὥς φασίν, εἰ σύμμετροί εἰσιν αἱ τῷ αὐτῷ μέτρῳ μετρούμεναι· ὅσαι δ' εἰσὶ μετρούμεναι πᾶσαί εἰσι σύμμετροι· εἴη γὰρ ἄν τι μῆκος ᾧ πᾶσαι μετρηθήσονται, τοῦτο δ' ἀνάγκη ἀδιαίρετον εἶναι· εἰ γὰρ διαιρετόν, καὶ τὰ μέρη μέτρου τινὸς ἔσται· σύμμετρα γὰρ τῷ ὅλῳ· ὥστε μέρους τινὸς εἶναι διπλασίαν τὴν ἡμίσειαν. Ἐπειδὴ τοῦτ' ἀδύνατον, [ἀδύνατον] ἂν εἴη μέτρον. Ὡσαύτως δὲ καὶ αἱ μετρούμεναι ἅπαξ ὑπ' αὐτοῦ, ὥσπερ πᾶσαι αἱ ἐκ τοῦ μέτρου σύνθετοι γραμμαί, ἐξ ἀμερῶν σύγκεινται. Τὸ δ' αὐτὸ συμβήσεται κἂν τοῖς ἐπιπέδοις· πάντα γὰρ τὰ ἀπὸ τῶν ῥητῶν γραμμῶν σύμμετρα ἀλλήλοις, ὥστ' ἔσται τὸ μέτρον αὐτῶν ἀμερές. Ἀλλὰ μὴν εἴ τι τμηθήσεται μέτρον τινὰ τεταγμένην καὶ ὡρισμένην γραμμήν, οὐκ ἔσται οὔτε ῥητή, οὔτ' ἄλογος, οὔτε τῶν ἄλλων οὐδεμία ὧν νῦν δὴ εἴρηται, οἷον ἀποτομὴν ἐκ δυοῖν ὀνομάτοιν· ἀλλὰ καθ' αὑτὰς μὲν οὐδέ τινας ἕξουσι φύσεις,

DE INSECABILIBUS LINEIS*

Numquid ullæ reperiuntur lineæ quæ secari nequeunt, et ut in universum res ista pertractetur, estne in omni quantitate, sicut nonnulli statuunt, aliquid carens partibus? nam si ut multum et magnum, sic et his oppositæ, paucum nempe et parvum, exsteat in rerum natura, quod autem infinitas fere sectiones sustinet, paucum non est, sed multum, manifestum evadit, paucnm et parvum finitas habere divisiones; quodsi autem sint finitæ divisiones, necesse est magnitudinem insecabilem aliquam exstare: quare omni rei insecabile quiddam inerit, quandoquidem ei itidem inest paucum et parvum. Deinde si lineæ exstat idea, ideaque omnium de quibus aliquid prædicatur, prima est, partesque totum natura antecedunt, dividua erit ipsa linea, et eodem modo quadratum, triangulus, et ceteræ figuræ, ac denique superficies ipsa et corpus: eveniet enim ut quædam hæc antecedant. Amplius si elementa ad corpora pertinent, et elementis nihil est prius, suntque partes toto priores, individuum ignis erit, et universaliter quidquid corporis alicujus est elementum: quare non solum in rebus quas cognoscimus intellectu, verum etiam in his quas sensu percipimus, quidpiam erit quod partes non habeat. Præterea per Zenonis argumentationem necesse est aliquam exstare magnitudinem quæ partibus careat, quandoquidem fieri nequit ut res aliqua per singula quæque tangendo decurrens finito in tempore tangat infinita: nam oportet ut ad medium mobile prius veniat; atqui res quæ partibus non vacat, medium habet semper aliquod. Sin autem tangit infinita finito in tempore id quod super lineam fertur, atque id quod celerius fertur, æquali in tempore plus spatii transigit, cogitationisque nostræ velocissimus est motus, cogitatio quoque finito in tempore sigillatim tanget infinita: quare si cogitatione sigillatim tangere nihil aliud est quam numerare, licebit finito in tempore cogitationem infinita numerare. Quodsi autem hoc fieri nequit, individua sane dabitur aliqua linea. Præterea et ex iis quæ tradunt mathematicis imbuti disciplini·, quivis lineam aliquam insecabilem esse concedet: nam si, ut dicunt, illæ commensurabiles sunt lineæ quæ eadem mensura dimetiri queunt, et quascumque dimetiri licet, eæ commensurabiles sunt omnes, nimirum longitudo aliqua exstabit, qua mensurabuntur omnes; hanc autem necesse est individuam esse: nam si dividua statuatur, hujus quoque mensuræ partes mensuram aliquam habebunt (partes enim toti commensurabiles sunt), ita ut partis portio quæ dimidia sit, efficiatur dupla. Quoniam vero hoc fieri nequit, exstare non poterit mensura. Eodem modo et quæ semel ab ipsa mensura sunt mensuratæ, sicut omnes ex mensura compositæ lineæ, ex individuis compositæ sunt. Idem etiam continget in figuris planis: nam omnes a constitutis lineis procreatæ inter se sunt commensurabiles: quare ipsarum quoque mensura individua erit. Attamen si quis mensuram dividet secundum constitutam quamdam et determinatam lineam, exempli gratia sectionem lineæ e duobus nominibus compositæ, non erit hæc neque constituta, neque proportione carens linea, neque reliquarum ulla de quibus modo dictum est, verum neque per se aliquam definitam naturam habebunt, sed collatæ inter se et constitutæ

πρὸς ἀλλήλας δ' ἔσονται ῥηταὶ καὶ ἄλογοι. Ἢ πρῶτον μὲν οὐκ ἀνάγκη τὸ ἀπείρους ἔχον διαιρέσεις μὴ εἶναι μικρὸν καὶ ὀλίγον; καὶ γὰρ τόπον καὶ μέγεθος, καὶ ὅλως τὸ συνεχές, μικρὸν μὲν λέγομεν, καὶ ἐφ' ὧν μὲν ἁρμόττει τὸ ὀλίγον, οὐ μὴν ἀλλ' ἀπείρους διαιρέσεις φαμὲν ἔχειν. Ἔτι δ' εἰ ἐν τῷ συνθέτῳ γραμμαί, κατὰ τούτων τῶν ἀτόμων λέγεται τὸ μικρόν, καὶ ἄπειροι στιγμαὶ ἐνυπάρχουσιν. Ἧ δὲ γραμμή, διαίρεσις κατὰ στιγμήν, καὶ ὁμοίως καθ' ὁποιανοῦν ἀπείρους ἂν ἔχοι διαιρέσεις ἅπασα ὡς ἡ μὴ ἄτομος· ἔνιαι δὲ τούτων εἰς μικρά, καὶ ἄπειροι οἱ λόγοι· πᾶσαν δὲ τμηθῆναι τὸν ἐπιταχθέντα δυνατὸν τὴν μὴ ἄτομον. Ἔτι εἰ τὸ μέγα ἐκ μικρῶν τινων σύγκειται, ἢ οὐθὲν ἔσται τὸ μέγα, ἢ τὸ πεπερασμένας ἔχον διαιρέσεις οὐ μέγα ἔσται· τὸ γὰρ ὅλον τὰς τῶν μερῶν ἔχει διαιρέσεις ὁμοίως. Εὔλογον δ' ἐστὶ τό τε σμικρὸν πεπερασμένας ἔχειν διαιρέσεις καὶ τὸ μέγα ἀπείρους· οὕτως ἀξιοῦσιν· ὥστε φανερὸν ὅτι οὐκ ἐν τούτῳ λέγοιτο τὸ μέγα καὶ τὸ μικρόν, τῷ πεπερασμένας ἔχειν καὶ ἀπείρους διαιρέσεις. Εἰ δ' ὅτι καὶ ἐν ἀριθμοῖς τὸ ὀλίγον πεπερασμένας ἔχει διαιρέσεις, καὶ ἐν γραμμαῖς τις ἀξιοίη τὸ μικρόν, εὔηθες· ἐκεῖ μὲν γὰρ ἐξ ἀμερῶν θ' ἡ γένεσις, καὶ ἔστι τι ὃ τῶν ἀριθμῶν ἀρχή ἐστι, καὶ πᾶς ὁ μὴ ἄπειρος πεπερασμένας ἔχει διαιρέσεις· ἐπὶ δὲ τῶν μεγεθῶν οὐχ ὁμοίως. Οἱ δ' ἐν τοῖς εἴδεσι τὰς ἀτόμους κατασκευάζοντες τοὔλαττον ἴσως ἀξίωμα λαμβάνουσι τοῦ προκειμένου, τὸ τιθέναι τούτων ἰδέας, καὶ τρόπον τινὰ ταῦτ' ἀναιροῦσι δι' ὧν δεικνύουσιν· καὶ γὰρ διὰ τούτων τῶν λόγων ἀναιρεῖται τὰ εἴδη. Πάλιν δὲ τῶν σωματικῶν στοιχείων εὔηθες τὸ ἀμερῆ ἀξιοῦν· εἰ γὰρ αὖ καὶ ἀποφαίνονταί τινες οὕτως, ἀλλὰ πρός γε τὴν ὑποκειμένην σκέψιν αὐτὸ τὸ ἐξ ἀρχῆς λαμβάνουσιν. Μᾶλλον δ' ὅσῳ μᾶλλον τὸ ἐξ ἀρχῆς δόξειαν ἀναλαμβάνεσθαι, τόσῳ μᾶλλον δοκεῖ διαιρετὸν εἶναι σῶμα καὶ μῆκος, καὶ τοῖς ὄγκοις καὶ τοῖς διαστήμασιν. Ὁ δὲ τοῦ Ζήνωνος λόγος οὐ συμβιβάζει οὐ συμπεπερασμένῳ χρόνῳ τῶν ἀπείρων ἅπτεσθαι τὸ φερόμενον ὡδὶ τὸν αὐτὸν τρόπον· ὁ γὰρ χρόνος καὶ τὸ μῆκος ἄπειρον καὶ πεπερασμένον λέγεται, καὶ τόσας ἔχει διαιρέσεις. Οὐδὲ δὴ τὸ καθ' ἕκαστον ἅπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν οὐκ ἔστιν ἀριθμεῖν, εἰ ἄρα τις καὶ νοήσειεν οὕτως ἐφάπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν· ὅ περ ἴσως ἀδύνατον· οὐ γὰρ ἐν συνεχέσι καὶ ὑποκειμένοις ἡ τῆς διανοίας κίνησις, ὥσπερ ἡ τῶν φερομένων. Εἰ δ' οὖν καὶ ἐγχωρεῖ κινεῖσθαι οὕτως, οὐκ ἔστι τοῦτο ἀριθμεῖν· τὸ γὰρ ἀριθμεῖν ἐστι τὸ μετ' ἐπιστάσεως. Ἀλλ' ἄτοπον ἴσως τὸ μὴ δυναμένους λύειν τὸν λόγον δουλεύειν τῇ ἀσθενείᾳ, καὶ προσεξαπατᾶν ἑαυτοὺς μείζους ἀπάτας, βοηθοῦντας τῇ ἀδυναμίᾳ. Τὸ δ' ἐπὶ τῶν συμμέτρων γραμμῶν, ὡς ὅτι αἱ πᾶσαι τῷ αὐτῷ τινι καὶ ἑνὶ μετροῦνται, κομιδῇ σοφιστικὸν καὶ ἥκιστα κατὰ τὴν ὑπόθεσιν τὴν ἐν τοῖς μαθήμασιν· οὔτε γὰρ ὑποτίθενται οὕτως, οὔτε χρήσιμον αὐτοῖς ἐστιν. Ἅμα δὲ καὶ ἐναντίον πᾶσαν μὲν γραμμὴν σύμμετρον γίνεσθαι, πασῶν δὲ τῶν συμμέτρων κοινὸν

erunt, et proportione carebunt. An primo quidem non oportet, id quod infinitas habet divisiones, non esse parvum, aut paucum? nam locum, magnitudinem, et summatim omne continuum, parvum dicimus, eaque in quibus convenit paucum etiam, nec ob id tamen infinitis divisionibus ipsa carere affirmamus. Deinde si lineæ ad composita pertinent, parvum dicitur de individuis hisce, etiamsi ipsis puncta insint infinita. Quatenus autem lineæ sunt, divisio fit secundum puncta, et in quibusvis punctis æqualiter poterit infinitas sectiones suscipere omnis linea æque ac ea quæ individua est, et quædam ipsarum in parva fient, eruntque infinitæ proportiones, atque fieri poterit ut omnis non individua linea secetur secundum proportionem quamcumque præscribere libuerit. Præterea si magnum ex parvis quibusdam componitur, aut magnum nihil erit, aut quod finitas habet divisiones, non erit magnum : nam totum eodem modo partium sectiones admittit. Est autem probabile, et parvum finitas, et magnum infinitas habere divisiones, sicque illi etiam arbitrantur : unde manifestum evadit, non hac ratione parvum aut magnum quidquam dici, quia finitas aut infinitas sectiones admittat. Quodsi quispiam propterea quod et in numeris paucum finitas sectiones habet, in lineis quoque putet finitas parvum habere, stolidum se prodit : illic enim e rebus partium expertibus fit procreatio estque quiddam unde numerus originem sumit, atque omnis numerus, modo infinitus non sit, finitas divisiones habet; magnitudines autem tali ratione non consistunt. Qui vero idearum ope lineas individuas adstruunt, fortasse adsumunt effatum proposito minus probabile, eo quod ideas ad has pertinere ponunt, atque quodammodo ea ipsa tollunt, quorum ope demonstrant : his enim sermonibus destruuntur ideæ. Rursus quoque stultum est arbitrari ad elementa corporea pertinere quæ partibus carent : nam etsi quidam rursus sic affirmant, tamen quantum ad præsentem quæstionem attinet, sumunt id quod inde a principio erat demonstrandum; vel potius quanto magis quod probandum est, adstruere videntur, tanto plus videtur dividuum esse corpus et longitudo, cum mole, tum spatio. Zenonis autem ratio non probat, rem quæ sic (semper) eodem modo movetur, finito tempore non tangere infinita : tempus enim et linea finita et infinita dicuntur, ac totidem utraque divisiones suscipiunt. Neque profecto si infinita sigillatim cogitatio tangat, id numeratio est, etiamsi quis ita cogitatione sigillatim infinita tangere in animum induceret : quod quidem fortasse fieri non potest : non enim in rebus continuis et substratis cogitationis motus consistit, sicut earum quæ feruntur, rerum. Vel si etiam sic moveri liceret, non erit is motus numeratio : numeratio enim nonnisi interposita quiete absolvitur. Verum absurdum est fortasse, eos qui oblatas argumentationes solvere nequeunt, ignaviæ subservire, atque sic se ipsos gravioribus insuper fallaciis decipere, ignaviæ suæ suppetias ferentes. Quod vero de commensurabilibus lineis dicunt, omnes una quadam et eadem mensura mensurari, captiosum est admodum et nequaquam cum sumptionibus in re mathematica receptis concordat : nec enim ita suæ disciplinæ fundamenta ponunt geometræ, neque utile ipsis istud est. Simul etiam sibi invicem contradicunt, lineas omnes commensurabiles esse, arbitrarique omnium commensurabilium linearum

μέτρον εἶναι ἀξιοῦν· ὥστε γελοῖον τὸ κατὰ τὰς ἐκείνων δόξας καὶ ἐξ ὧν αὐτοὶ λέγουσι φάσκοντες δείξειν, εἰς ἐριστικὸν ἅμα καὶ σοφιστικὸν ἐκκλίνειν λόγον, καὶ ταῦθ' οὕτως ἀσθενῆ· πολλαχῇ γὰρ ἀσθενής ἐστι, καὶ πάντα τρόπον διαφυγεῖν καὶ τὰ παράδοξα καὶ τοὺς ἐλέγχους. Ἔτι δ' ἄτοπον ἂν εἴη διὰ μὲν τὸν Ζήνωνος λόγον παραπεπεῖσθαί τινας ἀτόμους ποιεῖν γραμμάς, τῷ μὴ ἔχειν ἀντειπεῖν, διὰ δὲ τῆς εὐθείας εἰς τὴν ἡμιόλιον κίνησιν, ἣν ἀναγκαῖον εὐθὺ τέμνειν ἀπείρων μεταξὺ πιπτουσῶν περιφερειῶν καὶ διαστημάτων ὄντων, καὶ πάλιν διὰ τὴν τῶν ἴσων κύκλων εὔπειστον, ὅτι ἀνάγκη ἂν ὅ τι κινηθῇ, μεῖζον ἡμικύκλιον κινεῖσθαι, καὶ ὅσα ἄλλα τοιαῦτα τεθεώρηται περὶ τὰς γραμμάς, μὴ οἷόν τ' ἐνδέχεσθαι τοιαύτην δή τινα γενέσθαι κίνησιν ὥστ' ἐφ' ἑκάστην τῶν μεταξὺ μὴ πίπτειν πρότερον· πολὺ γὰρ ταῦτα μᾶλλον ὁμολογούμενα ἐκείνων. Ὅτι μὲν οὖν ἔκ γε τῶν εἰρημένων λόγων οὔτ' ἀναγκαῖον ἀτόμους εἶναι γραμμάς, οὔτε πιθανόν, φανερόν· ἔτι δὲ καὶ ἐκ τῶνδε γένοιτ' ἂν φανερώτερον· πρῶτον μὲν ἐκ τῶν ἐν τοῖς μαθήμασι δεικνυμένων καὶ τιθεμένων, ἃ οὐ δίκαιον ἢ πιστοτέροις λόγοις κινεῖν· οὔτε γὰρ ὁ τῆς γραμμῆς, οὔθ' ὁ τῆς εὐθείας ὅρος ἐφαρμόσει τῇ ἀτόμῳ διὰ τὸ μήτε μεταξύ τινων εἶναι, μήτ' ἔχειν μέσον. Ἔπειτα πᾶσαι αἱ γραμμαὶ σύμμετροι ἔσονται· πᾶσαι γὰρ ὑπὸ τῶν ἀτόμων μετρηθήσονται, αἵ τε μήκει σύμμετροι καὶ αἱ δυνάμει· αἱ δ' ἄτομοι σύμμετροι πᾶσαι μήκει· ἴσαι γάρ· ὥστε καὶ δυνάμει· εἰ δὲ τοῦτο, διαιρετὸν ἔσται τὸ τετράγωνον. Ἔτι εἰ ἡ παρὰ τὴν μείζω τὸ πλάτος ποιεῖ παραβαλλομένη, τὸ ἴσον τῶν ἀπὸ τῆς ἀτόμου καὶ τῆς ποδιαίας παραλαμβανομένων περὶ τὴν δίπουν ἔλαττον ποιήσει τὸ πλάτος τῆς ἀμεροῦς· ἔσται ἔλαττον τὸ παρὰ τῆς ἀτόμου. Ἔτι εἰ ἐκ τριῶν δοθεισῶν εὐθειῶν συνίσταται τρίγωνον, καὶ ἐκ τῶν ἀτόμων συσταθήσεται· ἐν ἅπαντι δ' ἰσοπλεύρῳ ἡ κάθετος ἐπὶ μέσην πίπτει, ὥστε καὶ ἐπὶ τὴν ἄτομον. Ἔτι εἰ τὸ τετράγωνον τῶν ἀμερῶν, διὰ μέσου ἐμπεσούσης καὶ καθέτου ἀχθείσης, ἡ τοῦ τετραγώνου πλευρὰ τὴν κάθετον δύναται καὶ τὴν ἡμίσειαν τῆς διαμέτρου· ὥστ' οὐκ ἐλαχίστη. Οὐδὲ διπλάσιον τὸ ἀπὸ τῆς διαμέτρου χωρίον ἔσται τοῦ ἀπὸ τῆς ἀτόμου· ἀφαιρεθέντος γὰρ τοῦ ἴσου ἡ λοιπὴ ἔσται ἐλάσσων τῆς ἀμεροῦς· εἰ γὰρ ἴσως, τετραπλάσιον ἂν ἔγραψεν ἡ διάμετρος. Ἄλλα δ' ἄν τις καὶ ἕτερα τοιαῦτα συνάγοι· πᾶσι γάρ, ὡς εἰπεῖν, ἐναντιοῦται τοῖς ἐν τοῖς μαθήμασιν. Πάλιν τοῦ μὲν ἀμεροῦς μία ἡ σύναψις, γραμμῆς δὲ δύο· καὶ γὰρ ὅλη ὅλης ἅπτεται, καὶ κατὰ τὸ πέρας ἐξ ἐναντίας. Ἔτι γραμμὴ προστεθεῖσα οὐ ποιήσει μείζω τὴν ὅλην· τὰ γὰρ ἀμερῆ συντιθέμενα οὐ ποιήσει μεῖζον. Ἔτι ἐκ δυοῖν ἀμεροῖν μηδὲν γίνεσθαι συνεχὲς διὰ τὸ πλείους διαιρέσεις ἔχειν ἅπαν τὸ συνεχές· ἅπασα δὲ γραμμὴ παρὰ τὴν ἄτομον συνεχής· οὐκ ἂν εἴη γραμμὴ ἄτομος. Ἔτι εἰ ἅπασα γραμμὴ παρὰ τῆς ἀτόμου καὶ ἴσα καὶ ἄνισα διαιρεῖται, καὶ μὴ ἐκ τριῶν ἀτόμων, καὶ ὅλως περιττῶν, ὥστ' ἀδιαίρετος (διαιρετός?) ἡ ἄτομος.

communem mensuram exstare : quamobrem ridiculum est, id quod cum mathematicorum opinionibus concordat, eaque ipsa quorum ope se demonstraturos esse profitentur, in contentiosam pariter atque captiosam divertere argumentationem, præsertim tam invalidam : nam multis modis imbecillis est, et quovis modo evitare oportet, ut aut inusitata dicamus, aut refutemur. Præterea absonum foret, si quis a Zenonis oratione, mutata opinione, sibi persuaderi sineret ut lineas individuas reciperet, quia scilicet quod ipsi responderet, non haberet, dum tam ope rectæ lineæ ad sesquiplum motus, quam necesse est recta secare, ita ut infinitæ circumferentiæ quæ et ipsæ intervalla sint, interveniant, quam ope motus circulorum æqualium, quia videlicet quidquid movetur, necessario per majus semicirculum movetur, et quæcumque alia ejusmodi de lineis contemplari solent, facile probari potest, fieri non posse ut talis ullus motus peragatur, quin prius singulis intermediis incidat : nam hæc multo magis ab omnibus concessa sunt quam ista. Quod itaque ex supra dictis rationibus neque necessario sequitur, neque probabile est, lineas ullas individuas exstare, manifestum est; præterea tamen ex iis quæ subjungam, jam magis perspicuum evadet, et primo quidem ex iis quæ mathematici demonstrant atque ponunt, quæ mutare non decet, nisi probabiliores rationes habeamus : nam neque lineæ, neque rectæ lineæ definitio cum insecabili linea consentit, ut quæ nec aliquibus interposita sit, nec medium ullum habeat. Deinde omnes lineæ commensurabiles erunt : nam omnes ab individuis lineis dimetientur, quæque longitudine, quæque potentia sunt commensurabiles : individuæ namque lineæ omnes inter se commensurabiles sunt longitudine, quum inter se sint æquales : quare potentia quoque; quodsi vero hoc est, dividuum erit quadratum. Præterea, quum linea brevior grandiori copulata latitudinem faciat, æqualitas quadratorum quæ de individua et de pedali linea ad bipedalem adhibentur, minorem faciet latitudinem individuæ : minus (itaque) erit quod ab individua provenit. Præterea, si ex tribus datis rectis triangulus componitur, ex tribus quoque lineis individuis componi poterit; in omni autem æquilatero perpendicularis in mediam basim incidit : quare et in individuam. Præterea si quadratum ex quatuor insecabilibus lineis consistat, linea per medium incidente et perpendiculari ducta, quadrati costa perpendicularem diametrumque dimidiam æquat : quare non erit minima. Neque duplum erit spatium quod inde a diametro extenditur, illius quod inde ab individua : nam æquali spatio ablato, reliqua erit minor individua : sic forsitan exempli gratia diameter quadruplum describeret. Hujusmodi alia atque alia colligere quispiam posset : nam omnibus, ut ita dixerim, adversantur quæ in re mathematica traduntur. Denuo eorum quæ partibus carent, unus solummodo esse contactus potest; at linea duos habet : nam tota totam tangit et extremis finibus tractu opposito. Deinde hoc pacto una linea alteri copulata non efficiet ex utrisque conjunctam majorem : quæ enim partibus carent, sibi invicem adjuncta, majus non facient. Postea nihil continuum e duobus effici potest, quæ partes non habeant, propterea quod omne continuum plures intersectiones continet; omnis autem linea præter individuam est continua : (quamobrem) linea non erit quæ individua fuerit. Præterea si quævis linea ab individua in partes dividi potest, tum æquales, tum inæquales, etiam non ex tribus insecabilibus, et universaliter imparibus, constabit : dividua

Ὁμοίως δὲ κἂν εἰ δίχα τέμνεται· πᾶσα γὰρ ἡ ἐκ τῶν περιττῶν. Εἰ δὲ δίχα μὲν μὴ πᾶσα τέμνεται, ἀλλ' ἡ ἐκ τῶν ἀρτίων, τὴν δὲ δίχα διαιρουμένην καὶ ὅσα δυνατὸν τέμνειν, διαιρεθήσεται καὶ οὕτως ἡ ἄτομος, ὅταν ἡ ἐκ τῶν ἀρτίων εἰς ἄνισα διαιρῆται. Πάλιν εἰ τὸ κεκινημένον ἐν ᾧ χρόνῳ κινεῖται τὴν ὅλην, ἐν τῷ ἡμίσει τὴν ἡμίσειαν κινηθήσεται, καὶ ἐν τῷ ἐλάττονι ἔλαττον ἢ τὴν ἡμίσειαν, ὥστ' εἰ μὲν περιττῶν σύγκειται τῶν ἀτόμων τὸ μῆκος, ἀναιρεθήσεται ἡ μέση τομὴ τῶν ἀτόμων, εἴπερ ἐν τῷ ἡμίσει χρόνῳ τὸ ἥμισυ δίεισιν· ὁμοίως γὰρ ὅ τε χρόνος καὶ ἡ γραμμὴ τμηθήσεται· ὥστ' οὐδεμία τῶν συγκειμένων τμηθήσεται εἰς ἴσα καὶ ἄνισα, οὐδ' ὁμοίως τοῖς χρόνοις τμηθήσονται· οὐκ ἔσονται ἄτομοι γραμμαί. Τὰ δὲ τοῦ αὐτοῦ λόγου ἐστί, καθάπερ ἐλέχθη, τὸ πάντα ταῦτα ποιεῖν ἐξ ἀμερῶν. Ἔτι ἅπασα ἡ μὴ ἄπειρος δύο ἔχει πέρατα· γραμμὴ γὰρ ὥρισται τούτοις· ἡ δ' ἄτομος οὐκ ἄπειρος, ὥσθ' ἕξει πέρας. Διαιρετὴ ἄρα· τὸ γὰρ πέρας ἄλλο καὶ οὗ πέρας. Ἢ ἔσται τις οὔτ' ἄπειρος, οὔτε πεπερασμένη γραμμὴ παρὰ ταύτας. Ἔτι οὐκ ἐν ἁπάσῃ γραμμῇ στιγμὴ ἔσται· ἐν μὲν γὰρ τῇ ἀτόμῳ οὐκ ἔστιν· εἰ μὲν γὰρ μία μόνη, ὑπάρξει γραμμή, εἶτα στιγμή· εἰ δὲ πλείους, διαιρετὴ ἡ γραμμή. Εἰ μὲν οὖν ἐν τῇ ἀτόμῳ μὴ ἐνυπάρχει στιγμή, οὐδ' ὅλως ἐν γραμμῇ ἔσται· αἱ γὰρ ἄλλαι ἐκ τῶν ἀτόμων. Ἔτι ἢ μηθὲν τῶν στιγμῶν ἔσται μεταξύ, ἢ γραμμή· εἰ δὲ μεταξὺ γραμμή, ἐν ἁπάσαις δὲ πλείους στιγμαί, οὐκ ἔσται ἄτομος. Ἔτι οὐχ ἁπάσης ἔσται γραμμῆς τετράγωνον· ἕξει γὰρ μῆκος καὶ πλάτος, ὥστε διαιρετόν, ἐπεὶ τὸ μέν, τὸ δέ τι. Εἰ δὲ τὸ τετράγωνον, καὶ ἡ γραμμή. Ἔτι τὸ πέρας τῆς γραμμῆς στιγμὴ ἔσται, ἀλλ' οὐ γραμμή· πέρας μὲν γὰρ τὸ ἔσχατον, (ἔσχατον) δ' ἡ ἄτομος· εἰ γὰρ (δέ?) στιγμή, τὸ πέρας τῇ ἀτόμῳ ἔσται στιγμή, καὶ ἔσται γραμμὴ γραμμῆς στιγμῇ μείζων. Εἰ δ' ἐνυπάρχει τῇ ἀτόμῳ ἡ στιγμή, διὰ τὸ ταὐτὸ πέρας τῶν συνεχουσῶν γραμμῶν, ἔσται τι πέρας τῆς ἀμεροῦς. Ὅλως τε τί διοίσει στιγμὴ γραμμῆς; οὐδὲν γὰρ ἴδιον ἕξει ἡ ἄτομος γραμμὴ παρὰ τὴν στιγμὴν πλὴν τοὔνομα. Ἔτι ὁμοίως μὲν εἰ ἐπίπεδον, καὶ σῶμά ἐστιν ἄτομον· ἑνὸς γὰρ ὄντος ἀδιαιρέτου καὶ τἆλλα συνακολουθήσει διὰ τὸ θάτερον διῃρῆσθαι κατὰ θάτερον· σῶμα (δ') οὐκ ἔσται ἀδιαίρετον διὰ τὸ εἶναι ἐν αὐτῷ βάθος καὶ πλάτος· οὐδ' ἂν γραμμὴ εἴη ἀδιαίρετος· σῶμα μὲν γὰρ κατ' ἐπίπεδον, ἐπίπεδον δὲ κατὰ γραμμήν. Ἐπεὶ δ' οἵ τε λόγοι δι' ὧν ἐπιχειροῦσι πείθειν, ἀσθενεῖς εἰσι καὶ ψευδεῖς, ἐναντίαι (δὲ) δόξαι πᾶσαι τοῖς ἰσχύουσι πρὸς πίστιν, φανερὸν ὅτι οὐκ ἂν εἴη γραμμὴ ἄτομος. Δῆλον δ' ἐκ τούτων ὅτι οὐδ' ἂν ἐκ στιγμῶν εἴη γραμμή· σχεδὸν γὰρ οἱ πλεῖστοι τῶν λόγων οἱ αὐτοὶ ἁρμόσουσιν· ἀνάγκη γὰρ διαιρεῖσθαι τὴν στιγμήν, ὅταν ἢ ἐκ περιττῶν τέμνηται ἴσα, ἢ ἐξ ἀρτίων τὰ ἄνισα· καὶ τὸ τῆς γραμμῆς μέρος μὴ εἶναι γραμμήν, μηδὲ τὸ τοῦ ἐπιπέδου ἐπίπεδον, καὶ γραμμὴ δὲ γραμμῆς στιγμῇ εἶναι μείζων· ἐξ ὧν γὰρ σύγκειται, τούτοις καὶ ὑπερέξει· τοῦτο

itaque erit insecabilis linea. Similiter autem si in duo dividatur linea : tunc enim idem eveniet omni quæ ex imparibus consistit. Quodsi bifariam quidem non omnis linea finditur, sed solum quæ ex paribus coagmentata fuerit, si jam quæ in duas partes dividitur, in quæcumque dividi potest dividatur, sic quoque insectilis linea dividetur, quando nempe ex paribus composita per inæqualia scindetur. Rursus si mobile per dimidiam lineam movetur dimidio temporis ejus quo totam percurrit, et in minori tempore minus spatium percurret quam sit dimidia linea, ita ut si ex imparibus individuis spatium illud compositum esset, reciperetur insectilium in medietates divisio, siquidem in dimidio tempore dimidium spatium pertransit : similiter enim tempus et linea secabuntur : quare nulla ex compositis lineis dividetur in æqualia et inæqualia, neque siculi tempus scindetur : non erunt (ergo) individuæ lineæ. Hæc autem ad eamdem rationem pertinent, sicut dictum est, qua ex individuis omnia hæc componuntur. Ad hæc omnis linea, modo non sit infinita, duos fines habet, siquidem linea hisce terminatur; at individua linea non est infinita : finem igitur habebit. Dividua ergo erit : finis enim aliud est atque illud cujus est finis. Aut exstabit aliqua linea præter istas, quæ neque finita sit, neque infinita. Insuper non erit in quavis linea punctus : non enim in individua : nam si unus modo punctus insit, ipsa primum linea sola erit, et inde punctus : sin plures inerunt, dividua erit linea. Ergo si punctus individuæ lineæ nullus inest, neque prorsus inerit lineæ, quum reliquæ ex individuis coaluerunt. Postea vel nihil inter duo puncta erit intermedium, vel linea erit; quodsi autem linea intersit atque in omnibus lineis puncta insint complura, non erit insecabilis ulla linea. Amplius non erit cujusvis lineæ quadratum : habebit enim longitudinem et latitudinem, atque idcirco divisibile erit, quum illa quidem aliquid, hæc autem aliquid aliud. Quodsi autem quadratum dividuum est, et linea dividua erit. Præterea finis lineæ punctus erit, et non linea : finis enim extremum est, extremum vero est individua linea. Si vero punctus est finis, individuæ lineæ extremitas erit punctus, atque ita una linea major erit altera puncto. Sin individuæ lineæ punctus inest, quia finis idem est continentium linearum, dabitur finis lineæ carentis partibus. Et demum quid a linea punctus distabit, quum proprium nihil habitura sit individua linea a puncto præter nomen? Adhuc eodem modo, si superficies exstat individua, et corpus erit impartibile : uno quippe individuo exsistente, cetera quoque consequentur, quia alterum ad alterum dividitur; at corpus individuum non erit, quum in se latitudinem et altitudinem contineat : quare nec linea potest esse individua, corpus siquidem superficiem, superficies vero lineam sequitur. Quoniam vero rationes, quibus isti nituntur sententiam suam persuadere, debiles sunt ac falsæ, opinionesque omnes adversantur argumentis quibus fidem facere conantur, manifestum est, nullam exstare lineam quæ dividi non possit. Ex iisdem autem manifestum evadet, ne a punctis quidem componi lineam posse : maximam enim partem eadem pene quadrabunt argumenta : oportet namque punctum dividi, quando linea vel ex imparibus composita in æqualia secatur, vel ex paribus in non æqualia; item lineæ partem non esse lineam, nec superficiei superficiem, et rursus lineam puncto majorem esse linea : ex quibus enim unumquodque compositum est, his etiam quodvis aliud excedit;

δ' ὅτι ἀδύνατον, ἔκ τε τῶν ἐν τοῖς μαθήμασι δῆλον. Καὶ ἔτι συμβήσεται τὴν στιγμὴν ἐν χρόνῳ δὴ εἶναι τὸ φερόμενον, εἴπερ τὴν μείζω μὲν ἐν πλείονι χρόνῳ, τὴν δ' ἴσην ἐν ἴσῳ, ἡ δὲ τοῦ χρόνου ὑπεροχὴ χρόνος. Ἀλλ' ἴσως καὶ ὁ χρόνος ἐστὶν ἐκ τῶν νῦν, καὶ τοῦ αὐτοῦ λόγου λέγειν ἄμφω. Εἰ δὴ τὸ νῦν ἀρχὴ καὶ πέρας τοῦ χρόνου καὶ ἡ στιγμὴ γραμμῆς, μή ἐστι δὲ συνεχὴς ἡ ἀρχὴ καὶ τὸ πέρας, ἀλλ' ἔχουσί τι μεταξύ, οὐκ ἂν εἴη οὔτε τὰ νῦν, οὔτε στιγμαὶ ἀλλήλοις συνεχεῖς. Ἔτι ἡ μὲν γραμμὴ μέγεθός τι, ἡ δὲ τῶν στιγμῶν σύνεσις οὐδὲν ποιεῖ μέγεθος διὰ τὸ μηδ' ἐπὶ πλείω τόπον ἔχειν· ὅταν γὰρ ἐπὶ γραμμὴν γραμμὴ τεθῇ καὶ ἐφαρμόσῃ, οὐδὲν γίνεται μεῖζον τὸ πλάτος· ἐν δὲ τῇ γραμμῇ καὶ στιγμαὶ ἐνυπάρχουσιν, οὐδ' ἂν αἱ στιγμαὶ πλείω κατέχοιεν τόπον, ὥστ' οὐκ ἂν ποιοῖεν μέγεθος. Ἔτι εἰ ἅπαντα ἅπτεται παντὸς ἢ ὅλον ὅλου, ἢ τινί τινος, ἢ ὅλον τινός, ἡ δὲ στιγμὴ ἀμερὴς ὅλως ἅπτοιτο, τὸ δ' ὅλον ὅλου ἁπτόμενον ἀνάγκη ἓν εἶναι· εἰ γάρ τί ἐστιν, ἢ θάτερον μή ἐστιν, οὐκ ἂν ὅλον ὅλου ἅπτοιτο. Εἰ δ' ἅμα ἐστὶ τὰ ἀμερῆ, τὸν αὐτὸν κατέχει τόπον πλείω ὂν καὶ πρότερον τὸ ἕν· τῶν γὰρ ἅμα ὄντων καὶ μὴ ἐχόντων ἐπέκτασιν κατὰ ταὐτὰ ὁ αὐτὸς ἀμφοῖν τόπος· τὸ δ' ἀμερὲς οὐκ ἔχει διάστασιν, ὥστ' οὐκ ἂν εἴη μέγεθος συνεχὲς ἐξ ἀμερῶν. Οὐκ ἄρα οὔθ' ἡ γραμμὴ ἐκ στιγμῶν, οὔθ' ὁ χρόνος ἐκ τῶν νῦν. Ἔτι εἰ ἔστιν ἐκ στιγμῶν, ἅψεται στιγμὴ στιγμῆς· ἐὰν οὖν ἐκ τοῦ Κ ἐκβληθῇ ἡ Α Β καὶ Γ Δ, ἅψεται τοῦ Κ καὶ ἡ ἐν τῇ ΑΚ καὶ ἡ ἐν τῇ ΚΔ στιγμή· ὥστε καὶ ἄλλῳ τινί· τὸ γὰρ ἀμερὲς τοῦ ἀμεροῦς ὅλον ὅλου ἐφάπτεται, ὥστε τὸν αὐτὸν ἐφέξει τόπον τοῦ Κ, καὶ ἁπτόμεναι στιγμαὶ ἐν τῷ αὐτῷ τόπῳ ἀλλήλαις. Εἰ δ' ἐν τῷ αὐτῷ, καὶ ἅπτονται· τὰ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ὄντα πρῶτα ἅπτεσθαι ἀναγκαῖον. Εἶθ' οὕτως εὐθεῖα εὐθείας ἅψεται κατὰ δύο στιγμάς· ἡ γὰρ ἐν τῇ ΑΚ στιγμὴ καὶ τῇ ΚΓ καὶ τῆς ἑτέρας ἅπτεται στιγμῆς, ὥσθ' ἡ ἐκ τῆς ΓΔ κατὰ πλείους ἅπτεται στιγμάς. Ὁ αὐτὸς δὲ λόγος καὶ εἰ μὴ δι' ἀλλήλων, ἀλλ' ὁπωσοῦν ἥψατο γραμμῆς. Ἔτι καὶ ἡ τοῦ κύκλου τῆς εὐθείας ἅψεται κατὰ πλείω· τῆς γὰρ συναφῆς καὶ ἡ ἐν τῷ κύκλῳ καὶ ἡ ἐν τῇ εὐθείᾳ ἅπτεται καὶ ἀλλήλων. Εἰ δὲ τοῦτο μὴ δυνατόν, οὐδὲ τὸ ἅπτεσθαι στιγμὴν στιγμῆς· εἰ δὲ μὴ ἅπτεσθαι, οὐδ' εἶναι τὴν γραμμὴν στιγμήν· οὐδὲ γὰρ ἅπτεσθαι ἀναγκαῖον. Ἔτι πῶς ποτ' ἔσται εὐθεῖα γραμμὴ καὶ περιφερής; οὐδὲν γὰρ διοίσει ἡ σύναψις τῶν στιγμῶν ἐν τῇ εὐθείᾳ καὶ τῇ περιφερεῖ· τὸ γὰρ ἀμερὲς τοῦ ἀμεροῦς ὅλον ὅλου ἅπτεται, καὶ οὐκ ἔστιν ὅλως ἅπτεσθαι. Εἰ οὖν αἱ μὲν γραμμαὶ διάφοροι, ἡ δὲ σύναψις ἀδιάφορος, οὐκ ἔσται δὴ γραμμὴ ἐκ τῆς συνάψεως, ὥστ' οὐδ' ἐκ στιγμῶν. Ἔτι ἀναγκαῖον ἢ ἅπτεσθαι, ἢ μὴ ἅπτεσθαι τὰς στιγμὰς ἀλλήλων. Εἰ μὲν οὖν τὸ ἐφεξῆς ἅπτεσθαι ἀνάγκη, ὁ αὐτὸς ἔσται λόγος· εἰ δ' ἐνδέχεται ἐφεξῆς τι εἶναι μὴ ἁπτόμενον, τὸ δὲ συνεχὲς οὐδὲν ἄλλο λέγομεν ἢ τὸ ἐξ ὧν ἐστιν ἁπτομένων· ὥστε καὶ οὕτως ἀνάγκη τὰς στιγμὰς ἅπτεσθαι

illud autem fieri non posse, per ea quæ in re mathematica docent, constat. Insuper quoque continget, punctum esse illud quod in tempore fertur, quippe quod majorem quidem lineam in longiori, æqualem vero in æquali tempore percurrit, quum excessus temporis tempus sit. Sed fortasse tempus quoque res est ex momentis composita, atque ad eamdem pertinet argumentationem si utrumque hoc perhibeas. Quodsi igitur *nunc* est principium temporis et finis, itemque lineæ punctus, neque continua sunt principium et finis, sed semper aliquid habent intermedium, neque temporis momenta, neque puncta inter se continua esse poterunt. Præterea si linea quidem magnitudo aliqua est, punctorum autem conjunctio magnitudinem nullam efficit, idcirco quia majorem locum non occupant (nam et quando linea lineæ superimponitur eique adaptatur, nulla provenit inde major latitudo), sunt autem in linea punctus, hi quoque punctus majorem locum occupare nequibunt, indeque magnitudinem quoque facere non poterunt. Præterea si res omnis rem quamlibet aliam tangit, vel tota totam, vel parte partem, vel tota partem, tanget et punctus, utpote individuus, totus totum; at necesse est, quodcumque totum tangit totum, unum esse : nam si aliqua pars est, vel alterum non est, non tanget totum totum. Quodsi vero simul sunt individua, eumdem occupabunt locum plura quem antea unicum : duarum enim rerum quæ simul sunt, nec habent extensionem, ibidem idem erit locus; quod vero partibus caret, extensionem non habet : quocirca nec ex individuis ulla proveniet magnitudo continua : igitur neque e punctis linea, neque ex momentis tempus redundabit. Insuper si ex punctis componitur linea, punctus tanget punctum : igitur si ex *k* signo protracta fuerit *ab* et *gd*, signum *k* tanget cum punctus qui est in *ak*, tum punctus qui est in *kd* : quare et diversa parte tanget : nam res quæ partibus caret, tangit rem partibus carentem tota totam : ergo eumdem locum occupabunt quem *k* punctus obtinet, et puncta quæ se invicem tangunt, eumdem inter se occupabunt locum. Quodsi contra eumdem occupant locum, se mutuo etiam tangunt : quæ enim in eodem sunt loco, primo se tangant oportet. Deinde hoc pacto recta rectam duobus punctis tanget : punctus enim in *ak* et punctus in *kg* : alterum etiam tangit punctum : quare linea ex *gd* pluribus tangit punctis. Idem quoque dicendum erit, si non alterum alterius ope, sed quovis alio modo lineam tetigerit. Quin etiam orbis circumferentia rectam lineam pluribus tanget punctis : contactum enim tanget cum punctus qui est in circulo, tum qui in recta consistit, prætereaque sese mutuo tangunt. Quodsi hoc fieri non potest, neque punctus punctum tangere valet; quodsi vero se mutuo tangere nequeunt, neque linea punctus esse poterit : nam neque punctum tangere necessarium erit. Postea quonam tandem pacto recta erit linea et circularis? nihilo enim differet contactus punctorum in recta et circulari : nam res quæ partibus caret, rem quæ partes non habet, tota totam contingit, neque prorsus tangere licet. Si sunt ergo lineæ quidem differentes, contactus autem est indifferens, non fiet ex contactu linea : quare neque e punctis. Insuper necesse est, puncta vel sese mutuo tangant, vel non se invicem tangant. Si igitur id quod deinceps est, tangat oportet, eadem erunt dicenda; sin fieri possit, ut aliquid deinceps sit, etiamsi non tangat, (non erit linea continuum) : nihil enim aliud continuum dicimus quam quod est ex se invicem tangentibus compositum : quare oportebit et hoc modo, vel puncta sese mutuo tangere, vel lineam con-

ἀλλήλων, ἢ εἶναι γραμμὴν συνεχῆ. Ἔτι εἰ ἄτοπον στιγμὴ ἐπὶ στιγμῆς, ἵν' ᾖ γραμμὴ καὶ ἐπὶ στιγμῇ, ἐπεὶ ἡ γραμμὴ ἐπίπεδον, ἀδύνατον τὰ εἰρημένα εἶναι· εἴτε γὰρ ἐφεξῆς αἱ στιγμαί εἰσι, τμηθήσεται ἡ γραμμὴ κατ' οὐδετέραν τῶν στιγμῶν, ἀλλ' ἀνὰ μέσον· εἴθ' ἅπτονται, γραμμὴ ἔσται τῆς μιᾶς στιγμῆς χώρα· τοῦτο δ' ἀδύνατον. Ἔτι διαιροῖτ' ἂν ἅπαντα καὶ ἀναλύοιτο εἰς στιγμάς, καὶ ἡ στιγμὴ μέρος σώματος, εἴπερ τὸ μὲν σῶμα ἐξ ἐπιπέδων, τὸ δ' ἐπίπεδον ἐκ γραμμῶν, αἱ δὲ γραμμαὶ ἐκ στιγμῶν. Εἰ δ' ἐξ ὧν πρώτων ἐνυπαρχόντων ἕκαστά ἐστι, στοιχεῖά ἐστι ταῦτα, αἱ στιγμαὶ ἂν εἴησαν στοιχεῖα σωμάτων· ὥστε συνώνυμα στοιχεῖα οὐδέτερα τῷ εἴδει. Φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι οὐκ ἔστι γραμμὴ ἐκ στιγμῶν· ἀλλ' οὐδ' ἀφαιρεθῆναι οἷόν τε στιγμὴν ἀπὸ γραμμῆς· εἰ γὰρ ἐνδέχεται ἀφαιρεθῆναι, καὶ προστεθῆναι δυνατόν· προστεθέντος δέ τινος τὸ προστεθὲν μεῖζον ἔσται τοῦ ἐξ ἀρχῆς, ἐὰν τοιοῦτον ᾖ τὸ προστιθέμενον ὥσθ' ἓν ὅλον ποιεῖν· ἔσται γραμμὴ γραμμῆς στιγμῇ μείζων· τοῦτο δ' ἀδύνατον. Ἀλλὰ καθ' ἑαυτὴν μὲν οὐχ οἷόν τε, κατὰ συμβεβηκὸς δ' ἐνδέχεται στιγμὴν ἀπὸ γραμμῆς ἀφελεῖν, τῷ ἐνυπάρχειν ἐν τῇ ἀφαιρουμένῃ γραμμῇ, εἰ τοῦ ὅλου ἀφαιρουμένου καὶ ἡ ἀρχὴ καὶ τὸ πέρας ἀφαιρεῖται, γραμμῆς δ' ἦν ἡ ἀρχὴ καὶ τὸ πέρας στιγμή, καὶ εἰ γραμμῆς ἐγχωρεῖ ἀφαιρεῖν, καὶ στιγμὴν ἐνδέχοιτο· αὕτη δ' ἡ ἀφαίρεσις κατὰ συμβεβηκός. Εἰ δὲ τὸ πέρας ἅπτεται, οὔτε πέρας ἢ αὐτοῦ, ἢ τῶν ἐκείνου τινός, ἡ δὲ στιγμή, ᾗ πέρας γραμμῆς, ἅπτεται. Ἡ μὲν οὖν γραμμὴ ἔσται στιγμῆς μείζων, ἡ δὲ στιγμὴ ἐκ στιγμῶν· τῶν γὰρ ἁπτομένων οὐδὲν ἀνὰ μέσον. Ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῆς τομῆς, εἰ ἡ τομὴ στιγμῆς καὶ ἡ τομὴ ἅπτεταί τινος καὶ ἐπὶ στερεοῦ καὶ ἐπιπέδου· ὡσαύτως δὲ καὶ τὸ στερεὸν ἐξ ἐπιπέδων καὶ γραμμῶν. Οὐκ ἀληθὲς δὲ κατὰ στιγμὴν εἰπεῖν, οὐδ' ὅτι ἐλάχιστον τῶν ἐκ γραμμῆς εἰς τὸ ἐλάχιστον τῶν ἐνυπαρχόντων εἴρηται· τὸ δ' ἐλάχιστον, ὧν ἐστιν ἐλάχιστον, καὶ ἔλαττόν ἐστιν. Ἐν δὲ τῇ γραμμῇ οὐδὲν ἄλλο ἢ στιγμαὶ καὶ γραμμαὶ ἐνυπάρχουσιν· ἡ δὲ γραμμὴ τῆς στιγμῆς οὐκ ἔστι μείζων· οὐδὲ γὰρ αὖ τὸ ἐπίπεδον τῆς γραμμῆς· ὥστ' οὐκ ἔσται στιγμὴ τὸ ἐν γραμμῇ ἐλάχιστον. Εἰ δὲ συμβλητὸν τῇ γραμμῇ ἡ στιγμή, τὸ δ' ἐλάχιστον ἐν τρισὶ προσώποις, οὐκ ἔσται ἡ στιγμὴ τῶν ἐν τῇ γραμμῇ ἐλάχιστον. Καὶ ἄλλ' ἄττα ἐνυπάρχει παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς ἐν τῷ μήκει· οὐ γὰρ ἐκ στιγμῶν. Εἰ δὲ τὸ ἐν τόπῳ ὂν ἡ στιγμή, μῆκος, ἢ ἐπίπεδον, ἢ στερεὸν ἐκ τούτων τι, ἐξ ὧν δ' ἐστὶν ἡ γραμμή, ἐκεῖνα ἐν τόπῳ (καὶ γὰρ ἡ γραμμή), καὶ μήτε σῶμα, μήτ' ἐπίπεδον, μήτ' ἐκ τούτων τι ἐνυπάρχει τῇ γραμμῇ· οὐκ ἔσται οὐθὲν ὅλως παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς ἐν τῷ μήκει. Ἔτι εἰ τοῦ ἐν τόπῳ ὄντος τὸ μεῖζον λεγόμενον μῆκος, ἡ ἐπιφάνεια στερεόν· ἡ δὲ στιγμὴ ἐν τόπῳ· τὸ δ' ἐν τῷ μήκει ὑπάρχον παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς οὐθὲν τῶν προειρημένων, ὥστ' οὐκ ἔσται ἡ στιγμὴ τῶν ἐνυπαρ-

tinuam esse. Præterea si absurdum est, puncto punctum superimponere, ut linea quoque puncto superimponi possit, quum ita linea fieret superficies, fieri non potest ut supra dicta eveniant : sive enim deinceps sint puncta, dividetur linea per neutrum ipsorum, sed per id quod intercedit; sive se mutuo tangant, linea erit unius puncti spatium; hoc autem esse non potest. Postremo omnia dividerentur et resolverentur in puncta, corporisque pars punctus esset, siquidem corpus e superficiebus, superficies e lineis, lineæ e punctis constant. Si vero illa ex quibus primis, si insint, singula constant, elementa sunt, puncta corporum elementa esse poterunt, ita ut neutra elementa eodem nomine designarentur ac species. Constat itaque ex dictis, non esse lineam e punctis compositam, verum neque ab ea punctum auferri potest : nam si liceret punctum auferre, liceret et adponere; quopiam autem adposito, illud cui adjunctum est, majus evadit quam prius fuerat, si ejusmodi sit res cui adponitur, ut cum eo unum totum efficiat : erit (igitur) una linea major alia puncto : id quod fieri non potest. Verum per se quidem non potest a linea punctus avelli, per accidens autem potest, eo quod in ablata linea inest, quum, ubi totum aufertur, totius et principium et finis simul auferatur oportet; at lineæ principium et finis punctus erat, atque si de linea demere licet, licebit et punctum auferre; sed ea per accidens fit ablatio. Si vero finis tangit, nec rei quam tangit finis, est, neque alicujus partium ipsius; punctus autem, quatenus lineæ finis, eam tangit. Linea itaque puncto major erit, punctusque ex punctis constabit : inter res enim quæ se invicem tangunt nihil intermedium est. Eadem dicenda et de divisione, si divisio ad puncta pertinet et divisio tangit aliquid tam in solido quam superficie : eodem enim modo et solidum e superficiebus et lineis constat. Non est autem verum dicere, secundum puncta fieri divisionem, neque parvissimam aliquam lineæ partem in minimum, quod insit, dividi, minimum quippe etiam minus est iis quorum minimum est. Atqui lineæ nihil aliud inest quam puncta et lineæ; linea vero puncto major non est : nam neque rursus superficies est linea major : quare punctus non erit in linea minimum. Si vero linea cum puncto comparari potest, et minimum tribus respectibus consideratur, non erit punctus eorum quæ lineæ insunt, minimum. Alia quoque quædam insunt longitudini præter puncta et lineas : non enim ex punctis longitudo consistit. Si vero id quod est in loco, punctus est, longitudo et superficies et solidum ad res ex iis compositas pertinent; illa vero ex quibus constat linea, sunt in loco (etenim et linea est in loco), ac neque corpus, neque superficies, neque aliqua pars eorum in linea insunt : nihil igitur aliud omnino longitudini inest præter puncta et lineas. Præterea si res quæ major dicitur iis quæ in loco sunt, longitudo est, superficies corpus erit; est autem punctus in loco; id vero quod longitudini inest præter puncta et lineas, nullo modo pertinet ad res prædictas : ergo non erit pun-

χόντων ἐλάχιστον. Ἔτι [εἰ] εἰς ὃ ἐλάχιστόν τι τῶν ἐν τῇ οἰκίᾳ, μήτε τῆς οἰκίας συμβαλλομένης πρὸς αὐτὸ λέγεται· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· οὐδὲ τὸ ἐν γραμμῇ ἐλάχιστον πρὸς γραμμὴν συγκρινόμενον ἔσται· ὥστ' οὐχ ἁρμόσει τὸ ἐλάχιστον, ἐπεὶ τὸ μὴ ὂν ἐν τῇ οἰκίᾳ μή ἐστι τῶν ἐν τῇ οἰκίᾳ ἐλάχιστον. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἐνδέχεται γὰρ στιγμὴν αὐτὴν καθ' αὑτὴν εἶναι. Οὐκ ἔσται κατὰ ταύτης ἀληθὲς εἰπεῖν ὅτι τὸ ἐν γραμμῇ ἐλάχιστον, ὅτι οὐκ ἔστιν ἡ στιγμὴ ἄρθρον ἀδιαίρετον· τὸ μὲν γὰρ ἄρθρον ἀεὶ δυοῖν ὅρος, ἡ δὲ στιγμὴ καὶ μιᾶς γραμμῆς ὅρος ἐστίν. Ἔτι ἡ μὲν πέρας, τὸ δὲ διαίρεσίς ἐστι μᾶλλον. Ἔτι ἡ γραμμὴ καὶ τὸ ἐπίπεδον ἄρθρα ἔσονται· ἀνάλογον γὰρ ἔχουσιν, ὅτι τὸ ἄρθρον διάφορόν πώς ἐστιν· διὸ καὶ Ἐμπεδοκλῆς ἐποίησεν·

διὸ δεῖ ὀρθῶς.

Ἡ δὲ στιγμὴ καὶ τὸ ἐν τοῖς ἀκινήτοις. Ἔτι οὐδεὶς ἔχει ἄπειρα ἄρθρα ἐν τῷ σώματι, ἢ τῇ χειρί, στιγμὰς δ' ἀπείρους. Ἔτι λίθου ἄρθρον οὐκ ἔστιν, οὐδ' ἔχει, στιγμὰς δ' ἔχει.

ctus rerum quæ insunt, minimum. Præterea si minimum in quod aliquid eorum quæ in domo sunt, dividitur, non domui comparatum ita vocatur, isque et in reliquis rebus loquendi modus servari solet, nec quod in linea minimum est, cum linea comparatione instituta, ejusmodi erit : quare puncto non conveniet minimi appellatio, quandoquidem quod non est in domo, minimum esse non potest eorum quæ in domo sunt. Ita et in ceteris est judicandum : fieri enim potest ut punctum per se ipsum exstet. Non licebit (itaque) de puncto vere dicere, quod minimum sit eorum quæ in linea sunt, quoniam non est punctus articulus individuus : nam articuli semper duorum termini sunt, punctus autem et unius lineæ terminus est. Insuper punctus finis; articulus vero divisio potius est. Adhuc linea et superficies quoque articuli erunt : eamdem enim rationem servant, quia articulus quodammodo discriminatus est : quamobrem et Empedocles cecinit :

Ideo oportet recte.

Punctus autem etiam ille est qui in immobilibus invenitur. Postea vero nemo habet infinitos articulos in corpore, vel in manu; at puncta habet infinita. Præterea lapidis articulus est nullus, neque articulos habet; puncta vero habet.

ΜΗΧΑΝΙΚΑ.

MECHANICA.

CAP. I.

Θαυμάζεται τῶν μὲν κατὰ φύσιν συμβαινόντων, ὅσων ἀγνοεῖται τὸ αἴτιον, τῶν δὲ παρὰ φύσιν, ὅσα γίνεται διὰ τέχνην πρὸς τὸ συμφέρον τοῖς ἀνθρώποις· ἐν πολλοῖς γὰρ ἡ φύσις ὑπεναντίον πρὸς τὸ χρήσιμον ἡμῖν ποιεῖ· ἡ μὲν γὰρ φύσις ἀεὶ τὸν αὐτὸν ἔχει τρόπον καὶ ἁπλῶς, τὸ δὲ χρήσιμον μεταβάλλει πολλαχῶς. Ὅταν οὖν δέῃ τι παρὰ φύσιν πρᾶξαι, διὰ τὸ χαλεπὸν ἀπορίαν παρέχει καὶ δεῖται τέχνης· διὸ καὶ καλοῦμεν τῆς τέχνης τὸ πρὸς τὰς τοιαύτας ἀπορίας βοηθοῦν μέρος μηχανήν· καθάπερ γὰρ ἐποίησεν Ἀντιφῶν ὁ ποιητής, οὕτω καὶ ἔχει·

τέχνῃ (γὰρ) κρατοῦμεν, ὧν φύσει νικώμεθα.

Τοιαῦτα δ' ἐστὶν ἐν οἷς τά τ' ἐλάττονα κρατεῖ τῶν μειζόνων, καὶ τὰ ῥοπὴν ἔχοντα μικρὰν κινεῖ βάρη μεγάλα, καὶ πάντα σχεδὸν ὅσα τῶν προβλημάτων μηχανικὰ προσαγορεύομεν. Ἔστι δὲ ταῦτα τοῖς φυσικοῖς προβλήμασιν οὔτε ταὐτὰ πάμπαν, οὔτε κεχωρισμένα λίαν, ἀλλὰ κοινὰ τῶν τε μαθηματικῶν θεωρημάτων καὶ τῶν φυσικῶν· τὸ μὲν γὰρ ὡς διὰ τῶν μαθηματικῶν δῆλον, τὸ δὲ περὶ ὃ διὰ τῶν φυσικῶν. Περιέχεται δὲ τῶν ἀπορουμένων ἐν τῷ γένει τούτῳ τὰ περὶ τὸν μοχλόν· ἄτοπον γὰρ εἶναι δοκεῖ τὸ κινεῖσθαι μέγα βάρος ὑπὸ μικρᾶς ἰσχύος, καὶ ταῦτα μετὰ βάρους πλείονος· ὃ γὰρ ἄνευ μοχλοῦ κινεῖν οὐ δύναταί τις, τοῦτ' αὐτὸ τὸ βάρος, προσλαβὼν ἔτι τὸ τοῦ μοχλοῦ βάρος, κινεῖ θᾶττον. Πάντων δὲ τῶν τοιούτων ἔχει τῆς αἰτίας τὴν ἀρχὴν ὁ κύκλος, καὶ τοῦτο εὐλόγως συμβέβηκεν· ἐκ μὲν γὰρ θαυμασιωτέρου συμβαίνειν τι θαυμαστὸν οὐδὲν ἄτοπον, θαυμασιώτατον δὲ τὸ τἀναντία γίνεσθαι μετ' ἀλλήλων· ὁ δὲ κύκλος συνέστηκεν ἐκ τοιούτων· εὐθὺς γὰρ ἐκ κινουμένου τε γεγένηται καὶ μένοντος, ὧν ἡ φύσις ἐστὶν ὑπεναντία ἀλλήλοις· ὥστ' ἐνταῦθα ἔστιν ἐπιβλέψασιν ἧττον θαυμάζειν τὰς συμβαινούσας ὑπεναντιώσεις περὶ αὐτόν· πρῶτον μὲν γὰρ τῇ περιεχούσῃ γραμμῇ τὸν κύκλον, πλάτος οὐθὲν ἐχούσῃ, τἀναντία πως προσεμφαίνεται, τὸ κοῖλον καὶ τὸ κυρτόν. Ταῦτα δὲ διεστήκατον ἀλλήλων ὃν τρόπον τὸ μέγα καὶ τὸ μικρόν· ἐκείνων τε γὰρ μέσον τὸ ἴσον, καὶ τούτων τὸ εὐθύ· διὸ μεταβάλλοντα εἰς ἄλληλα τὰ μὲν ἀναγκαῖον ἴσα γενέσθαι πρότερον ἢ τῶν ἄκρων ὁποτερονοῦν, τὴν δὲ γραμμὴν εὐθεῖαν, ὅταν ἐκ κυρτῆς εἰς κοίλην, ἢ πάλιν ἐκ ταύτης γίνηται κυρτὴ καὶ περιφερής. Ἓν μὲν οὖν τοῦτο τῶν ἀτόπων ὑπάρχει περὶ τὸν κύκλον· δεύτερον δ' ὅτι ἅμα κινεῖται τὰς ἐναντίας κινήσεις· ἅμα γὰρ εἰς τὸν ἔμπροσθεν κινεῖται τόπον καὶ τὸν ὄπισθεν. Ἥ τε γράφουσα γραμμὴ τὸν κύκλον ὡσαύτως ἔχει· ἐξ οὗ γὰρ ἄρχεται τόπου τὸ πέρας αὐτῆς, εἰς τὸν αὐτὸν

(847.)

Admirationem movent rerum quidem quæ secundum naturam fiunt, illæ omnes quarum causa ignoratur, earum vero quæ præter naturam fiunt, quæcumque ad utilitatem hominum artis causa efficiuntur : in multis enim rebus natura aliquatenus utilitati nostræ repugnat : natura scilicet unam semper eamdemque ac simplicem rationem obtinet, utilitatis vero nostræ varia maximopere et mutabilis ratio est. Quotiescumque igitur nos aliquid præter naturam facere oportuerit, quia arduum est, difficultatem movet, atque arte indiget res : quapropter etiam illam artis partem quæ difficultatibus hujusmodi succurrit, artificium appellamus : ut enim Antiphon poeta cecinit, ita etiam res sese habet :

Superamus (namque) arte, in quibus natura vincimur.

Hujus autem generis sunt ea, in quibus majora superantur a minoribus, et magna pondera moventur ab exigui momenti rebus, et omnia fere quæ mechanicarum quæstionum appellatione veneunt. Sunt autem hæ neque prorsus eædem ac naturales quæstiones, neque tamen admodum ab iis diversæ, sed communi ratione ad mathematicas speculationes atque naturales pertinent : illud scilicet, quomodo quid efficiatur, ope mathematicarum, id vero circa quod efficitur, ope naturalium quæstionum innotescit. Ad illa autem quæ in hoc genere difficultatem præbent, referuntur ea quæ ad vectem pertinent : absurdum enim videtur, exigua vi magnum pondus moveri, præsertim ipso pondere aucto : quod enim pondus aliquis sine vecte movere nequit, idem illud, addito etiam vectis pondere, citius movet. Omnium vero rerum hujusmodi causæ principium continet circulus, idque probabiliter evenit : nam admirabile quidpiam ex re exsistere quæ ipsa sit admirabilior, neutiquam absurdum est; atqui maxime mirandum est, si simul contraria fiant; circulus autem constat ex contrariis : statim enim factus est ex commoto et quiescente, quorum natura sibi invicem est contraria. Huc ergo si respiciamus, minus mirari licet contraria quæ circa ipsum eveniunt : primo enim in linea circulum ambiente omnique latitudine carente contraria quodammodo inesse apparet, concavum scilicet et convexum. Hæc autem eodem modo a se invicem differunt ac magnum et parvum : medium enim inter hæc æquale, inter illa vero rectum : quare, ubi in se invicem transeunt, hæc quidem prius æqualia fieri necesse est quam extremorum utrumvis, lineam vero rectam, ubi e convexa in concavam, aut rursus e concava mutetur in convexam et curvam. Atque hoc quidem unum est absurdorum quæ circulo competunt; alterum vero quod simul contrariis motionibus cietur : simul enim movetur in anteriorem et posteriorem partem. Linea quoque quæ circulum describit, eodem modo sese habet : ex quo enim loco principium ducit ejus extremum, in eumdem iterum

τοῦτον τόπον ἔρχεται πάλιν· συνεχῶς γὰρ κινουμένης αὐτῆς, τὸ ἔσχατον πάλιν ἀπῆλθε πρῶτον, ὥστε καὶ φανερὸν ὅτι μετέβαλεν, ἐντεῦθεν· διό, καθάπερ εἴρηται πρότερον, οὐδὲν ἄτοπον τὸ πάντων εἶναι τῶν μαθημάτων αὐτὸν ἀρχήν. Τὰ μὲν οὖν περὶ τὸν ζυγὸν γινόμενα εἰς τὸν κύκλον ἀνάγεται, τὰ δὲ περὶ τὸν μοχλὸν εἰς τὸν ζυγόν, τὰ δ' ἄλλα πάντα σχεδὸν τὰ περὶ τὰς κινήσεις τὰς μηχανικὰς εἰς τὸν μοχλόν. Ἔτι δὲ διὰ τὸ μιᾶς οὔσης τῆς ἐκ τοῦ κέντρου γραμμῆς μηθὲν ἕτερον ἑτέρῳ φέρεσθαι τῶν σημείων τῶν ἐν αὐτῇ ἰσοταχῶς, ἀλλ' ἀεὶ τὸ τοῦ μένοντος πέρατος πορρώτερον ὂν θᾶττον, πολλὰ τῶν θαυμαζομένων συμβαίνει περὶ τὰς κινήσεις τῶν κύκλων· περὶ ὧν ἐν τοῖς ἑπομένοις προβλήμασιν ἔσται δῆλον. Διὰ δὲ τὸ τὰς ἐναντίας κινήσεις ἅμα κινεῖσθαι τὸν κύκλον, καὶ τὸ μὲν ἕτερον τῆς διαμέτρου τῶν ἄκρων, ἐφ' οὗ τὸ A, εἰς τοὔμπροσθεν κινεῖσθαι, θάτερον δέ, ἐφ' οὗ τὸ B, εἰς τοὔπισθεν, κατασκευάζουσί τινες ὥστ' ἀπὸ μιᾶς κινήσεως πολλοὺς ὑπεναντίως ἅμα κινεῖσθαι κύκλους, ὥσπερ οὓς ἀνατιθέασιν ἐν τοῖς ἱεροῖς ποιήσαντες τροχίσκους χαλκοῦς καὶ σιδηροῦς· εἰ γὰρ εἴη τοῦ AB κύκλου ἁπτόμενος ἕτερος κύκλος ἐφ' οὗ ΓΔ, τοῦ κύκλου τοῦ ἐφ' οὗ AB κινουμένης τῆς διαμέτρου εἰς τοὔμπροσθεν, κινηθήσεται ἡ ΓΔ εἰς τοὔπισθεν, τοῦ κύκλου τοῦ ἐφ' οὗ AB, κινουμένης τῆς διαμέτρου περὶ τὸ αὐτό. Εἰς τοὐναντίον ἄρα κινηθήσεται ὁ ἐφ' οὗ ΓΔ κύκλος τῷ ἐφ' οὗ τὸ AB, καὶ πάλιν αὐτὸς τὸν ἐφεξῆς, ἐφ' οὗ EZ, εἰς τοὐναντίον αὐτῷ κινήσει διὰ τὴν αὐτὴν αἰτίαν. Τὸν αὐτὸν δὲ τρόπον κἂν πλείους ὦσι, τοῦτο ποιήσουσιν ἑνὸς μόνου κινηθέντος. Ταύτην οὖν λαβόντες ὑπάρχουσαν ἐν τῷ κύκλῳ τὴν φύσιν οἱ δημιουργοὶ κατασκευάζουσιν ὄργανον κρύπτοντες τὴν ἀρχήν, ὅπως ᾖ τοῦ μηχανήματος φανερὸν μόνον τὸ θαυμαστόν, τὸ δ' αἴτιον ἄδηλον.

redit : perpetuo scilicet se movente ipsa, postremum rursus primum evadit : hinc ergo patet etiam, eam cursum mutasse : quapropter, ut supra jam diximus, minime absurdum est, ipsum circulum totius scientiæ mathematicæ (*vulgo* omnium miraculorum) principium esse. Quæ itaque circa bilancem fiunt, ad circulum referuntur, quæ vero circa vectem ad bilancem; reliqua tandem fere omnia quæ ad mechanicas motiones pertinent, ad vectem. Præterea vero quia, licet unica sit linea e centro ducta, nullum punctum eorum quæ in ea adsunt, eadem celeritate fertur ac alterum, sed semper, prouti longius ab extremo quiescente distat, celerius, multa eveniunt eorum quæ in circulorum motionibus admirationem movent : quæ in sequentibus quæstionibus manifesta fient. Quoniam autem circulus simul contrariis cietur motionibus, et alterum diametri extremum, cui A inscriptum est, anteriora versus movetur, alterum vero, cui B, retrorsum, inde efficiunt nonnulli, ab unica motione multos in contrarium sibi invicem simul moveri circulos, quemadmodum quos in templis dedicant ex ære vel ferro fabricatos orbiculos : etenim si AB circulum alter contigerit circulus, cui CD inscriptum est, si circuli, cui AB, diametros movetur anteriora versus, movebitur diametros circuli CD retrorsum, diametro circuli, cui AB, circum idem punctum sese movente. In contrarium igitur circulo cui AB inscriptum est, movebitur circulus cui CD, et ipse rursus proxime sequentem, cui EF, in contrarium sibi ipsi movebit, propter eamdem causam. Eodemque modo, si plures fuerint, idem efficient, ubi unus tantummodo movetur. Animadvertentes igitur hanc naturam circulo competere, artifices instrumentum fabricant, cujus principium celant, ut machinæ solum sit manifestum quod admirationem movet, causa vero lateat.

CAP. II.

Πρῶτον μὲν οὖν τὰ συμβαίνοντα περὶ τὸν ζυγὸν ἀπορεῖται, διὰ τίνα αἰτίαν ἀκριβέστερά ἐστι τὰ ζυγὰ τὰ μείζω τῶν ἐλαττόνων. Τούτου δ' ἀρχή, διὰ τί ποτε ἐν τῷ κύκλῳ ἡ πλεῖον ἀφεστηκυῖα γραμμὴ τοῦ κέντρου, τῆς ἐγγὺς τῇ αὐτῇ ἰσχύϊ κινουμένης, θᾶττον φέρεται τῆς ἐλάττονος; τὸ γὰρ θᾶττον λέγεται διχῶς· ἄν τε γὰρ ἐν ἐλάττονι χρόνῳ ἴσον τόπον διεξέλθῃ, θᾶττον εἶναι λέγομεν, καὶ ἐὰν ἐν ἴσῳ, πλείω. Ἡ δὲ μείζων ἐν ἴσῳ χρόνῳ γράφει μείζονα κύκλον· ὁ γὰρ ἐκτὸς μείζων τοῦ ἐντός. Αἴτιον δὲ τούτων ὅτι φέρεται δύο φορὰς ἡ γράφουσα τὸν κύκλον. Ὅταν μὲν οὖν ἐν λόγῳ τινὶ φέρηται, ἐπ' εὐθείας ἀνάγκη φέρεσθαι τὸν φερόμενον, καὶ γίνεται διάμετρος αὐτὴ τοῦ σχήματος ὃ ποιοῦσιν αἱ ἐν τούτῳ τῷ λόγῳ συντεθεῖσαι γραμμαί. Ἔστω γὰρ ὁ λόγος ὃν φέρεται τὸ φερόμενον, ὃν ἔχει ἡ A B πρὸς τὴν AΓ· καὶ τὸ μὲν A φερέσθω πρὸς τὸ B, ἡ δὲ A B ὑποφερέσθω πρὸς τὴν HΓ. Ἐνηνέχθω δὲ τὸ μὲν

Prima igitur de iis quæ circa bilancem eveniunt, quæstio est : quamobrem nempe majores bilances exactiores sint minoribus. Principium autem hujus quæstionis est, cur tandem illa in circulo linea, quæ longius a centro distat, citius moveatur quam minor, licet propior eadem vi moveatur : citius enim dicitur duplici modo : nam tum quod in minori tempore par spatium percurrit, tum quod in pari tempore majus, citius esse dicimus. Major autem linea in pari tempore majorem describit circulum : exterior scilicet interiore major est. Horum vero causa est quod linea quæ circulum describit, duplici impetu fertur. Quando igitur in ratione aliqua (virium ad se invicem) fertur, super recta linea ferri rem impulsam necesse est, eaque ipsa diametros efficitur figuræ quæ formatur lineis hac ratione inter se compositis. Sit enim ratio, secundum quam impulsa res movetur, illa quam habet AB ad AC, atque A moveatur ad B, AB vero subducatur ad GC. Ponamus jam A perve-

Α πρὸς τὸ Δ, ἡ δ' ἐφ' ᾗ ΑΒ, πρὸς τὸ Ε. Εἰ οὖν ἐπὶ τῆς φορᾶς ὁ λόγος ἦν ὃν ἡ ΑΒ ἔχει πρὸς τὴν ΑΓ, ἀνάγκη καὶ τὴν ΑΔ πρὸς τὴν ΑΕ τοῦτον ἔχειν τὸν λόγον. Ὅμοιον ἄρα ἐστὶ τῷ λόγῳ τὸ μικρὸν τετράπλευρον τῷ μείζονι, ὥστε καὶ ἡ αὐτὴ διάμετρος αὐτῶν, καὶ τὸ Α ἔσται πρὸς Ζ. Τὸν αὐτὸν δὴ τρόπον δειχθήσεται κἂν ὁπουοῦν διαληφθῇ ἡ φορά· αἰεὶ γὰρ ἔσται ἐπὶ τῆς διαμέτρου. Φανερὸν οὖν ὅτι τὸ κατὰ τὴν διάμετρον φερόμενον ἐν δύο φοραῖς ἀνάγκη τὸν τῶν πλευρῶν φέρεσθαι λόγον· εἰ γὰρ ἄλλον τινά, οὐχ οἰσθήσεται κατὰ τὴν διάμετρον. Ἐὰν δ' ἐν μηδενὶ λόγῳ φέρηται δύο φορὰς κατὰ μηδένα χρόνον, ἀδύνατον εὐθεῖαν εἶναι τὴν φοράν. Ἔστω γὰρ εὐθεῖα. Τεθείσης οὖν ταύτης διαμέτρου καὶ παραπληρωθεισῶν τῶν πλευρῶν, ἀνάγκη τὸν τῶν πλευρῶν λόγον φέρεσθαι τὸ φερόμενον· τοῦτο γὰρ δέδεικται πρότερον. Οὐκ ἄρα ποιήσει εὐθεῖαν τὸ ἐν μηδενὶ λόγῳ φερόμενον μηδένα χρόνον· ἐὰν γάρ τινα χρόνον ἐνεχθῇ ἐν λόγῳ τινί, τοῦτον ἀνάγκη τὸν χρόνον εὐθεῖαν εἶναι φορὰν διὰ τὰ προειρημένα· ὥστε περιφερὴς γίνεται, δύο φερόμενον φορὰς ἐν μηθενὶ λόγῳ μηθένα χρόνον. Ὅτι μὲν τοίνυν ἡ τὸν κύκλον γράφουσα φέρεται δύο φορὰς ἅμα, φανερὸν ἔκ τε τούτων, καὶ ὅτι τὸ φερόμενον κατ' εὐθεῖαν ἐπὶ τὴν κάθετον ἀφικνεῖται, ὥστ' εἶναι πάλιν αὐτὴν ἀπὸ τοῦ κέντρου κάθετον. Ἔστω κύκλος ὁ ΑΒΓ, τὸ δ' ἄκρον τὸ ἐφ' οὗ Β, φερέσθω ἐπὶ τὸ Δ· ἀφικνεῖται δέ ποτε ἐπὶ τὸ Γ. Εἰ μὲν οὖν ἐν τῷ λόγῳ ἐφέρετο ὃν ἔχει ἡ ΒΔ πρὸς τὴν ΔΓ, ἐφέρετο ἂν τὴν διάμετρον τὴν ἐφ' ᾗ ΒΓ. Νῦν δέ, ἐπείπερ ἐν οὐδενὶ λόγῳ, ἐπὶ τὴν περιφέρειαν φέρεται τὴν ἐφ' ᾗ ΒΕΓ. Ἐὰν δὲ δυοῖν φερομένοιν ἀπὸ τῆς αὐτῆς ἰσχύος τὸ μὲν ἐκκρούοιτο πλεῖον, τὸ δ' ἔλαττον, εὔλογον βραδύτερον κινηθῆναι τὸ πλεῖον ἐκκρουόμενον τοῦ ἔλαττον ἐκκρουομένου· ὃ δοκεῖ συμβαίνειν ἐπὶ τῆς μείζονος καὶ ἐλάττονος τῶν ἐκ τοῦ κέντρου γραφουσῶν τοὺς κύκλους· διὰ γὰρ τὸ ἐγγύτερον εἶναι τοῦ μένοντος τῆς ἐλάττονος τὸ ἄκρον ἢ τὸ τῆς μείζονος, ὥσπερ ἀντισπώμενον εἰς τοὐναντίον, ἐπὶ τὸ μέσον, βραδύτερον φέρεται τὸ τῆς ἐλάττονος ἄκρον. Πάσῃ μὲν οὖν κύκλον γραφούσῃ τοῦτο συμβαίνει, καὶ φέρεται τὴν μὲν κατὰ φύσιν κατὰ τὴν περιφέρειαν, τὴν δὲ παρὰ φύσιν εἰς τὸ πλάγιον καὶ τὸ κέντρον. Μείζω δ' ἀεὶ τὴν παρὰ φύσιν ἡ ἐλάττων φέρεται· διὰ γὰρ τὸ ἐγγύτερον εἶναι τοῦ κέντρου τοῦ ἀντισπῶντος κρατεῖται μᾶλλον. Ὅτι δὲ μεῖζον τὸ παρὰ φύσιν κινεῖται ἡ ἐλάττων τῆς μείζονος τῶν ἐκ τοῦ κέντρου γραφουσῶν τοὺς κύκλους, ἐκ τῶνδε δῆλον. Ἔστω κύκλος ἐφ' οὗ ΒΓΕΔ, καὶ ἄλλος ἐν τούτῳ ἐλάττων, ἐφ' οὗ ΧΝΜΞ, περὶ τὸ αὐτὸ κέντρον τὸ Α· καὶ ἐκβεβλήσθωσαν αἱ διάμετροι, ἐν μὲν τῷ μεγάλῳ, ἐφ' ὧν ΓΔ καὶ ΒΕ, ἐν δὲ τῷ ἐλάττονι αἱ ΜΧ, ΝΞ· καὶ τὸ ἑτερόμηκες παραπεπληρώσθω, τὸ ΔΨΡΓ. Εἰ δὴ ἡ ΑΒ γράφουσα κύκλον ἥξει ἐπὶ τὸ αὐτὸ ὅθεν ὡρμήθη, ἐπὶ τὴν ΑΒ, δῆλον ὅτι φέρεται πρὸς αὐτήν. Ὁμοίως δὲ καὶ ἡ ΑΧ πρὸς τὴν ΑΧ ἥξει. Βραδύτερον δὲ φέρεται ἡ ΑΧ τῆς ΑΒ,

nisse ad D, et AB ad E. Quodsi igitur motus ea fuerat ratio, quam habet AB ad AC, necesse est AD etiam eamdem rationem habere ad AE. Simile itaque ratione parvum quadrangulum est majori: quare et eadem erit diametros eorum, et A verget versus F. Atque hoc quidem eodem demonstrabitur modo, ubicumque intercipiatur motus: semper enim erit in diametro. Patet igitur rem quæ per diametrum fertur duplici impetu, necessario secundum laterum ferri rationem: quodsi enim alia ratione ferretur, non feretur per diametrum. Sin vero duplici impetu feratur, verum ita ut nullo umquam tempore aliqua ratio inter utrumque intercedat, fieri nequit, ut recta sit motio. Sit enim recta. Hac igitur posita tamquam diametro, et utrinque lateribus completis, necesse est rem impulsam ferri in ratione laterum ad se invicem: hoc enim supra jam demonstratum est. Non igitur rectam lineam describet res quæ nullo umquam tempore in aliqua (virium inter se) ratione movetur: etenim si per aliquod tempus in ratione quadam feratur, per hoc tempus necessario propter supra dicta recta erit motio. Itaque curvum evadit (id est curvam lineam describit), quum ita duplici fertur impetu, ut nullo umquam tempore aliqua inter utrumque intercedat ratio. Constat igitur ex his, tum lineam quæ circulum describit, duplici ferri impetu, tum rem quæ super recta linea fertur, ad perpendiculum devenire, ita ut rursus ipsa inde a centro sit perpendicalum. Sit circulus ABC, apex vero cui B inscriptum est, moveatur ad D; pervenit sane aliquando ad C. Quodsi igitur ferebatur in ratione quam habet BD ad DC, ferretur per diametrum cui BC inscriptum est. Nunc vero, quoniam nulla intercedit ratio, fertur per circumferentiam, cui BEC inscriptum est. Quodsi vero duobus ab eadem vi impulsis, alterum quidem plus deflectitur, alterum vero minus, rationi congruum est, id quod magis deflectitur, tardius moveri quam id quod minus: id quod contingere videtur in majori et minori linea quæ e centro circulum describunt: quia enim minoris apex quiescenti propior est quam majoris, perinde ac si retraheretur in partem contrariam, ad centrum nimirum, tardius fertur minoris apex. Hoc igitur omni lineæ circulum describenti evenit, atque fertur motu quidem secundum naturam per circumferentiam, motu vero præter naturam ad latus et ad centrum. Majori igitur præter naturam motu fertur semper minor: quia enim retrahenti centro propior est, majorem hujus vim experitur. Quod vero linearum e centro circulos describentium majus spatium præter naturam percurrit minor quam major, ex his patet. Sit circulus cui BCED inscriptum est, et in hoc alter minor, cui QNMX, circum idem centrum A, atque ducantur diametri, in magno quidem quibus inscripta sunt CD et BE, in minori vero MQ et NX, et compleatur rectangulum DWRC. Quodsi igitur circulum describens AB eodem rursus perveniet, unde profecta est, nimirum ad AB, manifestum est, eam ad se ipsam moveri. Eodem modo et AQ ad AQ perveniet. Tardius tamen movetur AQ quam AB, uti supra

ὥσπερ εἴρηται, διὰ τὸ γίνεσθαι μείζονα τὴν ἔκκρουσιν καὶ ἀντισπᾶσθαι μᾶλλον τὴν ΑΧ. Ἤχθω δ' ἡ ΑΘΗ, καὶ ἀπὸ τοῦ Θ κάθετος ἐπὶ τὴν ΑΒ ἡ ΘΖ ἐν τῷ κύκλῳ, καὶ πάλιν ἀπὸ τοῦ Θ ἤχθω παρὰ τὴν ΑΒ ἡ ΘΩ, καὶ ἡ ΩΥ ἐπὶ τὴν ΑΒ κάθετος, καὶ ἡ ΗΚ. Αἱ δὴ ἐφ' ὧν ΩΥ καὶ ΘΖ, ἴσαι. Ἡ ἄρα ΒΥ ἐλάττων τῆς ΧΖ· αἱ γὰρ ἴσαι εὐθεῖαι ἐπ' ἀνίσους κύκλους ἐμβληθεῖσαι πρὸς ὀρθὰς τῇ διαμέτρῳ ἔλαττον τμῆμα ἀποτέμνουσι τῆς διαμέτρου ἐν τοῖς μείζοσι κύκλοις· ἔστι δ' ἡ ΩΥ ἴση τῇ ΘΖ. Ἐν ὅσῳ δὴ χρόνῳ ἡ ΑΘ τὴν ΧΘ ἐνηνέχθη, ἐν τοσούτῳ χρόνῳ ἐν τῷ κύκλῳ τῷ μείζονι μείζονα τῆς ΒΩ ἐνήνεκται τὸ ἄκρον τῆς ΒΑ· ἡ μὲν γὰρ κατὰ φύσιν φορὰ ἴση, ἡ δὲ παρὰ φύσιν ἐλάττων· ἡ δὲ ΒΥ τῆς ΖΧ. Δεῖ δ' ἀνάλογον εἶναι, ὡς τὸ κατὰ φύσιν πρὸς τὸ κατὰ φύσιν, τὸ παρὰ φύσιν πρὸς τὸ παρὰ φύσιν. Μείζονα ἄρα περιφέρειαν διελήλυθε τὴν ΗΒ τῆς ΩΒ. Ἀνάγκη δὲ τὴν ΗΒ ἐν τούτῳ τῷ χρόνῳ διεληλυθέναι· ἐνταῦθα γὰρ ἔσται, ὅταν ἀνάλογον ἀμφοτέρως συμβαίνῃ τὸ παρὰ φύσιν πρὸς τὸ κατὰ φύσιν. Εἰ δὴ μεῖζόν ἐστι τὸ κατὰ φύσιν ἐν τῷ μείζονι, καὶ τὸ παρὰ φύσιν μεῖζον ἂν ἐνταῦθα συμπίπτοι μοναχῶς, ὥστε τὸ Β ἐνηνέχθαι ἂν τὴν ΒΗ ἐν ᾧ τὸ ἐφ' οὗ Χ, σημεῖον [τὴν ΧΘ]· ἐνταῦθα γὰρ κατὰ φύσιν μὲν γίνεται τὸ Β σημεῖον ἐς τὸ Η, παρὰ φύσιν δ' ἐς τὸ Κ· ἔστι γὰρ ἡ ΗΚ ἀπὸ τοῦ Η κάθετος. Ἔστι δ' ὡς ἡ ΗΚ πρὸς τὴν ΚΒ, ἡ ΘΖ πρὸς τὴν ΖΧ· φανερὸν δ' ἐὰν ἐπιζευχθῶσιν αἱ ἀπὸ τῶν ΒΧ ἐπὶ τὰ Η Θ. Εἰ δ' ἐλάττων, ἢ μείζων τῆς ΗΒ ἔσται, ἣν ἠνέχθη τὸ Β, οὐχ ὁμοίως ἔσται, οὐδ' ἀνάλογον ἐν ἀμφοῖν τὸ κατὰ φύσιν πρὸς τὸ παρὰ φύσιν. Δι' ἣν μὲν τοίνυν αἰτίαν ἀπὸ τῆς αὐτῆς ἰσχύος φέρεται θᾶττον τὸ πλέον ἀπέχον τοῦ κέντρου σημεῖον, καὶ μείζονα γράφει ἡ μείζων, δῆλον διὰ τῶν εἰρημένων· διότι δὲ τὰ μὲν μείζω ζυγὰ ἀκριβέστερά ἐστι τῶν ἐλαττόνων, φανερὸν ἐκ τούτων· γίνεται γὰρ τὸ μὲν σπάρτον κέντρον (μένει γὰρ τοῦτο), τὸ δ' ἐφ' ἑκάτερον μέρος τῆς πλάστιγγος αἱ ἐκ τοῦ κέντρου. Ἀπὸ οὖν τοῦ αὐτοῦ βάρους ἀνάγκη θᾶττον κινεῖσθαι τὸ ἄκρον τῆς πλάστιγγος, ὅσῳ ἂν πλεῖον ἀπέχῃ τοῦ σπάρτου, καὶ ἔνια μὲν μὴ δῆλα εἶναι ἐν τοῖς μικροῖς ζυγοῖς πρὸς τὴν αἴσθησιν ἐπιτιθέμενα βάρη, ἐν δὲ τοῖς μεγάλοις δῆλα· οὐθὲν γὰρ κωλύει ἔλαττον κινηθῆναι μέγεθος ἢ ὥστε εἶναι τῇ ὄψει φανερόν· ἐπὶ δὲ τῆς μεγάλης πλάστιγγος ποιεῖ ὁρατὸν τὸ αὐτὸ βάρος μέγεθος. Ἔνια δὲ δῆλα μὲν ἐπ' ἀμφοῖν ἐστιν, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τῶν μειζόνων διὰ τὸ πολλῷ μεῖζον γίνεσθαι τὸ μέγεθος τῆς ῥοπῆς ὑπὸ τοῦ αὐτοῦ βάρους ἐν τοῖς μείζοσιν. Καὶ διὰ τοῦτο τεχνάζουσιν οἱ ἁλουργοπῶλαι πρὸς τὸ παρακρούεσθαι ἱστάντες, τό τε σπάρτον οὐκ ἐν μέσῳ τιθέντες, καὶ μόλυβδον τῆς φάλαγγος εἰς θάτερον μέρος ἐγχέοντες, ἢ τοῦ ξύλου τὸ πρὸς τὴν ῥίζαν πρὸς ὃ βούλονται ῥέπειν ποιοῦντες, ἢ ἐὰν ἔχῃ ὄζον· βαρύτερον γὰρ ἐν ᾧ μέρος ἡ ῥίζα τοῦ ξύλου ἐστίν, ὁ δ' ὄζος ῥίζα τίς ἐστιν.

dictum est, quia magis a via deflectitur atque retrahitur AQ. Ducatur autem AHG, et a H perpendicularis ad AB HF intra circulum, et rursum ex H ducatur juxta AB linea HY, et YU perpendicularis in AB, itemque GK. Lineæ itaque quibus YU et HF inscripta sunt, æquales sunt. BU igitur minor est QF: æquales enim lineæ rectæ inæqualibus in circulis perpendiculariter ad diametrum ductæ minorem partem diametri abscindunt in majoribus circulis; est autem linea YU æqualis lineæ HF. In quanto igitur temporis spatio linea AH lineam QH percurrit, in tanto in majori circulo apex lineæ BA majorem quam BY percurrit circuitum: motus enim secundum naturam æqualis est, motus vero præter naturam minor, estque linea BU minor quam linea FQ. Oportet autem proportionem intercedere, uti inter utrumque motum secundum naturam, sic et inter utrumque motum præter naturam. Majorem igitur circuitum percucurrit quam YB, GB scilicet. Necesse autem est, radium in hoc tempore lineam GB absolvisse: ibi enim erit, ubi utrinque proportionales fuerint motus secundum naturam et contra naturam. Quodsi igitur motus secundum naturam major est in majori circulo, motus præter naturam etiam tunc unice major eveniet, ita ut B feratur per BG eodem tempore quo punctum cui Q inscriptum est, fertur [per QH]: tunc enim secundum naturam punctum B pervenit ad G, præter naturam vero ad K: est enim GK perpendicularis a G ducta. Est autem ut linea GK ad lineam KB, ita linea HF ad lineam QF: quod constat, si e punctis B et Q ducantur lineæ ad puncta G et H. Quodsi vero minor, vel major quam GB esset circuitus, quem percucurrit B, nec eodem modo se habebunt, nec proportione sibi mutuo respondebunt in ambobus circulis motus secundum naturam et præter naturam. Quam itaque ob causam ab eadem potentia citius moveatur punctum quod longius distat a centro, et majorem circulum describat major linea, e dictis constat; majores vero bilances minoribus exactiores esse, ex hisce patet: evadit namque funis centrum (quiescit enim), libræ autem partes quæ in utramque partem protenduntur, lineæ e centro ductæ. Ab eodem igitur pondere necesse est eo citius moveri extremum jugi, quo longius a fune distat, atque nonnulla pondera minoribus bilancibus imposita sensui non patere, in majoribus vero patere: nihil enim vetat quin minus spatium percurrat quam quod oculis percipi possit; in magna vero bilance idem pondus efficit spatium visui patens. Nonnulla autem in ambobus conspicua sunt, sed multo magis in majoribus, quia in majoribus multo major fit inclinationis magnitudo ab eodem pondere. Hinc etiam purpuræ venditores ad fraudem faciendam in pendendo ita machinantur, ut funem non in medio ponant, vel plumbum in alterutram libræ partem infundant, vel quam libræ partem inclinari volunt, e ligno conficiant ad radicem vergenti, aut si quid nodum contineat: gravior enim est ligni pars quæ radicem continet; nodus autem quasi radix est.

CAP. III.

Διὰ τί, ἐὰν μὲν ἄνωθεν ᾖ τὸ σπαρτίον, ὅταν κάτωθεν ῥέψαντος ἀφέλῃ τὸ βάρος, πάλιν ἀναφέρεται τὸ ζυγόν, ἐὰν δὲ κάτωθεν ὑποστῇ, οὐκ ἀναφέρεται, ἀλλὰ μένει; Ἢ διότι ἄνωθεν μὲν τοῦ σπαρτίου ὄντος, πλεῖον τοῦ ζυγοῦ γίνεται τὸ ἐπέκεινα τῆς καθέτου; τὸ γὰρ σπαρτίον ἐστὶ κάθετος· ὥστ' ἀνάγκη ἐστὶ κάτω ῥέπειν τὸ πλέον, ἕως ἂν ἔλθῃ ἡ δίχα διαιροῦσα τὸ ζυγὸν ἐπὶ τὴν κάθετον αὐτήν, ἐπικειμένου τοῦ βάρους ἐν τῷ ἀνεσπασμένῳ μορίῳ τοῦ ζυγοῦ. Ἔστω ζυγὸν ὀρθὸν ἐφ' οὗ ΒΓ, σπαρτίον δὲ τὸ ΑΔ. Ἐκβαλλόμενον δὴ τοῦτο κάτω κάθετος ἔσται ἐφ' ἧς ἡ ΑΔΜ. Ἐὰν οὖν ἐπὶ τὸ Β ἡ ῥοπὴ ἐπιτεθῇ, ἔσται τὸ μὲν Β οὗ τὸ Ε, τὸ δὲ Γ οὗ τὸ Ζ ἔσται, ὥσθ' ἡ δίχα διαιροῦσα τὸ ζυγὸν πρῶτον μὲν ἦν ἡ ΔΜ τῆς καθέτου αὐτῆς, ἐπικειμένης δὲ τῆς ῥοπῆς ἔσται ἡ ΔΘ· ὥστε τοῦ ζυγοῦ τοῦ ἐφ' ᾧ ΕΖ, τὸ ἔξω τῆς καθέτου τῆς ἐφ' ἧς ΑΜ, τοῦ ἐν ᾧ ΘΠ, μεῖζον τοῦ ἡμίσεος. Ἐὰν οὖν ἀφαιρεθῇ τὸ βάρος ἀπὸ τοῦ Ε, ἀνάγκη κάτω φέρεσθαι τὸ Ζ· ἔλαττον γάρ ἐστι τὸ Ε. Ἐὰν μὲν οὖν ἄνω τὸ σπαρτίον ἔχῃ, πάλιν διὰ τοῦτο ἀναφέρεται τὸ ζυγόν. Ἐὰν δὲ κάτωθεν ᾖ τὸ ὑποκείμενον, τοὐναντίον ποιεῖ· πλεῖον γὰρ γίνεται τοῦ ἡμίσεος τοῦ ζυγοῦ τὸ κάτω μέρος ἢ ὡς ἡ κάθετος διαιρεῖ, ὥστ' οὐκ ἀναφέρεται· κουφότερον γὰρ τὸ ἐπηρτημένον. Ἔστω ζυγὸν τὸ ἐφ' οὗ ΝΞ, τὸ ὀρθόν, κάθετος δ' ἡ ΚΛΜ. Δίχα δὴ διαιρεῖται τὸ ΝΞ. Ἐπιτεθέντος δὲ βάρους ἐπὶ τὸ Ν, ἔσται τὸ μὲν Ν οὗ τὸ Ο, τὸ δὲ Ξ οὗ τὸ Ρ, ἡ δὲ ΚΛ οὗ τὸ ΛΘ, ὥστε μεῖζόν ἐστι τὸ ΚΟ τοῦ ΛΡ τῷ ΘΚΛ. Καὶ ἀφαιρεθέντος οὖν τοῦ βάρους, ἀνάγκη μένειν· ἐπίκειται γὰρ ὥσπερ βάρος ἡ ὑπεροχὴ ἡ τοῦ ἡμίσεος τοῦ ἐν ᾧ τὸ Κ.

Quare, si superne quidem adsit funis, ubi a deorsum inclinata lance amovetur pondus, rursus adscendit jugum; sin vero inferne substiterit, non adscendit, sed loco manet? An quia superne quidem collocato fune, plurima jugi pars extra perpendiculum recedit? funis enim perpendiculum est: quare necesse est majus pondus deorsum vergere, donec linea quæ jugum in duas partes æquales dividit, ad perpendiculum ipsum pervenerit, imposito nimirum pondere in retracta jugi parte. Sit jugum rectum cui BC inscriptum est, funis vero AD. Quodsi igitur hic deorsum producatur, perpendiculum erit, linea nempe cui ADM inscriptum est. Quodsi ergo B imponatur pondus, perveniet B quidem ad locum cui E inscriptum est, C vero ad locum cui F: quare linea quæ jugum in duas partes dividit æquales, quæque primum erat ipsius perpendiculi pars DM, imposito pondere erit linea DH, ita ut jugi cui EF inscriptum est, pars extra perpendiculum, cui AM inscriptum est, sita linea, cui HP inscriptum est, major sit quam jugi dimidium. Dempto itaque ab E pondere, necesse est deorsum ferri F: minus enim est E. Quodsi ergo superne quidem habuerit funem, rursus hanc ob causam adscendit jugum. Sin vero inferne fulcrum subditum fuerit, contrarium facit: tunc enim dimidii jugi pars inferior major evadit parte quam ab eo resecuerat perpendiculum jugum dividens, ita ut non adscendat: levior enim est pars suspensa. Sit jugum rectum cui NX inscriptum est, perpendiculum vero KLM. Dividitur itaque NX in duas partes æquales. Imposito autem pondere in N, perveniet N ad locum cui O inscriptum est, X vero ad locum cui R, atque linea KL ad locum cui LH, ita ut HKL major sit KO quam LR. Dempto igitur pondere, necesse est jugum loco manere: incumbit enim tamquam pondus id quo jugi pars cui K inscriptum est, dimidium excedit.

CAP. IV.

Διὰ τί κινοῦσι μεγάλα βάρη μικραὶ δυνάμεις τῷ μοχλῷ, ὥσπερ ἐλέχθη καὶ κατ' ἀρχήν, προσλαβόντι βάρος ἔτι τὸ τοῦ μοχλοῦ; ῥᾷον δὲ τὸ ἔλαττόν ἐστι κινῆσαι βάρος, ἔλαττον δ' ἐστὶν ἄνευ τοῦ μοχλοῦ. Ἢ ὅτι αἴτιόν ἐστιν ὁ μοχλός, ζυγὸν ὢν κάτωθεν ἔχον τὸ σπαρτίον καὶ εἰς ἄνισα διῃρημένον; τὸ γὰρ ὑπομόχλιον ἀντὶ σπαρτίου γίνεται· μένει γὰρ ἄμφω ταῦτα, ὥσπερ τὸ κέντρον. Ἐπεὶ δὲ θᾶττον ὑπὸ τοῦ ἴσου βάρους κινεῖται ἡ μείζων τῶν ἐκ τοῦ κέντρου, ἔστι δὲ τρία τὰ περὶ τὸν μοχλόν, τὸ μὲν ὑπομόχλιον, σπάρτον καὶ κέντρον, δύο δὲ βάρη, ὅ τε κινῶν καὶ τὸ κινούμενον· ὃ οὖν τὸ κινούμενον βάρος πρὸς τὸ κινοῦν, τὸ μῆκος πρὸς τὸ μῆκος ἀντιπέπονθεν· αἰεὶ δ' ὅσῳ ἂν μεῖζον ἀφεστήκῃ τοῦ ὑπομοχλίου, ῥᾷον κινήσει. Αἰτία δ' ἐστὶν ἡ προλεχθεῖσα, ὅτι ἡ πλεῖον ἀπέχουσα ἐκ τοῦ κέντρου μείζονα κύκλον γράφει· ὥστ' ἀπὸ τῆς αὐτῆς ἰσχύος πλέον μεταστήσεται τὸ κινοῦν τὸ πλεῖον τοῦ ὑπομοχλίου ἀπέχον. Ἔστω μοχλὸς ἐφ' οὗ ΑΒ, βάρος δ' ἐφ' ᾧ τὸ Γ, τὸ δὲ κινοῦν ἐφ' ᾧ τὸ Δ, ὑπομόχλιον ἐφ' ᾧ τὸ Ε. Τὸ δ' ἐφ' ᾧ τὸ Δ κινῆσαν ἐφ' ᾧ τὸ Η, κινούμενον δὲ τὸ ἐφ' οὗ Γ, βάρος ἐφ' οὗ Κ.

Quare exiguæ vires magna pondera movent ope vectis, ut initio jam dictum est, etiamsi addatur adhuc ipsius vectis pondus? Facilius autem est, minus pondus movere, atque pondus sine vecte minus est. An quia causa est vectis, quippe qui jugum est inferne habens funem inque partes divisum inæquales? hypomochlium enim funis locum obtinet: ambo namque hæc loco manent, sicut centrum. Quum autem ab æquali pondere citius movetur major earum linearum quæ e centro ducuntur, atque tres sunt res ad vectem pertinentes, hypomochlium sane, quod funem et centrum repræsentat, atque duo pondera, is nempe qui movet, et id quod movetur, pondus, inquam, quod movetur, eamdem habet proportionem, sed inversa ratione, ad id quod movet, ac altera longitudo ad alteram: semper enim quo longius ab hypomochlio distat, eo facilius movebit. Causa autem est quam supra adtulimus, quod scilicet linea longius a centro distans majorem describit circulum: ab eadem ergo vi majus spatium percurret pondus movens quod magis ab hypomochlio remotum est. Sit vectis cui AB inscriptum est, onus cui C, pondus vero movens cui D, hypomochliumque cui E. Pondus autem cui D inscriptum est, motu suo peracto perveniet ad locum cui G, pondus vero qui movetur cuique C inscriptum est, ad locum cui K.

CAP. V.

Διὰ τί οἱ μεσόνεοι μάλιστα τὴν ναῦν κινοῦσιν; Ἢ διότι ἡ κώπη μοχλός ἐστιν; ὑπομόχλιον μὲν γὰρ ὁ σκαλμὸς γίνεται (μένει γὰρ δὴ τοῦτο), τὸ δὲ βάρος ἡ θάλαττα, ἣν ἀπωθεῖ ἡ κώπη· ὁ δὲ κινῶν τὸν μοχλὸν ὁ ναύτης ἐστίν. Ἀεὶ δὲ πλέον βάρος κινεῖ, ὅσῳ ἂν πλέον ἀφεστήκῃ τοῦ ὑπομοχλίου ὁ κινῶν τὸ βάρος· μείζων γὰρ οὕτω γίνεται ἡ ἐκ τοῦ κέντρου, ὁ δὲ σκαλμὸς ὑπομόχλιον ὢν κέντρον ἐστίν. Ἐν μέσῃ δὲ τῇ νηὶ πλεῖστον τῆς κώπης ἐντός ἐστιν· καὶ γὰρ ἡ ναῦς ταύτῃ εὐρυτάτη ἐστίν, ὥστε πλεῖον ἐπ' ἀμφότερα ἐνδέχεσθαι μέρος τῆς κώπης ἑκατέρου τοίχου ἐντὸς εἶναι τῆς νεώς. Κινεῖται μὲν οὖν ἡ ναῦς διὰ τὸ ἀπερειδομένης τῆς κώπης εἰς τὴν θάλασσαν τὸ ἄκρον τῆς κώπης τὸ ἐντὸς προϊέναι εἰς τὸ πρόσθεν, τὴν δὲ ναῦν προσδεδεμένην τῷ σκαλμῷ συμπροϊέναι, ᾗ τὸ ἄκρον τῆς κώπης· ᾗ γὰρ πλείστην θάλασσαν διαιρεῖ ἡ κώπη, ταύτῃ ἀνάγκη μάλιστα προωθεῖσθαι· πλείστην δὲ διαιρεῖ ᾗ πλεῖστον μέρος ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης ἐστίν. Διὰ τοῦτο οἱ μεσόνεοι μάλιστα κινοῦσιν· μέγιστον γὰρ ἐν μέσῃ νηὶ τὸ ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης τὸ ἐντός ἐστιν.

Quare qui in media navi sunt, remiges maxime navem movent? An quia remus vectis est? hypomochlium enim fit scalmus (hoc namque loco manet); onus vero mare, quod remus propellit, nautaque is est qui vectem movet. Semper autem tanto plus ponderis movet, quanto majori spatio ab hypomochlio distat is qui onus movet: major enim hoc modo fit linea e centro ducta, scalmus autem, utpote hypomochlium, centrum est. In media autem navi plurima pars remi est intus: ibi enim navis latissima est: licet hinc majorem utrinque remi partem intra utrumque navis parietem esse. Movetur itaque navis, quoniam, remo mari innitente, extremum ejus internum prorsum versus pellit, navem vero, quippe scalmo adligatam, simul promovet eadem qua remi extremum. Ubi igitur remus plurimum maris findit, ibi navem maxime propelli necesse est; plurimum autem findit, ubi pars remi inde a scalmo longissima est. Hanc ob causam qui in media navi sunt, remiges maxime movent: in media enim navi pars interna remi inde a scalmo maxima est.

CAP. VI.

Διὰ τί τὸ πηδάλιον μικρὸν ὄν, καὶ ἐπ' ἐσχάτῳ τῷ πλοίῳ, τοσαύτην δύναμιν ἔχει ὥσθ' ὑπὸ μικροῦ οἴακος καὶ ἑνὸς ἀνθρώπου δυνάμεως, καὶ ταύτης ἠρεμαίας, μεγάλα κινεῖσθαι μεγέθη πλοίων; Ἢ διότι καὶ τὸ πηδάλιόν ἐστι μοχλός, καὶ μοχλεύει ὁ κυβερνήτης; Ἧ μὲν οὖν προσήρμοσται τῷ πλοίῳ, γίνεται ὑπομόχλιον, τὸ δ' ὅλον πηδάλιον ὁ μοχλός, τὸ δὲ βάρος ἡ θάλασσα, ὁ δὲ κυβερνήτης ὁ κινῶν. Οὐ κατὰ πλάτος δὲ λαμβάνει τὴν θάλασσαν, ὥσπερ ἡ κώπη, τὸ πηδάλιον· οὐ γὰρ εἰς τὸ πρόσθεν κινεῖ τὸ πλοῖον, ἀλλὰ κινούμενον κλίνει, πλαγίως τὴν θάλατταν δεχόμενον· ἐπεὶ γὰρ τὸ βάρος ἦν ἡ θάλασσα, τοὐναντίον ἀπερειδόμενον κλίνει τὸ πλοῖον· τὸ γὰρ ὑπομόχλιον εἰς τοὐναντίον στρέφεται, ἡ θάλασσα μὲν εἰς τὸ ἐντός, ἐκεῖνο δ' εἰς τὸ ἐκτός, τούτῳ δ' ἀκολουθεῖ τὸ πλοῖον διὰ τὸ συνδεδέσθαι. Ἡ μὲν οὖν κώπη κατὰ πλάτος τὸ βάρος ὠθοῦσα καὶ ὑπ' ἐκείνου ἀντωθουμένη εἰς τὸ εὐθὺ προάγει· τὸ δὲ πηδάλιον, ὥσπερ κάθηται πλάγιον, τὴν εἰς τὸ πλάγιον, ἢ δεῦρο, ἢ ἐκεῖ, ποιεῖ κίνησιν. Ἐπ' ἄκρου δέ, καὶ οὐκ ἐν μέσῳ κεῖται, ὅτι ῥᾷστον τὸ κινούμενον κινῆσαι ἀπ' ἄκρου κινοῦν· τάχιστα γὰρ φέρεται τὸ πρῶτον μέρος διὰ τὸ ὥσπερ ἐν τοῖς φερομένοις ἐπὶ τέλει λήγειν τὴν φοράν, οὕτω καὶ τοῦ συνεχοῦς ἐπὶ τέλους ἀσθενεστάτη ἐστὶν ἡ φορά· εἰ δ' ἀσθενε-

Cur gubernaculum, parvum quum sit, et in extrema navis parte positum, tantam habet vim, ut ab exiguo clavo et ab unius hominis viribus, iisque placide adhibitis, magnæ moveantur navigiorum moles? An quia gubernaculum quoque vectis est atque vecte impellit gubernator? Locus itaque quo navigio adaptatum est, hypomochlium fit, totum vero gubernaculum vectis, onus autem mare, gubernatorque is qui onus movet. Non autem secundum latitudinem mare corripit, ut remus: non enim anteriora versus navem movet gubernaculum, sed ipsam motam deflectit, oblique mare capiens: nam quum mare esset onus, in contrarium innixum navem flectit: hypomochlium enim in contrariam partem vertitur, quippe quum mare quidem introrsum, hoc vero extrorsum, idque sequitur navigium, quia adligatum est. Remus itaque secundum latitudinem onus propellens, et ab ipso vicissim repulsus, navem recta promovet; gubernaculum vero, utpote oblique insidens, motum ad latera producit, vel huc, vel illuc. In extrema autem navi, non vero in media positum est, quia id quod ab extremitate pellit, facillime movet rem quæ jam movetur: celerrime enim fertur prima pars, quoniam, quemadmodum in iis quæ impetu feruntur, in fine deficit motus, sic quoque in re continua in extremitate imbecillimus est motus; quodsi vero imbecillimus est, deflexu facilis erit.

στάτη, ῥᾳδία ἐκκρούεσθαι. Διά τε δὴ ταῦτα ἐν τῇ πρύμνῃ τὸ πηδάλιόν ἐστι, καὶ ὅτι ἐνταῦθα μικρᾶς κινήσεως γενομένης πολλῷ μεῖζον τὸ διάστημα ἐπὶ τῷ ἐσχάτῳ γίνεται, διὰ τὸ τὴν ἴσην γωνίαν ἐπὶ μείζονα καθῆσθαι, καὶ ὅσῳ ἂν μείζους ὦσιν αἱ περιέχουσαι. Δῆλον δ' ἐκ τούτου καὶ δι' ἣν αἰτίαν μᾶλλον προέρχεται εἰς τοὐναντίον τὸ πλοῖον ἢ ἡ τῆς κώπης πλάτη· τὸ αὐτὸ γὰρ μέγεθος τῇ αὐτῇ ἰσχύϊ κινούμενον ἐν ἀέρι πλέον ἢ ἐν τῷ ὕδατι πρόεισιν. Ἔστω γὰρ ἡ ΑΒ κώπη, τὸ δὲ Γ ὁ σκαλμός, τὸ δὲ Α τὸ ἐν τῷ πλοίῳ, ἡ ἀρχὴ τῆς κώπης, τὸ δὲ Β τὸ ἐν τῇ θαλάττῃ. Εἰ δὴ τὸ Α οὗ τὸ Δ, μεταχεκίνηται, τὸ Β οὐκ ἔσται οὗ τὸ Ε· ἴση γὰρ ἡ ΒΕ τῇ ΑΔ. Ἴσον οὖν μεταχεχωρηκὸς ἔσται. Ἀλλ' ἦν ἔλαττον. Ἔσται δὴ οὗ τὸ Ζ. Ἡ τὸ Θ ἄρα τέμνει τὴν ΑΒ, καὶ οὐχ ᾗ τὸ Γ, καὶ κάτωθεν· ἐλάττων γὰρ ἡ ΒΖ τῆς ΑΔ, ὥστε καὶ ἡ ΘΖ τῆς ΔΘ· ὅμοια γὰρ τὰ τρίγωνα. Μεθεστηκὸς δ' ἔσται καὶ τὸ μέσον, τὸ ἐφ' οὗ Γ· εἰς τοὐναντίον γὰρ τῷ ἐν τῇ θαλάττῃ ἄκρῳ τῷ Β μεταχωρεῖ, ᾗπερ τὸ ἐν τῷ πλοίῳ ἄκρον τὸ Α, μετεχώρει δ' οὗ τὸ Δ· ὥστε μετακινηθήσεται τὸ πλοῖον καὶ ἐκεῖ, οὗ ἡ ἀρχὴ τῆς κώπης μεταφέρεται. Τὸ δ' αὐτὸ καὶ τὸ πηδάλιον ποιεῖ, πλὴν ὅτι εἰς τὸ πρόσθεν οὐδὲν συμβάλλεται τῷ πλοίῳ, ὥσπερ ἐλέχθη ἐπάνω, ἀλλὰ μόνον τὴν πρύμναν εἰς τὸ πλάγιον ἀπωθεῖ ἔνθα ἢ ἔνθα· εἰς τοὐναντίον γὰρ ἡ πρώρα οὕτω νεύει. Ἧ μὲν δὴ τὸ πηδάλιον προσέζευκται, δεῖ οἷόν τι τοῦ κινουμένου μέσον νοεῖν, καὶ ὥσπερ ὁ σκαλμὸς τῇ κώπῃ· τὸ δὲ μέσον ὑποχωρεῖ, ᾗ ὁ οἴαξ μετακινεῖται. Ἐὰν μὲν εἴσω ἄγῃ, καὶ ἡ πρύμνα δεῦρο μεθέστηκεν· ἡ δὲ πρώρα εἰς τοὐναντίον νεύει· ἐν γὰρ τῷ αὐτῷ οὔσης τῆς πρώρας, τὸ πλοῖον μεθέστηκεν ὅλον.

Cum igitur hanc ob causam in puppi collocatur gubernaculum, tum quia illic, parvo facto motu, multo majus fit spatium in extremitate, quum par angulus eo majori insidet basi, quo lineæ circumdantes majores sunt. Constat vero etiam ex hoc, quamnam ob causam magis in contrariam partem progrediatur navis quam remi palmula: eadem enim magnitudo eadem vi mota in aere magis quam in aqua progreditur. Sit enim AB remus, C vero scalmus, et A pars remi intra navigium, principium videlicet, B autem pars in mari posita. Quodsi ergo A translatum fuerit ad locum ubi D est, B non erit ubi E : æqualis enim est linea BE lineæ AD. Æquale igitur spatium percucurrisset. Atqui minus erat. Erit itaque ubi F inscriptum est. Secat ergo lineam AB ubi H inscriptum est, non vero ubi C, idque inferius : linea enim BF minor est linea AD, ideoque et linea HF linea DH : similes enim sunt trianguli. Medium autem cui C inscriptum est, itidem translatum fuerit : in contrariam enim partem commeat ac remi extremitas in mari posita cui B, eadem qua extremitas intra navigium, cui A inscriptum est; translatum autem erat A ad locum, cui D inscriptum est : quare et navigium promovebitur, idque illuc quo commeat remi principium. Idem facit quoque gubernaculum, præterquam quod nihil navi ad motionem anteriora versus confert, ut supra jam dictum est, sed tantummodo puppim ad latera depellit huc vel illuc : sic enim in contrariam partem inclinat prora. Locum igitur quo gubernaculum adnexum est, ceu quoddam rei motæ medium cogitare oportet, et perinde ac scalmus est remo; medium autem subducitur quatenus ansa transfertur. Si introrsum quidem agit, etiam puppis eo transfertur; prora vero in contrariam partem inclinat : etenim eodem in loco manente prora, totum transferturr navigium.

CAP. VII.

Διὰ τί, ὅσῳ ἂν ἡ κεραία ἀνωτέρα ᾖ, θᾶττον πλεῖ τὰ πλοῖα τῷ αὐτῷ ἱστίῳ καὶ τῷ αὐτῷ πνεύματι; Ἢ διότι γίνεται ὁ μὲν ἱστὸς μοχλός, ὑπομόχλιον δὲ τὸ ἑδώλιον ἐν ᾧ ἐμπέπηγεν, ὃ δὲ δεῖ κινεῖν βάρος τὸ πλοῖον, τὸ δὲ κινοῦν τὸ ἐν τῷ ἱστίῳ πνεῦμα; Εἰ δ' ὅσῳ ἂν πορρώτερον ᾖ τὸ ὑπομόχλιον, ῥᾷον κινεῖ καὶ θᾶττον ἡ αὐτὴ δύναμις τὸ αὐτὸ βάρος, ἡ οὖν κεραία ἀνώτερον ἀγομένη καὶ τὸ ἱστίον πορρώτερον ποιεῖ τοῦ ἑδωλίου ὑπομοχλίου ὄντος.

Cur, quanto magis evecta fuerit antenna, tanto citius eodem velo atque eodem vento navigant navigia? An quia malus quidem fit vectis, hypomochlium vero sedes cui impactus est, onus autem quod movere oportet, navigium, id tandem quod movet, ventus velo incumbens? Quodsi autem, quo longius remotum fuerit hypomochlium, eo facilius ac citius eadem vis movet idem onus antenna sane altius subducta velum quoque longius removet a mali sede quæ hypomochlium est.

CAP. VIII.

Διὰ τί, ὅταν ἐξ οὐρίας βούλωνται διαδραμεῖν μὴ οὐρίου τοῦ πνεύματος ὄντος, τὸ μὲν πρὸς τὸν κυβερνήτην τοῦ ἱστίου μέρος στέλλονται, τὸ δὲ πρὸς τὴν πρώραν ποδιαῖον (πόδα?) ποιησάμενοι ἐφιᾶσιν; Ἢ διότι ἀντισπᾶν τὸ πηδάλιον πολλῷ μὲν ὄντι τῷ πνεύματι οὐ δύναται, ὀλίγῳ δέ, ὃ (διό?) ὑποστέλλονται;

Cur si prospero vento navigare veliat, etiamsi ventus secundus non sit, veli partem gubernatori quidem propiorem constringunt, quæ vero versus proram est, pede facto, relaxant? An quod gubernaculum copioso quidem vento retrahendo obsistere nequit, pauco vero potest, eam ob causam constringunt? Itaque ventus navem propellit, gu-

Προάγει μὲν οὖν τὸ πνεῦμα, εἰς οὔριον δὲ καθίστησι τὸ πηδάλιον, ἀντισπῶν καὶ μοχλεῦον τὴν θάλατταν. Ἅμα δὲ καὶ οἱ ναῦται μάχονται τῷ πνεύματι· ἀνακλίνουσι γὰρ ἐπὶ τὸ ἐναντίον ἑαυτούς.

bernaculum vero eum quasi secundum facit, retrahens mare et vectis instar in id agens. Simul vero et nautæ cum vento contendunt : in contrarium enim ipsi sese inclinant.

CAP. IX.

Διὰ τί τὰ στρογγύλα καὶ περιφερῆ τῶν σχημάτων εὐκινητότερα; Τριχῶς δ' ἐνδέχεται τὸν κύκλον κυλισθῆναι· ἢ γὰρ κατὰ τὴν ἀψῖδα, συμμεταβάλλοντος τοῦ κέντρου, ὥσπερ ὁ τροχὸς ὁ τῆς ἁμάξης κυλίεται· ἢ περὶ τὸ κέντρον μόνον, ὥσπερ αἱ τροχιλέαι, τοῦ κέντρου μένοντος· ἢ παρὰ τὸ ἐπίπεδον, τοῦ κέντρου μένοντος, ὥσπερ ὁ κεραμεικὸς τροχὸς κυλίνδεται. Ἢ μὲν δὴ τάχιστα τὰ τοιαῦτα, διά τε τὸ μικρῷ ἅπτεσθαι τοῦ ἐπιπέδου, ὥσπερ ὁ κύκλος κατὰ στιγμήν, καὶ διὰ τὸ μὴ προσκόπτειν; ἀφέστηκε γὰρ τῆς γῆς ἡ γωνία. Καὶ ἔτι ᾧ ἂν ἀπαντήσῃ σώματι, πάλιν τούτου κατὰ μικρὸν ἅπτεται. Εἰ δ' εὐθύγραμμον ἦν, τῇ εὐθείᾳ ἐπὶ πολὺ ἥπτετο ἂν τοῦ ἐπιπέδου. Ἔτι ᾗ ῥέπει ἐπὶ τὸ βάρος, ταύτῃ κινεῖ ὁ κινῶν· ὅταν μὲν γὰρ πρὸς ὄρθιον ἡ διάμετρος ᾖ τοῦ κύκλου τῷ ἐπιπέδῳ, ἁπτομένου τοῦ κύκλου κατὰ στιγμὴν τοῦ ἐπιπέδου, ἴσον τὸ βάρος ἐπ' ἀμφότερα διαλαμβάνει ἡ διάμετρος· ὅταν δὲ κινῆται, εὐθὺς πλέον ἐφ' ὃ κινεῖται, ὥσπερ ῥέπον. Ἐντεῦθεν εὐκινητότερον τῷ ὠθοῦντι εἰς τοὔμπροσθεν· ἐφ' ὃ γὰρ ῥέπει ἕκαστον, εὐκίνητόν ἐστιν, εἴπερ καὶ τὸ ἐπὶ τὸ ἐναντίον τῆς ῥοπῆς δυσκίνητον. Ἔτι λέγουσί τινες ὅτι καὶ ἡ γραμμὴ ἡ τοῦ κύκλου ἐν φορᾷ ἐστιν ἀεί, ὥσπερ τὰ μένοντα, διὰ τὸ ἀντερείδειν, οἷον καὶ τοῖς μείζοσι κύκλοις ὑπάρχει πρὸς τοὺς ἐλάττονας· θᾶττον γὰρ ὑπὸ τῆς ἴσης ἰσχύος κινοῦνται οἱ μείζους καὶ τὰ βάρη κινοῦσι, διὰ τὸ ῥοπήν τινα ἔχειν τὴν γωνίαν τὴν τοῦ μείζονος κύκλου πρὸς τὴν τοῦ ἐλάττονος, καὶ εἶναι ὅ περ ἡ διάμετρος πρὸς τὴν διάμετρον. Ἀλλὰ μὴν πᾶς κύκλος μείζων πρὸς ἐλάττονα· ἄπειροι γὰρ οἱ ἐλάττονες. Εἰ δὲ καὶ πρὸς ἕτερον ἔχει ῥοπὴν ὁ κύκλος, ὁμοίως δ' εὐκίνητος, καὶ ἄλλην ἂν ἔχοι ῥοπὴν ὁ κύκλος καὶ τὰ ὑπὸ κύκλου κινούμενα, κἂν μὴ τῇ ἀψῖδι ἅπτηται τοῦ ἐπιπέδου, ἀλλ' ἢ παρὰ τὸ ἐπίπεδον, ἢ ὡς αἱ τροχιλέαι· καὶ γὰρ οὕτως ἔχοντες ῥᾷστα κινοῦνται καὶ κινοῦσι τὸ βάρος. Ἢ οὐ τῷ κατὰ μικρὸν ἅπτεσθαι καὶ προσκρούειν, ἀλλὰ δι' ἄλλην αἰτίαν; αὕτη δ' ἐστὶν ἡ εἰρημένη πρότερον, ὅτι ἐκ δύο φορῶν γεγένηται ὁ κύκλος, ὥστε μίαν αὐτὸν αἰεὶ ἔχειν ῥοπήν, καὶ οἷον φερόμενον αὐτὸν αἰεὶ κινοῦσιν οἱ κινοῦντες, ὅταν κινῶσι κατὰ τὴν περιφέρειαν ὁπωσοῦν· φερομένην γὰρ αὐτὴν κινοῦσιν· τὴν μὲν γὰρ εἰς τὸ πλάγιον αὐτοῦ κίνησιν ὠθεῖ τὸ κινοῦν, τὴν δ' ἐπὶ τῆς διαμέτρου αὐτὸς κινεῖται.

Cur figuræ rotundæ et circulares facilius moventur? Triplici autem modo circulum volvi licet : vel enim secundum arcum, ita ut centrum simul locum mutet, quemadmodum rota currus volvitur; vel tantummodo circum centrum, ut trochleæ, ipso quiescente centro; vel ita ut pavimento sit parallelus, loco manente centro, sicut rota figuli volvitur. An itaque ideo celerrima sunt talia, quoniam parva sui parte planum contingunt, ut circulus uno tantum puncto, et quoniam non offendunt? remotus enim est angulus a terra. Præterea in quodcumque corpus inciderit, hoc rursus parva sui parte contingunt. Si vero rectilinea esset figura, rectitudine sua longo spatio planitiem contigisset. Deinde qua in pondus suum vergunt, ea impellit is qui movet : ubi enim rectos quidem angulos cum planitie facit circuli diametros, circulo puncto tantummodo planitiem contingente, par utrinque pondus diametros disterminat; ubi vero movetur, confestim plus ponderis est a parte in quam movetur, utpote inclinans. Hinc facilius movebitur ab eo qui prorsum impellit : omnia enim eo quo vergunt, facile pelluntur, siquidem motus in partem inclinationi oppositam difficulter cietur. Præterea sunt qui dicant, circuli lineam semper in motu esse, eodem quo manentia (manent), propter nisum contrarium, sicut etiam majoribus circulis evenit respectu minorum : citius enim ab eadem vi moventur majores, iidemque citius pondera movent, quia majoris circuli angulus nutum quemdam ad minoris habet : id quod etiam alteri evenit diametro respectu alterius. Atqui nullus non circulus major est respectu minoris : infiniti enim sunt minores. Quodsi vero respectu alius nutum habet circulus, eademque proportione facile movetur, alium quoque habebit nutum cum circulus ipse, tum quæ a circulo moventur, etiamsi arcu non contingat planitiem, sed vel pavimento parallelos, vel sicut trochleæ moveatur : nam et ubi sic sese habent, facillime et moventur ipsi, et onus movent. An non quia parva sui parte (planitiem) contingunt atque offendunt, sed alia de causa? Hæc vero est quam supra memoravimus, quod circulus e duabus exstitit motionibus, ita ut semper unum habeat nutum, et quasi semper ipsum per se jam motum impellant qui eum movent, ubi quocumque demum modo movent secundum circumferentiam : movent enim, dum ipse fertur : ejus motum namque qui ad latus fit, ei conciliat res movens, motu vero super diametro ipse movetur.

CAP. X.

Διὰ τί τὰ διὰ τῶν μειζόνων κύκλων αἰρόμενα καὶ ἑλκόμενα ῥᾷον καὶ θᾶττον κινοῦμεν; οἷον καὶ αἱ τροχιλέαι αἱ μείζους τῶν ἐλαττόνων, καὶ αἱ σκυτάλαι ὁμοίως. Ἢ διότι ὅσῳ ἂν μείζων ᾖ ἡ ἐκ τοῦ κέντρου, ἐν τῷ ἴσῳ χρόνῳ πλέον κινεῖται χωρίον, ὥστε καὶ τοῦ ἴσου βάρους ἐπόντος ποιήσει τὸ αὐτό, ὥσπερ εἴπομεν καὶ τὰ μείζω ζυγὰ τῶν ἐλαττόνων ἀκριβέστερα εἶναι; τὸ μὲν γὰρ σπαρτίον ἐστὶ κέντρον, τοῦ δὲ ζυγοῦ αἱ ἐπὶ τάδε τοῦ σπαρτίου αἱ ἐκ τοῦ κέντρου.

Cur quæ a majoribus circulis tolluntur ac trahuntur, facilius et citius movemus? exemplo sint majores trochleæ, si cum minoribus conferantur, atque eodem modo scutulæ. An quoniam, quo major fuerit linea e centro ducta, eo longius spatium in æquali tempore percurrit? quamobrem et, æquali incumbente pondere, idem præstabit, quemadmodum et majores libras minoribus exactiores esse diximus: funis enim centrum est, jugi vero partes ultra funem lineæ e centro ductæ.

CAP. XI.

Διὰ τί ῥᾷον, ὅταν ἄνευ βάρους ᾖ, κινεῖται τὸ ζυγὸν ἢ ἔχον βάρος; ὁμοίως δὲ καὶ τροχός, ἢ ἄλλο τοιοῦτο, τὸ βαρύτερον μέν, μεῖζον δὲ τοῦ ἐλάττονος καὶ κουφοτέρου. Ἢ ὅτι οὐ μόνον εἰς τοὐναντίον τὸ βαρύ, ἀλλὰ καὶ εἰς τὸ πλάγιον δυσκίνητόν ἐστιν; ἐναντίον γὰρ τῇ ῥοπῇ κινῆσαι χαλεπῶς, ἐφ' ὃ δὲ ῥέπει, ῥᾳδίως· εἰς δὲ τὸ πλάγιον οὐ ῥέπει. [Εἰ γὰρ σιδηροῦς τύχῃ καὶ ξύλινος ἄλλος ζυγός, ταχύτερον ἀπὸ τοῦ αὐτοῦ βάρους ὁ ξύλινος κινηθήσεται διὰ τὸ πρὸς τὰ ἄνω δυσκίνητα εἶναι τὰ βάρη, ἐναντίον (ου?) τοῦ ἄνω τόπου τοῖς βάρεσιν. Τὰ δὲ πλείονα βάρη δυσκινητότερα τῶν ἐλαττόνων πρὸς τὰ ἄνω εἰσίν· διὸ καὶ ὁ σιδηροῦς ζυγός, ἅτε τοῦ ξυλίνου βαρύτερος ὤν, βραδύτερον κινεῖται διὰ τὸ [εἶναι] τὸ ἕτερον ἄκρον αὐτοῦ, ἐν ᾧ τὸ βάρος οὐκ ἐπιτίθεται, βραδέως κάτω κινεῖσθαι, τὸ δὲ ξύλινον τοὐναντίον. Ἀλλὰ καὶ ἐπὶ τοῖς τροχοῖς τὸ αὐτὸ συμβαίνει· τὸ γὰρ βάρος τοῦ σιδηροῦ τροχοῦ μᾶλλον ὠθεῖ τοῦτον κάτω, καί ἐστιν ὡς πρὸς τὸ πλάγιον δυσκίνητον· ὁ δὲ κουφότερος εὐκινητότερός ἐστι διὰ τὸ καὶ τὸ βάρος αὐτοῦ κουφότερον εἶναι, καὶ ἔλαττον ὠθεῖ[ν] τοῦτον κάτω.]

Cur facilius movetur jugum pondere carens quam pondere imposito? eodem modo et rota, vel aliud quid hujusmodi, gravius, sed majus, si cum minori atque leviori conferatur. An quia non solum in contrarium, sed etiam ad latus difficulter moventur res graves? difficulter enim in partem rerum nutui contrariam cietur motus, facile vero in eam quo vergunt; ad latera autem non vergunt: [si enim ferreum adesset jugum aliudque ligneum, citius ab eodem pondere ligneum moveretur, quoniam onera difficilius sursum moventur, quum locus superior oneribus adversatur. Majora vero pondera difficilius sursum moventur quam minora: quamobrem et jugum ferreum, quippe gravius ligneo, tardius movetur, quia alterum ipsius extremum, cui pondus impositum non est, tardius movetur deorsum; ligneum vero contrario modo sese habet. Verum idem quoque contingit in rotis: pondus enim ferreæ rotæ magis hanc deprimit, atque (idcirco) difficulter ad latus movetur; levior vero facilius movetur, quia pondus ejus item levius est eamque minus deprimit.]

CAP. XII.

Διὰ τί ἐπὶ τῶν σκυταλῶν ῥᾷον τὰ φορτία κομίζεται ἢ ἐπὶ τῶν ἁμαξῶν, ἐχουσῶν τῶν μὲν μεγάλους τροχούς, τῶν δὲ μικρούς; Ἢ διότι ἐπὶ τῶν σκυταλῶν οὐδεμίαν ἔχει πρόσκοψιν, τὸ δ' ἐπὶ τῶν ἁμαξῶν τὸν ἄξονα, καὶ προσκόπτει αὐτῷ; ἔκ τε γὰρ τῶν ἄνωθεν πιέζει αὐτὸν καὶ ἐκ τῶν πλαγίων. Τὸ δ' ἐπὶ τῶν σκυταλῶν ἐπὶ δύο τούτων κινεῖται, τῇ τε κάτω χώρᾳ ὑποκειμένῃ καὶ τῷ βάρει τῷ ἐπικειμένῳ· ἐπ' ἀμφοτέρων γὰρ τούτων κυλίεται τῶν τόπων ὁ κύκλος καὶ φερόμενος ὠθεῖται.

Cur super scutulis facilius vehuntur onera quam super curribus, quum tamen hi magnas habeant rotas, illæ vero pusillos circulos? An quia in scutulis nihil habent in quod offendere possint, in curribus vero axem, ad quem offendunt? desuper enim premit ipsum et a lateribus. Onus vero scutulis impositum hisce duobus movetur, spatio inferne substrato et onere superimposito: super ambobus enim his locis circulus volvitur et impellitur, dum ipse movetur.

CAP. XIII.

Διὰ τί πορρωτέρω τὰ βέλη φέρεται ἀπὸ τῆς σφενδόνης ἢ ἀπὸ τῆς χειρός, καίτοι κρατεῖ γ' ὁ βάλλων τῇ χειρὶ μᾶλλον ἢ ἀπαρτήσας τὸ καίαρ; καὶ ἔτι οὕτω μὲν δύο βάρη κινεῖ, τό τε τῆς σφενδόνης καὶ τὸ βέλος, ἐκείνως δὲ τὸ βέλος μόνον. Πότερον ὅτι ἐν μὲν τῇ σφενδόνῃ κινούμενον τὸ βέλος ῥίπτει ὁ βάλλων (περιαγαγὼν γὰρ κύκλῳ πολλάκις ἀφίησιν), ἐκ δὲ τῆς χειρὸς ἀπὸ τῆς ἠρεμίας ἡ ἀρχή· πάντα δ' εὐκινητότερα κινούμενα ἢ ἠρεμοῦντα; Ἢ διά τε τοῦτο, καὶ διότι ἐν μὲν τῷ σφενδονᾶν ἡ μὲν χεὶρ γίνεται κέντρον, ἡ δὲ σφενδόνη ἡ ἐκ τοῦ κέντρου; ὅσῳ δ' ἂν ᾖ μείζων ἡ ἀπὸ τοῦ κέντρου, κινεῖται θᾶττον· ἡ δ' ἀπὸ τῆς χειρὸς βολὴ πρὸς τὴν σφενδόνην βραχεῖά ἐστιν.

Cur longius projiciuntur tela e funda quam e manu, quum tamen jaculator manu nuda plus valeat quam si inde sinum fundæ suspenderit? Præterea hoc modo duo pondera movet, fundæ nimirum ac telum, illo vero modo tantummodo telum. An quia in funda quidem ipsum jam telum movetur, ubi a jaculatore projicitur (sæpius enim in orbem circumvertit antequam projiciat), e manu vero ubi fit jaculatio, a quiete originem petit motus; omnia autem facilius moventur, quum jam in motu sunt, quam quiescentia? An cum ob hanc causam, tum quia funditoris quidem manus fit centrum, funda vero linea e centro ducta? quanto autem major fuerit linea e centro ducta, tanto citius movetur. Jactus autem qui sola manu fit, brevis est, si cum funda comparetur.

CAP. XIV.

Διὰ τί ῥᾷον κινοῦνται περὶ τὸ αὐτὸ ζυγὸν οἱ μείζους τῶν ἐλαττόνων κόλλοπες, καὶ οἱ αὐτοὶ ὄνοι οἱ λεπτότεροι ὑπὸ τῆς αὐτῆς ἰσχύος τῶν παχυτέρων; Ἢ διότι ὁ μὲν ὄνος καὶ τὸ ζυγὸν κέντρον ἐστίν, τὰ δ' ἀπέχοντα μεγέθη αἱ ἐκ τοῦ κέντρου, θᾶττον δὲ κινοῦνται καὶ πλέον ἀπὸ τῆς αὐτῆς ἰσχύος αἱ τῶν μειζόνων κύκλων ἢ αἱ τῶν ἐλαττόνων; ὑπὸ τῆς αὐτῆς γὰρ ἰσχύος θᾶττον μεθίσταται τὸ ἄκρον τὸ πορρώτερον τοῦ κέντρου· διὸ πρὸς μὲν τὸ ζυγὸν τοὺς κόλλοπας ὄργανα ποιοῦνται, οἷς ῥᾷον στρέφουσιν. Ἐν δὲ τοῖς λεπτοῖς ὄνοις πλεῖον γίνεται τὸ ἔξω τοῦ ξύλου, αὕτη δὲ γίνεται ἡ ἐκ τοῦ κέντρου.

Cur circa eamdem ergatam majores vectes facilius moventur quam minores, easdemque suculæ, si tenuiores sint, eadem vi facilius quam si crassiores? An quia sucula quidem et ergata centrum sunt, longitudines vero prominentes lineæ e centro ductæ, citius autem et validius eadem vi moventur lineæ e majorum circulorum centro ductæ quam e minorum? ab eadem enim vi citius transfertur extremum quod magis a centro distat: quamobrem ad ergatam quidem instrumenta adhibent vectes, quo facilius versent. In tenuibus autem suculis longius fit quod extra lignum prominet, hoc vero fit linea e centro ducta.

CAP. XV.

Διὰ τί τὸ αὐτὸ μέγεθος ξύλου ῥᾷον κατεάσσεται περὶ τὸ γόνυ, ἐὰν ἴσον ἀποστήσας τῶν ἄκρων ἐχόμενος καταγνύῃ, ἢ παρὰ τὸ γόνυ ἐγγὺς ὄντος· καὶ ἐὰν πρὸς τὴν γῆν ἐρείσας καὶ τῷ ποδὶ προσβὰς πόρρωθεν τῇ χειρὶ καταγνύῃ ἢ ἐγγύθεν; Ἢ διότι ἔνθα μὲν τὸ γόνυ κέντρον, ἔνθα δ' ὁ πούς; ὅσῳ δ' ἂν πορρώτερον ᾖ τοῦ κέντρου, ῥᾷον κινεῖται ἅπαν· κινηθῆναι δ' ἀνάγκη καταγνύμενον.

Cur ejusdem magnitudinis lignum circum genu facilius frangitur, si quis utramque extremitatem tenens easque eodem spatio ab ipso genu distare faciens frangat, quam si prope genu? itemque si illud in terram innisus fuerit, pedeque superimposito, manu longe a pede remota fregerit, quam si e propinquo? An quoniam illic quidem genu centrum est, hic vero pes? quanto autem longius a centro distat quidvis, tanto facilius movetur; moveri autem necessario debet, ut frangatur.

CAP. XVI.

Διὰ τί περὶ τοὺς αἰγιαλοὺς αἱ καλούμεναι κρόκαι στρογγύλαι εἰσίν, ἐκ μακρῶν τῶν λίθων καὶ ὀστράκων τὸ ἐξ ὑπαρχῆς ὄντων; Ἢ διότι τὰ πλεῖον ἀπέχοντα τοῦ μέσου ἐν ταῖς κινήσεσι θᾶττον φέρεται; τὸ μὲν γὰρ μέσον γίνεται κέντρον, τὸ δὲ διάστημα ἡ ἐκ τοῦ κέντρου· ἀεὶ δ' ἡ μείζων ἀπὸ τῆς ἴσης κινήσεως μείζω γράφει κύκλον· τὸ δ' ἐν ἴσῳ χρόνῳ μείζω διεξιὸν θᾶττον φέρεται· τὰ δὲ φερόμενα θᾶττον ἐκ τοῦ ἴσου ἀποστήματος

Cur circa littora qui vocantur umbilici, rotundi sunt, quum tamen a principio e lapidibus et ostreis exsistant longis? An quia in motibus quæ longius a medio distant, celerius moventur? medium enim fit centrum, intervallum vero inde a centro linea e centro ducta; semper autem major linea eodem motu impulsa majorem circulum describit; quod vero in eodem tempore majus spatium percurrit, id citius movetur; quæ vero ab eadem distantia citius feruntur,

σφοδρότερον τύπτει· τὰ δὲ τύπτοντα μᾶλλον καὶ αὐτὰ τύπτεται μᾶλλον· ὥστ' ἀνάγκη θραύεσθαι αἰεὶ τὰ πλέον ἀπέχοντα τοῦ μέσου· τοῦτο δὲ πάσχοντα ἀνάγκη γίνεσθαι περιφερῆ. Ταῖς δὲ κρόκαις διὰ τὴν τῆς θαλάττης κίνησιν, διὰ τὸ μετὰ τῆς θαλάττης κινεῖσθαι, συμβαίνει ἀεὶ ἐν κινήσει εἶναι καὶ κυλιομέναις προσκόπτειν· τοῦτο δ' ἀνάγκη μάλιστα συμβαίνειν αὐτοῖς τοῖς ἄκροις.

vehementius tundunt; quæ autem magis tundunt, magis etiam ipsa tunduntur: ita ut necesse sit, semper frangi ea quæ longius a medio remota sunt; ita vero ubi afficiuntur, necessario rotunda fiunt. Jam vero umbilicis, propter maris motum, quia simul cum mari moventur, evenit ut semper in motu sint atque, dum volvuntur, offendant; hoc autem maxime extremis earum partibus ipsis contingere necesse est.

CAP. XVII.

Διὰ τί, ὅσῳ ἂν ᾖ μακρότερα τὰ ξύλα, τοσούτῳ ἀσθενέστερα γίνεται, καὶ κάμπτεται αἰρόμενα μᾶλλον, κἂν ᾖ τὸ μὲν βραχύ, ὅσον δίπηχυ, λεπτόν, τὸ δ' ἑκατὸν πηχῶν παχύ; Ἢ διότι μοχλὸς γίνεται καὶ βάρος καὶ ὑπομόχλιον ἐν τῷ αἴρεσθαι τοῦ ξύλου τὸ μῆκος; τὸ μὲν γὰρ πρῶτον μέρος αὐτοῦ, ὃ ἡ χεὶρ αἴρει, οἷον ὑπομόχλιον γίνεται, τὸ δ' ἐπὶ τῷ ἄκρῳ βάρος, ὥσθ' ὅσῳ ἂν ᾖ μακρότερον τὸ ἀπὸ τοῦ ὑπομοχλίου, τοσούτῳ ἀνάγκη κάμπτεσθαι μᾶλλον· ὅσῳ γὰρ ἂν πλέον ἀπέχῃ τοῦ ὑπομοχλίου, τοσούτῳ ἀνάγκη κάμπτεσθαι μεῖζον. Ἀνάγκη οὖν αἴρεσθαι τὰ ἄκρα τοῦ μοχλοῦ. Ἐὰν οὖν ᾖ καμπτόμενος ὁ μοχλός, ἀνάγκη αὐτὸν κάμπτεσθαι μᾶλλον αἰρόμενον· ὅπερ συμβαίνει ἐπὶ τῶν ξύλων τῶν μακρῶν· ἐν δὲ τοῖς βραχέσιν ἐγγὺς τὸ ἔσχατον τοῦ ὑπομοχλίου γίνεται τοῦ ἠρεμοῦντος.

Cur quo longiora sint ligna, eo imbecilliora fiunt et magis inflectuntur, si tollantur, etiamsi breve quidem lignum, e. g. duorum cubitorum, tenue sit, quod vero longitudinem habet centum cubitorum, crassum? An quia longitudo ligni, ubi attollitur, simul et vectis et onus et hypomochlium fit? prior enim ipsius pars quam manus adtollit, ceu hypomochlium fit, extrema vero pars onus, ita ut, quo longius sit intervallum inde ab hypomochlio, eo magis inflecti necesse sit: quanto enim longius ab hypomochlio distat, tanto majus necessario inflectitur spatium. Itaque necessario vectis extrema elevantur. Si igitur vectis inflexus fuerit, necesse est illum magis etiam inflecti, ubi adtollitur: quod ipsum in longis lignis contingit; in brevioribus vero extrema pars prope ad quiescens accedit hypomochlium.

CAP. XVIII.

Διὰ τί τῷ σφηνὶ ὄντι μικρῷ μεγάλα βάρη διίσταται καὶ μεγέθη σωμάτων, καὶ θλῖψις ἰσχυρὰ γίνεται; Ἢ διότι ὁ σφὴν δύο μοχλοί εἰσιν ἐναντίοι ἀλλήλοις, ἔχει δ' ἑκάτερος τὸ μὲν βάρος, τὸ δ' ὑπομόχλιον, ὃ καὶ ἀνασπᾷ, ἢ πιέζει; Ἔτι δ' ἡ τῆς πληγῆς φορὰ τὸ βάρος, ὃ τύπτει καὶ κινεῖ, ποιεῖ μέγα. Καὶ διὰ τὸ κινούμενον κινεῖν τῇ ταχυτῆτι ἰσχύει ἐπὶ πλέον· μικρῷ δ' ὄντι τῷ μοχλῷ μεγάλαι δυνάμεις ἀκολουθοῦσιν· διὸ λανθάνει κινῶν παρὰ τὴν ἀξίαν τοῦ μεγέθους. Ἔστω σφὴν ἐφ' ᾧ ΑΒΓ, τὸ δὲ σφηνούμενον ἐφ' ᾧ ΔΕΗΖ. Μοχλὸς δὴ γίνεται ἡ ΑΒ, βάρος δὲ τὸ τοῦ Β κάτωθεν, ὑπομόχλιον δὲ τὸ Ζ. Ἐναντίος δὲ τούτῳ μοχλὸς τὸ ΒΓ· ἡ δὲ ΑΓ κοπτομένη ἑκατέρᾳ τούτων χρῆται μοχλῷ· ἀνασπᾷ γὰρ τὸ Β.

Cur cuneo, etiamsi parvo, magna pondera magnæque corporum moles scinduntur, et vehemens fit pressio? An quia cuneus duos efficit vectes sibi invicem oppositos; uterque autem habet tum onus, tum hypomochlium quod etiam divellit, vel premit? Præterea percussionis impetus pondus quod percutit et movet, magnum reddit. Tum quia id quod movet, ipsum jam movetur, celeritate sua magis valet: parvum enim vectem magnæ vires consequuntur: quamobrem clam validius movet quam quis e magnitudine suspicetur. Sit cuneus cui ABC inscriptum est, id vero quod cuneus scindit, cui DEGF. Vectis itaque fit AB, onus vero quod infra B situm est, hypomochlium autem F. Huic vero oppositus vectis est BC. Jam vero AC si tunditur, utraque harum linearum tamquam vecte utitur: punctum enim B scindit.

CAP. XIX.

Διὰ τί, ἐάν τις δύο τροχαλίας ποιήσας ἐπὶ δυσὶ ξύλοις συμβάλλουσιν ἑαυτοῖς ἐναντίως αὐταῖς κύκλῳ περιβάλῃ καλώδιον, ἔχον τὸ ἄρτημα ἐκ θατέρου τῶν ξύλων, θάτερον δ' ᾖ προσερηρεισμένον, ἢ προστεθειμένον κατὰ τὰς τροχαλίας, ἐὰν ἕλκῃ τις τῇ ἀρχῇ τοῦ καλωδίου, μεγάλα βάρη προσάγει, κἂν ᾖ μικρὰ ἡ ἕλκουσα ἰσχύς; Ἢ διότι τὸ αὐτὸ βάρος ἀπὸ ἐλάττονος ἰσχύος, εἰ μοχλεύεται, ἐγείρεται ἢ ἀπὸ χειρός, ἡ δὲ

Cur, si quis sumptis duabus trochleis, eas duobus lignis ex adverso inter se congredientibus adaptaverit atque in orbem circumduxerit funem, ita ut ab altero ligno dependeat, dum altera extremitas trochleis adplicatur, vel imponitur, adtracto jam funis initio, magna pondera adducit aliquis, etiamsi parva sit vis trahens? An quia idem pondus minori vi excitatur, si vecte impellitur quam si manu,

τροχιλέα τὸ αὐτὸ ποιεῖ τῷ μοχλῷ, ὥσθ' ἡ μία ῥᾷον ἕλξει, καὶ ἀπὸ μιᾶς ὁλκῆς τοῦ κατὰ χεῖρα πολὺ ἕλξει βαρύτερον; τοῦτο δ' αἱ δύο τροχαλίαι πλέον ἢ διπλασίῳ τάχει αἴρουσιν· ἔλαττον γὰρ ἔτι ἡ ἑτέρα ἕλκει ἢ εἰ αὐτὴ καθ' ἑαυτὴν εἷλκεν, ὅταν παρὰ τῆς ἑτέρας ἐπιβληθῇ τὸ σχοινίον· ἐκείνη γὰρ ἔτι ἔλαττον ἐποίησε τὸ βάρος, καὶ οὕτως ἐὰν εἰς πλείους ἐπιβάλληται τὸ καλώδιον, ἐν ὀλίγαις τροχιλέαις πολλὴ γίνεται διαφορά, ὥσθ' ὑπὸ τῆς πρώτης τοῦ βάρους ἕλκοντος τέτταρας μνᾶς, ὑπὸ τῆς τελευταίας ἕλκεσθαι πολλῷ ἐλάττω. Καὶ ἐν τοῖς οἰκοδομικοῖς ἔργοις ῥᾳδίως κινοῦσι μεγάλα βάρη· μεταφέρουσι γὰρ ἀπὸ τῆς αὐτῆς τροχιλέας ἐφ' ἑτέραν, καὶ πάλιν ἀπ' ἐκείνης εἰς ὄνους καὶ μοχλούς· τοῦτο δὲ ταὐτόν ἐστι τῷ ποιεῖν πολλὰς τροχιλέας.

(95) Ἐν δὲ τῇ Τυρρηνίᾳ λέγεταί τις νῆσος Αἰθάλεια ὀνομαζομένη, ἐν ᾗ ἐκ τοῦ αὐτοῦ μετάλλου πρότερον μὲν χαλκὸς ὠρύσσετο, ἐξ οὗ φασι πάντα κεχαλκευμένα παρ' αὐτοῖς εἶναι, ἔπειτα μηκέτι εὑρίσκεσθαι, χρόνου δὲ διελθόντος πολλοῦ φανῆναι ἐκ τοῦ αὐτοῦ μετάλλου σίδηρον, ᾧ νῦν ἔτι χρῶνται Τυρρηνοὶ οἱ τὸ καλούμενον Ποπλώνιον οἰκοῦντες.

(89) In Etruria ferunt insulam quamdam esse, quam Æthaliam vocant, in qua ex eadem fodina olim quidem æs eruebatur, unde apud illos omnia ex ære conflata esse; exinde vero non amplius inveniri, sed longo temporis spatio interjecto, ex eadem fodina ferrum provenisse, quo etiamnum utuntur Tyrrheni Populoniam dictam incolentes.

CAP. XCIV.

(96) Ἔστι δέ τις ἐν Τυρρηνίᾳ πόλις Οἰναρέα καλουμένη, ἣν ὑπερβολῇ φασιν ὀχυρὰν εἶναι· ἐν γὰρ μέσῃ αὐτῇ λόφος ἐστὶν ὑψηλός, τριάκοντα σταδίους ἀνέχων ἄνω, καὶ κάτω ὕλην παντοδαπὴν καὶ ὕδατα. Φοβουμένους οὖν τοὺς ἐνοικοῦντας λέγουσι μή τις τύραννος γένηται, προΐστασθαι αὐτῶν τοὺς ἐκ τῶν οἰκετῶν ἠλευθερωμένους, καὶ οὗτοι ἄρχουσιν αὐτῶν, κατ' ἐνιαυτὸν δ' ἄλλους ἀντικαθιστάναι τοιούτους

(90) In Etruria exstat quædam urbs, quam Œnaream vocant, quamque supra modum munitam esse ferunt, quippe cujus medium tumulus occupat præaltus, ad xxx stadiorum altitudinem surgens, et ima sui parte omnigena materie et aquis abundans. Metuentes itaque incolas, ne quis tyrannus redderetur, servos manumissos sibi præficere ferunt iique illis imperant; quotannis vero alios ejusdem sortis homines subrogare.

CAP. XCV.

(97) Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν πολυχρονιωτάτην γενομένην παρθένον διαμεῖναί φασιν, οὖσαν μὲν Ἐρυθραίαν, ὑπό τινων δὲ τὴν Ἰταλίαν κατοικούντων Κυμαίαν, ὑπὸ δέ τινων Μελάγκραιραν καλουμένην. Τοῦτον δὲ τὸν τόπον λέγεται κυριεύεσθαι ὑπὸ Λευκανῶν. (98) Εἶναι δὲ λέγουσιν ἐν ἐκείνοις τοῖς τόποις περὶ τὴν Κύμην ποταμόν τινα Κετὸν ὀνομαζόμενον, εἰς ὃν φασι τὸν πλείω χρόνον τὸ ἐμβληθὲν πρῶτον περιφύεσθαι καὶ τέλος ἀπολιθοῦσθαι.

(91) Cumis circa Italiam ostendunt thalamum quemdam, ut videtur, subterraneum Sibyllæ fatidicæ, quæ ætate quamlibet admodum provecta, virginitatem servasse impollutam traditur. Erythræa quidem fuit hæc, sed a quibusdam Italiæ incolis Cumana, a nonnullis vero Melancræra nuncupatur. Locum autem hunc Lucanis subditum esse aiunt. Porro illis in locis circa Cumas fluvium esse dicunt (Cetus ab ipsis adpellatur), in quem jacta quæcumque fuerint, plerumque primo concremento quodam obducantur, ac postremo in lapidem indurescant.

CAP. XCVI.

(99) Ἀλκιμένει τῷ Συβαρίτῃ φασὶ κατασκευασθῆναι ἱμάτιον τοιοῦτον τῇ πολυτελείᾳ, ὥστε προτίθεσθαι αὐτὸ ἐπὶ Λακινίῳ τῇ πανηγύρει τῆς Ἥρας, εἰς ἣν συμπορεύονται πάντες Ἰταλιῶται, τῶν τε δεικνυμένων μάλιστα πάντων ἐκεῖνο θαυμάζεσθαι· οὗ φασι κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. Ἦν δ' αὐτὸ μὲν ἁλουργές, τῷ δὲ μεγέθει πεντεκαιδεκάπηχυ, ἑκατέρωθεν δὲ διείληπτο ζῳδίοις ἐνυφασμένοις, ἄνωθεν μὲν Σούσοις, κάτωθεν δὲ Πέρσαις· ἀνὰ μέσον δ' ἦν Ζεύς, Ἥρα,

(92) Alcimeni Sybaritæ vestem tradunt tanta opulentia confectam esse, ut Lacinii per Junonis solemnia, ad quæ tota confluere solet Italia, spectanda proponeretur, eamque ante omnia alia quæ ibi monstrabantur, inprimis admirarentur: qua potitus Dionysius senior Carthaginiensibus talentis cxx vendidisse fertur. Purpurea autem erat, amplitudine xv cubitorum, imaginibus utrinque intextis distincta, superne quidem Susiis, inferne vero Persis. In medio autem Juppiter, Juno, Themis, Minerva, Apollo,

Θέμις, Ἀθηνᾶ, Ἀπόλλων, Ἀφροδίτη. Παρὰ δ' ἑκάτερον πέρας Ἀλκιμένης ἦν, ἑκατέρωθεν δὲ Σύβαρις.

Venus erant, versus utramque porro extremitatem Alcimenes, utrinque demum Sybaris.

CAP. XCVII.

(100) Περὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν φασὶν ἔκ τινος τόπου, ἐν ᾧ συνέβη γενέσθαι, ὡς μυθολογοῦσιν, Ἡρακλεῖ πρὸς γίγαντας μάχην, ῥεῖν ἰχῶρα πολὺν καὶ τοιοῦτον ὥστε διὰ τὸ βάρος τῆς ὀσμῆς ἄπλουν εἶναι τὴν κατὰ τὸν τόπον θάλασσαν. Λέγουσι δὲ πολλαχοῦ τῆς Ἰταλίας Ἡρακλέους εἶναι πολλὰ μνημόσυνα ἐν ταῖς ὁδοῖς ἃς ἐκεῖνος ἐπορεύθη. (101) Περὶ δὲ Πανδοσίαν τῆς Ἰαπυγίας ἴχνη τοῦ θεοῦ δείκνυται, ἐφ' ἃ οὐδενὶ ἐπιβατέον.

(93) E loco aliquo circa Iapygium promontorium, ubi inter Herculem Gigantesque depugnatum fabulæ testantur, sanies fluere tanta talisque dicitur ut ea parte mare innavigabile sit fœtoris gravitate. Ferunt et passim in Italia multa Herculis monumenta exstare juxta vias quas ille peragravit. Circa Iapygiæ Pandosiam vestigia dei monstrantur, quæ nemini fas est pedibus calcare.

CAP. XCVIII.

(102) Ἔστι καὶ περὶ ἄκραν Ἰαπυγίαν λίθος ἁμαξιαῖος, ὃν ὑπ' ἐκείνου ἀρθέντα μετατεθῆναί φασιν, ἀφ' ἑνὸς δὲ δακτύλου κινεῖσθαι συμβέβηκεν.

Circa idem promontorium exstat etiam lapis plaustrali magnitudine, quem Hercules sublatum transtulisse fertur, evenitque ut digito uno moveretur.

CAP. XCIX.

(103) Ἐν τῇ τῶν Ὀρχομενίων πόλει τῇ ἐν Βοιωτοῖς φανῆναί φασιν ἀλώπεκα, ἣν κυνὸς διώκοντος εἰσδῦναι εἴς τινα ὑπόνομον, καὶ τὸν κύνα συνεισδῦναι αὐτῇ, καὶ ὑλακτοῦντα ἦχον μέγαν ποιεῖν ὡσανεὶ εὐρυχωρίας τινὸς ὑπαρχούσης αὐτῷ· τοὺς δὲ κυνηγέτας ἔννοιαν λαβόντας δαιμονίαν, ἀναρρήξαντας τὴν εἴσδυσιν συνῶσαι καὶ αὐτούς· ἰδόντας δὲ διά τινων ὀπῶν εἰσερχόμενον ἔσω τὸ φῶς, εὐσυνόπτως τὰ λοιπὰ θεάσασθαι, καὶ ἐλθόντας ἀπαγγεῖλαι τοῖς ἄρχουσιν.

(94) In Bœotia in Orchomeniorum urbe vulpem visam tradunt, quæ quum canem persequentem fugiens cuniculum quemdam subiisset, simul ingressus ille latransque sonitum edidit magnum, perinde ac si amplo spatio circumdaretur; venatores autem, numen aliquod residere isthic arbitratos, aditu patefacto, ipsos quoque compulisse, conspectaque per foramina quædam luce intro ingrediente, reliqua clare contemplatos esse, atque egressos magistratibus nuntiasse.

CAP. C.

(104) Ἐν τῇ Σαρδοῖ τῇ νήσῳ κατασκευάσματά φασιν εἶναι εἰς τὸν Ἑλληνικὸν τρόπον διακείμενα τὸν ἀρχαῖον, ἄλλα τε πολλὰ καὶ καλά, καὶ θόλους περισσοῖς τοῖς ῥυθμοῖς κατεξεσμένους· τούτους δ' ὑπ' Ἰολάου τοῦ Ἰφικλέους κατασκευασθῆναι, ὅτε τοὺς Θεσπιάδας τοὺς ἐξ Ἡρακλέους παραλαβὼν ἔπλευσεν εἰς ἐκείνους τοὺς τόπους ἐποικήσων, ὡς κατὰ συγγένειαν αὐτῷ τὴν Ἡρακλέους προσήκοντας διὰ τὸ πάσης τῆς πρὸς ἑσπέραν κύριον Ἡρακλέα γενέσθαι. Αὕτη δ' ἡ νῆσος, ὡς ἔοικεν, ἐκαλεῖτο μὲν πρότερον Ἰχνοῦσσα διὰ τὸ ἐσχηματίσθαι τῇ περιμέτρῳ ὁμοιότατα ἀνθρωπίνῳ ἴχνει. (105) Εὐδαίμων δὲ καὶ πάμφορος ἔμπροσθεν λέγεται εἶναι· τὸν γὰρ Ἀρισταῖον, ὃν φασι γεωργικώτατον εἶναι ἐπὶ τῶν ἀρχαίων, τοῦτον αὐτῶν ἄρξαι μυθολογοῦσιν, ὑπὸ μεγάλων ὀρνέων ἔμπροσθεν καὶ πολλῶν κατεχομένων. Νῦν μὲν οὖν οὐκέτι φέρει τοιοῦτον οὐδὲν διὰ τὸ κυριευθεῖσαν ὑπὸ Καρχηδονίων ἐκκοπῆναι πάντας τοὺς χρησίμους εἰς προσφορὰν καρπούς, καὶ θάνατον τὴν ζημίαν τοῖς ἐγχωρίοις τετάχθαι, ἐάν τις τῶν τοιούτων τι ἀναφυτεύῃ.

(95) In Sardinia insula ædificia ferunt esse vetusto Græcorum more disposita, cum alia multa pulchraque, tum testudines eximia proportione exsculptas. Existimantur autem hæc ab Iolao Iphiclis filio exstructa esse, quo tempore Thespiadas Herculis filios secum ducens ad ea loca trajecit coloniam deducturus, quippe quæ ob cognationem Herculis, cui tota tellus versus occidentem sita parebat, ad se pertinere arbitrabatur. Insula autem hæc, ut videtur, Ichnussa olim adpellabatur, quia ambitu suo figuram refert vestigio humano simillimam. Felicem autem et rebus omnibus fertilem olim fuisse perhibent: Aristæum enim, quem priscorum hominum ætate agri colendi studiosissimum fuisse ferunt, his locis imperasse fabulantur; antea a multis magnisque avibus occupabantur. Verum hodie nihil amplius ejus generis profert: ex quo enim Carthaginiensibus subdita est, omnes fructus alimento idonei exstirpati sunt, capitisque pœna impendet incolis, si quis rursum ejusmedi quid plantaverit.

CAP. CI.

(106) Ἐν μιᾷ τῶν ἑπτὰ νήσων τῶν Αἰόλου καλουμένων, ἣ καλεῖται Λιπάρα, τάφον εἶναι μυθολογοῦσι, περὶ οὗ καὶ ἄλλα μὲν πολλὰ καὶ τερατώδη λέγουσι, τοῦτο δ' ὅτι οὐκ ἀσφαλές ἐστι προσελθεῖν πρὸς ἐκεῖνον τὸν τόπον τῆς νυκτός, συμφωνοῦσιν· ἐξακούεσθαι γὰρ τυμπάνων καὶ κυμβάλων ἦχον γέλωτά τε μετὰ θορύβου καὶ κροτάλων ἐναργῶς. (107) Λέγουσι δέ τι τερατωδέστερον γεγονέναι περὶ τὸ σπήλαιον· πρὸ ἡμέρας γὰρ ἐγκοιμηθῆναί τινα ἐν αὐτῷ οἰνωμένον, καὶ τοῦτον ὑπὸ τῶν οἰκετῶν ζητούμενον ἐφ' ἡμέρας τρεῖς διατελέσαι, τῇ δὲ τετάρτῃ εὑρεθέντα ὡς νεκρὸν ἀποκομισθῆναι ὑπὸ τῶν οἰκείων εἰς τὸν ἴδιον τάφον, καὶ τῶν νομιζομένων τυχόντα πάντων ἐξαίφνης ἀναστῆναι, καὶ διηγεῖσθαι τὰ καθ' ἑαυτὸν συμβεβηκότα. Τοῦτο μὲν οὖν ἡμῖν φαίνεται μυθωδέστερον· ὅμως μέντοι ἔδει μὴ παραλιπεῖν ἀμνημόνευτον αὐτὸ τῶν περὶ τὸν τόπον ἐκεῖνον τὴν ἀναγραφὴν ποιούμενον.

(96) In una septem Æoli quæ vocantur, insularum, quam Liparam adpellant, sepulcrum exstare fabulantur, circa quod cum alia multa prodigiosa enarrant, tum noctu eum locum tuto adiri non posse omnes uno ore perhibent: sonitum enim tympanorum cymbalorumque, et risum cum strepitu crepitaculisque audiri manifesto. Ceterum etiam monstrosius quid circa antrum hoc dicunt accidisse: ebrium quemdam antelucano somno in eo oppressum esse ferunt, in quo quærendo per triduum perstitisse famulos, quartoque demum die quasi mortuum repertum a familiaribus ad proprium sepulcrum delatum esse, quumque justa præstitissent omnia, subito resurrexisse, quæque sibi obtigissent, exposuisse. Quæ etsi nimis fabulosa nobis videantur, nihilominus tamen absque mentione præterire non oportebat, quæ hunc locum spectant, memoriæ tradentem.

CAP. CII.

(108) Περὶ τὴν Κύμην τὴν ἐν Ἰταλίᾳ λίμνη ἐστὶν ἡ προσαγορευομένη ἄορνος, αὐτὴ μέν, ὡς ἔοικεν, οὐκ ἔχουσά τι θαυμαστόν· περικεῖσθαι γὰρ λέγουσι περὶ αὐτὴν λόφους κύκλῳ, τὸ ὕψος οὐκ ἐλάσσους τριῶν σταδίων, καὶ αὐτὴν εἶναι τῷ σχήματι κυκλοτερῆ, τὸ βάθος ἔχουσαν ἀνυπέρβλητον. Ἐκεῖνο δὲ θαυμάσιον φαίνεται· ὑπερκειμένων γὰρ αὐτῇ πυκνῶν δένδρων, καί τινων ἐν αὐτῇ κατακεκλιμένων, οὐδὲν ἔστιν ἰδεῖν φύλλον ἐπὶ τοῦ ὕδατος ἐφεστηκός, ἀλλ' οὕτω καθαρώτατόν ἐστι τὸ ὕδωρ ὥστε τοὺς θεωμένους θαυμάζειν. (109) Περὶ δὲ τὴν ἀπέχουσαν ἤπειρον αὐτῆς οὐ πολὺ θερμὸν ὕδωρ πολλαχόθεν ἐκπίπτει, καὶ ὁ τόπος ἅπας καλεῖται Πυριφλεγέθων. Ὅτι δ' οὐδὲν διίπταται ὄρνεον αὐτήν, ψεῦδος· οἱ γὰρ παραγενόμενοι λέγουσι πλῆθός τι κύκνων ἐν αὐτῇ γίνεσθαι.

(97) Circa Cumas Italiæ lacus est, quem Avernum vocant, ipse quidem nihil mirabile habens, ut videtur: ei enim circumjacere ferunt tumulos undequaque, trium ad minus stadiorum altitudine, ipsumque figura esse circulari profunditateque immensa. Mirandum tamen hoc videtur, quod superincumbentibus ipsi densis arboribus, imo nonnullis in eum vergentibus, non cernas ullum in lacu natans folium, sed eo usque purissima est aqua ut admirationem moveat spectantibus. Circa continentem non procul distantem calidas aquas passim scaturire ferunt, atque locus universus Pyriphlegethon adpellatur. Ceterum avem nullam istum lacum transvolare mendacium est, quum cygnos in eo haud paucos inveniri testantur qui eum adiere.

CAP. CIII.

(110) Φασὶ τὰς Σειρηνούσας νήσους κεῖσθαι μὲν ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας, ὃς κεῖται πρὸ τοῦ προπεπτωκότος τόπου καὶ διαλαμβάνοντος τοῖς κόλποις τόν τε περιέχοντα τὴν Κύμην καὶ τὸν διειληφότα τὴν Ποσειδωνίαν καλουμένην· ἐν ᾧ καὶ νεὼς αὐτῶν ἵδρυται, καὶ τιμῶνται καθ' ὑπερβολὴν ὑπὸ τῶν περιοίκων θυσίαις ἐπιμελῶς· ὧν καὶ τὰ ὀνόματα μνημονεύοντες καλοῦσι τὴν μὲν Παρθενόπην, τὴν δὲ Λευκωσίαν, τὴν δὲ τρίτην Λίγειαν.

(98) In Italia Sirenusas insulas sitas esse ferunt in extremo promontorio circa fretum quod jacet ante locum prominentem qui utrumque sinum diruit, cum qui Cumas cingit, tum qui urbem Posidoniam dictam dividit: in quo etiam Sirenum templum exstructum est, easque admodum studiose sacrificiis venerantur adcolæ, earumque nomina recensentes Parthenopem unam, alteram Leucosiam, tertiam Ligeam vocant.

CAP. CIV.

(111) Λέγεται δὲ μεταξὺ τῆς Μεντορικῆς καὶ τῆς Ἰστριανῆς ὄρος τι εἶναι τὸ καλούμενον Δέλφιον, ἔχον λόφον ὑψηλόν. Ἐπὶ τοῦτον τὸν λόφον ὅταν ἀναβαίνωσιν οἱ Μέντορες οἱ ἐπὶ τοῦ Ἀδρίου οἰκοῦντες, ἀποθεωροῦσιν, ὡς ἔοικε, τὰ εἰς τὸν Πόντον εἰσπλέοντα πλοῖα· εἶναι δὲ καί τινα τόπον ἐν τοῖς ἀνὰ μέσον διαστήμασιν, εἰς ὃν ἀγορᾶς κοινῆς γινομένης, πωλεῖσθαι παρὰ μὲν τῶν ἐκ τοῦ Πόντου ἐμπόρων ἀναβαινόντων τὰ Λέσβια καὶ Χῖα καὶ Θάσια, παρὰ δὲ τῶν ἐκ τοῦ Ἀδρίου τοὺς Κερκυραϊκοὺς ἀμφορεῖς.

(99) Inter Mentoricam et Istrianam mons quidam fertur esse, quem Delphium vocant, alto fastigio præditus: quem conscendentes Mentores, qui ad Adriam habitant, naves in Pontum navigantes, ut videtur, prospiciunt; esse vero et locus quidam in mediis intervallis, quorsum, dum communes celebrantur nundinæ, a mercatoribus ex Ponto eo adscendentibus res Lesbiæ, Chiæ et Thasiæ, ab iis vero qui ab Adria veniunt, amphoræ Corcyreæ venduntur.

CAP. CV.

(112) Φασὶ δὲ καὶ τὸν Ἴστρον ῥέοντα ἐκ τῶν Ἑρκυνίων καλουμένων δρυμῶν σχίζεσθαι, καὶ τῇ μὲν εἰς τὸν Πόντον ῥεῖν, τῇ δ' εἰς τὸν Ἀδρίαν ἐκβάλλειν. Σημεῖον δ' οὐ μόνον ἐν τοῖς νῦν καιροῖς ἑωράκαμεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀρχαίων μᾶλλον, οἷον τὰ ἐκεῖ ἄπλωτα εἶναι· καὶ γὰρ Ἰάσονα τὸν μὲν εἴσπλουν κατὰ Κυανέας, τὸν δ' ἐκ τοῦ Πόντου ἔκπλουν κατὰ τὸν Ἴστρον ποιήσασθαί φασι, καὶ φέρουσιν ἄλλα τε τεκμήρια οὐκ ὀλίγα, καὶ κατὰ μὲν τὴν χώραν βωμοὺς ὑπὸ τοῦ Ἰάσονος ἀνακειμένους δεικνύουσιν, ἐν δὲ μιᾷ τῶν νήσων τῶν ἐν τῷ Ἀδρίᾳ ἱερὸν Ἀρτέμιδος ὑπὸ Μηδείας ἱδρυμένον. Ἔτι δὲ λέγουσιν ὡς οὐκ ἂν παρέπλευσε τὰς Πλαγκτὰς καλουμένας, εἰ μὴ ἐκεῖθεν ἀπέπλει. (113) Καὶ ἐν τῇ Αἰθαλείᾳ δὲ νήσῳ, τῇ κειμένῃ ἐν τῷ Τυρρηνικῷ πελάγει, ἄλλα τε δεικνύουσι μνημεῖα τῶν ἀριστέων, καὶ τὸ ἐπὶ τῶν ψήφων δὲ λεγόμενον· παρὰ γὰρ τὸν αἰγιαλὸν ψήφους φασὶν εἶναι ποικίλας, ταύτας δ' οἱ Ἕλληνες οἱ τὴν νῆσον οἰκοῦντες λέγουσι τὴν χροιὰν λαβεῖν ἀπὸ τῶν στλεγγισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι· ἀπ' ἐκείνων γὰρ τῶν χρόνων οὔτε πρότερον ἑωρᾶσθαι μυθολογοῦσι τοιαύτας ψήφους, οὔθ' ὕστερον ἐπιγενομένας. Ἔτι δὲ τούτων φανερώτερα σημεῖα λέγουσιν, ὅτι οὐ διὰ τῶν Συμπληγάδων ἐγένετο ὁ ἔκπλους, αὐτῷ τῷ ποιητῇ ἐν ἐκείνοις τοῖς τόποις μάρτυρι χρώμενοι· τὴν γὰρ δυσχέρειαν τοῦ κινδύνου ἐμφανίζοντα λέγειν ὅτι οὐκ ἔστι παραπλεῦσαι τὸν τόπον (Ὀδ. μ. 67)·

ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.

Περὶ μὲν οὖν τὰς Κυανέας οὐ λέγεται πῦρ ἀναπέμπειν, περὶ δὲ τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικελίαν ἐφ' ἑκάτερα κειμένων τῶν τοῦ πυρὸς ἀναφυσημάτων, καὶ τῆς τε νήσου συνεχῶς καιομένης, καὶ τοῦ περὶ τὴν Αἴτνην ῥεύματος πολλάκις τὴν χώραν ἐπιδεδραμηκότος.

(100) Ferunt et Istrum ex sylva Hercynia dicta profluentem dividi, partimque in Pontum fluere, partim vero in Adriam ejici: cujus rei argumentum non hoc tempore solum, sed magis etiam a priscis inde seculis vidimus, loca nempe illic sita navigiis esse impervia: nam et Iasonem juxta Cyaneas intrasse, ex Ponto vero per Istrum exiisse fama est, et cum alia indicia hujus rei afferunt non pauca, tum aras eo loco ab Iasone consecratas ostendunt, in una vero insularum maris Adriatici Dianæ templum a Medea excitatum. Porro negant, illum petras quæ Planctæ dicuntur, prætervehi potuisse, nisi isthinc enavigasset. (101) Ceterum et in Æthalia, maris Tyrrheni insula, cum alia monumenta principum (illius expeditionis) virorum, tum id quod de calculis memorant, monstratur: nam ad littus calculos inveniri perhibent coloris varii; hos autem Græci insulam incolentes memorant colorem debere strigmentis quæ strigilibus sibi detergebant, dum ungebantur: tales enim ab illis inde temporibus, nec ante visos esse fabulantur, nec post supervenisse. Verum et manifestiora hujus rei argumenta adlegant, non fuisse illis per Symplegadas exitum, ipsam poetam illis in locis testem citantes: docentem enim periculi gravitatem hunc locum præternavigari posse negare adstruunt:

Verum simul tabulataque navium et corpora virorum
Maris undæ rapiunt et ignis perniciosi procellæ.

Circa Cyaneas igitur non dicitur ignis emitti, sed juxta fretum quod Siciliam (ab Italia) distinguit, sito ab utraque parte ignis spiraculo, cum insula continue flagrante, tum fluento circa Ætnam sæpe regionem invadente.

CAP. CVI.

(114) Ἐν Τάραντι ἐναγίζειν κατά τινας χρόνους φασὶν Ἀτρείδαις καὶ Τυδείδαις καὶ Αἰακίδαις καὶ Λαερτιάδαις, καὶ Ἀγαμεμνονίδαις δὲ χωρὶς θυσίαν ἐπιτελεῖν ἐν ἄλλῃ ἡμέρᾳ ἰδίᾳ, ἐν ᾗ νόμιμον εἶναι ταῖς γυναιξὶ μὴ γεύσασθαι τῶν ἐκείνοις θυομένων. Ἔστι δὲ καὶ Ἀχιλλέως νεὼς παρ' αὐτοῖς. Λέγεται δὲ μετὰ

(102) Tarenti feruntur certis temporibus parentare Atridis, Æacidis, Tydidisque et Laërtiadis, Agamemnoniadis autem seorsum facere sacrificia privatim alia die, qua mulieribus, quæ iis immolantur, gustare lege interdictum est. Est et templum apud ipsos Achillis. Ferunt

τὸ παραλαβεῖν (παραβαλεῖν?) τοὺς Ταραντίνους Ἡράκλειαν τὸν τόπον καλεῖσθαι ὃν νῦν κατοικοῦσιν, ἐν δὲ τοῖς ἄνω χρόνοις τῶν Ἰώνων κατεχόντων Πλεῖον (Πολίειον?), ἔτι δ' ἐκείνων ἔμπροσθεν ὑπὸ τῶν Τρώων τῶν κατασχόντων αὐτὴν Σίγειον ὠνομάσθαι.

Tarentinos locum quem nunc incolunt, postquam eo adpulissent, Heracleam vocasse, superioribus autem temporibus, quum ab Ionibus occuparetur, Polieum adpellatum esse, sed ante hos etiam a Trojanis, qui eum tunc tenebant, Sigeum.

CAP. CVII.

(115) Παρὰ δὲ τοῖς Συβαρίταις λέγεται Φιλοκτήτην τιμᾶσθαι· κατοικῆσαι γὰρ αὐτὸν ἐκ Τροίας ἀνακομισθέντα τὰ καλούμενα Μάκαλλα τῆς Κροτωνιάτιδος, ἅ φασιν ἀπέχειν ἑκατὸν εἴκοσι σταδίων, καὶ ἀναθεῖναι ἱστοροῦσι τὰ τόξα τὰ Ἡράκλεια αὐτὸν εἰς τὸ τοῦ Ἀπόλλωνος τοῦ ἁλίου (ἀλαίου?). Ἐκεῖθεν δέ φασι τοὺς Κροτωνιάτας κατὰ τὴν ἐπικράτειαν ἀναθεῖναι αὐτὰ εἰς τὸ Ἀπολλώνιον τὸ παρ' αὐτοῖς. Λέγεται δὲ καὶ τελευτήσαντα ἐκεῖ κεῖσθαι αὐτὸν παρὰ τὸν ποταμὸν τὸν Σύβαριν, βοηθήσαντα Ῥοδίοις τοῖς μετὰ Τληπολέμου εἰς τοὺς ἐκεῖ τόπους ἀπενεχθεῖσι καὶ μάχην συνάψασι πρὸς τοὺς ἐνοικοῦντας τῶν βαρβάρων ἐκείνην τὴν χώραν.

(103) Apud Sybaritas vero aiunt Philoctetem coli: hunc enim ex Troja reducem incolis donasse agri Crotoniensis partem quæ vocatur Macalla, distantem ab urbe, ut ferunt, cxx stadiorum spatio, eumque Herculis sagittas in Apollinis Alæi templo consecrasse narrant: quas inde ablatas a Crotoniatis, quo tempore imperio potiti erant, in Apollinis templo quod apud eos exstat, dedicatas esse ferunt. Aiunt ipsum quoque iis in locis mortuum jacuisse ad Sybarim fluvium, quum auxilia tulisset Rhodiis, qui cum Tlepolemo ad ea loca delati cum barbaris hujus regionis incolis manus conseruerant.

CAP. CVIII.

(116) Περὶ δὲ τὴν Ἰταλίαν τὴν καλουμένην Γαργαρίαν ἐγγὺς Μεταποντίου Ἀθηνᾶς ἱερὸν εἶναί φασιν Εἰλενίας, ἔνθα τὰ τοῦ Ἐπειοῦ λέγουσιν ἀνακεῖσθαι ὄργανα, ἃ εἰς τὸν δούρειον ἵππον ἐποίησεν, ἐκείνου τὴν ἐπωνυμίαν ἐπιθέντος· φανταζομένην γὰρ αὐτῷ τὴν Ἀθηνᾶν κατὰ τὸν ὕπνον ἀξιοῦν ἀναθεῖναι τὰ ὄργανα, καὶ διὰ τοῦτο βραδυτέρας τυγχάνοντα τῆς ἀναγωγῆς εἰλεῖσθαι ἐν τῷ τόπῳ, μὴ δυνάμενον ἐκπλεῦσαι· ὅθεν Εἰλενίας Ἀθηνᾶς τὸ ἱερὸν προσαγορεύεσθαι.

(104) Circa Italiæ partem, quam Gargariam vocant, juxta Metapontium aiunt Minervæ Hileniæ templum exstare, inque eo Epei instrumenta dedicata esse, quæ ad equi lignei fabricam compararat, ipso deæ cognomen imponente: Minervam enim ei per somnum apparentem instrumenta ut consecraret, petiisse, quumque ideo tardiorem e portu exitum sortiretur, eum loco isto involutum esse enavigare nequientem: unde Minervæ Hileniæ fanum adpellari.

CAP. CIX.

(117) Λέγεται περὶ τὸν ὀνομαζόμενον τῆς Δαυνίας τόπον ἱερὸν εἶναι Ἀθηνᾶς Ἀχαΐας καλούμενον, ἐν ᾧ δὴ πελέκεις χαλκοῦς καὶ ὅπλα τῶν Διομήδους ἑταίρων καὶ αὐτοῦ ἀνακεῖσθαι. (118) Ἐν τούτῳ τῷ τόπῳ φασὶν εἶναι κύνας οἳ τοὺς ἀφικνουμένους τῶν Ἑλλήνων οὐκ ἀδικοῦσιν, ἀλλὰ σαίνουσιν ὥσπερ τοὺς συνηθεστάτους. (119) Πάντες δ' οἱ Δαύνιοι καὶ οἱ πλησιόχωροι αὐτοῖς μελανειμονοῦσι, καὶ ἄνδρες καὶ γυναῖκες, διὰ ταύτην, ὡς ἔοικε, τὴν αἰτίαν· τὰς γὰρ Τρῳάδας τὰς ληφθείσας αἰχμαλώτους καὶ εἰς ἐκείνους τοὺς τόπους ἀφικομένας, εὐλαβηθείσας μὴ πικρᾶς δουλείας τύχωσιν ὑπὸ τῶν ἐν ταῖς πατρίσι προϋπαρχουσῶν τοῖς Ἀχαιοῖς γυναικῶν, λέγεται τὰς ναῦς αὐτῶν ἐμπρῆσαι, ἵν' ἅμα μὲν τὴν προσδοκωμένην δουλείαν ἐκφύγωσιν, ἅμα δ' ὅπως μετ' ἐκείνων μένειν ἀναγκασθέντων συναρμοσθεῖσαι κατάσχωσιν αὐτοὺς ἄνδρας. Πάνυ δὲ καὶ τῷ ποιητῇ καλῶς πέφρασται περὶ αὐτῶν· ἑλκεσιπέπλους γὰρ (Ἰλ. ζ, 442; η, 297; χ, 105) καὶ βαθυκόλπους (Ἰλ. ω, 215) κἀκείνας, ὡς ἔοικεν, ἰδεῖν ἔστιν.

(105) Ferunt et circa locum quem Dauniæ vocant, templum esse quod Minervæ Achaicæ adpellant, in quo secures æreæ armaque cum Diomedis, tum sociorum ejus dedicata sint. Aiunt isto in loco canes esse, qui Græcos advenientes injuria nulla impetant, sed iis tamquam familiarissimis blandiantur. Porro omnes Daunii eorumque adcolæ, tam viri quam mulieres, atratis tantum vestibus utuntur, ea, ut videtur, de causa, quod Trojanæ mulieres, quæ captivæ ad ea loca devenerant, metuentes ne gravem servitutem experirentur sub mulieribus, quas Achivi jam antehac in patria habuissent, naves eorum incendisse feruntur, tum ut jugum servile, quod timebant, effugerent, tum ut eos, secum manendi necessitate imposita, sibi conjungerent tamquam maritos ac detinerent. Rectissime quoque poeta de iis locutus est: pepla enim trahentes, profundisque sinibus illas quoque, ut videtur, spectare licet.

CAP. CX.

(120) Ἐν δὲ τοῖς Πευκετίνοις εἶναί φασιν Ἀρτέμιδος ἱερόν, ἐν ᾧ τὴν διωνομασμένην ἐν ἐκείνοις τοῖς τόποις χαλκῆν ἕλικα ἀνακεῖσθαι λέγουσιν, ἔχουσαν ἐπίγραμμα « Διομήδης Ἀρτέμιδι ». Μυθολογεῖται δ' ἐκεῖνον ἐλάφῳ περὶ τὸν τράχηλον περιθεῖναι, τὴν δὲ περιφῦναι, καὶ τοῦτον τὸν τρόπον εὑρισκομένην ὑπ' Ἀγαθοκλέους ὕστερον τοῦ βασιλέως Σικελιωτῶν εἰς τὸ τοῦ Διὸς ἱερὸν ἀνατεθῆναί φασιν.

(106) Apud Peucetios Dianæ templum esse dicitur, in quo dedicatam esse ferunt celebrem illam istis in locis æream torquem, inscriptione hac insignitam: Diomedes Dianæ. Eam fabulantur ab eo collo cervino circumdatam circumcirca coaluisse, eamque deinceps hoc pacto inventam ab Agathocle postea Siculorum rege in Jovis templo consecratam esse perhibent.

CAP. CXI.

(121) Ἐν τῇ ἄκρᾳ τῆς Σικελίας τῇ καλουμένῃ Πελωριάδι τοσοῦτον γίνεσθαι κρόκον, ὥστε παρά τισι μὲν τῶν ἐν ἐκείνοις τοῖς τόποις κατοικούντων μὴ γνωρίζεσθαι Ἑλλήνων, ποῖόν τί ἐστι τὸ ἄνθος, ἐπὶ δὲ τῆς Πελωριάδος ἁμάξας κατακομίζειν μεγάλας τοὺς βουλομένους, καὶ κατὰ τὴν ἐαρινὴν ὥραν τὰς στρωμνὰς καὶ τὰς σκηνὰς ἐκ κρόκου κατασκευάζειν.

(107) In Siciliæ promontorio Peloriade vocato tanta copia provenire ferunt crocum, ut a quibusdam Græcis hæc loca incolentibus, quanti pretii res sit hicce flos, haud internoscatur, inque Peloriade magna plaustra deportare cuicumque l bitum fuerit, atque verno tempore strata scenasque croco instrui.

CAP. CXII.

(122). Φησὶν εἶναι ὁ Πολύκριτος ὁ τὰ Σικελικὰ γεγραφὼς ἐν ἔπεσιν ἔν τινι τόπῳ τῆς μεσογείου λιμνίον τι ἔχον ὅσον ἀσπίδος τὸ περίμετρον, τοῦτο δ' ἔχει ὕδωρ διαυγὲς μέν, μικρῷ δὲ θολερώτερον. Εἰς τοῦτ' οὖν ἐάν τις εἰσβῇ λούσασθαι χρείαν ἔχων, αὔξεται εἰς εὖρος, ἐὰν δὲ καὶ δεύτερον, μᾶλλον πλατύνεται· τὸ δὲ πέρας ἕως εἰς πεντήκοντα ἀνδρῶν ὑποδοχὴν μεῖζον γενόμενον διευρύνεται. Ἐπειδὰν δὲ τοῦτον τὸν ἀριθμὸν λάβῃ, ἐκ βάθους πάλιν ἀνοιδοῦν ἐκβάλλειν μετέωρα τὰ σώματα τῶν λουομένων ἔξω ἐπὶ τὸ ἔδαφος· ὡς δ' ἂν τοῦτο γένηται, εἰς τὸ ἀρχαῖον πάλιν σχῆμα τῆς περιμέτρου καθίσταται. Οὐ μόνον δ' ἐπ' ἀνθρώπων τοῦτο περὶ αὐτὸ γίνεται, ἀλλὰ καὶ ἐάν τι τετράπουν εἰσβῇ, τὸ αὐτὸ πάσχει.

(108) Polycritus, qui de rebus Siculis carmen heroicum conscripsit, in loco quodam regionis mediterraneæ stagnum exiguum esse ait ambitu suo scutum nihil excedens, idque aquam habere pellucidam quidem, sed turbulentiorem nonnihil. In hoc itaque si quis lavatu opus habens ingrediatur, in latum extenditur; quodsi iterum ingrediatur, amplius dilatatur; tandem eo usque amplificatur, ut spatium auctum quinquaginta etiam viros capiat. Verum ubi hunc numerum ceperit, ex imo rursus intumescens corpora lavantium sublimia foras in terram ejicere ferunt: quo facto, ad veteris ambitus figuram redire. Atque id non solum humanis corporibus, sed quadrupedibus etiam, ingressis huic stagno usu venit.

CAP. CXIII.

(123) Ἐν δὲ τῇ ἐπικρατείᾳ τῶν Καρχηδονίων φασὶν ὄρος εἶναι ὃ καλεῖται Οὐράνιον, παντοδαπῆς μὲν ὕλης γέμον, πολλοῖς δὲ διαπεποικιλμένον ἄνθεσιν, ὥστε τοὺς συνεχεῖς τόπους ἐπὶ πολὺ μεταλαμβάνοντας τῆς εὐωδίας αὐτοῦ ἡδίστην τινὰ τοῖς ὁδοιποροῦσι προσβάλλειν τὴν ἀναπνοήν. Πρὸς δὴ τοῦτον τὸν τόπον κρήνην ἐλαίου φασὶν εἶναι, τὴν δ' ὀσμὴν ἔχειν τῆς κέδρου τοῖς ἀποπτίσμασιν ὁμοίαν. Δεῖν δέ φασι τὸν προσιόντα πρὸς αὐτὴν ἁγνὸν εἶναι, καὶ τούτου γινομένου πλεῖον ἀναβλύζειν αὐτὴν τὸ ἔλαιον, ὥστ' ἀσφαλῶς ἀρύεσθαι.

(109) In Carthaginiensium ditione ferunt montem Uranium vocatum exstare, cum omnis generis materia refertum, tum multis floribus variegatum, ita ut contigua loca, quibus ille fragrantiam suam liberaliter impertitur, viatoribus halitum quemdam objiciant gratissimum. Juxta hunc sane locum fontem oleo fluentem esse perhibent, odore cedri scobi non absimili. Verum, ut inquiunt, castum oportet esse qui ad eum accedit: quod si fiat, majori copia projicere oleum, ita ut hauriri tuto queat.

CAP. CXIV.

(124) Φασὶ καὶ ταύτης τῆς κρήνης πλησίον εἶναί τινα πέτραν αὐτοφυῆ, μεγάλην τῷ μεγέθει. Ταύτην οὖν λέγουσιν, ἐπειδὰν μὲν ᾖ θέρος, φλόγα ἀναπέμπειν πυρός, χειμῶνος δὲ γενομένου ἐκ τοῦ αὐτοῦ τόπου κρουνὸν ὕδατος ἀναρραίνειν οὕτω ψυχροῦ ὥστε χιόνι συμβαλλόμενον μηδὲν διαφέρειν. Καὶ τοῦτό φασιν οὐκ ἀπόκρυφον, οὐδὲ μικρὸν χρόνον φαίνεσθαι, ἀλλὰ τὸ μὲν πῦρ ἀνιέναι τὴν θερείαν ὅλην, τὸ δ' ὕδωρ πάντα τὸν χειμῶνα.

Juxta eum fontem sponte natam petram quamdam exstare ferunt ampla magnitudine. Hanc itaque ferunt caloribus quidem æstivis ignis flammam emittere; hyems autem ubi supervenerit, ex eodem loco aquæ scatebram emicare adeo frigidæ, ut cum nive comparata nihil ab ea differat. Et hoc affirmant non occulte, neque brevi tempore conspici, sed ignem quidem per totam æstatem, aquam vero hyeme tota emittere.

CAP. CXV.

(125). Λέγεται δὲ καὶ περὶ τὴν τῶν Σιντῶν καὶ Μαιδῶν χώραν καλουμένην τῆς Θρᾴκης ποταμόν τινα εἶναι Πόντον προσαγορευόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους οἳ καίονται καὶ τοὐναντίον πάσχουσι τοῖς ἐκ τῶν ξύλων ἄνθραξιν· ῥιπιζόμενοι γὰρ σβέννυνται ταχέως, ὕδατι δὲ ῥαινόμενοι ἀναλάμπουσι καὶ ἀνάπτουσι κάλλιον. Παραπλησίαν δ' ἀσφάλτῳ, ὅταν καίωνται, καὶ πονηρὰν οὕτως ὀσμὴν καὶ δριμεῖαν ἔχουσιν ὥστε μηδὲν τῶν ἑρπετῶν ὑπομένειν ἐν τῷ τόπῳ καιομένων αὐτῶν.

(110) Ferunt et circa Thraciæ partem quæ Sintorum Mædorumque regio adpellatur, fluvium quemdam exstare Pontum vocatum, in eoque lapides quosdam deferri qui comburi possunt, quibusque contrarium evenit ac prunis e ligno provenientibus, quippe qui subflando cito restinguuntur, aquis autem respersi resplendent impensiusque exardescunt. Ceterum quum ardent, similem bitumini et gravem emittunt odorem, adeoque acrem ut nullum reptile eo loco perdurare possit, dum comburuntur.

CAP. CXVI.

(126) Εἶναι δέ φασι καὶ τόπον τινὰ παρ' αὐτοῖς οὐ λίαν μικρόν, ἀλλ' ὡς ἂν εἴκοσί που σταδίων, ὃς φέρει κριθὰς αἷς οἱ μὲν ἄνθρωποι χρῶνται, οἱ δ' ἵπποι καὶ βόες οὐκ ἐθέλουσιν αὐτὰς ἐσθίειν, οὐδ' ἄλλο οὐδέν. Ἀλλ' οὐδὲ τῶν ὑῶν, οὐδὲ τῶν κυνῶν οὐδεμία τολμᾷ γεύσασθαι τῆς κόπρου τῶν ἀνθρώπων, οἵ τινες ἂν ἐκ τῶν κριθῶν τούτων μᾶζαν φαγόντες ἢ ἄρτον ἀφοδεύωσι, τῷ θνήσκειν.

(111) Esse præterea aiunt apud illos locum quemdam non perexiguum, sed stadiorum circiter xx amplitudine, ubi hordeum provenit, quo homines quidem utuntur, equi vero bovesque vesci nolunt, nec ullum aliud animal. Verum nec sus ulla, neque canis excrementa gustare audet hominum, quicumque, comesta maza vel pane hoc hordeo paratis, alvum exonerarint, quoniam moriuntur.

CAP. CXVII.

(127). Ἐν δὲ Σκοτούσσαις τῆς Θετταλίας φασὶν εἶναι κρηνίδιόν τι μικρόν, ἐξ οὗ ῥεῖ τοιοῦτον ὕδωρ ὃ τὰ μὲν ἕλκη καὶ θλάσματα ταχέως ὑγιεινὰ ποιεῖ, καὶ τῶν ἀνθρώπων καὶ τῶν ὑποζυγίων· ἐὰν δέ τις ξύλον μὴ παντάπασι συντρίψας, ἀλλὰ σχίσας ἐμβάλῃ, συμφύεται καὶ πάλιν εἰς τὸ αὐτὸ καθίσταται.

(112) Scotussis in Thessalia fonticulum quemdam exiguum esse aiunt, unde aqua defluit hujusmodi ut vulnera contusionesque, cum hominum, tum jumentorum, sanet, lignumque si quis injecerit, non penitus contritum, sed fissum, coalescit atque rursus ad pristinum statum redit.

CAP. CXVIII.

(128) Περὶ δὲ τὴν Θρᾴκην τὴν ὑπὲρ Ἀμφίπολιν φασὶ γίνεσθαί τι τερατῶδες καὶ ἄπιστον τοῖς μὴ τεθεαμένοις· ἐξιόντες γὰρ οἱ παῖδες ἐκ τῶν κωμῶν καὶ τῶν ἐγγὺς χωρίων ἐπὶ θήραν τῶν ὀρνιθαρίων συνθηρεύειν παραλαμβάνουσι τοὺς ἱέρακας, καὶ τοῦτο ποιοῦσιν οὕτως. Ἐπειδὰν προέλθωσιν εἰς τόπον ἐπιτήδειον, καλοῦσι τοὺς ἱέρακας ὀνομαστὶ κεκραγότες· οἱ δ' ὅταν ἀκούσωσι τῶν παίδων τὴν φωνήν, παραγινόμενοι κατασοβοῦσι τοὺς ὄρνιθας· οἱ δὲ δεδιότες ἐκείνους καταφεύγουσιν εἰς τοὺς θάμνους, ὅπου αὐτοὺς οἱ παῖδες ξύλοις τύπτοντες λαμβάνουσιν. Ὃ δὲ πάντων ἄν τις μάλιστα θαυμάσειεν· οἱ μὲν γὰρ ἱέρακες ὅταν αὐτοί τινα λάβωσι τῶν ὀρνίθων, καταβάλλουσι τοῖς θηρεύουσιν, οἱ δὲ παῖδες ἁπάντων τῶν ἁλόντων μέρος τι τοῖς ἱέραξιν ἀποδόντες ἀπέρχονται.

(113) Circa eam Thraciæ partem quæ supra Amphipolin sita est, rem quamdam monstrosam ac non conspicatis incredibilem fieri tradunt: egredientes enim pueri ex pagis agrisque finitimis ad aviculas capiendas accipitres sibi adsciscunt venationis socios idque hoc modo peragunt: ubi ad locum opportunum pervenerint, accipitres nominatim cum clamore advocant: qui puerorum voce audita, accedentes aves loco exturbant; hæ vero metu accipitrum ad frutices confugiunt, ubi illas pueri fustibus percutientes capiunt. Quin etiam, quod omnium maxime mirere, accipitres si quam avem ipsi ceperint, aucupibus reportant, pueri vero, totius prædæ parte aliqua accipitribus impertita, decedunt.

CAP. CXIX.

(129). Θαυμαστὸν δέ τι καὶ παρὰ τοῖς Ἑνετοῖς φασι γίνεσθαι· ἐπὶ γὰρ τὴν χώραν αὐτῶν πολλάκις κολοιῶν ἀναριθμήτους μυριάδας ἐπιφέρεσθαι καὶ τὸν σῖτον αὐτῶν σπειράντων καταναλίσκειν· οἷς τοὺς Ἑνετοὺς πρὸ τοῦ ἐφίπτασθαι μέλλειν ἐπὶ τὰ μεθόρια τῆς γῆς προτιθέναι δῶρα, παντοδαπῶν καρπῶν καταβάλλοντας σπέρματα, ὧν ἐὰν μὲν γεύσωνται οἱ κολοιοί, οὐχ ὑπερβαίνουσιν ἐπὶ τὴν χώραν αὐτῶν, ἀλλ' οἴδασιν οἱ Ἑνετοὶ ὅτι ἔσονται ἐν εἰρήνῃ· ἐὰν δὲ μὴ γεύσωνται, ὡσεὶ πολεμίων ἔφοδον αὐτοῖς γινομένην οὕτω προσδοκῶσιν.

(114). Porro mirandum quid etiam apud Venetos evenire narrant: regionem enim eorum innumerabiles monedularum greges frequenter infestare, frumentum consitum eorum depascentes: quibus Venetos, antequam advolaturi sint ad confinia agri sui, munera proponere, omnisque generis frugum semina offerentes: quæ si gustaverint monedulæ, fines eorum non supervolant, sed Veneti de pace certi sunt; si vero ista non adtigerint, hi eas perinde exspectant ac si hostium incursus iis immineret.

CAP. CXX.

(130). Ἐν δὲ τῇ Χαλκιδικῇ τῇ ἐπὶ Θρᾴκης πλησίον Ὀλύνθου φασὶν εἶναι Κανθαρώλεθρον ὀνομαζόμενον τόπον, μικρῷ μείζονα τὸ μέγεθος ἅλω, εἰς ὃν τῶν μὲν ἄλλων ζῴων ὅταν τι ἀφίκηται, πάλιν ἀπέρχεται, τῶν δὲ κανθάρων τῶν ἐλθόντων οὐδείς, ἀλλὰ κύκλῳ περιιόντες τὸ χωρίον λιμῷ τελευτῶσιν.

(115). In Chalcidica Thraciæ juxta Olynthum aiunt locum quemdam esse, quem Cantharolethron vocant, amplitudine areæ paulo majorem: quem si aliud quoddam animans ingrediatur, rursus inde discedit, scarabæorum vero qui eo intraverint, nullus, sed locum in orbem pervagantes fame exanimantur.

CAP. CXXI.

(131). Ἐν δὲ Κύκλωψι τοῖς Θρᾳξὶ κρηνίδιόν ἐστιν ὕδωρ ἔχον ὃ τῇ μὲν ὄψει καθαρὸν καὶ διαφανὲς καὶ τοῖς ἄλλοις ὅμοιον, ὅταν δὲ πίῃ τι ζῷον ἐξ αὐτοῦ, παραχρῆμα διαφθείρεται.

(116). Apud Cyclopas Thraces fonticulus est aquam continens conspectu quidem puram ac limpidam ceterisque similem, verum hausta ab animante confestim necat.

CAP. CXXII.

(132) Φασὶ δὲ καὶ ἐν τῇ Κραστωνίᾳ παρὰ τὴν Βισαλτῶν χώραν τοὺς ἁλισκομένους λαγὼς δύο ἥπατα ἔχειν, καὶ τόπον τινὰ εἶναι ὅσον πλεθριαῖον, εἰς ὃν ὅ τι ἂν εἰσέλθῃ ζῷον, ἀποθνήσκει. (133) Ἔστι δὲ καὶ ἄλλο αὐτόθι ἱερὸν Διονύσου μέγα καὶ καλόν, ἐν ᾧ τῆς ἑορτῆς καὶ τῆς θυσίας οὔσης λέγεται, ὅταν μὲν ὁ θεὸς εὐετηρίαν μέλλῃ ποιεῖν, ἐπιφαίνεσθαι μέγα σέλας πυρός, καὶ τοῦτο πάντας ὁρᾶν τοὺς περὶ τὸ τέμενος διατρίβοντας, ὅταν δ' ἀκαρπίαν, μὴ φαίνεσθαι τοῦτο τὸ φῶς, ἀλλὰ σκότος ἐπέχειν τὸν τόπον, ὥσπερ καὶ τὰς ἄλλας νύκτας.

(117). Aiunt et in Crastonia prope Bisaltarum regionem lepores qui capiuntur, bina jocinora habere, locumque quemdam circiter jugeri magnitudine esse, in quem quodcumque animal ingressum fuerit, perit. Est et aliud templum isthic Bacchi magnum pulchrumque, in quo dum festa solemnia sacrificiaque celebrantur, si fertilitatem quidem ejus anni polliceatur deus, fulgorem ignis adparere aiunt ingentem, ac omnibus circa templum agentibus conspicuum fieri; si vero sterilitatem, lumen hoc non adparere, sed tenebras, quemadmodum et reliquis noctibus, locum occupare.

CAP. CXXIII.

(134) Ἐν Ἤλιδι λέγουσιν εἶναί τι οἴκημα σταδίους ἀπέχον ὀκτὼ μάλιστα τῆς πόλεως, εἰς ὃ τιθέασι τοῖς Διονυσίοις λέβητας χαλκοῦς τρεῖς κενούς. Τοῦτο δὲ ποιήσαντες παρακαλοῦσι τῶν Ἑλλήνων τῶν ἐπιδημούντων τὸν βουλόμενον ἐξετάσαι τὰ ἀγγεῖα καὶ τοῦ

(118). In Elide ædificium est, ut ferunt, quoddam stadiis distans circiter octo ab urbe, in quod Dionysiis tres lebetes æneos collocant vacuos: quo facto, quicumque voluerit Græcorum aliunde huc advectorum, hortantur ut vasa

οἴκου κατασφραγίζεσθαι τὰς θύρας. Καὶ ἐπειδὰν μέλλωσιν ἀνοίγειν, ἐπιδείξαντες τοῖς πολίταις καὶ τοῖς ξένοις τὰς σφραγῖδας, οὕτως ἀνοίγουσιν. Οἱ δ' εἰσελθόντες εὑρίσκουσι τοὺς μὲν λέβητας οἴνου πλήρεις, τὸ δ' ἔδαφος καὶ τοὺς τοίχους ὑγιεῖς, ὥστε μηδεμίαν εἶναι ὑποψίαν λαβεῖν ὡς τέχνῃ τινὶ κατασκευάζουσιν. (135) Εἶναι δέ φασι παρ' αὐτοῖς καὶ ἰκτίνους, οἳ παρὰ μὲν τῶν διὰ τῆς ἀγορᾶς τὰ κρέα φερόντων ἁρπάζουσι, τῶν δ' ἱεροθύτων οὐχ ἅπτονται.

scrutetur domusque januas sigillis obsignet. Deinde quum eam reseraturi sunt, ostendunt sigilla et civibus et peregrinis, et sic denique aperiunt. Ingressi lebetes quidem vino plenos inveniunt, pavimentum vero et parietes integros, ita ut nulla suspicio obrepere possit quasi id arte quadam molirentur. (119) Aiunt apud eosdem quoque milvos esse, qui carnes per macellum quidem ferentibus eripiant, quæ immolantur vero, non tangant.

CAP. CXXIV.

(136) Ἐν Κορωνείᾳ δὲ τῆς Βοιωτίας λέγεται τοὺς ἀσπάλακας τὰ ζῷα μὴ δύνασθαι ζῆν, μηδ' ὀρύσσειν τὴν γῆν, τῆς λοιπῆς Βοιωτίας πολὺ πλῆθος ἐχούσης.

(120). Coroneæ Bœotiæ oppido talpæ dicuntur nec vivere, nec terram fodere posse, magna alioqui copia per reliquam Bœotiam redundante.

CAP. CXXV.

(137) Ἐν Λουσοῖς δὲ τῆς Ἀρκαδίας κρήνην εἶναί τινά φασιν, ἐν ᾗ χερσαῖοι μύες γίνονται καὶ κολυμβῶσι, τὴν δίαιταν ἐν ἐκείνῃ ποιούμενοι. Λέγεται δ' αὐτὸ τοῦτο καὶ ἐν Λαμψάκῳ εἶναι.

(121). Lusis in Arcadia ferunt fontem quemdam esse, in quo mures terrestres nascantur et nateut vitamque degant. Atque idem etiam Lampsaci contingere fertur.

CAP. CXXVI.

(138) Ἐν δὲ Κράννωνι τῆς Θετταλίας φασὶ δύο κόρακας εἶναι μόνους ἐν τῇ πόλει. Οὗτοι ὅταν ἐκνεοττεύσωσιν, ἑαυτοὺς μέν, ὡς ἔοικεν, ἐκτοπίζουσιν, ἑτέρους δὲ τοσούτους τῶν ἐξ αὐτῶν γενομένων ἀπολείπουσιν.

(122). Crannone Thessaliæ urbe duos esse tantum corvos ferunt: qui ubi pullos suos e nido deturbarint, se ipsos quidem, ut videtur, alio transferunt, ceterum alios totidem ex se natos relinquunt.

CAP. CXXVII.

(139) Ἐν δ' Ἀπολλωνίᾳ τῇ πλησίον κειμένῃ τῆς τῶν Ἀτλαντίνων χώρας φασὶ γίνεσθαι ἄσφαλτον ὀρυκτὴν καὶ πίσσαν, τὸν αὐτὸν τρόπον ἐκ τῆς γῆς ἀναπηδῶσαν τοῖς ὕδασιν, οὐδὲν διαφέρουσαν τῆς Μακεδονικῆς, μελαντέραν δὲ καὶ παχυτέραν πεφυκέναι ἐκείνης. Οὐ πόρρω δὲ τούτου τοῦ χωρίου πῦρ ἐστι καιόμενον πάντα τὸν χρόνον, ὥς φασιν οἱ κατοικοῦντες περὶ τὴν χώραν ἐκείνην. Ὁ δὲ καιόμενος τόπος ἐστὶν οὐ πολύς, ὡς ἔοικεν, ἀλλ' ὅσον μάλιστα πεντακλίνου τὸ μέγεθος. Ὄζει δὲ θείου καὶ στυπτηρίας, καὶ πέφυκε περὶ αὐτὸν πόα τε βαθεῖα, ὃ καὶ θαυμάσειεν ἄν τις μάλιστα, καὶ δένδρα μεγάλα, οὐκ ἀπέχοντα τοῦ πυρὸς πήχεις τέσσαρας. Καίεται δὲ συνεχῶς περὶ Λυκίαν καὶ Μεγάλην πόλιν τὴν ἐν Πελοποννήσῳ.

(123). Apolloniæ, quæ juxta regionem Taulantiorum (?) sita est, nasci aiunt bitumen fossile picemque instar aquarum e terra subsilientem, nihil a Macedonica differentem, nisi quod atra magis densiorque proveniat. Nec procul isthinc ferunt adcolæ hujus regionis ignem exstare qui perpetuo ardeat. Locus autem ardens minime amplus est, ut videtur, sed quantus decem fere hominibus ad adcumbendum sufficeret. Ceterum sulfur alumenque redolet, crescitque et circa hunc gramen densissimum, et quod maxime mirere, arbores excelsæ vix quattuor cubitis ab igne distantes. Flagrat autem perpetuo circa Lyciam et Megalopolim Peloponnesi urbem.

CAP. CXXVIII.

(140) Λέγεται δὲ καὶ ἐν Ἰλλυριοῖς τίκτειν τὰ βοσκήματα δὶς τοῦ ἐνιαυτοῦ, καὶ τὰ πλεῖστα διδυμοτοκεῖν, καὶ πολλὰ δὲ τρεῖς, ἢ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ πέντε καὶ πλείους, ἔτι δὲ γάλακτος ἀφιέναι ῥᾳδίως τρία ἡμίχοα. Λέγουσι δὲ καὶ τὰς ἀλεκτορίδας οὐχ ὥσπερ παρὰ τοῖς ἄλλοις ἅπαξ τίκτειν, ἀλλὰ δίς, ἢ τρὶς τῆς ἡμέρας.

(124). Ferunt etiam apud Illyrios pecudes bis quotannis parere, et plerasque geminos, multas quoque ternos, vel quaternos hœdos, nonnullas etiam quinos aut plures, lactisque facile sesquicongium præbere. Tum gallinas narrant non semel, sicut apud reliquas gentes, sed bis terve in dies singulos ova edere.

GENERAL LIBRARY University of MICHIGAN

CAP. CXXIX.

(141) Λέγεται δὲ καὶ ἐν Παιονίᾳ τοὺς βοῦς τοὺς ἀγρίους πολὺ μεγίστους ἁπάντων τῶν ἐν τοῖς λοιποῖς ἔθνεσι γίνεσθαι, καὶ τὰ κέρατα αὐτῶν χωρεῖν τέσσαρας χόας, ἐνίων δὲ καὶ πλεῖον.

(125) In Pæonia quoque gigni aiunt feros boves longe omnium maximos qui apud ceteras gentes exstent, cornuaque eorum quatuor congios capere, imo nonnullorum et plus.

CAP. CXXX.

(142) Περὶ δὲ τοῦ πορθμοῦ τῆς Σικελίας καὶ ἄλλοι μὲν πλείους γεγράφασι, καὶ οὗτος δέ φησι συμβαίνειν τερατῶδες· ἐκ γὰρ τοῦ Τυρρηνικοῦ πελάγους πολλῷ ῥοίζῳ φερόμενον τὸν κλύδωνα προσβάλλειν πρὸς ἀμφότερα τὰ ἀκρωτήρια, τὸ μὲν τῆς Σικελίας, τὸ δὲ τῆς Ἰταλίας, τὸ προσαγορευόμενον Ῥήγιον, καὶ φερόμενον ἐκ μεγάλου πελάγους εἰς στενὸν συγκλείεσθαι, τούτου δὲ γινομένου κῦμα μετέωρον αἴρειν σὺν πολλῷ βρόμῳ ἐπὶ πάνυ πολὺν τόπον τῆς ἄνω φορᾶς, ὥστε τοῖς μακρὰν ἀπέχουσι σύνοπτον εἶναι τὸν μετεωρισμόν, οὐχ ὅμοιον φαινόμενον θαλάσσης ἀναφορᾷ, λευκὸν δὲ καὶ ἀφρῶδες, παραπλήσιον δὲ τοῖς συρμοῖς τοῖς γινομένοις ἐν τοῖς ἀνυπερβλήτοις χειμῶσιν. Καί ποτε μὲν ἀλλήλοις συμπίπτειν ἐπ' ἀμφοτέρων τῶν ἀκρωτηρίων τοὺς κλύδωνας, καὶ ποιεῖν συγκλυσμὸν ἄπιστον μὲν διηγεῖσθαι, ἀνυπομόνητον δὲ τῇ ὄψει θεάσασθαι· ποτὲ δὲ διισταμένους ἐκ τῆς πρὸς ἀλλήλους συρράξεως οὕτω βαθεῖαν καὶ φρικώδη τὴν ἄποψιν ποιεῖν τοῖς ἐξ ἀνάγκης θεωμένοις, ὥστε πολλοὺς μὲν μὴ κρατεῖν ἑαυτῶν, ἀλλὰ πίπτειν σκοτουμένους ὑπὸ δέους. Ἐπειδὰν δὲ προσπεσὸν τὸ κῦμα πρὸς ὁποτερονοῦν τῶν τόπων καὶ μετεωρισθὲν ἕως τῶν ἄκρων πάλιν εἰς τὴν ὑπορρέουσαν θάλασσαν κατενεχθῇ, τότε δὴ πάλιν σὺν πολλῷ μὲν βρυχηθμῷ, μεγάλαις δὲ καὶ ταχείαις δίναις, τὴν θάλασσαν ἀναζεῖν καὶ μετεωρίζεσθαι κυκωμένην ἐκ βυθῶν, παντοδαπὰς δὲ χρόας μεταλλάσσειν· ποτὲ μὲν γὰρ ζοφεράν, ποτὲ δὲ κυανῆν, πολλάκις δὲ πορφυρίζουσαν διαφαίνεσθαι. Τὸν δὲ δρόμον καὶ τὸ μῆκος αὐτῆς, ἔτι δὲ πρὸς τούτοις τὴν ἀνάρροιαν, οὐδ' ἀκούειν οὐδὲν ἑρπετόν, οὐθ' ὁρᾶν ὑπομένειν, φεύγειν δὲ πάντα πρὸς τὰς ὑποκειμένας ὑπωρείας. Λήγοντος δὲ τοῦ κλύδωνος τὰς δίνας μετεώρους φέρεσθαι ποικίλας οὕτω τὰς ἀναστροφὰς ποιουμένας, ὥστε δοκεῖν πρηστήρων ἤ τινων ἄλλων μεγάλων ὄφεων σπειράματι παρομοίους τὰς κινήσεις ἀποτελεῖν.

(126). De Siculo freto cum alii complures scripserunt, tum hic portentosam rem evenire inquit: æstum enim e Tyrrheno mari delatum strepitu ingenti utrumque promontorium, cum Siciliæ, tum Italiæ quod Rhegium vocant, ferire, delatumque ex mari vasto in angustias concludi: quo facto, fluctus sublimes adtollere fremitu magno ad spatium usque perlonginquum inde ab ipsa elatione, ita ut procul abstantibus conspicuus sit ebulliens æstus, maris exæstuantis fluctibus adspectu haudquaquam similem, sed album et spumosum similemque turbinibus quos immanissimæ excitare solent procellæ. Atque interdum quidem adversos fluctus ad utrumque promontorium concurrere, undarumque efficere collisionem incredibilem quidem narratu, sed quam contueri oculis nemo sustineret; interdum vero dehiscentes ex mutuo conflictu adeo profundum ac horribilem voraginem necessario intuentibus ostendere, ut multi semet ipsos continere nequeant, sed metu obfuscati concidant. Postquam vero ad alterutrum locum fluctus adlisi sublatique ad summa usque promontoria, denuo in subtus defluens mare devoluti sunt, tum rursus magno cum rugitu vorticibusque magnis ac rapidis effervescere mare inque sublime efferri a fundo inde turbatum et omni modo colores variare: interdum enim tenebricosum, nonnumquam cœruleum, frequenter purpurascens interlucere. Ceterum cursum ejus et immensitatem refluxumque præterea nullum animal nec audire, nec videre sustinere, sed ad radices montium subjacentium confugere omnia. Cessante vero æstu, in sublime efferri vortices, adeo varias facientes reciprocationes, ut motus spiris presterum, aut aliorum quorumdam magnorum serpentum, similes edere videantur.

CAP. CXXXI.

(143) Φασὶν οἰκοδομούντων Ἀθηναίων τὸ τῆς Δήμητρος ἱερὸν τῆς ἐν Ἐλευσῖνι περιεχομένην στήλην πέτραις εὑρεθῆναι χαλκῆν, ἐφ' ἧς ἐπεγέγραπτο « Δηϊόπης τόδε σῆμα », ἣν οἱ μὲν λέγουσι Μουσαίου εἶναι γυναῖκα, τινὲς δὲ Τριπτολέμου μητέρα γενέσθαι.

(127). Aiunt Atheniensibus templum Cereris Eleusiniæ exstruentibus, columnam saxis circumdatam inventam fuisse æream, cui inscriptum erat. « Deïopes hoc sepulcrum: » quam alii quidem Musæi uxorem, alii vero Triptolemi matrem fuisse perhibent.

CAP. CXXXII.

(144) Ἐν μιᾷ τῶν Αἰόλου προσαγορευομένων νήσων πλῆθός τί φασι γενέσθαι φοινίκων, ὅθεν καὶ Φοινικώδη καλεῖσθαι. Οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθές, ὅτι ἀπὸ Φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων τὸ φυτὸν ἔλαβε τὴν προσηγορίαν. Ἀλλὰ καὶ αὐτοὺς τοὺς Φοίνικας ὑπὸ τῶν Ἑλλήνων φασί τινες [φοίνικας] προσαγορευθῆναι διὰ τὸ πρώτους πλέοντας τὴν θάλασσαν, ᾗ ἂν ἀποβαίησαν, πάντας ἀποκτείνειν καὶ φονεύειν. Καὶ κατὰ γλῶσσαν δ' ἐστὶ τὴν Περραιβῶν τὸ αἱμάξαι φοινῖξαι.

(128) Æoli vero quas vocant, insularum unam ferunt palmis arboribus abundare, indeque et Phœnicussam adpellari: itaque fore ut falso a Callisthene adseratur, Phœnices Syriam littoralem incolentes arbori nomen indidisse. Verum a Græcis aiunt quidam ipsos quoque Phœnices nomen adcepisse, quod primi maria navigantes, quocumque adpellerent, omnes necarent ac trucidarent. Præterea Perrhæborum lingua φοινῖξαι cruentare significat.

CAP. CXXXIII.

(145) Τῆς καλουμένης Αἰνιακῆς χώρας περὶ τὴν ὀνομαζομένην Ὑπάτην λέγεται παλαιά τις στήλη εὑρεθῆναι, ἣν οἱ Αἰνιᾶνες τίνος ἦν εἰδέναι βουλόμενοι, ἔχουσαν ἐπιγραφὴν ἀρχαίοις γράμμασιν, ἀπέστειλαν εἰς Ἀθήνας τινὰς κομίζοντας αὐτήν. Πορευομένων δὲ διὰ τῆς Βοιωτίας, καί τισι τῶν ξένων ὑπὲρ τῆς ἀποδημίας ἀνακοινουμένων, λέγεται αὐτοὺς εἰσαχθῆναι εἰς τὸ καλούμενον Ἰσμήνιον ἐν Θήβαις· ἐκεῖθεν γὰρ μάλιστα ἂν εὑρεθῆναι τὴν τῶν γραμμάτων ἐπιγραφήν, λέγοντες εἶναί τινα ἀναθήματα ὁμοίους ἔχοντα τοὺς ῥυθμοὺς τῶν γραμμάτων ἀρχαῖα· ὅθεν αὐτούς φασιν ἀπὸ τῶν γνωριζομένων τὴν εὕρεσιν ποιησαμένους τῶν ἐπιζητουμένων, ἀναγράψαι τούσδε τοὺς στίχους·

Ἡρακλέης τεμένισσε (τέμενος τόδε) Κυθήρᾳ (κυδρᾷ) Φερσε-[φαάσσῃ,
Γηρυονείας (τῇδ') ἀγέλας ἐλάων, ἠδ' Ἐρύθειαν ἄγων.
Τὰς δ' ἐδάμασσε πόθῳ Πασιφάεσσα θεά.
Τῇδε δέ μοι (δ' ἐμῷ) τέκνῳ, τῷ δ' (τῇδ') Ἐρύθου τε (Εὐ-[ρυτίωνι) δάμαρ (δαμέντι)
Νυμφογενὴς Ἐρύθη δὴ τόδ' ἔδωκε πέδον
Μναμόσυνον φιλίας, φηγῷ ὕπο σκιερᾷ.

Τούτῳ τῷ ἐπιγράμματι ἐπεχώρησε καὶ ὁ τόπος ἐκεῖνος Ἔρυθος καλούμενος, καὶ ὅτι ἐκεῖθεν τὰς βοῦς, καὶ οὐκ ἐξ Ἐρυθείας ἤγαγεν· οὐδὲ γὰρ ἐν τοῖς κατὰ Λιβύην καὶ Ἰβηρίαν τόποις οὐδαμοῦ τὸ ὄνομά φασι λέγεσθαι τῆς Ἐρυθείας.

(129) Circa urbem Hypatam dictam in regione Æniaca adpellata dicitur columna quædam vetus reperta esse insignita inscriptione literis vetustis exarata: quam Ænianes cujus esset, quum explorare cuperent, Athenas miserunt quosdam adlaturos. Ili vero per Bœotiam iter facientes ac de peregrinatione sua cum hospitibus quibusdam verba conserentes Thebas ad Ismenium quod vocant, deducti esse feruntur: inde enim literarum inscriptionem maxime enodari posse perhibebatur, istis nempe adfirmantibus, donaria quædam antiqua inibi exstare formis literarum similibus inscripta: unde illos dicunt, inventa ex notis explicatione eorum quæ quærerentur, hos literis mandasse versus:

Abducta bove Geryonis pulchraque Erythia,
Hunc lucum Alcides Persephonæ posuit.
Armenta hæc desiderio dea candida vicit.
Nympharum vero de genere una Erythe
Campum istum puero monumentum præbet amoris
Tegmine sub fagi Eurytioni suo.

Cum hac inscriptione consentit tum quod locus iste Erythus adpellatur, tum quod isthinc boves, non ex Erythia egit: neque enim usquam vel in Libya, vel in Hispania nomen Erythiæ exstare ferunt.

CAP. CXXXIV

(146) Τῆς δὲ Λιβύης ἐν Ἰτύκῃ τῇ καλουμένῃ, ἣ κεῖται μέν, ὡς λέγουσιν, ἐν τῷ κόλπῳ τῷ μεταξὺ Ἑρμαίας καὶ τῆς Ἵππου ἄκρας, ἐπέκεινα δὲ Καρχηδόνος ὡς σταδίους διακοσίους (ἣ καὶ πρότερον κτισθῆναι λέγεται ὑπὸ Φοινίκων αὐτῆς τῆς Καρχηδόνος ἔτεσι διακοσίοις ὀγδοήκοντα ἑπτά, ὡς ἀναγέγραπται ἐν ταῖς Φοινικικαῖς ἱστορίαις), γίνεσθαί φασιν ἅλας ὀρυκτούς, ἐπὶ τρεῖς ὀργυιὰς τὸ βάθος, τῇ ὄψει λευκοὺς καὶ οὐ στερεούς, ἀλλ' ὁμοίους τῷ γλισχροτάτῳ γλοίῳ, καὶ ὅταν ἀνενεχθῶσιν εἰς τὸν ἥλιον, ἀποστερεοῦσθαι καὶ γίνεσθαι ὁμοίους τῷ Παρίῳ λίθῳ. Γλύφεσθαι δ' ἐξ αὐτῶν λέγουσι ζῴδια καὶ ἄλλα σκεύη.

(130) In Libyæ urbe, cui nomen Utica, sita, ut ferunt, in sinu inter Mercurii et Hippi promontoria, ac circiter stadiis ultra Carthaginem, quæque vel ipsa Carthagine annis CCLXXXVII, ut Phœniciæ historiæ tradunt, prius a Phœniciis condita esse dicitur, salem nasci fossilem aiunt trium passuum profunditate, adspectu album et minime solidum, sed similem viscosissimo strigmento: qui in solem prolatus adeo consolidetur, ut nihil a Pario lapide differat. Sculpi vero ex illo imagines aliaque utensilia ferunt.

CAP. CXXXV.

(147) Τοὺς πρώτους τῶν Φοινίκων ἐπὶ Ταρτησσὸν πλεύσαντας λέγεται τοσοῦτον ἀργύριον ἀντιφορτίσασθαι, ἔλαιον καὶ ἄλλον ναυτικὸν ῥῶπον εἰσαγαγόντας, ὥστε μηκέτι ἔχειν δύνασθαι μήτ' ἐπιδέξασθαι τὸν ἄργυρον, ἀλλ' ἀναγκασθῆναι ἀποπλέοντας ἐκ τῶν τόπων τά τ' ἄλλα πάντα ἀργυρᾶ οἷς ἐχρῶντο, κατασκευάσασθαι, καὶ δὴ καὶ τὰς ἀγκύρας πάσας.

(131) Primos Phœnices ferunt, quum Tartessum navigassent, tantam argenti vim oleo aliisque nauticis quisquiliis commutasse, ut nec amplius capere, nec recipere possent argentum, sed coactos fuisse his ex locis vela dantes cum cetera omnia, quibus utebantur, tum ancoras quoque cunctas ex argento conflare.

CAP. CXXXVI.

(148) Λέγουσι τοὺς Φοίνικας τοὺς κατοικοῦντας τὰ Γάδειρα καλούμενα, ἔξω πλέοντας Ἡρακλείων στηλῶν ἀπηλιώτῃ ἀνέμῳ ἡμέρας τέτταρας, παραγίνεσθαι εἴς τινας τόπους ἐρήμους, θρύου καὶ φύκους πλήρεις, οὓς ὅταν μὲν ἄμπωτις ᾖ, μὴ βαπτίζεσθαι, ὅταν δὲ πλημμύρα, κατακλύζεσθαι, ἐφ' ὧν εὑρίσκεσθαι ὑπερβάλλον θύννων πλῆθος, καὶ τοῖς μεγέθεσιν ἄπιστον καὶ τοῖς πάχεσιν, ὅταν ἐποκείλωσιν· οὓς ταριχεύοντες καὶ συντιθέντες εἰς ἀγγεῖα διακομίζουσιν εἰς Καρχηδόνα· ὧν Καρχηδόνιοι μόνων οὐ ποιοῦνται τὴν ἐξαγωγήν, ἀλλὰ διὰ τὴν ἀρετὴν ἣν ἔχουσι κατὰ τὴν βρῶσιν, αὐτοὶ καταναλίσκουσιν.

(132) Phœnices aiunt, qui Gades inhabitant, quum ultra columnas Herculis navigant, vento subsolano per quatriduum impulsos ad loca quædam deserta adplicare alga fucoque plena, istaque recessus quidem aquarum tempore non humectari, per reciprocationem vero mergi, thunnorumque copiam innumerabilem inveniri in illis, qui ubi huc impegerint, magnitudine et obesitate sunt incredibili: quos salsos vasis reconditos Carthaginem deportant, eosque solos Carthaginienses non exportant, sed ob singularem ad rem cibariam bonitatem ipsi absumunt.

CAP. CXXXVII.

(149) Ἐν τῇ Πηδασίᾳ τῆς Καρίας θυσία τῷ Διὶ συντελεῖται, ἐν ᾗ πέμπουσιν αἶγά τινα, περὶ ἣν θαυμαστόν τί φασι γίνεσθαι· βαδίζουσα γὰρ ἐκ Πηδάσων σταδίους ἑβδομήκοντα δι' ὄχλου πολλοῦ τοῦ θεωροῦντος οὔτε διαταράττεται κατὰ τὴν πορείαν, οὔτ' ἐκτρέπεται τῆς ὁδοῦ, δεδεμένη δὲ σχοινίῳ προπορεύεται τοῦ τὴν ἱερωσύνην ἔχοντος. Θαυμαστὸν δ' ἐστὶ καὶ τὸ δύο κόρακας εἶναι διὰ τέλους περὶ τὸ τοῦ Διὸς ἱερόν, ἄλλον δὲ μηδένα προσιέναι πρὸς τὸν τόπον, καὶ τὸν ἕτερον αὐτῶν ἔχειν τὸ πρόσθεν τοῦ τραχήλου λευκόν.

(133) Pedasis Cariæ urbe Jovi sacrificium peragitur, per quod capra quædam sacra pompa deducitur, circa quam rem admiratione dignam advenire narrant: stadiis nempe LXX ex Pedasis per turbam frequentem, quæ spectare solet, progrediens non interturbatur in itinere, aut a via declinatur, sed funiculo adligata sacerdotem præcedit. Mirum etiam, duos corvos circa templum Jovis esse perpetuo, neque alium ullum eo accedere, eorumque alterum colli partem anteriorem habere candidam.

CAP. CXXXVIII.

(150) Ἐν Ἰλλυριοῖς δὲ τοῖς Ἀρδιαίοις καλουμένοις, παρὰ τὰ μεθόρια τῶν Αὐταριατῶν κἀκείνων, φασὶν ὄρος εἶναι μέγα, τούτου δὲ πλησίον ἄγκος, ὅθεν ὕδωρ ἀναπηδᾶν, οὐ πᾶσαν ὥραν, ἀλλὰ τοῦ ἦρος, πολὺ τῷ πλήθει, ὃ λαμβάνοντες τὰς μὲν ἡμέρας ἐν τῷ στεγνῷ φυλάττουσι, τὰς δὲ νύκτας εἰς τὴν αἰθρίαν τιθέασιν. Καὶ πέντε ἢ ἓξ ἡμέρας τοῦτο ποιησάντων αὐτῶν πήγνυται τὸ ὕδωρ, καὶ γίνεται κάλλιστον ἅλας, ὃ ἕνεκεν τῶν βοσκημάτων μάλιστα διατηροῦσιν· οὐ γὰρ εἰσάγονται πρὸς αὐτοὺς ἅλες διὰ τὸ κατοικεῖν πόρρω αὐτοὺς θαλάσσης καὶ εἶναι αὐτοὺς ἀμίκτους. Πρὸς οὖν τὰ βοσκήματα πλείστην αὐτοῦ χρείαν ἔχουσιν· ἁλίζουσι γὰρ αὐτὰ δὶς τοῦ ἐνιαυτοῦ. Ἐὰν δὲ μὴ ποιήσωσι

(134) Apud Illyrios eos qui Ardiæi vocantur, juxta confinia quibus ipsi ab Autariatibus dirimuntur, montem magnum et in propinquo vallem esse dicunt, unde aqua prosiliat copiosa, non omni quidem tempore, sed vere tantum, quam haustam interdiu quidem sub tecto adservant, noctu vero sub dio collocant. Quod ubi ita fecerint V aut VI diebus, aqua congelatur, ac sal præstantissimum efficitur. Hunc morem autem pecoris potissimum causa servant: neque enim ad eos sal importatur, quia a mari longius habitant et a commercio sunt alieni. Ob pecora itaque maxime eo opus habent: bis enim quotannis salem iis dant: quod nisi fece-

τοῦτο, συμβαίνει αὐτοῖς ἀπόλλυσθαι τὰ πλεῖστα τῶν βοσκημάτων.

rint, evenit ut plurima pars iis intereat.

CAP. CXXXIX.

(151) Ἐν Ἄργει δέ φασι γίνεσθαι ἀκρίδος τι γένος ὃ καλεῖται σκορπιομάχον· ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ· ὡσαύτως δὲ καὶ ὁ σκορπίος ἐκείνῃ. Καὶ κύκλῳ περιιοῦσα τρίζει περὶ αὐτόν· τὸν δὲ τὸ κέντρον ἐπαίροντα ἀντιπεριάγειν ἐν τῷ αὐτῷ τόπῳ, εἶτα κατὰ μικρὸν ἀνιέναι τὸ κέντρον, καὶ τέλος ὅλον ἐκτείνεσθαι, τῆς ἀκρίδος κύκλῳ τρεχούσης. Τὰ τελευταῖα δὲ προσελθοῦσα κατεσθίει αὐτὸν ἡ ἀκρίς. Ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου ἐπιφαγεῖν αὐτήν.

28. Διὰ τί καθεύδοντες ἱδροῦσι μᾶλλον ἢ ἐγρηγορότες; Ἢ ὅτι ἔσωθεν ἡ ἀρχὴ τοῦ ἱδρῶτος, θερμότερα δὲ τὰ ἐντός, ὥστ' ἐκκρίνει διαχέουσα ἡ ἐντὸς θερμότης τὸ ἐντὸς ὑγρόν, ὅτι ἀεὶ ἔοικεν ἀπορρεῖν τι τοῦ σώματος, ἀλλὰ διὰ τὸ μηθὲν εἶναι πρὸς ὃ προσπῖπτον ἀλισθήσεται λανθάνει; Σημεῖον δέ· τὰ γὰρ κοῖλα τοῦ σώματος ἀεὶ ἱδροῖ.

28. Cur dormientes quam vigilantes sudant magis? An quod sudoris origo intrinsecus est, interna autem calidiora habemus: ergo calor internus humorem diffundens internum educit, quoniam semper aliquid e corpore effluere videtur, sed latet, quia nihil est cui incidens se colligat? Argumento est, quod cavæ corporis partes adsidue sudant.

29. Διὰ τί ἐν τοῖς πυριατηρίοις μᾶλλον ἱδροῦσιν, ὅταν ᾖ ψῦχος; Ἢ ὅτι τὸ θερμὸν οὐ βαδίζει ἔξω διὰ τὴν τοῦ ψυχροῦ περίστασιν (κωλύεται γὰρ ὑπὸ τούτου), ἀλλ' ἐντὸς κατειλούμενον καὶ μένον διαλύει τὰ ἐν ἡμῖν ὑγρά, καὶ ἱδρῶτα ποιεῖ ἐξ αὐτῶν;

29. Cur in æstuariis tum magis sudamus, quum tempestas frigida est? An quoniam calor propter frigidi obsistentiam foras non meat (ab hoc enim arcetur); verum intus se pervolvens ac restans humores intra nos solvit, sudoremque ex iis producit?

30. Διὰ τί ὠφελιμώτερός ἐστιν ὁ ἱδρώς, κἂν ἐλάττων ἐπέλθῃ, ὁ γυμνοῦ τροχάζοντος γενόμενος ἢ ὁ ἐν ἱματίῳ; Ἢ τὸ μὲν πονεῖν τοῦ μὴ πονεῖν βέλτιόν ἐστι καθόλου, καὶ ὁ ἱδρὼς δ' ὁ μετὰ πόνου τοῦ ἄνευ πόνου βελτίων ἐστί, καὶ ὁ μᾶλλον δὲ μετὰ πόνου τοῦ ἧττον βελτίων, μᾶλλον δ' ἐστὶ μετὰ πόνου ὁ γυμνοῦ τροχάζοντος γινόμενος; ἐὰν γὰρ μὴ πολλῇ συντονίᾳ τροχάσῃ, οὐ δύναται ἱδρῶσαι γυμνὸς ὤν· ἐν ἱματίῳ γὰρ κἂν πάνυ μετρίως τροχάσῃ, ταχὺ ἱδροῖ διὰ τὴν ἀπὸ τοῦ ἱματίου ἀλέαν. Καὶ εὐχρούστεροι δὲ γίνονται οἱ γυμνοὶ τρέχοντες τοῦ θέρους τῶν ἐν ἱματίοις, ὅτι ὥσπερ ἅπαντες οἱ ἐν τοῖς εὐπνουστέροις τόποις οἰκοῦντες εὐχρούστεροί εἰσι τῶν ἐν τοῖς καταπεπνιγμένοις οἰκούντων, οὕτω καὶ αὐτὸς αὑτοῦ ὁ ἄνθρωπος, ὅταν ὥσπερ ἐν εὐπνοίᾳ ᾖ, τότε εὐχρούστερός ἐστιν ἢ ὅταν καταπεπνιγμένος ᾖ καὶ περιεχόμενος ὑπό τινος ἀλέας πολλῆς, ὃ συμβαίνει μᾶλλον τῷ ἐν ἱματίῳ τρέχοντι. Διὰ ταῦτα δὲ καὶ οἱ πολὺν χρόνον καθεύδοντες ἀχρούστεροί εἰσι τῶν μέτριον χρόνον καθευδόντων· καταπέπνικται γὰρ καὶ ὁ καθεύδων.

30. Cur sudor utilior est, qui corpore nudo currenti fit, etiamsi parcior prodeat, quam vestimentis obtecto? An quod in universum laborare quam non laborare melius est, et sudor vero quem labor comitatur, eo melior est qui sine labore provenit, et qui majori cum labore, melior quam qui cum minori, majori autem cum labore is est qui nudo corpore currenti prodit? nam nisi admodum cursum intenderit, sudare non potest, dum nudus est: vestitus enim celeriter sudat, etiamsi perplacide cucurrerit, propter teporem quem creat vestis. Et vero coloratiores redduntur qui nudi cursum æstivo tempore agitant quam qui sub veste, quia ut omnes qui loca flatibus patentiora incolunt, melius colorantur quam qui constricta tenent, sic etiam homo tunc solito coloratior est, ubi spiritui veluti facilis patet aditus quam ubi æstu quodam subfocatur ac circumdatur copioso, quod inprimis ei accidit qui sub veste currit. Hinc etiam fit ut qui diutius dormiunt, minus colore hilarentur quam qui modicum temporis spatium: nam dormiens quoque angitur.

31. Διὰ τί οἱ ἀγωνιῶντες ἱδροῦσι τοὺς πόδας, τὸ δὲ πρόσωπον οὔ, ἐν τῷ ἄλλῳ βίῳ ἱδρούντων ἡμῶν μάλιστα μὲν τὸ πρόσωπον, ἥκιστα δὲ τοὺς πόδας; Ἢ ὅτι ἡ ἀγωνία φόβος τίς ἐστι πρὸς ἀρχὴν ἔργου, ὁ δὲ φόβος κατάψυξις τῶν ἄνω; διὸ καὶ ὠχριῶσι τὰ πρόσωπα οἱ ἀγωνιῶντες, κινοῦνται δὲ καὶ σκαίρουσι τοῖς ποσίν· ποιοῦσι γὰρ τοῦτο οἱ ἀγωνιῶντες καὶ καθάπερ γυμνάζονται· διόπερ εἰκότως ἱδροῦσι ταῦτα οἷς πονοῦσιν. Καὶ τρίβουσι δὲ τὰς χεῖρας καὶ συγκαθιᾶσι καὶ ἐκτείνονται καὶ ἐξάλλονται καὶ οὐδέποτε ἠρεμοῦσιν· ὁρμητικοὶ γάρ εἰσι πρὸς τὸ ἔργον διὰ τὸ τὸ θερμὸν αὐτῶν ἠθροῖσθαι εἰς τὸν περὶ τὸ στῆθος τόπον ὄντα εὐσηματωδέστερον· ὅθεν πάντῃ διάττοντος αὐτοῦ τε καὶ τοῦ αἵματος συμβαίνει πυκνὴν καὶ ποικίλην γίνεσθαι κίνησιν. Μάλιστα δ' ἱδροῦσι τοὺς πόδας, ὅτι οὗτοι μὲν συνεχῶς πονοῦσι, τὰ δ' ἄλλα μέρη τοῦ σώματος ἀναπαύσεως τυγχάνει ταῖς τῶν σχημάτων καὶ κινήσεων μεταβολαῖς.

31. Cur pedes in trepidatione sudant, non vero facies, quum in reliquis vitæ muneribus facie quidem maxime, pedibus vero minime sudemus? An quia trepidatio metus quidam super re inchoanda est, metus autem refrigeratio partium superiorum est? quamobrem facie quoque pallent qui trepidant; pedibus item agitantur et saltitant: sic enim trepidantes faciunt, seseque quodammodo exercent: quapropter haud immerito ea parte sudant, qua laborant. Manus etiam fricant ac simul ambas demittunt, sese extendunt etiam atque exsiliunt, nec umquam quiescunt: agere enim properant, quoniam calor eorum adcumulatur in pectoris locum, qui inprimis clariora signa subpeditare solet: quamobrem undique cum calore, tum sanguine transsiliente efficitur ut motu crebro varioque agitentur. Pedibus autem maxime insudant, quoniam hi quidem perpetuo tenentur labore, dum ceteræ corporis partes positurarum motuumque mutatione quietem consequuntur.

32. Διὰ τί ἐν τοῖς πυριατηρίοις οὔτ' ἀθρόου τοῦ πυρὸς ὄντος μᾶλλον ἱδροῦσιν, οὔτ' ἐλάττονος ἀεὶ γινομένου, ἀλλὰ πλείονος; ἐπεισφερομένου γὰρ τὰ πυριατήρια μᾶλλον ἱδροῦσιν ἢ εἴπερ εὐθὺς ἐξ ἀρχῆς τοσοῦτον ἦν τὸ πῦρ. Ἢ τὸ μὲν πολὺ ἐκ πρώτης ξηρὰν λαμβάνον τὴν ἐπιπολῆς σάρκα καὶ δέρμα καίει καὶ ὀστρακοῖ, γενομένη δὲ τοιαύτη τέγγει τοὺς ἱδρῶτας· τὸ δ' ὀλίγον μᾶλλον τὴν σάρκα ἀνιὲν αὐτήν τε ἀραιοῖ καὶ τὰ ἐντὸς καθάπερ ὀργάζει πρὸς τὴν διάκρισιν καὶ ἐξαγωγήν· οὕτω δ' ἐχούσης αὐτῆς, ἐπεισενεχθὲν πλέον πῦρ καὶ εἰσδυόμενον εἰς βάθος τῆς σαρκὸς δι' ἀραιότητα ἐξατμίζει τε τὰ προμαλαχθέντα ὑγρά, καὶ τὰ λεπτὰ αὐτῶν ἀποκρῖνον ἐξάγει μετὰ τοῦ πνεύματος;

32. Cur in æstuariis neque ubi subito cumulatur ignis, nec ubi pedetentim semper diminuitur, sed ubi semper augetur, magis sudatur? ubi enim superingeritur, magis sudant æstuaria quam si principio statim tantumdem adfuisset ignis. An quod principio quidem multum ignis adhibitum carnis superficiem cutemque siccam nactum urit atque in modum testæ indurat: quæ quum talis reddita sit, sudorem humectat; minus vero copiosus si sit, carnem relaxans rarefacit atque interiora quasi instigat ad separationem et expulsionem; carne autem sic se habente, si plus ignis superingeratur et carnis fundum subeat, propter raritatem humores jam præmollitos in vaporem convertit, partesque eorum tenues secernens educit una cum spiritu?

33. Πότερον δεῖ μᾶλλον τοῦ θέρους παρασκευάζειν τὸ ἱδροῦν, ἢ τοῦ χειμῶνος; Ἢ τοῦ μὲν χειμῶνος συστελλόμενον ἐντὸς τὸ θερμὸν ἐκπέττει καὶ πνευματοῖ τὰ ἐν ἡμῖν ὑγρά (διὸ πάντων αὐτῶν ἢ τῶν πλείστων ἀναλισκομένων οὐδὲν δεῖται συγγενοῦς ἀποκρίσεως)· τοῦ δὲ θέρους δι' ἀραιᾶς τῆς σαρκὸς ἐκπίπτοντος τοῦ θερμοῦ ἧττον πέττεται τὰ ἐν ἡμῖν ὑγρά· διὸ δεῖται ἀπαντλήσεως; ἐμμείναντα γὰρ διὰ τὴν ὥραν σήπεται καὶ νοσοποιεῖ· σήπεται γὰρ πᾶν τὸ σηπόμενον ὑπ' ἀλλοτρίου θερμοῦ, ὑπὸ δὲ τοῦ οἰκείου πέττεται. Ἐν μὲν οὖν τῷ θέρει τὸ ἀλλότριον ἰσχύει (διὸ σήπεται πάντα μᾶλλον ἐν αὐτῷ), ἐν δὲ τῷ χειμῶνι τὸ οἰκεῖον· διὸ οὐ σήπει ὁ χειμών.

33. Utrum per æstatem potius, an per hyemem sudor movendus est? An hyeme quidem calor intus conglomeratus percoquit atque in spiritum convertit humores intra nos (quapropter quum omnes, aut maxima pars consumitur, haudquaquam ulla excretione ejusdem generis indigemus); at in æstate, quum per raram carnem calor elabitur, humores intra nos minus concoquuntur: qua de causa exhaustu opus est? nam si intus manserint, tempestatis ergo putrescunt morbosque gignunt: quodcumque enim putrescit, alieno calore putrescit, proprio vero calore concoquitur. Igitur per æstatem alienus prævalet calor: ex quo fit ut quævis in æstate præsertim putrescant; per hyemem vero calor proprius dominatur: quapropter non putrefacit hyeme.

34. Διὰ τί τῶν ἱδρώτων γινομένων ὑπὸ τῆς ἐντὸς θερμασίας, ἢ ὑπὸ τῆς ἐκτὸς προσπιπτούσης, πρὸς ἐνίων ἱδρώτων φρίττομεν; Ἢ διότι ὑπὸ μὲν τῆς ἐντὸς θερμασίας ὅταν ἐκπίπτωσιν, ἐκ πολλοῦ τόπου εἰς ὀλίγον συστελλομένοις πρὸς τὴν περιοχὴν παντελῶς τὰς τοῦ θερμοῦ περιόδους ἀποφράττουσιν, εἶτα ἡ φρίκη ἐγγίνεται; Ἔτι τῆς σαρκὸς παντελῶς διαβρόχου γινομένης καὶ τοῦ θερμοῦ διεξιόντος· ἡ δ' ἐκτὸς θερμασία προσπίπτουσα ἀραιοῖ τὸν χρῶτα πρῶτον, εἶτα τὸ ἐντὸς τῆς φύσεως θερμὸν ἀποκρινάμενον τὴν φρίκην ἐποίησεν.

34. Quam ob causam, quum sudor vel interno calore, vel extrinsecus incidente fiat, evenit ut horror nonnullis sudoribus excitetur? An quoniam a calore quidem interno ubi elabuntur, dum nosmetipsos ex amplo spatio in breve versus corporis ambitum contrahimus, caloris circuitus penitus obstruunt; deinde vero supervenit horror? Præterea carne jam madefacta ex toto caloreque exeunte citatur: calor enim externus incidens superficiem rarefacit primum; tum calor naturæ internus abiens excitat horrorem.

35. Διὰ τί τῶν ἱδρώτων οἱ θερμοὶ κρίνονται βελτίους εἶναι τῶν ψυχρῶν; Ἢ ὅτι πᾶς μὲν ἱδρὼς περιττώματός τινος ἔκκρισίς ἐστιν, εἰκὸς δὲ τὸ μὲν ὀλίγον περίττωμα ἐκθερμαίνεσθαι, τὸ δὲ πλεῖον μὴ ὁμοίως, ὥσθ' ὁ ψυχρὸς ἱδρὼς πολλοῦ περιττώματος ἂν εἴη σημεῖον· διὸ καὶ μακροτέρας τὰς νόσους δηλοῖ.

35. Cur calidi sudores frigidis meliores habentur? An quod omnis quidem sudor excrementi cujusdam secretio est; parum autem excrementi percalescere consentaneum est; plus autem non æque, ita ut sudor frigidus excrementi multi indicium esset? quocirca morbos quoque indicat longiores.

36. Διὰ τί τῶν ἱδρώτων διὰ θερμασίαν γινομένων, πρὸς τὸ πολὺ πῦρ ἧττον ἱδροῦμεν; Ἢ διότι ἤτοι σφόδρα θερμαινομένου τοῦ σώματος εἰς πνεύματα ὑγρὰ διαλύεται; Ἢ ἐκπίπτοντος τοῦ ὑγροῦ καὶ ταχὺ περιξηραινομένου τὴν αἴσθησιν οὐ λαμβάνομεν.

36. Cur minus ad ignem multum sudamus, quum tamen a calore sudores proveniant? An quoniam aut corpore vehementer incalescente in spiritus dissolvuntur humores? Aut quum excidit humor et cito undequaque exsiccatur, ejus sensum non percipimus.

37. Διὰ τί τοῦ ἡλίου μᾶλλον θερμαίνοντος ἐὰν μηδὲν περίβλημα ἔχωμεν, ἱδρῶτες γίνονται τοῖς ἱματίοις

37. Cur sole acrius nos calefaciente ubi nullo indumento tegimur, vestibus obtectis sudores fiunt? De hoc etiam

περιστελλομένοις; Καὶ περὶ τούτου ταὐτὰ ἐροῦμεν τῷ προτέρῳ.

38. Διὰ τί τῶν ὀξειῶν κινήσεων μᾶλλον θερμαίνειν δοκουσῶν, τῶν δὲ νωθρῶν ἧττον, αἱ πρὸς τὸ σιμὸν πορεῖαι νωθρότεραι οὖσαι ἱδρῶτάς τε μᾶλλον ἐκκρίνουσι καὶ τὸ πνεῦμα προσιστᾶσιν, ὡς θερμαίνουσαι μᾶλλον τῶν κατάντων; Ἢ ὅτι τοῖς βάρεσιν εἰς τὸ κάτω φέρεσθαι κατὰ φύσιν ἐστίν, εἰς δὲ τὸ ἄνω παρὰ φύσιν; Ἡ οὖν τοῦ θερμοῦ φύσις ἡ φέρουσα ἡμᾶς πρὸς μὲν τὰ κατάντη οὐθὲν συμπονεῖ, πρὸς δὲ τὰ σιμὰ φορτηγοῦσα διατελεῖ· ὥστε διὰ μὲν τὴν τοιαύτην κίνησιν ἐκθερμαίνεται, καὶ μᾶλλον τοὺς ἱδρῶτας ἐκκρίνει, καὶ τὸ πνεῦμα προσίστησιν. Συμϐάλλεται δέ τι ἐν ταῖς πορείαις καὶ ἡ τοῦ σώματος σύγκαμψις, πρὸς τὸ μὴ εὐθυπορεῖν τὸ πνεῦμα προσιστᾶσα.

39. Διὰ τί τῶν ἱδρώτων γινομένων, ὅσῳ ἂν ἐπιϐάλληταί τις μᾶλλον, οὐχ οἱ τὰ πλεῖστα τῶν ἱματίων ἐπιϐαλλόμενοι ἱδροῦσιν; Καὶ περὶ τούτου ταὐτὰ ἐροῦμεν τῷ ἐπάνω.

40. Διὰ τί τῶν σωμάτων ξηροτέρων ὄντων τοῦ θέρους ἢ τοῦ χειμῶνος, ἱδρωτικωτέρως διακείμεθα τοῦ θέρους; Ἢ ὅτι τοῦ μὲν θέρους ἀραιῶν τῶν σωμάτων ὄντων τὸ τῆς φύσεως θερμὸν οὐ πολὺ κατέχεται (διαλύει οὖν τὰ ὑγρὰ εἰς πνεῦμα)· τοῦ δὲ χειμῶνος πεπυκνωμένων ἐκτὸς τῶν σωμάτων, πολὺ κατειλημμένον τὸ τῆς φύσεως θερμὸν εἰς πνεῦμα οὐ διαλύει τὰ ὑγρά; Ἔτι δὲ καὶ τοῦ μὲν θέρους πολὺ προσφερόμεθα τὸ ὑγρόν, τοῦ δὲ χειμῶνος τοὐναντίον.

41. Διὰ τί οἱ ἀπὸ τοῦ αὐτομάτου γινόμενοι τοῖς ὑγιαίνουσιν ἱδρῶτες φαυλότεροι δοκοῦσιν εἶναι τῶν ὑπὸ τῶν πόνων; Ἢ ὅτι οἱ μὲν πόνοι ἀπαντλοῦντες ἀεὶ τὸ περιττεῦον ὑγρὸν ξηροτέραν τὴν σάρκα παρασκευάζουσιν, ὥστε τὰς κοιλίας τῶν πόρων ὑγιεινὰς εἶναι καὶ τῇ τοῦ θερμοῦ ἠθίσει μηδεμίαν ἔμφραξιν γίνεσθαι, οἱ δ' αὐτόματοι μὲν προσαγορευόμενοι ἱδρῶτες, γινόμενοι δ' ἐξ ἀνάγκης, ὅταν ὑπὸ πλείονος ὑγρασίας συγχεομένων τῶν τῆς φύσεως πόρων τὸ θερμὸν μὴ παντελῶς καταλαμϐάνηται, ἀλλ' ἔτι ἀπομάχεσθαι καὶ ἐκκρίνειν αὐτὸ δύνηται, εὐλόγως νόσου σημεῖα φαίνεται; τότε γὰρ ὑπὸ πλείονος ὑγρασίας ἢ τοῦ συμμέτρου κατὰ φύσιν ψύχεται, ἥ τε σὰρξ δίομϐρος γενομένη τὴν χαχίστην πρὸς ὑγείαν διάθεσιν λαμϐάνει.

42. Διὰ τί τοῦ χειμῶνος ἱδρῶτες ἧσσον γίνονται, καὶ ἡμεῖς οὐχ ὁμοίως παρασκευάζειν βουλόμεθα, ὑγροτέρων ὄντων τῶν σωμάτων τοῦ χειμῶνος; Ἢ ἧσσον μὲν ἱδροῦμεν, ὅτι τὰ ὑγρὰ τοῦ χειμῶνος πέπηγε καὶ συνέστηκε σφόδρα· δυσδιαλυτώτερα οὖν· οὐχ ὑπολαμϐάνομεν δὲ δεῖν ἱδρωτοποιεῖσθαι τοῦ χειμῶνος, διότι ἡ τοιαύτη διάθεσις ὑγιεινή, ὁ δὲ τοὺς ἱδρῶτας ἐμποιῶν τήκει καὶ συγχεῖ τὴν ἕξιν; Ἔτι τε καὶ ἀραιοτέραν τοῦ προσήκοντος ἐμποιῶν τό τ' ἐντὸς θερμὸν

eadem quæ de superiori quæstione dicemus.

38. Quam ob causam, quum motus citati quidem magis, hebetes vero minus calefacere videantur, ingressus tamen per adclivia, qui hebetiores sunt, magis movent sudorem respirationemque impediunt, quasi amplius calefaciant quam declives? An quod gravi cuique deorsum quidem ferri secundum naturam est, sursum vero contra naturam? Itaque caloris natura, ubi per declive quidem nos vehit, nihil nobiscum laborat, ubi vero per adclive, perpetuo onere obprimitur, ita ut acrius ob ejusmodi motum incalescat magisque sudorem moveat et respirationem impediat. Quin etiam corporis inflexus qui ingrediendo fit, nonnihil eo confert, impediens quominus spiritus recto tramite meet.

39. Qua de causa, quum sudor supervenerit, quo magis quis se operuerit, non ii sudant qui vestem plurimam sibi injecerunt? Eadem etiam de hac quæstione quam de superiori dicemus.

40. Quam ob causam, quum corpora sicciora per æstatem quam hiberno tempore sint, sudori magis in æstate patemus? An quod per æstatem quidem propter corporum laxitatem non multus naturæ calor retinetur (humores proinde in spiritum resolvit); per hyemem autem parte exteriori densata corporum, magna copia caloris naturalis coercetur, ideoque humores in spiritum non resolvit? Ad hæc æstate quidem humoris multum haurimus, hyeme autem e contrario.

41. Cur sudores qui corpori bene valenti sponte proveniunt, iis deteriores esse videntur quos labores citarint? An quod labores quidem, utpote semper superfluum humorem exhaurientes, carnem efficiunt sicciorem, ita ut canales meatuum sani sint et caloris percolationem nullum impediat obstaculum; sudores autem qui spontanei adpellantur, sed qui ex necessitate oriuntur, ubi scilicet meatibus naturæ ab immodico humore confusis, calor non omnino retinetur, sed repugnare adhuc extrudereque ipse potest, merito signa morbi videntur? nam tunc quoque a largiori humore quam qui modicus secundum naturam sit, refrigeratur, et caro quasi imbre madens, pessimam ad secundam valetudinem concipit conditionem.

42. Cur tempore hiberno minus oriuntur sudores, nec nos per id tempus sudores parandos esse æque censemus, quamvis corpora humidiora sint hyeme? An minus sudamus quidem, quoniam humores per hyemem concreti coactique sunt vehementer (quare difficilius dissolvuntur); sudores autem non per hyemem movendos esse censemus, quia ejusmodi dispositio salubris est, qui autem movet sudorem, colliquat confunditque habitum corporis? Præterea laxiorem quam conveniat eumdem habitum reddens, simul

ἀποκρίνων ἔλαττον ποιεῖ, ὥστε μὴ ὁμοίως δύνασθαι τῷ περιέχοντι ψυχρῷ ἀντιτετάχθαι, τό τ' ἐκτὸς ὑγρὸν ῥᾳδιέστερον παρεμπεσεῖται τοῖς σώμασιν, ἀραιῶν τῶν πόρων διὰ τὰς ἱδρωτοποιίας ὄντων.

ΤΜΗΜΑ Γ.

ΟΣΑ ΠΕΡΙ ΟΙΝΟΠΟΣΙΑΝ ΚΑΙ ΜΕΘΗΝ.

1. Διὰ τί οἱ μεθύοντες, θερμοῦ ὄντος τοῦ οἴνου, δύσριγοί εἰσι, καὶ τάχιστα ἁλίσκονται ὑπὸ πλευρίτιδος καὶ τῶν τοιούτων; Ἢ διότι πολὺ ὑγρὸν ἐὰν ψυχθῇ, πολὺ ψυχρὸν γίνεται, ὥστε κρατεῖν τῆς φυσικῆς θερμότητος; γίνεται γὰρ ὅμοιον ὥσπερ ἂν εἰ ἐσθὴς βεϐρεγμένη εἴη ὑγρῷ ψυχρῷ, οὕτως ἡ σὰρξ ἔνδοθεν.

2. Διὰ τί οὐχ οἱ σφόδρα μεθύοντες παροινοῦσιν, ἀλλ' οἱ ἀκροθώρακες μάλιστα; Ἢ ὅτι οὔθ' οὕτως ὀλίγον πεπώκασιν ὥσθ' ὁμοίως ἔχειν τοῖς νήφουσιν, οὔθ' οὕτως ὥστε διαλύεσθαι, ὅπερ πάσχουσιν οἱ πολὺ πεπωκότες; Ἔτι οἱ μὲν νήφοντες μᾶλλον ὀρθῶς κρίνουσιν, οἱ δὲ σφόδρα μεθύοντες οὐδ' ἐγχειροῦσιν κρίνειν· οἱ δ' ἀκροθώρακες κρίνουσι μὲν διὰ τὸ μὴ σφόδρα μεθύειν, κακῶς δὲ διὰ τὸ μὴ νήφειν, καὶ ταχὺ τῶν μὲν καταφρονοῦσιν, ὑπὸ τῶν δὲ ὀλιγωρεῖσθαι δοκοῦσιν.

3. Διὰ τί μᾶλλον κραιπαλῶσιν οἱ ἀκρατέστερον πίνοντες ἢ οἱ ὅλως ἄκρατον; Πότερον διὰ τὴν λεπτότητα ὁ κεκραμένος μᾶλλον εἰσδύεται εἰς πλείους τόπους καὶ στενωτέρους, ὁ δ' ἄκρατος ἧττον, ὥστε δυσεξαγωγότερος ὁ κεκραμένος; Ἢ διότι ἐλάττω πίνουσιν ἄκρατον διὰ τὸ μὴ δύνασθαι, καὶ ἀπεμοῦσι μᾶλλον; Ἔτι δὲ συμπέττει τὰ λοιπὰ θερμότερος ὤν, καὶ αὐτὸς αὑτόν· ὁ δ' ὑδαρὴς τοὐναντίον.

4. Διὰ τί τῶν οἰνοφλύγων τὸ σπέρμα οὐ γόνιμον ὡς ἐπὶ τὸ πολύ; Ἢ ὅτι ἡ κρᾶσις τοῦ σώματος ἐξύγρανται; τὰ δ' ὑγρὰ σπέρματα οὐ γόνιμα, ἀλλὰ τὰ συνεστῶτα καὶ πάχος ἔχοντα.

5. Διὰ τί οἱ οἰνόφλυγες τρέμουσι, καὶ μᾶλλον ὅσῳ ἂν ἀκρατοποτῶσιν· ἔστι δ' ὁ μὲν οἶνος θερμαντικόν, ὁ δὲ τρόμος γίνεται μάλιστα ἀπὸ ψυχροῦ (διὸ οἱ ῥιγῶντες μάλιστα τρέμουσιν)· πολλοῖς δ' ἤδη χρωμένοις μόνον ἀκράτῳ τροφῆς χάριν τρόμοι ἰσχυροὶ συνέϐησαν, ὥστ' ἀπορρίπτειν τοὺς θλίϐοντας (?), καὶ τῷ θερμῷ ὕδατι λουόμενοι ἀναισθήτως εἶχον; Ἢ ὅτι γίνεται μὲν ὁ τρόμος διὰ κατάψυξιν, γίνεται δ' ἢ περιισταμένου ἐντὸς τοῦ θερμοῦ διὰ τὸ ἐκτὸς ψῦχος, οἷον τοῦ χειμῶνος, ἢ σϐεννυμένου τοῦ κατὰ φύσιν θερμοῦ, σϐεννυμένου μὲν τῷ ἐναντίῳ, ἢ διὰ χρόνον, οἷον γῆρας, ἢ τῇ τοῦ ἀλλοτρίου θερμοῦ ὑπερϐολῇ, ὃ συμϐαίνει τῷ ἐν τῷ ἡλίῳ ἢ πυρὶ καιομένῳ· συμϐαίνει δὲ τοῦτο καὶ τοῖς τῷ ἀκράτῳ οἴνῳ χρωμένοις· ὢν γὰρ θερμός, ὅταν ὑπερτείνηται δυνάμει, τῇ τοῦ σώματος οἰκείᾳ θερμότητι μι-

et internum calorem educens diminuit, ita ut non æque gelido cœlo possit resistere, et humor externus expeditius corpora subibit, quum laxi jam meatus propter sudorem excitatum sint.

SECTIO III.

QUÆ AD VINI POTUM ET VINOLENTIAM PERTINENT.

1. Quam ob causam, vinum quum calidum sit, vinolenti alsiosi sunt et citissime morbo laterali ceterisque hujusmodi vitiis adfliguntur? An quod multum humoris, quum refrigeratum est, in magnam copiam frigoris abit, ita ut calorem superet naturalem? fit enim caro intrinsecus simile quid ac si vestis frigido humore madefacta esset.

2. Qua de causa non vehementer ebrii, sed leviter vino tincti, delirant potissimum? An quod neque tam parum biberunt ut similes sobriis se habeant, nec adeo multum ut dissolvantur, qualis adfectus evenit iis qui multum hauserint? Adde quod sobrii quidem recte judicant potius, admodum vero temulenti ne tentant quidem judicare; at leviter vino tincti judicant quidem, quoniam non valde ebrii sunt, sed prave judicant, quia sobrii non sunt, atque facile alios quidem contemnunt, ab aliis vero se ipsos contemni existimant.

3. Cur magis crapulam sentiunt qui meracius bibunt, quam qui merum ex toto? Utrum tenuitatis causa vinum temperatum potius loca plura angustioraque subit, merum autem minus, ita ut difficilius educatur temperatum? An quod merum minus bibunt, quoniam non possunt, magisque vomitu rejiciunt? Ad hæc merum cum cetera concoquit, quia calidius est, tum se ipsum; aquosum vero contra.

4. Cur semen genitale ebriosorum magna ex parte infœcundum? An quod temperamentum corporis perquam madefactum est? semen enim non quod humidum, sed quod constat crassumque est, vim obtinet procreandi.

5. Cur ebriosi tremunt, idque eo magis, quo meracius hauserint; vinum tamen calefaciendi vim habet, dum tremor ex frigore præcipue provenit: quapropter qui rigent, maxime tremunt; multis vero jam qui mero tantum cibi gratia utebantur, tremores adeo vehementes evenerunt ut homines prementes (?) rejicerent, et aquam calidam qua lavabantur, non sentirent? An quod tremor oritur a refrigeratione, fit autem hæc, vel ubi calor intus circumsistitur ob externum frigus, ut hiberno tempore, vel naturali calore exstincto, quod sane contrario fieri solet, idque vel ætate, ut senectute, vel alieno caloris excessu, quod iis accidit qui sole, aut igne deuruntur; hoc autem iis etiam obvenit qui mero utuntur: hoc enim quum calidum sit, ubi vires ei ultra modum crescant, utpote calori proprio corporis admixto, exstin-

γνόμενος ἀποσβέννυσιν αὐτό· σβεσθέντος δὲ καὶ ψυχθέντος τοῦ σώματος, συμβαίνει τοὺς τρόμους γίνεσθαι; Ἔστι δὲ καὶ παρὰ πάντα τὰ εἰρημένα ἄλλος τρόπος καταψύξεως· ἀναιρεθείσης δὲ τῆς ὕλης, ᾗ τὸ θερμὸν ἑκάστῳ τρέφεται, συμβαίνει καὶ τὸ θερμὸν φθείρεσθαι. Τοῦτο δ' ἐπὶ μὲν τῶν ἀψύχων ἐπὶ τοῦ λύχνου ἐστὶ φανερόν (τοῦ γὰρ ἐλαίου ἀναλωθέντος συμβαίνει σβέννυσθαι τὸ φῶς), ἐπὶ δὲ τῶν ἐμψύχων τό τε γῆρας ταὐτὸ ποιεῖ τοῦτο καὶ τῶν νόσων αἱ μακραὶ καὶ συντηκτικαί· ἀναιρουμένης γάρ, ἢ λεπτυνομένης τῆς τοῦ θερμοῦ τροφῆς, ἐκλύειν αὐτὸ συμβαίνει· ὑγρῷ μὲν γὰρ τρέφεται τὸ θερμόν, τούτῳ δ' οὐ τῷ τυχόντι, ἀλλὰ λείῳ καὶ πλείονι (πίονι?)· διὸ τοῖς νοσοῦσι τὰς εἰρημένας νόσους καὶ πρεσβυτέροις, φθειρομένου τοῦ τοιούτου καὶ ἀλλοιουμένου, (δριμὺ γὰρ καὶ αὐχμηρὸν ἀντὶ λείου καὶ λιπαροῦ γίνεται) συμβαίνει ἐκλείπειν αὐτό. Σημεῖον δὲ τῶν εἰρημένων ἐστὶν αἱ γινόμεναι βοήθειαι τοῖς μαράνσει τὸν βίον ἐκλείπουσιν· ὅ τι γὰρ ἂν ἐπιστάξῃ τις αὐτοῖς τῶν τροφωδῶν ὑγρῶν, προσαναφέρεσθαι συμβαίνει, τὸ δ' ὀπτικὸν αὐτῶν, ὡς τῇ τοῦ τοιούτου ἐκλείψει γινομένης τῆς διαλύσεως....... Ἔοικε δὲ τοῖς ἀκρατοποτοῦσι τοῦτ' εἶναι αἴτιον· ὧν γὰρ θερμὸς ὁ οἶνος μετὰ τῆς φύσει ὑπαρχούσης θερμότητος μᾶλλον ἀναλίσκει τὰ ἐν τῷ σώματι ὑπάρχοντα ἐφόδια τῷ οἰκείῳ θερμῷ· διὸ συμβαίνει τοὺς μὲν ὑδρωπικοὺς αὐτῶν γίνεσθαι, τοὺς δὲ ῥευματικούς......, τοὺς δ' εἰς τὴν κοιλίαν· τά τε γὰρ λοιπὰ αὐτοῖς ὑγρὰ δριμέα ἐστί, καὶ τὰ εἰσιόντα δι' ἀσθένειαν τοῦ οἰκείου θερμοῦ ἁπαλὰ ὄντα οὐ παχύνεται· ἀσθενὲς δ' ἐστὶ τὸ θερμὸν τῷ τὴν ὕλην εἶναι τοιαύτην ἐν ᾧ ἔτι σώζεται, καθάπερ τὸ καλάμινον πῦρ· καὶ γὰρ τοῦτο διὰ τὴν τῆς ὕλης ἀσθένειαν ἀσθενέστερόν ἐστι τοῦ ξυλίνου.

guit illum: exstincto vero refrigeratoque corpore, accidit ut tremores oriantur? Quin etiam præter omnia prædicta alius exstat refrigerandi modus: sublata enim materia, qua uniuscujusque rei calor sustentatur, evenit ut calor etiam ipse pereat: quod lucerna quidem inter res inanimatas demonstrat, quippe absumpto oleo, evenit ut lumen exstinguatur; senectus vero in animatorum genere hoc idem efficit et morbi diuturni ac colliquefacientes: alimento namque sublato, vel adtenuato caloris, evenit ut calor etiam ipse enervet (deficiat?): calor enim humore alitur, non tamen quolibet humore, sed lævi et copioso (pingui?): quamobrem tum iis qui a prædictis tenentur morbis, tum ætate provectis, exolescente alterascenteque hoc alimento (fit enim pro lævi et pingui acre et siccum), evenit ut calor ipse deficiat. Patent autem prædicta argumento auxiliorum, quæ iis impendimus qui ob marcorem e vita abeunt: quemcumque enim nutrientem humorem iis instillaverit quis, evenit ut sursum feratur, atque visorium eorum, perinde ac si talis rei defectu dissolutio eveniret...... Mero autem deditis hoc causa esse videtur: vinum calidum quum sit, caliditati naturali quam in corpore reperit, additum, efficacius consumit adminicula caloris proprii quæ in corpore præsto sunt: unde fit ut alii quidem ex his aqua intercute adfligantur, alii vero fluxionibus, idque modo quidem...., modo vero ad ventrem: nam et reliqui eorum humores acres manent, et qui extrinsecus advenerunt, teneri quum sint, ob imbecillitatem caloris proprii non incrassantur; calor autem imbecillus est, quoniam materia, in qua adhuc conservatur, eodem modo se habet, quemadmodum igni, quem arundines alunt, evenit: hic enim et propter materiæ imbecillitatem infirmior est quam qui a ligno provenit.

6. Διὰ τί οἱ μεθύοντες, θερμοῦ ὄντος τοῦ οἴνου, δύσριγοί εἰσι καὶ τάχιστα ἁλίσκονται ὑπὸ πλευρίτιδος καὶ τῶν τοιούτων νόσων; Ἢ ὅτι τὸ πολὺ ὑγρὸν ἐὰν ψυχθῇ, πολὺ ψυχρὸν γίνεται, ὥστε κρατεῖν τῆς φυσικῆς θερμότητος, πάντα δὲ τὰ ὑγρότερα θερμότερά ἐστι τὴν φύσιν; Σημεῖον δέ· θερμαίνεται μὲν γὰρ τοῖς ἐκτός, ὑγραίνεται δ' οὔ. Εἰ δ' ἧττόν ἐστι θερμά, καὶ ἀπολείπει δῆλον ὅτι θᾶττον αὐτὰ ἡ θερμότης ἢ ὑγρότης, ὥστε λειφθέντων ψυχρῶν ὑγρῶν, εἰκότως ῥιγοῦσί τε μᾶλλον οἱ μεθύοντες καὶ τὰ τοῦ ῥίγους οἰκεῖα πάσχουσι πάθη.

6. Cur vinolenti, quum vinum calidum sit, alsiosi tamen sunt citissimeque morbo laterali ceterisque hujuscemodi vitiis adfliguntur? An quod multum humidum, quum refrigeratum est, in multum frigidum se convertit, ita ut calorem superet naturalem; quæ autem sunt humidiora, eadem omnia natura calidiora sunt? Argumento est, quod rebus externis incalescunt quidem, non vero humescunt. Verum si minus calida sunt, manifestum est calorem ea quoque prius quam humiditatem relinquere, ita ut humore frigido remanente, non sine causa vinolenti et amplius rigeant et vitia rigoris propria patiantur.

7. Διὰ τί οἱ μὲν παῖδες θερμοὶ ὄντες οὐ φίλοινοί εἰσι, Σκύθαι δὲ καὶ οἱ ἄνδρες οἱ ἀνδρεῖοι θερμοὶ ὄντες φίλοινοι; Ἢ ὅτι οἱ μὲν θερμοὶ ὄντες καὶ ξηροί (ἡ γὰρ τοῦ ἀνδρὸς ἕξις τοιαύτη), οἱ δὲ παῖδες ὑγροὶ καὶ θερμοί, ἡ δὲ φιλοποσία ἐστὶν ἐπιθυμία ὑγροῦ τινος; Ἡ οὖν ὑγρότης κωλύει διψητικοὺς εἶναι τοὺς παῖδας· ἔνδεια γάρ τίς ἐστιν ἡ ἐπιθυμία.

7. Cur pueri quidem, calidi quum sint, vini amantes non sunt, Scythæ vero et viri fortes, qui etiam sunt calidi, vinum amant? An quod viri quidem calidi et sicci sunt: virilis etenim habitus talis est; pueri vero humidi et calidi; vini amor autem humoris cujusdam cupido est? Itaque humiditas vetat quominus pueri siticulosi sint, cupido quippe indigentia quædam est.

8. Διὰ τί μεθύοντες μᾶλλον διαισθανόμεθα τὰ ἁλυκὰ καὶ τὰ μοχθηρὰ ὕδατα, νήφοντες δ' ἧττον; Ἢ ὅτι τὸ οἰκεῖον ὑπὸ τοῦ οἰκείου ἐστὶν ἀπαθές, καὶ τὸ ὁμοίως διακείμενον, τὰ δ' ἐναντία τῶν ἐναντίων ἐστὶν αἰσθητικώτατα; Ὁ μὲν οὖν μεθύων γλυκεῖς ἐν αὐτῷ χυμοὺς ἔχει (τοιοῦτο γὰρ ὁ οἶνος δοκεῖ), καὶ τῶν φαύλων χυμῶν αἰσθητικώτερός ἐστιν, ὁ δὲ νήφων δριμεῖς καὶ ἁλυκούς. Τῆς τροφῆς οὖν πεπεμμένης οἱ περιττωματικοὶ ἐπιπολάζουσιν, οὗτοί τ' οὖν εἰσιν ἀπαθεῖς ὑπὸ τῶν ὁμοίων, καὶ τὸν ἔχοντα ποιοῦσιν.

8. Cur temulenti aquas salsas vitiosasque magis sentimus, sobrii vero minus? An quod familiare a familiari non adficitur, itemque quod eadem versatur conditione; contraria vero a contrariis exquisitissime sentiuntur? Vinolentus itaque dulces intra sese continet humores (nam vini tale quid esse videtur), et vitiosos sapores exquisitius percipit; sobrius autem acres salsosque continet humores. Concocto itaque cibo, excrementitii supernatant: hi ergo a sui similibus non adficiuntur, et hominem iis præditum sensus hujusmodi reddunt expertem.

9. Διὰ τί τοῖς μεθύουσι σφόδρα κύκλῳ πάντα φαίνεται φέρεσθαι, καὶ ἤδη ἁπτομένης τῆς μέθης ἀθρεῖν τὰ πόρρω οὐ δύνανται; διὸ καὶ σημεῖον τῆς μέθης αὐτὸ ποιοῦνταί τινες. Ἢ ὅτι κινεῖται ὑπὸ τῆς θερμότητος τοῦ οἴνου ἡ ὄψις πυκνάκις; Διαφέρει οὖν οὐθὲν τὴν ὄψιν κινεῖν ἢ τὸ ὁρώμενον· ταὐτὸ γὰρ ποιεῖ πρὸς τὸ φαίνεσθαι τὰ εἰρημένα. Ἐπεὶ δὲ καὶ περὶ τὰ πλησίον ὄντα διαψεύδεσθαι τὴν ὄψιν συμβαίνει τῶν μεθυόντων, καὶ περὶ τὰ πόρρω μᾶλλον εἰκὸς ταῦτα πάσχειν· διόπερ ἐκεῖνα μὲν ὅλως οὐχ ὁρᾶται, τὰ δ' ἐγγὺς οὐκ ἐν ᾧ τόπῳ ἐστὶν ὁρᾷ. Κύκλῳ δὲ φαίνεται φέρεσθαι, καὶ οὐκ ἐγγὺς καὶ πόρρω, ὅτι εἰς μὲν τὸ πόρρω διά τε τὴν κύκλῳ κίνησιν ἀδυνατωτέρα ἐστὶ φέρεσθαι ἡ ὄψις· ἅμα γὰρ τἀναντία ποιεῖν οὐ ῥᾴδιον· ἔστι δ' ἡ μὲν πόρρω ἐπιθυμία (ἐπ' ἰθὺ μία?) σφοδρά, ἡ δὲ κύκλῳ ἐν ᾧ τοὔνομα σημαίνει σχήματι. Διά τ' οὖν τὰ εἰρημένα πόρρω οὐ φέρεται, καὶ εἰ φέροιτο τὸ ἐγγὺς καὶ πόρρω, οὐκ ἂν ταῦθ' ὁρῴη· ἀπολείποι γὰρ ἂν ἐν θατέρῳ χρόνῳ αὐτῶν τὸ ὁρώμενον ἐν ταὐτῷ τόπῳ, ἀπολείπων δ' οὐκ ἂν ὁρῴη· κύκλῳ δὲ φέρεται διὰ τὸ ὑπάρχον σχῆμα τῆς ὄψεως· ἔστι γὰρ κῶνος, οὗ ἡ βάσις κύκλος, ἐν ᾧ κινουμένη ὁρᾷ μὲν τοῦτο διὰ τὸ μηδέποτε ἀπολείπειν αὐτό, διέψευσται δὲ τῷ τόπῳ διὰ τὸ μὴ τὴν αὐτὴν ὄψιν ἐπιβάλλειν ἐπ' αὐτό· ταὐτὸν γὰρ ἂν ἦν ἢ τοῦτο πρὸς τὴν ὄψιν κινεῖν, ἢ τὴν ὄψιν πρὸς τοῦτο.

9. Cur graviter a vino detentis omnia circulo ferri videntur, jamque inter initia ebrietatis res remotas cernere nequeunt? quapropter et indicium hinc vinolentiæ nonnulli sumunt. An quia visio frequenter a calore vini movetur? Nihil itaque interest, visione moveatur, an res conspecta: eodem enim redeunt dicta, quoad modum quo res adparent. Quum vero propinquis etiam rebus vinolentorum visionem falli eveniat, vel magis in remotis iis hæc accidant consentaneum est: quamobrem illæ quidem penitus non videntur, propinquas autem non quo sunt positæ, loco videt. Circulo autem ferri, nec prope proculque vicissim agitari videntur, quoniam procul quidem ob circularem movendi rationem visio vix ferri potest: haud enim facile est contraria simul facere; motus autem longe pertendens motus est unicus vehemens recta progrediens; circularis vero figura, quam nomen ipsum declarat, continetur. Propter prædictas igitur causas procul non fertur, et si vicissim prope et procul ferretur, hæc tamen non videret, quippe quæ altero temporis momento rem quæ semper eodem in loco conspici debet, relinqueret, relinquens autem non videret; circulo autem fertur ob figuram visui propriam: est enim conus, cujus basis circulus est: in quo ubi movetur visus, videt quidem rem, qualis est, quia numquam illam deserit; fallitur vero quod ad locum attinet, quia non eumdem intuitum in illam injicit: eodem enim redit, an rem ad visionem, an visionem ad rem moveas.

10. Διὰ τί τοῖς μεθύουσιν ἐνίοτε πολλὰ φαίνεται τὸ ἓν ὁρῶσιν; Ἢ καθάπερ εἴρηται, κινουμένης τῆς ὄψεως συμβαίνει μηθένα χρόνον τὴν αὐτὴν ἐπὶ ταὐτοῦ ἠρεμεῖν ὄψιν, τὸ δ' ἐν ταὐτῷ χρόνῳ ἑτέρως ὁρώμενον ὀψιαίτερον εἶναι δοκεῖ; ἀφῇ γὰρ ὄψεως ὁρᾶται τὸ ὁρώμενον, ἅπτεσθαι δὲ πλείοσιν ἅμα τοῦ αὐτοῦ ἀδύνατον. Ὄντος δ' ἀναισθήτου τοῦ μεταξὺ χρόνου, ἐν ᾧ ἡ ὄψις ἥπτετο καὶ παρήλλαττε τὸ ὁρώμενον, εἷς εἶναι δοκεῖ χρόνος ἐν ᾧ θ' ἧπται καὶ παρήλλαχεν· ὥστ' ἐν τῷ αὐτῷ χρόνῳ ταὐτοῦ πλειόνων ἁπτομένων ὄψεων, πλείω δοκεῖ εἶναι τὰ ὁρώμενα, διὰ τὸ ταῦτα κατὰ τὸν αὐτὸν τρόπον ἀδύνατον εἶναι ἅπτεσθαι.

10. Cur vinolentis res una plures interdum esse videtur inspicientibus? An, ut dictum est, visio ubi movetur, evenit ut nullo tempore idem intuitus in eadem requiescat; quod autem eodem tempore varie cernitur, id serius occurrisse videtur? quod enim cernitur, visionis adtactu cernitur: fieri autem non potest ut idem pluribus simul tangatur. Quum vero sensu percipi nequeat tempus interpositum inter illud quo intuitus tangebat et quo res conspecta locum mutabat, tempus unum esse videtur, quo tetigit et quo mutavit, ita ut, quum plures intuitus rem eamdem tangant eodem tempore, plures videntur res conspectæ, quoniam fieri non potest ut hæ modo eodem tangaut.

11. Διὰ τί οἱ μεθύοντες ἀφροδισιάζειν ἀδύνατοί εἰσιν; Ἢ ὅτι δεῖ τινα τόπον ἐκθερμανθῆναι μᾶλλον τοῦ ἄλλου σώματος, τοῦτο δὲ ποιεῖν διὰ τὸ πλῆθος τῆς ἐν ὅλῳ τῷ σώματι θερμασίας ἀδυνατοῦσιν; ἀποσβέννυται γὰρ τὸ ὑπὸ τῆς κινήσεως γινόμενον θερμὸν ὑπὸ τοῦ περιέχοντος μᾶλλον, ὅτι πολύ ἐστιν ἐν αὐτοῖς τὸ ὑγρὸν καὶ ἄπεπτον. Ἔτι δὲ τὸ σπέρμα ἐκ τροφῆς, τροφὴ δὲ πᾶσα

11. Cur vinolenti concumbere nequeunt? An quoniam locus aliquis magis caleat quam reliquum corpus oportet: quod facere non possunt ob nimiam in toto corpore caloris copiam? exstinguitur enim calor a motu proveniens ab ambienti potius, quoniam multum in his inest et humidi et crudi. Ad hæc semen a cibo proficiscitur, cibus

πέττεται· ἧς πληρωθέντες ὁρμητικοί εἰσι πρὸς τὰ ἀφροδίσια· διὸ καὶ κελεύουσί τινες πρὸς τὴν πρᾶξιν τὴν τοιαύτην ἀριστᾶν μὲν πολύ, δειπνεῖν δ' ὀλίγον, ἵνα ᾖ αὐτοῖς ἐλάττω τὰ ἄπεπτα τῶν πεπεμμένων.

12. Διὰ τί ὁ γλυκὺς καὶ ὁ ἄκρατος καὶ ὁ κυκεὼν μεταξὺ διαπινόμενοι ἐν τοῖς πότοις νήφειν ποιοῦσιν; καὶ διὰ τί ἧττον μεθύσκονται ταῖς μεγάλαις κωθωνιζόμενοι; Ἢ πάντων τὸ αὐτὸ αἴτιόν ἐστιν, ἡ παράκρουσις τοῦ ἐπιπολῆς θερμοῦ; τὸ γὰρ μεθύειν ἐστίν, ὅταν ᾖ τὸ θερμὸν ἐν τοῖς περὶ τὴν κεφαλὴν τόποις.

13. Διὰ τί τοῦ γλυκέος ἐπιπολαστικοῦ ὄντος, ἐάν τις μεθύων ἤδη ἐπιπίῃ γλυκύ, καταπέττεται ὁ ἐνυπάρχων οἶνος καὶ ἧττον ἐνοχλεῖ; Ἢ ὅτι τὸ μὲν γλυκὺ λεαντικόν τ' ἐστὶ καὶ γλίσχρον (ἐμφράττει οὖν τοὺς πόρους), τὸ δ' αὐστηρὸν τραχυντικόν, καὶ τὸ μὲν εὐπετῆ ποιεῖ τῷ θερμῷ τὴν ἀναφοράν, ὁ δὲ γλυκὺς στέγει αὐτό, τοὺς πόρους ἐμφράττων; ὅτι δὲ τῶν ἄνω θερμανθέντων ἐστὶν ἡ μέθη, εἴρηται. Ἔτι δ' ὁ μὲν γλυκὺς ἄνοσμος, ὁ δ' αὐστηρὸς οὔ· ὀσμὴ δὲ πᾶσα βαρύνει κεφαλήν.

14. Διὰ τί ἀπὸ τοῦ κεκραμένου μέν, ἀκρατεστέρου δέ, ἕωθεν μᾶλλον πονοῦσι τὴν κεφαλὴν ἢ ἀπὸ τοῦ ἀκράτου; Ἢ ὅτι ὁ μὲν ἄκρατος παχυμερὴς ὢν εἰς τοὺς περὶ τὴν κεφαλὴν πόρους στενοὺς ὄντας αὐτὸς μὲν οὐκ εἰσπίπτει, ἡ δὲ δύναμις αὐτοῦ, ἡ ὀσμὴ καὶ θερμότης· ὁ δὲ κεκραμένος μιχθεὶς λεπτῷ τῷ ὕδατι αὐτὸς εἰσδύεται, ἔχων δὲ σῶμα καὶ τῆς δυνάμεως πολὺ τῆς τοῦ ἀκράτου, δυσπεπτότερός ἐστιν· τά τε γὰρ ὑγρὰ πάντων εὐπεπτότατα, καὶ τὰ σώματα τῶν ἐν αὐτοῖς δυνάμεων.

15. Διὰ τί μᾶλλον δύνανται πιεῖν εἰς μέθην οἱ ἀγύμναστοι τῶν γεγυμνασμένων, καὶ ῥᾶον ἀπαλλάττουσιν; Ἢ ὅτι οἱ ἔχοντες περίττωμα καὶ ὑγρὸν ἐν αὐτοῖς οὐρητικοὶ γίνονται· ὅπερ ποιεῖ δύνασθαι πίνειν καὶ ὕστερον κούφως ἔχειν διὰ τὸ μὴ ἐμμένειν πολὺ ὑγρὸν οἰνῶδες; Οἱ μὲν οὖν ἀγύμναστοι ὑγροὶ καὶ περιττωματικοί εἰσιν, οἱ δὲ γεγυμνασμένοι ξηροί, ὥστ' εἰς τὸ σῶμα τούτοις ἡ ὑγρότης ἡ οἰνηρὰ ἀφικνεῖται. Εὐθύς τ' οὖν ἀντισπᾷ τῇ οὐρήσει ἡ φορὰ αὕτη, καὶ ὕστερον ἐμμένον τὸ ὑγρὸν τοῦτο ἐν τῷ σώματι βάρος ποιεῖ.

16. Διὰ τί ὁ οἶνος καὶ τετυφωμένους ποιεῖ καὶ μανικούς; ἐναντία γὰρ ἡ διάθεσις· ὁ μὲν γὰρ μᾶλλον ἤδη ἐν κινήσει, ὁ δ' ἧττον. Ἢ ὥσπερ Χαιρήμων εἶπεν·

τῶν χρωμένων γὰρ τοῖς τρόποις κεράννυται;

Τἀναντία οὖν ποιεῖ οὐ ταὐτά, ἀλλὰ τὰ μὴ ὁμοίως ἔχοντα, ὥσπερ καὶ τὸ πῦρ τὰ μὲν ξηραίνει, τὰ δ' ὑγραίνει, ἀλλ' οὐ ταὐτά, καὶ τήκει τὸν κρύσταλλον καὶ πήγνυσι τοὺς ἅλας. Καὶ ὁ οἶνος (ὑγρὸς γάρ ἐστι τὴν φύσιν) τοὺς μὲν βραδυτέρους ἐπιτείνει καὶ θάττους ποιεῖ, τοὺς δὲ θάττους ἐκλύει· διὸ ἔνιοι τῶν μελαγχολικῶν τῇ φύσει ἐν ταῖς κραιπάλαις ἐκλελυμένοι γί-

autem omnis concoquitur: quo repleti in venerem proclives sunt: unde et hujus muneris gratia nonnulli prandere quidem large, cœnare vero parce præcipiunt, ut cruda insint iis quam concocta pauciora.

12. Cur, si quis vinum dulce, aut merum, aut cyceonem media compotatione hauserit, mentis compos redditur? et cur minus inebriantur qui magnis poculis comessantur? An omnium eadem ratio est, quod superficialis calor de sede sua decutitur? vinolentia enim eo constat ut calor loca circa caput occupet.

13. Quam ob causam, quum vinum dulce superiora petere solet, si quis jam temulentus dulce superbiberit, haustum vinum concoquitur minusque infestat? An quia vinum dulce quidem lævigare valet ac lentum est (itaque meatus obstruit), austerum contra exasperat, facilemque adscensum calori hoc quidem præstat, dulce autem meatus obstruens calorem protegit? vinolentiam enim parte concalefacta superna oriri, dictum jam est. Addo etiam quod vinum dulce quidem inodorum, austerum vero odorum est; odor autem omnis caput gravat.

14. Cur a vino temperato, meraciori tamen, capite mane magis dolemus quam a mero? An merum, quia crassis constat particulis, capitis meatus, utpote angustos, ipsum quidem non intrat, sed facultas ejus, id est odor et calor; temperatum contra, utpote tenui aquæ admixtum, ipsum subit; quum tamen meri corpulentiam facultatisque magnam partem retineat, concoctu difficilius est: nam et humida omnium difficillime concoquuntur, et corpora difficilius quam facultates quas continent.

15. Cur inexercitati magis quam exercitati ad vinolentiam usque potare possunt et inde facilius sese expediunt? An quoniam qui excrementa humoresque in se continent, ad mingendum fiunt proclives: quod facit ut potare possint ac levius postmodum sese habere, quoniam non multum vinosi humoris remanet? Atqui inexercitati humidi sunt excrementisque redundant; exercitati contra sicci, ita ut vinosus humor ad corpus eorum deveniat. Statim igitur hic vini motus urinam retractat, et post humor hic in corpore remanens gravitatem creat.

16. Cur vinum cum stupidos, tum insanos facit? contrarius enim adfectus est, quandoquidem hi jam magis, illi vero minus moventur. An, ut Chæremo ait, vinum pro moribus utentium temperatur? Contraria igitur efficit non in easdem res, sed in eas quæ non eodem modo sese habent, ut ignis quoque alia quidem exsiccat, alia vero humefacit, sed non eadem, et glaciem quidem liquefacit, salem vero indurat. Vinum quoque, ut quod suapte natura humidum est, homines tardiores quidem intendit redditque celeriores, contra celeriores enervat: unde nonnulli eorum qui naturaliter atra bile abundant, penitus enervantur in

νονται πάμπαν· ὥσπερ γὰρ τὸ λουτρὸν τοὺς μὲν συνδεδεμένους τὸ σῶμα καὶ σκληροὺς εὐκινήτους ποιεῖ, τοὺς δ' εὐκινήτους καὶ ὑγροὺς ἐκλύει, οὕτως ὁ οἶνος, ὥσπερ λούων τὰ ἐντός, ἀπεργάζεται τοῦτο.

17. Διὰ τί ἡ κράμβη παύει τὴν κραιπάλην; Ἢ ὅτι τὸν μὲν χυλὸν γλυκὺν καὶ ῥυπτικὸν ἔχει (διὸ καὶ κλύζουσιν αὐτῷ τὴν κοιλίαν οἱ ἰατροί), αὐτὴ δ' ἐστὶ ψυχρά; Σημεῖον δέ· πρὸς γὰρ τὰς σφοδρὰς διαρροίας χρῶνται αὐτῇ οἱ ἰατροί, ἕψοντες σφόδρα καὶ ἀποξυλίζοντες καὶ ψύχοντες. Συμβαίνει δὴ τῶν κραιπαλώντων τὸν μὲν χυλὸν αὐτῆς εἰς τὴν κοιλίαν κατασπᾶν τὰ ἐν αὐτοῖς ὑγρά, οἰνηρὰ καὶ ἄπεπτα ὄντα, αὐτὴν δ' ὑπολειπομένην ἐν τῇ ἄνω κοιλίᾳ ψύχειν τὸ σῶμα, ψυχομένου δ' ὑγρὰ λεπτὰ συμβαίνει εἰς τὴν κύστιν φέρεσθαι· ὥστε κατ' ἀμφότερα, τῶν ὑγρῶν ἐκκρινομένων διὰ τοῦ σώματος καὶ καταψυχομένου, εἰκότως ἀκραίπαλοι γίνονται· ὁ γὰρ οἶνος ὑγρὸς καὶ θερμός ἐστιν. Ἔτι δὲ συμβαίνει τῶν ὑγρῶν κατασπωμένων καὶ ἐκκρινομένων κάτω καὶ πνεῦμα ἐπάγεσθαι αὐτοῖς, ὅπερ μόνον ἀπὸ τοῦ οἴνου εἰς τὴν κεφαλὴν φερόμενον τὸν κάρον καὶ τὴν κραιπάλην ποιεῖ· κάτω δ' ὁρμήσαντος καὶ καταψυχομένου τοῦ σώματος διὰ τὰ εἰρημένα, λύεται ὁ τῆς κραιπάλης πόνος· ἔστι γὰρ ἡ κραιπάλη ζέσις τις καὶ φλεγμασία λήγουσα. Λυπεῖ δὲ μᾶλλον τῆς μέθης, ὅτι ἐκείνη μὲν ἐξίστησιν, ἡ δὲ κραιπάλη ἐν αὐτοῖς οὖσι τὸν πόνον παρέχει. Καθάπερ οὖν καὶ ὑπὸ τῶν πυρετῶν οἱ λαμβανόμενοι παίζουσι μᾶλλον ἢ ἀλγοῦσι, παρ' αὐτοῖς δὲ γενόμενοι οἱ αὐτοί, κουφισθέντες τοῦ πάθους, ἀλγοῦσιν· ταὐτὰ γὰρ καὶ ἐπὶ τῆς κραιπάλης καὶ ἐπὶ τῆς μέθης συμβαίνει.

18. Διὰ τί μᾶλλον ἐμετιᾶν ποιεῖ ὁ ὑδαρὴς οἶνος ἢ τὸ ὕδωρ καὶ ὁ ἄκρατος; Ἢ ὅτι ἐμεῖν μὲν μάλιστα ποιεῖ τὰ ἐπιπολαστικὰ καὶ ὅσα ἀηδῆ ἐστιν· ἔστι δ' ὁ μὲν οἶνος καταχρουστικός, τὸ δ' ὕδωρ λεπτὸν καὶ οὐκ ἀηδές; Διὰ μὲν οὖν τὸ λεπτὸν [καὶ οὐκ ἀηδὲς] εἶναι κάτω διέρχεται ταχύ, διὰ δὲ τὸ μὴ ἀηδὲς οὐ ποιεῖ καρδιώττειν. Ὁ δὲ κεκραμένος λίαν οὐκ ἔστι λεπτὸς ὥστε διαρρεῖν ταχύ, διὰ δὲ τὸ μικρὸν ἔχειν οἴνου ἀηδής ἐστιν· ταράττει γὰρ τὴν αἴσθησιν τῷ πλείους ἐν αὐτῇ τὰς κινήσεις ἐμποιεῖν, τήν τ' ἀπὸ τοῦ οἴνου καὶ τοῦ ὕδατος· αἰσθηταὶ γὰρ ἄμφω γίνονται. Ὁ δ' εὔκρατος τὴν μὲν τοῦ ὕδατος αἴσθησιν ἀφανίζει, οἴνου δὲ μαλακοῦ ποιεῖ αἴσθησιν· διὸ ἡδέως πίνεται. Ἀηδὴς δ' ὢν ὁ ὑδαρὴς οἶνος ἐπιπολαστικός ἐστιν· τὸ δὲ τοιοῦτον ἐμετικόν ἐστιν.

19. Διὰ τί μεθύοντες μᾶλλον διαισθανόμεθα τὰ ἁλυκὰ καὶ τὰ μοχθηρὰ ὕδατα, νήφοντες δ' ἧττον; Ἢ ὅτι τὰ λυπηρὰ μᾶλλον δῆλα τοῖς μὴ ἐπιθυμοῦσι, τοὺς δ' ἐπιθυμοῦντας διαλανθάνει; Ὁ μὲν οὖν ἡδέως ἔχων ὁμοίως τῷ ἐπιθυμοῦντι ἔχει, ὁ δὲ νήφων οὕτως ἔχει· ὁ δὲ μεθύων πλήρης.

crapulis: et enim balneum corpore constrictos durosque agiles reddit, mobiles vero et humidos enervat, sic vinum, quasi interna lavans, id efficit.

17. Cur brassica sedat crapulam? An quod succum quidem dulcem detergentemque obtinet (unde medici eam quoque alvo infundunt), frigida autem ipsa est? Argumento autem est, quod ad alvi vehementes dejectiones medici ea utuntur, perquam excocta demptis partibus lignosis (dempto succo?) et refrigerata? Fit igitur detentis a crapula ut ejus succus quidem ad ventrem detrahat humores vinosos crudosque quos continent, dum ipsa in superiori ventre remanens corpus refrigeret: quo refrigerato, fit ut tenues humores ad vesicam ferantur, ita ut utroque modo, cum quia humores per corpus excernuntur, tum quia id ipsum refrigeratur, merito liberentur a crapula; vinum enim humidum atque calidum est. Evenit ad hæc ut, quum humores deorsum trahuntur atque excernuntur, flatum etiam secum deducant: qui quum unicum sit vini elementum quod in caput se efferat, soporem creat et crapulam; sin autem deorsum se vertit corpusque ob causas prædictas refrigeratur, crapulæ molestia tollitur: est enim crapula fervor quidam et desinens inflammatio. Conflictat autem magis quam temulentia, quod mentem quidem hæc alienat, crapula autem sui compotibus molestiam adfert. Quemadmodum igitur febre adfecti ludunt potius quam dolent, sui vero compotes facti iidem adfectu levati dolent: eadem enim in crapula quoque et in temulentia eveniunt.

18. Cur vinum aquosum magis vomiturire facit quam aqua, aut merum? An quod ea maxime vomitum movent, quæ innatare solita, quæque insuavia sunt, vinum autem reprimendi vim obtinet, dum aqua tenuis, nec insuavis est? Quod igitur tenuis [nec insuavis] est, cito transit; quod vero non insuavis, os ventris non vexat. Vinum autem nimis temperatum nec ita tenue est ut perfluere possit celeriter, insuave tamen, quod parum obtinet vini: sensum enim conturbat, quia plures motus in eo excitat, scilicet quem vinum, quemque aqua efficiunt: ambo enim sensui manifestantur. Quod autem fuerit bene temperatum, aquæ quidem sensum tollit, sed vini mollis sensum efficit: ex quo suaviter bibitur. Vinum tandem aquosum, insuave quum sit, superiora petere solet; quod autem tale est, vomitum ciet.

19. Cur vinolenti aquas salsas et vitiosas melius sentimus, sobrii vero minus? An quoniam molesta magis manifesta sunt iis qui non cupiunt, latent vero cupientes? Itaque qui læte se habet, is cupienti similis est; sobrius autem ita se habet; vinolentus contra repletus est.

20. Διὰ τί τοῖς μεθύουσι σφόδρα κύκλῳ πάντα φαίνεται φέρεσθαι, καὶ ἤδη ἁπτομένης μᾶλλον τῆς μέθης ἀριθμεῖν τὰ πόρρω οὐ δύνανται; διὸ καὶ σημεῖον τῆς μέθης ποιοῦνται αὐτό τινες. Ἢ ὅτι κινεῖται ὑπὸ τῆς θερμότητος τοῦ οἴνου ἡ ὄψις πυκνάκις; Ὥσπερ οὖν ὅταν ὑποθῇ τις ὑπὸ τὸν ὀφθαλμόν, δύο φαίνεται, οὕτω καὶ τοῖς μεθύουσιν· οὐδὲν γὰρ διαφέρει, ἐὰν μὲν ὑποθῇ, κινῇ δὲ τὴν ὄψιν, οὐδ' ἐὰν ἔξωθεν, ἢ ἔσωθεν· ἀμφοτέρως γὰρ τὸ αὐτὸ πάσχει ἡ ὄψις, ὥστ' οὐ δόξει μένειν τὸ ὁρώμενον, καὶ τὸ πόρρωθεν ἔτι μᾶλλον· ἔτι γὰρ ἧττον κρατεῖ ἀποτεινομένης τῆς ὄψεως, καὶ πλέον τὸ διάστημα ἐπὶ τῷ ἄκρῳ ποιεῖ ἡ ἐγγὺς αὕτη κίνησις. Ἂν δὲ σφόδρα κινῆται καὶ ὁμαλῶς ἄνω καὶ κάτω, ἧττον κρατήσει τοῦ πόρρω, πάντα δ' ἀποτεινόμενα κύκλῳ φέρεται, οἷον οἱ ἱστοὶ καὶ τὰ καταρτώμενα. Καὶ ἡ ὄψις οὖν δι' ἀσθένειαν ταὐτὸ πάσχει ὥσπερ ἂν εἰ πόρρω ἐφέρετο· διαφέρει δ' οὐθὲν τὴν ὄψιν κινεῖν, ἢ τὸ ὁρώμενον· ταὐτὸ γὰρ ποιεῖ πρὸς τὸ φαίνεσθαι.

21. Διὰ τί, ὅταν ἀθρόως πίνωσι, ξηρότεραι αἱ κοιλίαι γίνονται, ὅτι δεῖ (ὅτ' ἔδει?) ὑγραίνεσθαι μᾶλλον ὑπὸ τοῦ πλείονος; Ἢ ὅτι τοῦ μὲν πολλοῦ καὶ ἀθρόου οὐ κρατεῖ ἡ κοιλία, ἀλλ' εἰς τὸν αὑτοῦ ἔρχεται τόπον ἀπαθές, ἔστι δ' ὑγροῦ τόπος ἀπέπτου ἡ κύστις· τοῦ δ' ὀλίγου κρατεῖ καὶ πέττει, ὥστε μένον ὑγραίνει;

22. Διὰ τί μᾶλλον κραιπαλῶσιν οἱ εὔκρατον πίνοντες ἢ οἱ ἄκρατον; Ἢ διὰ τὴν λεπτότητα εἰς πλείους τόπους ὁ κεκραμένος εἰσέρχεται, καθάπερ ἐν τοῖς ἱματίοις, καὶ ἔστι δυσεξαγωγότερος· τὸ δ' ὕδωρ λεπτομερέστερον μέν, ἀλλ' εὐέξοδον; Ἢ διότι ἔλαττον πίνουσιν ἄκρατον διὰ τὸ μὴ δύνασθαι, καὶ μᾶλλον ἀπεμοῦσιν; Ἔτι δὲ συμπέττει τὰ λοιπά· ταὐτὸ δ' ἐστὶ πρόβλημα.

23. Διὰ τί ὑπὸ τοῦ ἀκράτου ἀποθνήσκουσιν, ἐάν τις προϊσχνάνας πολὺ πίῃ, καὶ μὴ προϊσχνάναντες δὲ πολλοὶ τῶν φιλοπότων ἀθρόον πολὺ πίνοντες ξηροὶ γίνονται; δοκεῖ γὰρ ὅ τ' οἶνος τῶν θερμῶν εἶναι τὴν φύσιν καὶ τὸ ζῆν, τὸ δ' ἀποθνήσκειν κατάψυξις. Ἢ ὥσπερ καὶ ἀπὸ τοῦ κωνείου, σβεννυμένου κατὰ μικρὸν τοῦ θερμοῦ τοῦ οἰκείου, ἀλλὰ τρόπον ἕτερον; τὸ μὲν γὰρ τῇ ψυχρότητι πήγνυσι τὸ ὑγρὸν καὶ θερμόν, ὁ δ' οἶνος τῇ θερμότητι τῇ αὑτοῦ μαραίνει τὴν φυσικὴν θερμότητα. Ὥσπερ οὖν ὑπὸ τοῦ πολλοῦ πυρὸς καὶ ἡλίου τὸ ὀλίγον πῦρ ἀποσβέννυται, οὕτω καὶ ἡ ἐν τοῖς σώμασι θερμότης ὑπὸ τῆς ἐν τῷ οἴνῳ, ἐὰν ὑπερβάλῃ

24. Διὰ τί οἱ μεθύοντες ἀριδάκρυοι μᾶλλον; Ἢ ὅτι θερμοὶ καὶ ὑγροὶ γίνονται; Ἀκρατεῖς οὖν εἰσιν, ὥσθ' ὑπὸ μικρῶν κινεῖσθαι.

25. Διὰ τί ἧττον μεθύσκονται ταῖς μεγάλαις κωθωνιζόμενοι; πάντων γὰρ ταὐτὸ αἴτιον ἡ κατάκρουσις, τουτέστιν ἐπιπολῆς· τὸ μὲν γὰρ μεθύειν ἐν τοῖς περὶ κεφαλὴν τόποις. [Διὰ τί τοῖς μεθύουσιν οὐκ ἐγγίνεται ὕπνος;] Ἢ ὅτι δεῖ πρὸς τοὺς ὕπνους ὑγρότητα ἐνυπάρχειν θερμήν; αὕτη γὰρ εὔπεπτος· ἂν δὲ μὴ ἐνῇ ὑγρότης, [ἢ?] ὀλίγη, ἢ δύσπεπτος, οὐ γίνεται ὕπνος· διὸ ἐν τοῖς κόποις καὶ μετὰ τὰ σιτία καὶ τοὺς πότους ὑπνωτικώτατοι γίνονται ὑπὸ τῆς θέρμης· τοῖς δὲ μελαγχολικοῖς καὶ τοῖς μεγάλας πυρίας ..... ἀγρυπνία, τοῖς μὲν ὅτι κατέψυκται τὸ ὑγρόν, τοῖς δ' ὅτι οὐκ ἔστιν, ἢ ὀλίγον. Φανερὸν οὖν ὅτι εἰς ταῦτα βλεπτέον καθ' ἕτερον (ἑκάτ.?) τῶν παθῶν.

20. Cur admodum vinolentis res omnes circulo ferri videntur, et quum jam amplius vinolentia tangit, nequeunt quæ procul posita sunt, numerare? quocirca et nonnulli hinc vinolentiæ indicium trahunt. An quia visio frequenter a vini calore movetur? Quemadmodum igitur si (digitum?) oculo subposueris, res duæ adesse videntur, sic etiam vinolentis adcidit illud : nihil enim interest, utrum subponas, an moveas visum, nec extrinsecus, an intrinsecus : eodem enim modo utraque ratione adficitur visio, ita ut res conspecta non constare videatur, atque etiam magis quæ procul abest : nam adhuc minus superior evadit visio, ubi in longinquum protenditur, et propinquus ille motus amplius ad extremum efficit spatium. Si vero æquabiliter, sed vehementer sursum deorsumque moveatur, re remota minus superior evadet : res enim in longinquum protensæ circulo feruntur omnes, velut navium mali (*al.* sagittæ) et res adpensæ. Igitur visus quoque suam ob imbecillitatem idem hoc patitur ac si in longinquum protendatur; nihil autem interest, visum, an rem conspectam moveas : idem enim efficit, quod ad speciem adtinet.

21. Quam ob causam, si raptim bibitur, ventres sicciores fiunt, quum tamen ab humore copiosiori plus humectari deberet? An quod humore multo ac subito ingruenti venter superior non evadit, sed locum petit suum nihil passus; locus autem crudi humoris vesica est; exiguum vero vincit et concoquit, ita ut restans ventrem humectet?

22. Cur magis crapulam sentiunt qui temperatum bibunt quam qui merum? An propter tenuitatem suam in plures locos temperatum penetrat, quod idem in vestibus contingit, difficiliusque educi potest; aqua vero partibus quidem constat tenuioribus, sed facile educitur? An quia meri minus bibunt, propterea quod non possunt, ac magis evomunt? Præterea merum reliqua concoquit; eadem autem quæstio est.

23. Quamobrem qui ante extenuatus merum inde multum hauserit, morte obcumbit, imo multi bibaces, etiamsi se non extenuarint antea, multum tamen merum raptim bibentes, sicci efficiuntur? videtur enim cum vinum, tum vita ad res natura calidas pertinere; mors vero refrigeratio est. An ut ex cicuta, dum proprius calor paulatim exstinguitur, modo tamen diverso? cicuta enim frigiditate sua humidum calidumque congelat; vinum autem sua caliditate calorem marcere facit naturalem. Quomodo igitur ab igne multo, aut sole, exiguus ignis exstinguitur, sic et internus corporum calor a vini calore, si nimius fuerit.

24. Cur vinolenti sunt ad lacrymandum propensiores? An quia calidi et humidi fiunt? Invalidi itaque sunt, ita ut ab exilibus causis moveantur.

25. Cur minus inebriantur qui magnis poculis comessantur? omnium enim eadem causa est, id est decussio, a superficie nimirum : vinolentia enim in locis circa caput consistit. [Cur vinolentis somnus non supervenit?] An quod ad somnum creandum calidum adesse humorem opus est? hic enim facile concoqui potest; quodsi vero nullus exiguusve humor, aut concoctu difficilis insit, somnus non oritur : qua de causa in lassitudine, postve cibum, vel potationes somnolentissimi fimus ob calorem; quos vero atra bilis vexat, et qui vehementibus utuntur æstuariis (?), insomnia tenet, illos quidem, quia refrigeratus humor est, hos vero, quia nullus, aut parcus adest. Ergo hæc consideranda esse in utroque adfectu palam est.

26. Διὰ τί οἱ οἰνόφλυγες τρέμουσι, καὶ μᾶλλον ὅσῳ ἂν ἀκρατοποτῶσιν; ἔστι δ' ὁ μὲν οἶνος θερμαντικός, ὁ δὲ τρόμος γίνεται μάλιστα ὑπὸ ψυχροῦ (διὸ οἱ ῥιγῶντες μάλιστα τρέμουσιν)· πολλοῖς δ' ἤδη χρωμένοις μόνῳ ἀκράτῳ τροφῆς χάριν τρόμοι τ' ἰσχυροὶ συνέβησαν, ὥστ' ἀπορρίπτειν τοὺς θλίβοντας, καὶ τῷ θερμῷ ὕδατι λουόμενοι ἀναισθήτως εἶχον· ἕτεροι δὲ τοῦτον τὸν τρόπον διαιτώμενοι καὶ τρίψεσι χρώμενοι καὶ τροφῇ κρέασι, πρὸς ἀποπληκτικὰς ἀρρωστίας ἤλασαν· οἷς τρόμοι μὲν διὰ τὴν ἀκινησίαν ἧττον ἐνέπιπτον, πόνος δ' ἰσχυρὸς καὶ τὸ μὴ δύνασθαι ἡσυχάζειν. Ἔτι τοῦ μὲν τρόμου αἰτία ἡ ψυχρότης· φαίνονται γάρ, ὥσπερ εἴρηται, οἵ τε ῥιγῶντες τοῦτο πάσχοντες, καὶ οἱ σφόδρα γέροντες· ἀμφοτέρων δὲ τούτων τῶν μὲν τὸ πάθος ψυχρόν, τῶν δ' ἡ ἡλικία· ὁ δ' οἶνος θερμαντικώτατος, ὥσθ' ὑπεναντίον ἄν τι συμβαίνοι. Ἢ οὐθὲν κωλύει γίνεσθαι ταὐτὸ ὑπ' ἐναντίων, μὴ ὡσαύτως δὲ ποιούντων, οἷον καὶ ὑπὸ τῶν πάγων ἀποκάεται καὶ ὑπὸ θερμοῦ, ὅταν ὁ πάγος ἀθρόον ποιήσῃ τὸ θερμόν, ὥστ' ἔστι μὲν ὡς ὑπ' ἐναντίων τὸ πάθος τὸ αὐτὸ συμβαίνει, ἔστι δ' ὡς ὑπὸ τοῦ αὐτοῦ τὸ αὐτό; ὁ δὲ τρόμος γίνεται μὲν ὑπ' ἐνδείας θερμοῦ, οὐ παντός, ἀλλὰ τοῦ οἰκείου· φθείρεται δὲ τὸ θερμὸν ἢ μαράνσει, ἢ σβέσει. σβέσει μὲν ὑπὸ τῶν ἐναντίων, ὑπὸ ψυχροῦ καὶ ὑγροῦ, μαράνσει δ' ἐνδείᾳ τροφῆς, οἷον οἱ λύχνοι, ὅταν μὴ ἔχωσιν ὑπέκκαυμα, μηδ' ἔλαιον· ἢ ὑπὸ θερμοῦ ἀλλοτρίου, οἷον τὸ πῦρ ἐν τῷ ἡλίῳ, καὶ οἱ λύχνοι παρὰ τῷ πυρί. Οἱ μὲν οὖν ῥιγῶντες ὑπὸ ψυχροῦ σβεννυμένου τοῦ θερμοῦ τρέμουσιν· διὸ καὶ τοῖς προσχεομένοις τὸ θερμὸν αἱ φρῖκαι γίνονται· ἐγκατακλειόμενον γὰρ τὸ ψυχρὸν εἴσω καὶ ἀντιπεριιστάμενον ἵστησι τὰς τρίχας· καὶ τῷ ἀρχομένῳ πυρέττειν τὸ γινόμενον ῥῖγος δι' ὁμοίαν αἰτίαν γίνεται· ἐν δὲ τῷ γήρᾳ τὸ θερμὸν μαραίνεται τῆς τροφῆς ὑπολειπούσης· τροφὴ μὲν γὰρ ὑγρὸν τῷ θερμῷ, τὸ δὲ γῆρας ψυχρόν. Οἱ δ' οἰνόφλυγες μαραινομένης μὲν τῆς οἰκείας θερμότητος τρέμουσι, κἂν εἴ τινες ἄλλοι τοῦτο πάσχουσι διὰ τὸν οἶνον, οὐ τὸν αὐτὸν δὲ τρόπον τοῖς διὰ γῆρας, ἀλλ' ἔτι τρίτος ἦν τρόπος τῆς τοῦ θερμοῦ φθορᾶς· ὅταν γὰρ ὑπερβάλλοντι χρῶνται ἐν τῷ σώματι, πολλὴ οὖσα ἡ θερμότης ἢ ἀποσβέννυσιν, ἢ ἀσθενῆ ποιεῖ τὴν οἰκείαν θερμότητα ᾗ ἰσχύομεν· ἔστι γὰρ ὅταν μὴ κρατῇ τὸ κινοῦν τοῦ κινουμένου, οἷον ὅταν ξύλον μακρὸν καὶ μέγα μὴ εὐκρατῶς ἔχῃ τις, τὸ ἄκρον τρέμει· γίνεται δὲ τοῦτο ἢ τῷ τὸ ἐχόμενον μεῖζον εἶναι, ἢ τῷ τὸ κινοῦν ἔλαττον·

26. Cur ebriosi tremunt, et eo magis quo meracius hauserint? vinum tamen calefaciendi vim habet, dum tremor a frigore maxime provenit : quapropter qui rigent, præcipue tremunt; imo multis qui mero solo alimenti gratia utebantur, tremores jam adeo vehementes evenerunt ut homines prementes (?) rejicerent, et aqua calida loti nihil sentirent; alii vero qui eodem modo victus rationem instituebant, frictionibusque et carnibus pro cibo utebantur, in morbos adtonitos devecti sunt : quos tremor quidem minus ob immobilitatem invadebat, sed vehemens dolor et inquietudo. Præterea tremoris quidem causa frigiditas est : nam, ut supra dictum est, et qui rigent, eo adfici videmus et qui admodum senuere : quorum utrorumque illi quidem morbum frigidum, hi vero frigidam ætatem habent; vinum autem calefaciendi vim validissimam obtinet, ita ut aliquatenus sibi repugnans proveniret effectus. An nihil prohibet quominus idem a contrariis efficiatur, dummodo non agant modo eodem? exempli gratia deuritur et a gelu et a calore, ubi gelu calorem coegit universum, ita ut aliquo modo quidem a contrariis adfectus proficiscatur idem, aliquo modo vero idem eidem ansam det; tremor autem ab inopia excitatur caloris, non cujusque tamen, sed proprii; perit vero calor aut marcore, aut exstinctu, exstinctu quidem a contrariis, hoc est frigido atque humido, marcore autem vel indigentia nutrimenti, ut lucernæ quum fomite, aut oleo carent; vel ab alieno calore, ut ignis in sole, et lucernæ apud ignem. Igitur qui ex frigore rigent, caloris exstinctu tremunt : ex quo etiam fit ut aqua perfusis calida horrores exoriantur : frigus enim quum intus includitur atque circum obsistitur, pilos erigit, et in febrium quoque adcessione qui evenit rigor, simili de causa fit; in senectute autem calor alimento deficiente emarcescit : humor enim alimentum caloris est, senectus autem frigida est. Ebriosi vero, et si qui alii ita adficiuntur propter vinum, proprio quidem emarcescente calore obtremiscunt, sed non modo eodem iis qui senectutis gratia tremunt, sed supra adhuc tertiam exstare dicebamus rationem qua calor pereat : quum enim superabundantem calorem intra corpus adhibent, calor hicce, copiosus quum sit, aut exstinguit, aut debilitat proprium calorem quo valemus : interdum enim res movens re quæ movetur, non superior evadit : sic ubi lignum quis longum grandeque haud firmiter tenet, tremit extremum : quod ideo fit, quoniam aut res quæ tenetur, nimis magna est,

συμβαίνει δὲ σβεννυμένου τοῦ θερμοῦ (δοκεῖ γὰρ αἴτιον τοῦτο εἶναι τοῦ κινεῖσθαι τοῖς ζῴοις) μὴ κρατεῖν τὴν φύσιν. Σημεῖον δ' ὅτι διὰ ψυχρότητα γίνεται τὸ πάθος τοῖς οἰνόφλυξι καὶ τοῖς πρεσβύταις, ὅτι ἄνευ ῥίγους γίνεται ὁ τρόμος.

aut nimis exigua quæ movet; evenit autem ut exstincto calore (hicce enim causa animantibus esse videtur cur moveantur) natura superior non evadat. Argumento autem est ebriosos senesque ob frigiditatem hoc morbo adfici, quod tremor sine rigore fit.

27. Διὰ τί ὁ ἀκροθώραξ μᾶλλον παροινεῖ τοῦ μᾶλλον μεθύοντος καὶ τοῦ νήφοντος; Ἢ ὅτι ὁ μὲν νήφων εὖ κρίνει, ὁ δὲ παντάπασι μεθύων διὰ τὸ τὰς αἰσθήσεις ἐπιπεπλασμένας εἶναι, οὐ δυνάμενος τὸ βάρος φέρειν, οὐ κρίνει· οὐ κρίνων δ' οὐ παροινεῖ· ὁ δ' ἀκροθώραξ κρίνει τε καὶ διὰ τὸν οἶνον κακῶς κρίνει, ὥστε παροινεῖ, ὥσπερ καὶ Σάτυρον τὸν Κλαζομένιον ὄντα φιλολοίδορον, φεύγοντα δίκην, ἵν' ὑπὲρ τοῦ πράγματος λέγῃ καὶ μὴ λοιδορῆται, τὰ ὦτα ἐπέπλασαν, ἵνα μὴ ἀκούων εἰς λοιδορίαν τρέπηται· παυομένου δὲ τοῦ ἀντιδίκου ἀφεῖλον· μικρὰ δ' ἀκούσας ἔτι λέγοντος οὐκ ἀπέσχετο, ἀλλὰ κακῶς ἔλεγε, διὰ τὸ αἰσθάνεσθαι μέν, κακῶς δὲ κρίνειν;

27. Quam ob causam leviter vino tincti magis delirant quam qui aut gravius sese inebriarint, aut sobrii? An quod sobrius quidem recte judicat, qui autem penitus vinolentus est, quod sensibus obductis onus ferre non potest, non judicat; non judicans autem non delirat; at vero leviter vino tinctus et judicat, et propter vinum male judicat, ita ut deliret: quemadmodum Satyrus Clazomenius, cui reo facto, quum esset ad maledicendum proclivis, ut de re ageret, nec malediceret, aures obstruxerunt, ne audiens in contumelias se provolveret? Quum tamen cessante adversario reserassent, et pauca dicentem adhuc illum audivisset, non abstinuit, sed male locutus est, quoniam sentiebat quidem, male vero judicabat.

28. Διὰ τί πρὸς τὸν γλυκὺν οἶνον ἡδίω ὄντα οὐ γίνονται οἰνόφλυγες; Ἢ ὅτι οὐκ ἴδιον χυμὸν ἔχει ὁ γλυκύς, ἀλλ' ἀλλότριον; φιλόγλυκυς οὖν μᾶλλον ἢ φίλοινος ἔσται ὁ κεκρατημένος.

28. Cur erga vinum dulce, quod suavius est, ebriosi non fiunt? An quod vinum dulce saporem non obtinet proprium, sed alienum? Igitur dulcedinis potius quam vini avidus erit qui eo victus fuerit.

29. Διὰ τί οἱ οἰνόφλυγες ὑπὸ τοῦ ἡλίου θερμαινόμενοι μάλιστα χαίρουσιν; Ἢ ὅτι δέονται πέψεως; Ἔτι δὲ καὶ διὰ τὸ κατεψῦχθαι· διὸ καὶ αἱ ἀποπληξίαι καὶ αἱ ἀποναρκώσεις τάχιστα μετὰ τοὺς πότους γίνονται.

29. Cur ebriosi sole calefieri maxime amant? An quoniam concoctione indigent? Atque etiam quod refrigerati sunt: unde et morbi adtoniti ac torpores celerrime post compotationes superveniunt.

30. Διὰ τί τοῖς μεθύουσιν ἐνίοτε πολλὰ φαίνεται τὸ ἓν ὁρῶσιν; Ἢ ὅτι αἱ ἀρχαὶ τῶν ὄψεων ἔσω μὲν κινοῦνται ὑπὸ τοῦ οἴνου, καθάπερ ἡ ὅλη κεφαλή, κινουμένων δὲ τῶν ἀρχῶν οὐκ εἰς ταὐτὸ συμβάλλουσιν αἱ ὄψεις, ἀλλ' οἷον ἐπὶ μέρος ἑκάτερον τοῦ ὁρωμένου; διὸ δύο φαίνεται. Ταὐτὸ δὴ τοῦτο γίνεται καὶ ἐάν τις κάτωθεν πιέσῃ τὴν ὄψιν· ἐκίνησε γὰρ τὴν ἀρχὴν τῆς ὄψεως, ὥστε μηκέτι εἰς ταὐτὸ συμβάλλειν τῇ ἑτέρᾳ. Ἡ μὲν οὖν τοιαύτη κίνησις ἔξωθεν γίνεται, ἡ δ' ἀπὸ τοῦ οἴνου ἔσωθεν, διαφέρει δ' οὐθέν· ταὐτὰ γὰρ ποιήσει ὁπωσοῦν κινηθεῖσα.

30. Cur vinolentis multa interdum adparent ubi rem unicam vident? An quia visionum principia intrinsecus a vino moventur, sicut caput totum; at ubi principia moventur, visiones non in idem punctum convergunt, sed quasi ad utrumque latus rei conspectæ incidunt? hinc duæ res adparent. Quod idem, si quis oculum subter comprimit, evenire solet: visionis enim movit principium, ita ut non amplius in idem incidat punctum ac altera. Motus itaque ejusmodi extrinsecus supervenit; vini autem intrinsecus; nec quidquam interest: eadem enim efficiet, quocumque tandem modo mota fuerit.

31. Διὰ τί τῶν μεθυόντων ἡ γλῶττα πταίει; Πότερον ὅτι καθάπερ τὸ ὅλον σῶμα ἐν τῇ μέθῃ σφάλλεται, οὕτω καὶ ἡ γλῶττα σφαλλομένη πταίει καὶ οὐ δύναται τὴν λέξιν διαρθροῦν; Ἢ σπογγώδης ἐστὶν ἡ τῆς γλώττης σάρξ; Βρεχομένη οὖν ἐξαίρεται· τούτου δὲ συμβαίνοντος διὰ τὸ πάχος τὸ ἀπὸ τοῦ ὄγκου δυσκινητοτέρα οὖσα οὐ δύναται διακριβοῦν. Ἢ διότι οὔτ' ἐν τῷ ὑγρῷ δυνάμεθα λαλεῖν διὰ τὴν ἀπουσίαν τοῦ ἀέρος, οὔθ' ὅταν εἰς τὸ στόμα λάβωμεν ὑγρόν; Ἐν τῇ μέθῃ οὖν ἐν ὑγρῷ πολλῷ τῆς γλώττης οὔσης οὐκ ἀκριβοῦμεν· τὸ δὲ μὴ ἀκριβοῦν ἐστι τὸ πταίειν. Ἢ διότι ἐν ταῖς μέθαις ἡ ψυχὴ συμπαθὴς γινομένη πταίει; Τῆς ψυχῆς οὖν τοῦτο πασχούσης εἰκὸς καὶ τὴν γλῶτταν ταὐτὸ πάσχειν· ἀπ' ἐκείνης γὰρ ἡ τοῦ λέγειν ἀρχή· διὸ καὶ

31. Cur vinolentorum lingua impingit? Utrum quia, quemadmodum corpus totum in vinolentia titubat, ita et lingua titubans impingit, nec reddere articulatim vocabula potest? An linguæ caro spongiæ similis est? Madescens igitur extumescit; hoc autem ubi fit, quum propter crassitudinem quem tumor parit, difficilius moveatur, vocabula rite effingere non valet. An quod nec in aqua ob absentiam aeris loqui possumus, neque quum in os humorem indidimus? Igitur quod per ebrietatem lingua in multo humore versatur, idcirco vocabula rite effingere non possumus; eo autem ipso constat impactio. An quia animus per ebrietatem hujus adfectus particeps factus impingit? Quodsi igitur animus ita adfectus est, linguam etiam eodem modo adfici consentaneum est: ab ea enim loquendi initium ducitur: quo fit ut vel sine vinolentia, ubi ani-

χωρὶς τῆς μέθης ὅταν ἡ ψυχὴ πάθῃ τι, συμπάσχει καὶ ἡ γλῶττα, οἷον τῶν φοβουμένων.

mus aliquo modo adfectus fuerit, lingua etiam hunc adfectum participet, ut apud metuentes.

32. Διὰ τί οἱ οἰνόφλυγες καὶ οἱ περὶ τὴν θάλατταν χαίρουσιν ἡλίῳ; Ἢ διότι οἱ μὲν οἰνόφλυγες δέονται πέψεως, καὶ ἅμα συμβαίνει τινὰς τόπους κατεψῦχθαι (διὸ καὶ ἀποπληξίαι καὶ ἀποναρκώσεις μετὰ τοὺς πότους)· οἱ δὲ θαλάττιοι διὰ τὸ ἀεὶ ἐν ὑγρῷ εἶναι τοῦτο ποιοῦσιν;

32. Cur ebriosi et homines maritimi sole delectantur? An quod ebriosi quidem concoctione indigent, simulque evenit ut partes corporis quædam refrigeratæ sint (hinc et morbi adtoniti ac torpores post compotationes fieri solent); maritimi autem, quoniam in humore semper degunt, hoc idem faciunt?

33. Διὰ τί οἱ μεθύοντες ἀδύνατοι ἀφροδισιάζειν; Ἢ ὅτι δεῖ μᾶλλόν τινα τόπον ἐκθερμανθῆναι τοῦ ἄλλου σώματος, οἱ δὲ διὰ τὸ πλῆθος τῆς θερμασίας ἀδυνατοῦσιν; Ἀποσβέννυται οὖν τὸ ἀπὸ τῆς κινήσεως θερμὸν γινόμενον ὑπὸ τοῦ περιέχοντος. Ἢ διότι δεῖ μὲν ἐκθερμανθῆναι τοὺς κάτω τόπους, ὁ δ' οἶνος ἄνω πέφυκε φέρεσθαι, ὥστ' ἐκεῖ ποιεῖ τὴν θερμασίαν, ἐντεῦθεν δ' ἀπάγει; Καὶ μετὰ τὰ σιτία ἥκιστα ἀφροδισιαστικοί, καὶ κελεύουσιν ἀριστᾶν μὲν πολύ, δειπνεῖν δ' ὀλίγον· ἀπέπτων μὲν γὰρ ὄντων ἄνω φέρεται, πεπεμμένων δὲ κάτω τὸ θερμὸν καὶ τὸ ὑγρόν· ἡ δὲ τοῦ σπέρματος γένεσις ἐκ τούτων. Καὶ οἱ κοπιῶντες ἐξονειρώττουσιν, ὅτι ὑγρὸς καὶ θερμὸς ὁ κόπος. Ἐὰν οὖν ἐν τῷ τόπῳ τούτῳ γένηται ἡ περίττωσις, συμβαίνει ἐξονειρώττειν. Διὰ ταὐτὸ δὲ καὶ ἐπὶ τοῖς ἀρρωστήμασιν, ὅσοις γίνεται, συμβαίνει, καὶ τοῖς φοβουμένοις καὶ τοῖς ἀποθνήσκουσι συμβαίνει ὡσαύτως.

33. Cur vinolenti concumbere nequeunt? An quod partem corporis quamdam amplius quam reliquum corpus calere opus est: quod vinolentis contingere præ nimio calore non potest? Calor igitur qui a motu provenit, a calore ambienti exstinguitur. An quod partes corporis inferiores quidem calere opus est, vinum autem naturaliter in sublime fertur, ita ut calorem hic quidem excitet, illinc vero abducat? Post cibum quoque minime in venerem proclives sumus, atque prandere quidem large, cœnare vero parce præcipiunt: cibus enim crudus dum est, sursum, dum vero concoctus, deorsum fertur calor et humor; ortus autem seminis ex his est. Et fatigatis idcirco per somnum profluit genitura, quod humida et calida est lassitudo. Quodsi igitur excrementum ea in parte fuerit, evenit hujusmodi seminis ejectio. Hæc eadem causa sunt cur hoc eveniat in morbis in quibus fieri solet, item cur metuentibus et morientibus eodem modo eveniat.

34. Διὰ τί νέοι ὄντες ἐνουροῦσι μᾶλλον, ὅταν μεθυσθῶσιν, ἢ πρεσβύτεροι; Ἢ διὰ τὸ θερμοὺς καὶ ὑγροὺς εἶναι πολὺ τὸ συρρυὲν γίνεται περίττωμα, διὰ τὸ μὴ ἀναλίσκειν τὸ σῶμα τὸ ὑγρόν, ὥσθ' ὑπερχεῖται· πρεσβυτέροις δὲ γινομένοις διὰ ξηρότητα τὴν ὑπερβολὴν ἀντισπᾷ τὸ σῶμα; Ἢ ὅτι μᾶλλον ὑπνωτικώτεροί εἰσιν οἱ νέοι τῶν πρεσβυτέρων; διὸ τοὺς μὲν νέους καθύπνους ὄντας λανθάνει ἡ ὁρμὴ τοῦ οὔρου ἐκπίπτουσα πρὶν διεγερθῆναι, τοὺς δὲ πρεσβυτέρους οὔ, καθάπερ οὐδὲ τῶν ἔξωθεν κινήσεων οὐδὲν ἧττόν τι λανθάνει αὐτοὺς ἢ τοὺς νέους. Δῆλον δέ· καὶ γὰρ αὐτοὶ οἱ νέοι ἐν τοῖς βαθυτάτοις ὕπνοις μάλιστα ἐνουροῦσιν.

34. Cur juvenes potius quam seniores sese permingunt, ebrii facti? An quoniam juvenes humidi sunt et calidi, copiosa idcirco fiunt excrementa confluentia, quoniam corpus humorem non absumit, ita ut superfluat; seniores vero ubi fiunt, corpus propter siccitatem nimietatem revellit? An quod juniores ad somnum procliviores sunt quam seniores? quocirca juvenes quidem, utpote graviter consopitos, urinæ impetus latet, excidens antequam subrexerint; seniores vero non, quemadmodum nec externorum motuum exiguior quidam ullus eos magis latet quam juvenes. Argumento autem est, quod juvenes ipsi tum maxime sese permingunt, quum profundissime dormiunt.

35. Διὰ τί τὸ ἔλαιον πρὸς τὰς μέθας συμφέρει, καὶ τοῦ δύνασθαι πίνειν τὸ καταρροφεῖν; Ἢ διότι οὐρητικόν ἐστι καὶ τῷ πόματι προοδοποιεῖ;

35. Cur oleum ad arcendam vinolentiam valet, sorbitumque facultatem præstat potandi? An quod urinam ciere potest, potuique viam sternit?

ΤΜΗΜΑ Δ.

ΟΣΑ ΠΕΡΙ ΑΦΡΟΔΙΣΙΑ.

SECTIO IV.

QUÆ AD REM VENEREAM PERTINENT.

1. Διὰ τί ὁ ἀφροδισιάζων καὶ ὁ ἀποθνήσκων ἀναβάλλει τὰ ὄμματα, καθεύδων δὲ καταβάλλει; Ἢ διότι ἄνωθεν τὸ θερμὸν ἐξιὸν ἀναστρέφει ἵνα περ ὁρμᾷ· ἐν δὲ τῷ ὕπνῳ κάτω συνάγεται (διὸ ῥέπει κάτω)· συγκλείονται δ' οἱ ὀφθαλμοὶ παρὰ τὸ μὴ ὑπάρχειν ἔτι νοτίδα;

1. Quam ob causam qui concumbit et qui moritur, oculos adtollit, qui autem dormit, submittit? An quod de parte superiori calor exiens oculos subvertit eamdem in partem qua tendit; per somnum autem deorsum se colligit: quapropter deorsum vergit; clauduntur vero propterea oculi, quia non amplius subest humiditas?

2. Διὰ τί τῶν πλείοσιν ἀφροδισίοις χρωμένων ἐπιδηλότατα συνδίδωσι τὰ ὄμματα καὶ τὰ ἰσχία, τὰ μὲν ἐγγὺς ὄντα, τὰ δὲ πόρρω; Πότερον ὅτι καὶ ἐν αὐτῇ τῇ συνουσίᾳ ἐπιδηλότατα συμπονεῖ ταῦτα τῇ ἐργασίᾳ συνιόντα περὶ τὴν πρόεσιν τοῦ σπέρματος; Συνεκθλίβεται οὖν μάλιστα ἐντεῦθεν ὅσον εὔτηκτον τῆς τροφῆς ἔνεστι διὰ τὴν θλῖψιν. Ἢ διότι παραθερμαινόμενα τήκεται μάλιστα, ὁ δ' ἀφροδισιασμὸς θερμότητα ἐργάζεται, μάλιστα δὲ ταῦτα θερμαίνεται, ἃ κινεῖται ἐν τῇ ἐργασίᾳ; οἱ δ' ὀφθαλμοὶ καὶ τὰ περὶ τὴν ἕδραν ἐπιδήλως συμπονεῖ· οὔτε γὰρ μὴ συναγαγόντι τὰ περὶ τὴν ἕδραν ἐνδέχεται προέσθαι, οὔτε μὴ τῶν ὀφθαλμῶν καταβληθέντων· τὰ μὲν γὰρ περὶ τὴν ἕδραν συνιόντα θλίβει, οἷον ἐκ κύστεως τῇ χειρὶ τὸ ὑγρόν, ἡ δὲ τῶν ὀφθαλμῶν συναγωγὴ τὰ ἀπὸ τοῦ ἐγκεφάλου. Ὅτι δὲ μεγάλην ἔχουσι τὰ ὄμματα τὴν δύναμιν καὶ ὁ τόπος αὐτῶν πρὸς γένεσιν, δηλοῖ ἡ τῶν ἀτέκνων καὶ γονίμων γυναικῶν τοῖς ἐναλείμμασι πεῖρα, ὡς δέον ταύτῃ διελθεῖν εἰς τὸ σπέρμα δύναμιν. Πίονα δ' ἄμφω τυγχάνει ὄντα πάντων ἀεί, ἀρχός τε καὶ ὄμματα. Διὰ μὲν οὖν τὴν συνεργίαν κοινωνεῖ τῆς θερμασίας, διὰ δὲ ταύτην λεπτύνεται καὶ συναποκρίνεται πολὺ εἰς τὸ σπέρμα· οὔτε γάρ, ἂν μὴ πῖον ᾖ, ὁμοίως γρύσει ἡ θερμότης, οὔτε πῖον ὂν μὴ συμπονοῦν, οἷον ἐν τῇ κοιλίᾳ. Ἀλλ' οἱ νεφροὶ τῶν ἄλλων μάλιστα αἰσθάνονται διὰ τὴν γειτνίασιν, καὶ αὐτὴ δ' ἡ τοῦ σπέρματος πάροδος παρὰ τοὺς τόπους τούτους οὖσα ἐπιδηλότατα ἱκανή ἐστι λεπτύνειν· ἀφαιρεῖ γάρ, ἀλλ' οὐ προστίθησι πλησιάζουσα.

3. Διὰ τί καὶ οἱ ἀφροδισιάζοντες καὶ οἱ εὐνοῦχοι οὐ χρώμενοι ἀφροδισίοις, ὁμοίως ἀμφότεροι τὰ ὄμματα πρὸς ὀξυωπίαν βλάπτονται; Ἢ ὅτι τοῖς μὲν διὰ λαγνείαν, τοῖς δὲ διὰ τὴν πήρωσιν τὰ ἄνω ξηρὰ γίνεται μᾶλλον τοῦ δέοντος, ἐπιδηλότατα δ' ἐν τούτοις, ὅσων τὸ ἔργον ἐστὶν ἀκριβές· ἡ δ' ὄψις τοιοῦτον; κατασπωμένων δὲ τῶν ὑγρῶν τὰ ἄνω ξηραίνεται. Ὁ μὲν οὖν ἀφροδισιασμὸς δῆλον ὅτι τοῦτο ποιεῖ· τοῖς δ' εὐνούχοις τά τε σκέλη οἰδεῖ καὶ αἱ κοιλίαι εὔλυτοι, ὡς κάτω μεθισταμένου τοῦ ὑγροῦ.

4. Διὰ τί ἄνθρωπος μόνον, ὅταν ἄρχηται δύνασθαι ἀφροδισιάζειν, ἡβᾷ, τῶν δ' ἄλλων ζῴων ὅσα τρίχας ἔχει, οὐθέν; Ἢ ἐπειδὴ κατὰ τὰς ἡλικίας μεταβάλλει τὰ ζῷα εἰς τοὐναντίον; φωνή τε γὰρ βαρεῖα ἐξ ὀξείας γίνεται, καὶ δασύνεται ἐκ ψιλῶν. Δῆλον οὖν ὡς καὶ τὰ ἐκ γενετῆς δασέα ζῷα ψιλοῖτ' ἄν, οὐ δασύνοιτο, σπερματικὰ γινόμενα· οὐ πάσχει δὲ τοῦτο διὰ τὸ τὰ σπερμαίνοντα ξηρότερα γίνεσθαι καὶ ἀραιότερα, ἐξ ὧν θρὶξ φύεται. Δῆλον δ' ἐκ τοῦ μὴ ἐν ταῖς οὐλαῖς φύεσθαι τρίχας· στεγαναὶ γὰρ αἱ οὐλαί, ἀλλ' οὐκ ἀραιαί· μηδὲ τοῖς παιδίοις καὶ γυναιξίν· ὑγρὰ γὰρ καὶ ἄμφω, ἀλλ' οὐ ξηρά.

2. Cur iis qui rei veneree impensius indulgent, oculi et clunes manifestissime concidunt, licet hæ quidem prope, illi vero procul absint? Utrum quod in ipso etiam coitu partes hæ manifestissime laboris participes fiunt, quippe contrahuntur quo tempore semen emittitur? Itaque quantum iis inest alimenti liquatu facilis, id inprimis propter pressionem simul inde extruditur. An quod in transitu calefactæ præcipue contabescunt? concubitus enim calorem creat, eaque maxime calefiunt quæ in opere commoventur; oculi autem partesque sedi proximæ manifesto laborem participant: haud enim fieri potest ut semen projiciatur, nisi partes contrahantur sedi vicinæ, nisique oculi demittantur: partes namque sedi vicinæ ubi contrahuntur, quasi manu ex vesica humorem exprimunt, oculisque contractis exprimuntur qui a cerebro proveniunt. Oculos vero et locum his proximum vim ad procreationem magnam obtinere, docet experimentum quo linimentorum ope mulieres steriles a fœcundis distinguunt, quasi vis ad semen hac transmitti deberet. Sunt autem ambo cum podex, tum oculi, pingues semper apud omnes. Ergo quod partes hæ adjuvant, caloris participes fiunt, hujus vero vi extenuantur, multumque una ad semen excernitur: calor enim, si pingue non adsit, non æque grunniet, nec si adsit quidem pinguedo, sed laboris non particeps fiat, quemadmodum in ventre. Atqui renes omnium maxime sentiunt, quia in vicino positi sunt, et ipse quoque seminis transitus, quum per ea loca manifestissime agatur, ad extenuandum sufficit: adimit enim, non addit vero, ubi adcedit.

3. Quamobrem et apud concumbentes, et apud spadones, qui re non utuntur venerea, quod ad visus acumen adtinet, eadem noxa adfliguntur oculi? An quia illis quidem ob libidinem, his vero ob mutilationem partes superiores plus justo exsiccantur: quod manifestissimum in iis partibus est quarum opus exquisitius administratur; oculus autem talis est? humoribus enim deorsum ductis, superiora siccantur. Atqui constat concubitum hoc facere: spadonum enim crura intumescunt, et alvi facile solvuntur, utpote quum deorsum humor transferatur.

4. Cur homo solus, ubi concumbere posse incipit, pubescit, ceterorum autem animantium, quæcumque pilis teguntur, nullum? An quod per ætates mutari animantes in contrarium solent? vox enim gravis de acuta efficitur, et nuda quæ ante fuerunt, hirta redduntur. Constat igitur etiam animantes a primo natali die hirsutas enudari debuisse tunc, non vero pilis tegi, quum ad semen emittendum apti fiunt; non tamen ita adficiuntur, quia quæ semen emittunt, sicciora fiunt et rariora: quibus de causis pilus oritur. Quod inde sane patet, quia pili in cicatricibus non pullulant, quum cicatrices spissæ sunt, sed non raræ, nec apud infantes mulieresque: humidi enim sunt ambo, non vero sicci.

5. Διὰ τί ἡ ἀνυποδησία οὐ συμφέρει πρὸς ἀφροδισιασμούς; Ἢ ὅτι τὸ μέλλον ἀφροδισιάζειν σῶμα δεῖ τὰ ἐντὸς θερμὸν εἶναι καὶ ὑγρόν, τοιοῦτον δ' ἐν τοῖς ὕπνοις μᾶλλον ἢ ἐν τῷ ἐγρηγορέναι (διὸ καὶ ταχὺ καὶ ἄνευ ἐργασίας οἱ ἐξονειρωγμοὶ γίνονται, ἐγρηγοροῦσι δὲ μετὰ πόνου)· ἅμα δὲ τὸ σῶμα τοιοῦτον καὶ οἱ πόδες ὑγρότεροι καὶ θερμότεροι (σημεῖον δέ, ὅτι καθευδόντων θερμοί, ὡς ἅμα τοῖς ἐντὸς οὕτως ἔχοντες)· ἡ δ' ἀνυποδησία τοὐναντίον ποιεῖ; ξηραίνει γὰρ καὶ ψύχει, ὥστ', εἴτ' ἀδύνατον μὴ θερμῶν ὄντων ἀφροδισιάσαι, εἴτε χαλεπόν, ἀνάγκη ἀσύμφορον εἶναι πρὸς τὴν τῶν ἀφροδισίων χρῆσιν.

6. Διὰ τί ἐκλύεται μάλιστα τῶν ζῴων ἀφροδισιάσας ἄνθρωπος; Ἢ διότι πλεῖστον προΐεται σπέρμα κατὰ λόγον τοῦ σώματος; Διὰ τί δὲ πλεῖστον προΐεται; Ἢ ὅτι ἥκιστα ἐκπονεῖ τὴν τροφὴν καὶ φύσει ὑγρὸν καὶ θερμόν ἐστι τῶν ζῴων μάλιστα, ὧν τὸ μὲν ποιεῖ σπέρμα πολύ, τὸ δὲ τὴν φύσιν σπερματικὴν ποιεῖ; καὶ γὰρ τὸ σπέρμα τοιοῦτόν ἐστιν, ἕως ἂν σώζηται.

7. Διὰ τί τοῦ ἀφροδισιάζειν γινομένου διὰ θερμότητα, τοῦ δὲ φόβου ὄντος ψυκτικοῦ καὶ τοῦ ἀποθνήσκειν, ἐνίοις, ὅταν γένωνται ἐν τούτοις τοῖς πάθεσι, σπέρμα προέρχεται; Ἢ ὅτι ψυχομένων ἐνίων τόπων ἕτεροι ὑποθερμαίνονται, τήν τ' οἰκείαν ἔχοντες θερμότητα καὶ δεχόμενοι τὴν τῶν καταψυχομένων τόπων, ὥστε καταψυχομένων μὲν συμβαίνει, οὐ διὰ τὸ ψύχεσθαι μέντοι, ἀλλὰ διὰ τὸ θερμαίνεσθαι; Δῆλον δὲ καὶ τῇ ὄψει· τῶν γὰρ φοβουμένων τὰ ἄνω λιφαιμεῖ, τὰ δὲ κάτω ὑγραίνεται, καὶ κοιλία καὶ κύστις λύεται. Ὑπιὸν οὖν τὸ θερμὸν ἐν μὲν τῷ φόβῳ κάτω, ἐν δὲ τῷ θανάτῳ κάτωθεν ἄνω, ἐξυγραῖνον τῇ θερμότητι ποιεῖ τὴν τοῦ σπέρματος ἔξοδον.

8. Διὰ τί οὐ δεῖ μὴ ὀργῶντα οὔτ' ἀφροδισιάζειν, οὔτ' ἐμεῖν, οὔτε πτάρνυσθαι, οὔτε φῦσαν ἀφιέναι; Ἢ ὅτι μὴ ὀργῶντες ὁμοίως ἔχομεν τοῖς ἐκ τῆς γῆς ἀνασπωμένοις, οἷς προσεκσπᾶταί τι ἀλλότριον, ἢ ἐγκαταλείπεται ἀποσπασθέν, ἅπαν δ' ὃ δεῖ μὲν ἐξαρθῆναι, κολοβὸν δ' ὑπολείπεται, πλείω χρόνον παρέξει πόνον, ἐάν τέ τις κινήσῃ τι ἀλλότριον, τοῦτο πόνον παρέξει, οὐκ ἐν τῇ αὑτοῦ χώρᾳ ὄν; ἃ συμβήσεται τοῖς μὴ ὀργῶσι ποιοῦσί τι τῶν εἰρημένων.

9. Διὰ τί νήστεις θᾶττον ἀφροδισιάζουσιν; Ἢ διότι οἱ πόροι κενώτεροι οἱ τοῦ σώματος νήστεσι, πλήρεσι δὲ πλήρεις; κωλύουσιν οὖν τὴν εἰς τὸ σπέρμα ὑγρότητα διεξιέναι. Δῆλον δ' ἐπὶ τῆς κύστεως· οὐ γὰρ δύνανται πλήρους οὔσης ταχὺ ἀφροδισιάζειν.

10. Διὰ τί οἱ νέοι ὅταν πρῶτον ἀφροδισιάζειν ἄρχωνται, αἷς ἂν ὁμιλήσωσι, μετὰ τὴν πρᾶξιν μισοῦσιν; Ἢ διὰ τὸ μεγάλην γίνεσθαι τὴν μεταβολήν; τῆς γὰρ συμβαινούσης ὕστερον ἀηδίας μεμνημένοι, ὡς αἰτίαν ᾗ ἐπλησίασαν φεύγουσιν.

5. Cur nuditas pedum rei venereæ non prodest? An quoniam corpus, quod concubiturum est, calidum intus atque humidum esse debet, quale per somnum potius esse quam per vigiliam solet: ex quo etiam celeriter ac sine labore semen dormientibus profluit, vigilantibus vero non sine conatu; simul autem fit ut et corpus tale exsistat, et pedes humidiores fiant atque calidiores (indicium quod quum dormimus, pedes calidi sunt, ut qui una cum internis partibus ita se habent); at nuditas pedum contrarium efficit? siccat enim atque refrigerat, ita ut sive impossibile, sive difficile sit ut res agatur venerea nisi pedibus calidis, eorum nuditatem coitui non prodesse necesse est.

6. Cur omnium maxime animantium homo, postquam concubuit, enervatur? An quod semen pro portione sui corporis plurimum emittit? Sed cur plurimum emittit? An quod minime cibum conficit, et omnium maxime animantium humidus natura et calidus est: quarum rerum altera quidem seminis copiam facit, altera vero naturam ad semen creandum aptam reddit? semen etenim tale est, quamdiu persistit.

7. Quam ob causam, quum concubitus calore fiat, timor autem et mors refrigerandi vim habeant, nonnullis tamen, quum ab his ipsis tenentur adfectibus, semen profluit? An quod quum loca quædam corporis refrigerantur, alia intepescunt, quum et proprium calorem habeant et locorum refrigeratorum calorem suscipiant, ita ut frigescentibus quidem id eveniat, verum non quia frigescunt, sed quia calefiunt? Constat hoc etiam ipso adspectu: partes enim superiores timentium sanguine privantur, inferiores autem humescunt, et alvus solvitur et vesica. Calidum igitur quum per timorem quidem inferna, per mortem vero inferne superiora petat, caliditate sua humectans, seminis exitui ansam dat.

8. Cur neque concumbere, neque evomere, nec sternuere, neque flatum emittere oportet, nisi turgeas? An quia quum non turgemus, similes terræ stirpibus sumus, quibus evulsis aut alienum una evellitur quidpiam, aut aliquid abscissum relinquitur; quod autem quum eximi debuisset, mutilum remanserit, dolorem diutius id omne movebit, itemque si quid alienum commoverit quis, id quum sua sede privetur, dolorem creabit? quæ iis usu evenient, qui quum non turgent, aliquid faciunt ex iis quæ modo retulimus.

9. Cur jejuni celerius concumbunt? An quod meatus corporis jejunis inaniores, repletis autem pleni sunt? itaque impediunt ne destinatus ad semen humor permeet. Quod in vesica patet: hac etenim plena celeriter concumbere non possunt.

10. Cur juvenes quum primo concumbere incipiunt, quibuscum fuerint congressi, eas re peracta odio habent? An quod mutatio magna fit? sequentis enim tædii memores, quacum rem habuerint, tamquam causam fugiunt.

11. Διὰ τί οἱ ἱππεύοντες συνεχῶς ἀφροδισιαστικώτεροι γίνονται; Ἢ ὅτι διὰ τὴν θερμότητα καὶ τὴν κίνησιν ταὐτὸ πάσχουσιν ὅπερ ἐν τῇ ὁμιλίᾳ; διὸ καὶ τῇ τῆς ἐπεχούσης ἡλικίας ἐπιδόσει περὶ τὰ αἰδοῖα μείζω τὰ μόρια ταῦτα γίνεται. Ἀεὶ οὖν τῇ κινήσει ταύτῃ χρωμένων εὔροα τὰ σώματα γίνεται καὶ προωδοπεποιημένα πρὸς τὸν ἀφροδισιασμόν.

12. Διὰ τί, ὅταν ἄρξωνται ἀφροδισιάζειν δύνασθαι, οἱ χρῶτες ὄζουσι, πρότερον δ' οὐκ ὄζουσι πρὸ ἥβης οὔθ' οἱ ἄνδρες, οὔθ' αἱ γυναῖκες; Ἢ ὅτι τὰ ἄπεπτα τούς τε χυμοὺς ἀεὶ χείρους ἔχει (ἢ γὰρ ὀξυτέρους, ἢ ἁλμυρωτέρους, ἢ πικροτέρους) καὶ τὰς ὀσμὰς δυσωδεστέρας, τὰ δὲ πεπεμμένα ἢ γλυκεῖς, ἢ ἧττον ἀγλευκεῖς, καὶ τὰς ὀσμὰς εὐωδεστέρας, ἢ ἧττον δυσώδεις; τοῦτο δ' ἐστὶ δῆλον ἐπὶ πάντων θεωμένοις καὶ φυτῶν καὶ ζῴων. Ἀφαιρεθέντων δὴ τῶν εὐπέπτων, τὰ ὑπολειπόμενα ἄπεπτα, οἷον δὴ καὶ ἐπὶ τῆς τέφρας ἀναλωθέντος τοῦ γλυκέος πικρὰ ἡ κονία, καὶ ὁ ἱδρὼς ἁλμυρός. Πέττει δ' ἡ φυσικὴ θερμότης τὸ σπέρμα, ὃ μικρὸν ὂν πολλὴν ἔχει δύναμιν· ἐκ πολλοῦ γὰρ ὀλίγον συγκεκεφαλαίωται· διὸ ὅταν ἀπέλθῃ, ἐκλύονται ὡς ἐπὶ τὸ πολὺ μᾶλλον καὶ καταψύχονται· ὥστ' ἀπεπτότεροι οἱ χυμοὶ γίνονται μᾶλλον, ἀναστομουμένων τῶν πόρων διὰ τὴν ἔκκρισιν αὐτοῦ. Ἁλμυρώτεροι οὖν οἱ τῶν παίδων ἱδρῶτες καὶ δυσωδέστεροι διὰ τὴν ἀπεψίαν, καὶ ἐὰν τύχῃ τοιαύτη ἡ φύσις οὖσα ὥστε δυσώδη ἔχειν τὴν ὑπόστασιν τοῦ ἱδρῶτος, τούτοις μᾶλλον ἐπισημαίνει, καὶ ἐν τοῖς τόποις τούτοις μάλιστα, οἷον μασχάλῃ, ἐν ᾧ μάλιστα καὶ τοῖς ἄλλοις.

13. Διὰ τί, ἐὰν μὲν ἐκ τοῦ σπέρματος τοῦ ἡμετέρου γένηται τὸ ζῷον, τοῦτο ἡμέτερον ἔκγονόν ἐστιν, ἐὰν δὲ ἐξ ἄλλου τινὸς ἢ μέρους, ἢ ἀποκρίσεως, οὐχ ἡμέτερον; γίνεται γὰρ σηπομένων πολλά, καὶ ἐκ τοῦ σπέρματος. Τί δὴ οὖν, ἐὰν μὲν τοιοῦτον οἷον ἡμεῖς, ἡμέτερον, ἐὰν δ' ἀλλότριον, οὔ; ἢ γὰρ ἅπαντα προσήκει, ἢ οὐθέν. Ἢ πρῶτον μέν, ὅτι οὕτω μὲν ἐξ ἡμετέρου γίνεται, ἐκείνως δὲ ἐξ ἀλλοτρίου, ὅσα ἐξ ἀποκαθάρματος γίνεται καὶ ἐκκρίσεως, καὶ ὅλως οὐθὲν τῶν τοῦ ζῴου ζῷον γεννᾷ ἀλλ' ἢ τὸ σπέρμα; τὸ δὲ βλάπτον καὶ τὸ κακὸν οὐθενός ἐστιν οἰκεῖον, οὐδὲ τὸ ἀλλότριον· οὐ γὰρ ταὐτὸ τούτου τι εἶναι καὶ τούτου ἀλλότριον ἢ ἕτερον, ἢ κακόν· αἱ δ' ἐκκρίσεις καὶ σήψεις οὐχ ἡμέτερα, ἀλλ' ἕτερα καὶ ἀλλότρια τῆς φύσεως ἡμῶν εἰσιν· οὐ γὰρ ὅσα ἐν τῷ σώματι γίνεται, τοῦ σώματος θετέον, ἐπεὶ καὶ φύματα γίνεται, ἃ αἴρουσι καὶ ἐκβάλλουσιν, καὶ ὅλως ὅσα παρὰ φύσιν, πάντα ἀλλότρια· παρὰ φύσιν δὲ πολλὰ καὶ τῶν συγγινομένων ἐστίν. Εἰ οὖν ἐκ μόνου τούτου τῶν ἡμετέρων γίνεται ζῷον, ὀρθῶς ἂν τὸ ἐκ τούτου γινόμενον ἔκγονον ἡμέτερον εἴη μόνον, καὶ ἐκ τοῦ σπέρματος δὲ ἄν τι ἄλλο γένηται, οἷον σκώληξ σαπέντος, ἢ καὶ ἐν τῇ μήτρᾳ διαφθαρέντος, οἷον ἃ λέγεται τέρατα, οὐκ ἔκγονα λεκτέον· ὅλως γὰρ ἐκ διεφθαρμένου γινόμενα οὐκέτι ἐξ ἡμετέρου ὄντος

11. Quare qui equitant adsidue, libidinosiores evadunt? An quia propter calorem et motum eodem adficiuntur modo quo per coitum? quocirca per genitalium augmentum quod debetur ætati coitum adferenti majores fiunt hæ partes. Ubi igitur semper eo utuntur motu, corpora pervia ac præparata ad concumbendum evadunt.

12. Quare concumbendi facultas dari quum cœpta est, corpora male olent; prius autem ante pubem non olent nec viri, nec mulieres? An quoniam quæ cruda sunt, tum sapores semper habent deteriores (aut enim acidiores, aut salsiores, aut amariores), tum odores reddunt fœtidiores; contra quæ concocta sunt, sapores aut dulces, aut minus dulcedine carentes, et odores suaviores præstant, aut minus insuaves? Patet hoc adspectui in omnibus tam stirpibus quam animantibus. Detractis itaque quæ concocta sunt, quæ relinquuntur, sunt cruda, ut sane et in cinere, portione dulci consumpta, lixivium amarum est, itemque sudor salsus. Calor autem naturalis semen genitale concoquit, quod quamquam exiguum est, vim tamen obtinet magnam, quippe quod ex multo in exile compendium redigitur: quamobrem ubi id secessit, resolvimur magna ex parte vehementius atque refrigeramur, ita ut humores crudiores reddantur, patefactis meatibus propter seminis ejectionem. Puerorum igitur sudor ob cruditatem et salsior et fœtidior est, ac si cui forte talis natura sit ut sedimentum sudoris fœtidum habeat, huic vel magis signa præstabit, ac præsertim eisdem in locis quibus et ceteris maxime, velut in alis.

13. Cur si ex semine quidem nostro procreatum animal est, proles id nostra est; sed si ex aliquo alio nostro, sive excrementum, sive pars fuerit, prodiit, nostra non est proles? multa enim e putrescentibus, quin etiam e semine proveniunt. Quid igitur, si quales nos sumus, tale fuerit, nostrum est, sin vero incongruum, non? aut enim omnia nostra esse oportet, aut nullum. An primum quidem quoniam ita sane e nostro fit, illo vero modo ex alieno, scilicet quæcunque purgamentis excrementisque nascuntur, ac denique nihil ex omnibus quæ ad animans pertinent, gignere animantem potest nisi semen genitale? quod autem nocet quodque malum est, id nulli proprium est; nec incongruum quidem: haud enim eodem redit, num rei cuidam aliquid proprium sit, an incongruum, vel diversum ab ea, vel malum; excrementa autem et putredines non nostra, sed diversa alienaque sunt a nostra natura: non enim quæcumque in corpore exstiterunt, ad corpus pertinere statuendum est: nam et tubercula fiunt, quæ tollimus atque ejicimus, atque in universum quæ præter naturam sunt, hæc aliena omnia sunt: præter naturam autem sunt vel multæ res quæ simul gignuntur. Quodsi igitur inter res quæ ad nos pertinent, e solo semine animans nascitur, recte quod ex hoc provenit, unice proles nostra erit; imo si ex semine aliquid gignatur aliud, ut vermis, ubi putruit, vel ubi corruptum in utero fuit, ut quæ monstra adpellamus, prolem hæc esse nostram non dicendum est: in universum enim quum corrupto creantur semine, non amplius e re quæ nostra est, cre-

γίνεται, ἀλλ' ἐξ ἀλλοτρίου, ὥσπερ τὰ ἐκ τῶν ἀποκρίσεων, οἷον τὸ ἐκ τῆς κόπρου. Σημεῖον δὲ ὅτι ἐκ διαφθειρομένου πάντα τὰ τοιαῦτα γίνεται· μὴ ἐκ διαφθειρομένου γὰρ τοιοῦτον πέφυκε γίνεσθαι οἷον ἂν ᾖ ἐξ οὗ τὸ σπέρμα, ἐὰν ἐξ ἵππου, ἵππος, ἐὰν δὲ ἐξ ἀνθρώπου, ἄνθρωπος. Καὶ αὐτό τε οὐ τιμῶμεν τὸ σπέρμα, οὐδὲ πᾶν τὸ ἐν τῇ γενέσει περαινόμενον· καὶ γὰρ ὑγρὸν καὶ ὄγκος τις καὶ σὰρξ γίνεται· ποτὲ δέ, διὰ τὸ μήπω ἔχειν τὴν φύσιν, ἀλλ' ἢ τοσοῦτον μόνον τῆς φύσεως, ὅ τι οὕτω διάκειται ὥστε γενέσθαι ἐξ αὐτοῦ τοιοῦτον οἷον ἡμεῖς· ἐκ δὲ διεφθαρμένου οὐδὲ τοιοῦτον. Διὰ ταῦτα οὔτ' ἐξ ἑτέρου τῶν ἐν ἡμῖν, οὔτ' ἐκ τούτου διεφθαρμένου, ἢ ἀτελῶς ἔχοντος τὸ ἔκγονόν ἐστιν ἡμέτερον.

14. Διὰ τί ἐν τῷ ὕδατι ἧττον δύνανται ἀφροδισιάζειν οἱ ἄνθρωποι; Ἢ ὅτι ἐν ὕδατι οὐθὲν τήκεται, ὅσα ὑπὸ πυρὸς τήκεται, οἷον μόλιβδος ἢ κηρός· ἡ δὲ γονὴ τηκομένη φαίνεται πυρί; πρὶν μὲν γὰρ ἡ τρῖψις ἐκθερμάνῃ, οὐ τήκεται. Οἱ δ' ἰχθύες οὐ τρίψει ὀχεύουσιν.

15. Διὰ τί τὸ ἀφροδισιάζειν ἥδιστον, καὶ πότερον ἐξ ἀνάγκης, ἢ ἕνεκά τινος ὑπάρχει τοῖς ζῴοις; Ἢ ἡδὺ μέν ἐστιν ἤτοι διὰ τὸ ἀπὸ παντὸς τοῦ σώματος ἀπιέναι τὸ σπέρμα, ὥσπερ τινές φασιν, ἢ καὶ ἀπὸ παντὸς μὲν μὴ ἀπιέναι, διὰ δὲ τοιούτου εἰς ὃ πάντες συντείνουσιν οἱ πόροι τῶν φλεβῶν; Οὔσης οὖν τῆς ἡδονῆς ὁμοίας τῆς ἐν τῷ κνησμῷ, τοῦτο συμβαίνει γίνεσθαι ὥσπερ δι' ὅλου τοῦ σώματος· ὁ δὲ κνησμὸς ἡδύς ἐστιν, ὑγροῦ ἔξοδος πνευματώδους ἐγκατακεκλεισμένου παρὰ φύσιν· ἡ δὲ γονὴ τοιούτου εἰς τὸ κατὰ φύσιν ἔξοδος. Ἔστι δὲ καὶ ἐξ ἀνάγκης ἡδὺ καὶ ἕνεκά τινος, ἐξ ἀνάγκης μὲν ὅτι ἡ εἰς τὸ κατὰ φύσιν ὁδὸς ἡδύ ἐστιν, ἐὰν ᾖ αἰσθητή, ἕνεκα δέ τινος ἵνα γένεσις ᾖ ζῴων· διὰ γὰρ τὴν ἡδονὴν μᾶλλον ὁρμᾷ πρὸς τὴν μῖξιν τὰ ζῷα.

16. Διὰ τί ἡ λαγνεία πρὸς νοσήματ' ἔνια τῶν ἀπὸ φλέγματος συμφέρει; Ἢ ὅτι περιττώματός ἐστιν ἔξοδος, ὥστε συνεκκρίνεται πολλὴ περίττωσις; τὸ δὲ φλέγμα περίττωμα.

17. Διὰ τί τὰ ἀφροδίσια τὴν κοιλίαν ψύχει καὶ ξηραίνει; Ἢ ψύχει μέν, ὅτι ἐκκρίνεται τὸ θερμὸν ἐν τῇ μίξει; ξηραίνει δ' ἡ μῖξις· ἐξατμίζεται γὰρ τοῦ θερμοῦ ἐξιόντος, ἐξέρχεται δὲ ψυχομένου. Ἔτι καὶ ἡ θερμότης ἐν τῇ ὁμιλίᾳ ξηραίνει.

18. Διὰ τί, ὅσοις αἱ βλεφαρίδες ῥέουσι, λάγνοι; Ἢ διὰ τὸ αὐτὸ καὶ διότι οἱ φαλακροί; ἔστι γὰρ μόρια ἄμφω ταῦτα τοῦ αὐτοῦ. Ἔστι δὲ τὸ αἴτιον· ὁπόσαι πρεσβυτέρου γινομένου μὴ αὐξάνονται τῶν συγγενικῶν τριχῶν, ἅπασαι τοῦτο πάσχουσιν ἐν ταῖς λαγνείαις· κεφαλὴ γὰρ καὶ ὀφρὺς καὶ βλεφαρὶς συγγενικαὶ τρίχες. Τούτων δὲ μόνον ἐνίοις αἱ ὀφρύες δασύνονται πρεσβυτέροις γινομένοις (δι' ἣν δ' αἰτίαν, εἴρηται ἐν ἄλλοις), αἱ ἕτεραι δὲ διὰ τὸ αὐτὸ ἄμφω λείπουσιν. Αἴτιον δ'

antur, sed ex aliena, quemadmodum quæ excrementis constiterint, ut quod ex stercore. Omnia vero hujuscemodi ex semine creari quod corrumpitur, inde patet, quia si non ex hujusmodi semine creatus sit, quod creatur, tale naturaliter fit quale illud est de quo semen genitale prodierit, si de equo, equus, si de homine, homo. Nec semen magni facimus ipsum, nec omne quod inter generandum absolvitur: tunc enim humor et moles quædam et caro consistunt; interdum tamen, quoniam nondum naturam adeptum est, nisi excipias tantam solummodo naturæ partem, quanta ad hoc efficiendum subficit, ut ex illo tale creari possit quales nos sumus; e corrupto autem semine ne tale quidem enasci potest. Causa est hæc cur nec alia ex re intra nostrum corpus, nec ex semine corrupto, aut imperfecte se habente quod provenit, proles nostra sit.

14. Cur minus in aqua homines concumbere queunt? An quod res nulla in aqua liquatur quæcumque ab igne liquefit, ceu plumbum, aut cera; genituram autem igne liquescere constat? haud enim prius liquatur quam per adtritum recaleat. Pisces tamen adtritu non coeunt.

15. Qua de causa suavissimus concubitus est, et utrum necessario exstat apud animantes, an rei cujuspiam gratia? An suavis quidem est, quoniam aut toto ex corpore semen profluit, ut aliqui volunt, aut quia et, quamvis non toto ex corpore profluat, tamen per hujusmodi partem transit in quam meatus venarum omnes convergunt? cum igitur voluptas ejusdem generis sit ac quæ pruritu fit, efficitur ut hæc quasi per corpus obcurrat universum: prurigo enim jucunda est, utpote quum secessio humoris spirituosi contra naturam intus conclusi sit; genitura vero secessio humoris ejusmodi est ad id quod ei a natura destinatur. Suavis autem tum ex necessitate, tum rei cujuspiam gratia concubitus est, ex necessitate quidem, quod iter tendens ad scopum a natura destinatum suave est, si modo a sensu percipi queat; rei vero cujuspiam gratia, ut ortus sit animantium: facit enim voluptas ut animantes ad coitum ardentius excitentur.

16. Cur lascivia morbis a pituita oriundis nonnullis prodest? An quoniam excrementi exitus est, ita ut simul multum redundantis materiæ excernatur? pituita enim excrementum est.

17. Cur res venerea ventrem refrigerat et siccat? An refrigerat quidem, quoniam calor in concumbendo excernitur? siccat vero congressus, quippe quum evaporatio fit, dum calor exit; egreditur tamen quia refrigeratur. Adde etiam quod calor per coitum siccat.

18. Cur salaces hi sunt quibus pili palpebrarum defluunt? An ob id ipsum quo etiam calvi? sunt enim hæc ambo partes rei ejusdem. Causa autem hæc est: quicumque ex pilis congenitis ætate jam provecta non crescunt, hi omnes ita adficiuntur libidinis usu immoderato: capillus enim et supercilium et cilium congeniti sunt pili. Ex his vero supercilia tantum nonnullis senescentibus hirsuta fiunt (quod cur ita sit, alibi rationem adtulimus); reliqua autem utraque genera eadem de causa deficiunt. Causa au-

ὅτι καταψύχει τὰ ἄνω ἡ λαγνεία ὀλίγαιμα ὄντα, ὥστ' οὐ πέττει τὴν τροφὴν ὁ τόπος· οὐ λαμβάνουσαι δὲ τροφὴν ἐκρέουσιν αἱ τρίχες.

19. Διὰ τί οὐρητιῶντες οὐ δύνανται ἀφροδισιάζειν; Ἢ ὅτι πλήρεις γίνονται οἱ πόροι, τὸ δὲ πλῆρες ὑγροῦ οὐ δέχεται ἄλλο ὑγρόν;

20. Διὰ τί αἱ ἰξίαι τοὺς ἔχοντας κωλύουσι γεννᾶν, καὶ ἀνθρώπους καὶ τῶν ἄλλων ζῴων ὅ τι ἂν ἔχῃ; Ἢ ὅτι ἡ ἰξία γίνεται μεταστάντος πνεύματος (διὸ καὶ ὠφελεῖ πρὸς τὰ μελαγχολικά)· ἔστι δὲ καὶ ὁ ἀφροδισιασμὸς μετὰ πνεύματος ἐξόδου; Εἰ οὖν ὁδοποιεῖται ἡ ὁρμὴ γινομένου αὐτοῦ, οὐ ποιεῖ ὁρμᾶν τὸ σπέρμα, ἀλλὰ καταψύχεται. Μαραίνει οὖν τὴν συντονίαν τοῦ αἰδοίου.

21. Διὰ τί οἱ ἀφροδισιάζοντες ἐκλύονται καὶ ἀσθενέστεροι γίνονται ὡς ἐπὶ τὸ πολύ; Πότερον διὰ τὸ ἀπὸ πάντων ἔκκρισιν εἶναι τὸ σπέρμα, ὥσθ' οἷον οἰκοδομήματος αἱ ἁρμονίαι, καὶ τοῦ σώματος οὕτω σειομένη ἡ σύνθεσίς ἐστι τῷ ἀπεληλυθέναι τι, οἷον εἰ τὸ αἷμα ἐξέλθοι ἢ πᾶν ὅ τι ἄλλο μέρος; Οὕτω σφόδρα ἐπίκαιρον τὸ ἐξιόν ἐστι, καὶ ὃ ἐκ πολλῆς γίνεται τροφῆς ὀλίγον, οἷον τὸ ἀμύλιον ἐκ τοῦ σταιτός.

22. Διὰ τί οἱ ἀφροδισιάζοντες καὶ οὐρητιῶντες ἐντείνουσιν; Ἢ ὅτι πληρουμένων τῶν πόρων ὑγρότητος, τὸ σπέρμα ὑπεξιὸν ἐν ἐλάττονι τόπῳ πλείονά τ' ὄγκον ποιεῖ καὶ αἴρει; ἐπίκειται γὰρ τὸ αἰδοῖον ἐπὶ τοῖς πόροις.

23. Διὰ τί ἡ σύντασις γίνεται τοῦ αἰδοίου καὶ ἡ αὔξησις; Ἢ διὰ δύο, διά τε τὸ βάρος ἐπιγίνεσθαι ἐν τῷ ὄπισθεν τῶν ὄρχεων αἴρεται (ὑπομόχλιον γὰρ οἱ ὄρχεις γίνονται), καὶ διὰ τὸ πνεύματος πληροῦσθαι τοὺς πόρους; Ἢ τοῦ ὑγροῦ αὐξανομένου καὶ μεθισταμένου, ἢ ἐξ ὑγροῦ γινομένου ὁ ὄγκος μείζων γίνεται; τὰ λίαν δὲ μεγάλα ἧττον αἴρεται διὰ τὸ πορρωτέρω τὸ βάρος τοῦ ὑπομοχλίου γίνεσθαι.

24. Διὰ τί οἱ ἀφροδισιάζοντες, ἢ οἱ τοιοῦτοι δυσώδεις, οἱ δὲ παῖδες οὔ, καὶ τοῦ καλουμένου γράσου ὄζουσιν; Ἢ τῶν πνευμάτων, ὥσπερ εἴρηται, τὰ μὲν τῶν παιδίων πέττει τὸ ὑγρὸν καὶ τοὺς ἱδρῶτας, οἱ δὲ τῶν ἀνδρῶν ἄπεπτοι;

25 Διὰ τί ἐν τῷ θέρει οἱ μὲν ἄνδρες ἧττον δύνανται ἀφροδισιάζειν, αἱ δὲ γυναῖκες μᾶλλον, καθάπερ καὶ ὁ ποιητὴς λέγει ἐπὶ τῷ σκολύμῳ (ἡμ. κ. ἔργ. 586)·

Μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τοι ἄνδρες;

Πότερον ὅτι οἱ ὄρχεις καθίενται μᾶλλον ἢ ἐν τῷ χειμῶνι, ἀνάγκη δέ, εἰ μέλλει ἀφροδισιάζειν, ἀνασπάσαι; Ἢ ὅτι αἱ θερμαὶ φύσεις ἐν τῷ θέρει συμπίπτουσιν ὑπερβάλλοντος τοῦ θερμοῦ, αἱ δὲ ψυχραὶ θάλπουσιν, ἔστι δὲ ὁ μὲν ἀνὴρ ξηρὸς καὶ θερμός, ἡ δὲ γυνὴ ψυχρὰ καὶ ὑγρά; Τοῦ μὲν οὖν ἀνδρὸς ἠμαύρωται ἡ δύναμις, τῶν δὲ θάλλει ἐπανισουμένη τῷ ἐναντίῳ.

tem est quod partes superiores, utpote sanguinis parum obtinentes, libido refrigerat, ita ut locus hic alimentum non concoquat; pili autem alimentum non recipientes defluunt.

19. Quam ob causam micturientes concumbere nequeunt? An quod meatus implentur; quod autem plenum humoris est, alium humorem non recipit?

20. Cur varices generare vetant qui iis tenentur, cum homines, tum quodcumque aliud animal eos habuerit? An quod varix flatu translato fit (quocirca et vitiis ab atra bile profectis prodest); concubitum autem flatus exitus itidem comitatur? Quodsi igitur nascente flatu impetus ejus præparatus est, seminis impetum non excitat, sed refrigeratur. Efficit igitur ut penis tentigo emarcescat.

21. Quare qui concumbunt, enervantur ac debiliores fiunt magna ex parte? Utrum quod semen omni ex parte corporis secretio est, ita ut perinde ac ædificii juncturæ, sic corporis compactio quatiatur eo quod aliqua pars decessit, quasi sanguis, aut quævis pars alia exiisset? Ita quod exit, maximi momenti est, et quod ex multo alimento in exiguam molem redigitur, quemadmodum amylum ex massa farinacea.

22. Cur concumbentes et micturientes penem intendunt? An quod ubi meatus pleni sunt humore, semen clam subiens in angustiori loci molem efficit atque extollit ampliorem? penis etenim meatibus impositus est.

23. Quam ob causam tentigo et amplificatio penis exsistit? An duplex causa est, turgetque tum quia pondus adcedit in spatio pone testes sito (testes enim fulcimentum vectis fiunt), tum quod foramina spiritu implentur? An humore aucto translatoque, vel ex humore qui jam fit, moles amplior redditur? penis tamen valde magnus minus turget, quia pondus longius a fulcimento removetur.

24. Qua de causa qui rem agunt veneream, aut qui hujusmodi sunt, male olent, atque id quod hircus vocatur; pueri autem non? An apud pueros quidem flatus, ut dictum jam est, ac sudores concoquit humor, apud viros autem crudi sunt?

25. Cur per æstatem viri quidem minus, mulieres vero magis concumbere valent: quod poeta quoque de scolymo locutus dicit:

Salacissimæ autem mulieres, debilissimi tamen viri

Utrum quod testes magis demittuntur quam per hyemem, quum qui concubiturus est, retrahat illos necesse sit? An quoniam calidæ quidem naturæ per æstatem, calore modum excedente, collabuntur; frigidæ vero ardent; est autem vir quidem siccus et calidus, mulier vero frigida humidaque? Ergo virorum tunc vires infirmatæ sunt, mulierum vero vigent per compensationem qualitatis contrariæ.

26. Διὰ τί ἔνιοι ἀφροδισιαζόμενοι χαίρουσι, καὶ οἱ μὲν ἅμα δρῶντες, οἱ δ' οὔ; Ἢ ὅτι ἔστιν ἑκάστῃ περιττώσει τόπος εἰς ὃν πέφυκεν ἀποκρίνεσθαι κατὰ φύσιν, καὶ πόνου ἐγγινομένου τὸ πνεῦμα ἐξιὸν ἀνοιδεῖν ποιεῖ, καὶ συνεκκρίνει αὐτήν, οἷον τὸ μὲν οὖρον εἰς κύστιν, ἡ δ' ἐξικμασμένη τροφὴ εἰς κοιλίαν, τὸ δὲ δάκρυον εἰς ὄμματα, μύξαι δ' εἰς μυκτῆρας, αἷμα δ' εἰς φλέβας; Ὁμοίως δὴ τούτοις καὶ ἡ γονὴ εἰς ὄρχεις καὶ αἰδοῖα. Οἷς δὴ οἱ πόροι μὴ κατὰ φύσιν ἔχουσιν, [ἀλλ'] ἢ διὰ τὸ ἀποτυφλωθῆναι τοὺς εἰς τὸ αἰδοῖον, οἷον συμβαίνει τοῖς εὐνούχοις καὶ εὐνουχίαις, ἢ καὶ ἄλλως, εἰς τὴν ἕδραν συρρεῖ ἡ τοιαύτη ἰκμάς· καὶ γὰρ διεξέρχεται ταύτῃ. Σημεῖον δ' ἐν τῇ συνουσίᾳ ἡ συναγωγὴ τοῦ τοιούτου τόπου καὶ ἡ σύντηξις τῶν περὶ τὴν ἕδραν. Ἐὰν οὖν ὑπερβάλλῃ τις τῇ λαγνείᾳ, τούτοις ἐνταῦθα συνέρχεται, ὥσθ' ὅταν ἡ ἐπιθυμία γένηται, τοῦτ' ἐπιθυμεῖ τῆς τρίψεως εἰς ὃ συλλέγεται· ἡ δ' ἐπιθυμία καὶ ἀπὸ σιτίων καὶ ἀπὸ διανοίας γίνεται· ὅταν γὰρ κινηθῇ ὑφ' ὁτουοῦν, ἐνταῦθα τὸ πνεῦμα συντρέχει, καὶ τὸ τοιοῦτο περίττωμα συρρεῖ οὗ πέφυκεν. Κἂν μὲν λεπτὸν ᾖ, ἢ πνευματῶδες, τούτου ἐξελθόντος, ὥσπερ αἱ συντάσεις τοῖς παισὶ καὶ τοῖς ἐν ἡλικίᾳ ἐνίοτε οὐθενὸς ὑγροῦ ἐκκριθέντος, παύονται, ὅταν (ὁτέ?) δὲ κατεσβέσθῃ τὸ ὑγρόν. Ἐὰν δὲ μηδέτερον τούτων πάθῃ, ἐπιθυμεῖ ἕως ἄν τι τούτων συμβῇ. Οἱ δὲ φύσει θηλυδρίαι οὕτω συνεστᾶσιν ὥστ' ἐκεῖ μὲν μὴ ἐκκρίνεσθαι, ἢ ὀλίγην, οὗπερ τοῖς ἔχουσι κατὰ φύσιν ἐκκρίνεται, εἰς δὲ τὸν τόπον τοῦτον. Αἴτιον δ' ὅτι παρὰ φύσιν συνεστᾶσιν· ἄρσενες γὰρ ὄντες οὕτω διάκεινται ὥστ' ἀνάγκη τὸν τόπον τοῦτον πεπηρῶσθαι αὐτῶν. Πήρωσις δ' ἡ μὲν ὅλως ποιεῖ φθόρον, ἡ δὲ διαστροφήν. Ἐκείνη μὲν οὖν οὐκ ἔστιν· γυνὴ γὰρ ἂν ἐγένετο. Ἀνάγκη ἄρα παρεστράφθαι καὶ ἄλλοθί που ὁρμᾶν τῆς γονικῆς ἐκκρίσεως· διὸ καὶ ἄπληστοι, ὥσπερ αἱ γυναῖκες· ὀλίγη γὰρ ἡ ἰκμάς, καὶ οὐ βιάζεται ἐξιέναι, καὶ καταψύχεται ταχύ. Καὶ ὅσοις μὲν ἐπὶ τὴν ἕδραν, οὗτοι πάσχειν ἐπιθυμοῦσιν, ὅσοις δ' ἐπ' ἀμφότερα, οὗτοι καὶ δρᾶν καὶ πάσχειν· ἐφ' ὁπότερα δὲ πλεῖον, τούτου μᾶλλον ἐπιθυμοῦσιν. Ἐνίοις δὲ γίνεται καὶ ἐξ ἔθους τὸ πάθος τοῦτο· ὅσα γὰρ ἂν ποιῶσι, συμβαίνει αὐτοῖς χαίρειν καὶ προΐεσθαι τὴν γονὴν οὕτως. Ἐπιθυμοῦσιν οὖν ποιεῖν οἷς ἂν ταῦτα γίνηται, καὶ μᾶλλον τὸ ἔθος ὥσπερ φύσις γίνεται. Διὰ τοῦτο ὅσοι ἂν μὴ πρὸ ἥβης, ἀλλὰ περὶ ἥβην ἐθισθῶσιν ἀφροδισιάζεσθαι, διὰ τὸ γίνεσθαι αὐτοῖς ἐν τῇ χρείᾳ τὴν μνήμην, ἅμα δὲ τῇ μνήμῃ τὴν ἡδονήν, διὰ δὲ τὸ ἔθος ὥσπερ πεφυκότες ἐπιθυμοῦσι πάσχειν· τὰ μέντοι πολλὰ καὶ τὸ ἔθος ὥσπερ πεφυκόσι γίνεται. Ἐὰν δὲ τύχῃ λάγνος ὢν καὶ μαλακός, καὶ θᾶττον ἕκαστα τούτων συμβαίνει.

27. Διὰ τί μάλιστ' αἰσχύνονται ὁμολογεῖν οἱ ἐπιθυμοῦντες ἀφροδισιάζεσθαι, ἀλλ' οὐ πιεῖν, οὐδὲ φαγεῖν, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν; Ἢ ὅτι τῶν μὲν πλείστων ἀναγκαῖαι αἱ ἐπιθυμίαι, ἔνια δὲ καὶ ἀναιρεῖ τοὺς μὴ

26. Cur nonnulli rem veneream cum voluptate patiuntur, et alii quidem simul agentes, alii vero non? An quod excrementis singulis locus destinatus a natura est, in quem instituto secernitur naturali, eumque suborto labore spiritus exiens turgere facit, excrementumque una excernit, verbi causa, urinam in vesicam, cibum exsuctum in alvum, lacrymam in oculos, mucorem in nares, sanguinem in venas. Eodem itaque modo quo hæc quoque, genitura in testes et penem amandata est Quibus igitur meatus non secundum naturam dispositi sunt, vel quia obcœcati sunt qui ad penem tendunt (quod spadonibus hisque similibus evenit), vel etiam alio modo, his talis humor in sedem confluit, quippe qui hac transmeare soleat: quod ejus loci contractio in coeundo et partium sedi adpositarum consumptio indicant. Quodsi quis igitur lasciviæ indulgeat, in eum locum se colligit, ita ut quum excitata cupido est, adtritum pars ea desideret, in quam confluit excrementum; cupido autem excitatur tum a cibo, tum a cogitatione: quum enim quacumque demum de causa libido commota fuerit, illuc spiritus concurrit, et genus id excrementi confluit in locum quem ejus natura fert. Et si tenue spirituosumve est, quum spiritus exierit, requiescunt, quemadmodum pueris et adultis interdum nullo secreto humore cessant tentigines; interdum vero exstinguitur humor. Quodsi vero neutrum horum accidit, cupiunt quousque alterutrum adcidat. Natura vero effeminati ita constant ut illuc quidem vel nihil, vel minimum excernatur, quo illis secernitur qui secundum naturam sese habent, sed eum in locum: quod propterea evenit quia præter naturam constiterunt: quum enim mares sint, ita dispositi sunt ut hæc pars apud eos necessario mutilata sit. Mutilatio autem modo quidem omnino perniciem, modo vero perversionem adfert. Illa itaque non adest: ita enim mulier esset. Ergo perverti atque aliorsum aliquo ferri quam ad locum secernendo semini destinatum necesse est: quapropter et insatiabiles sunt modo mulierum: humor enim exiguus est, nec exitum vi requirit, refrigeraturque celeriter. Quibus itaque sedem humor adit, ii pati avent; quibus autem in utramque partem sese dispertit, ii et agere et pati cupiunt, ac prouti in alterutrum magis adfluxerit, id plenius. Sunt tamen quibus vel ex consuetudine adfectus hic adcidat · quæcumque enim fecerint, evenit iis ut sic quoque genituram emittere gestiant. Ergo facere cupiunt, quibuscumque hæc ipsis evenerunt, et consuetudo potius quasi natura fit. Hanc ob causam quibuscumque non ante pubertatem, sed in ea, consuetudo patiendi invaluit, quoniam his in ipso coitu memoria, una autem cum memoria voluptas adcidit, propter consuetudinem scilicet pati cupiunt, perinde ac nati ad patiendum; magna tamen ex parte et consuetudo fit perinde ac si ad patiendum nati essent. Sed si adcidat ut salax et mollis sit, vel expeditius hæc omnia eveniunt.

27. Cur viros rem pati veneream cupientes confiteri se cupere maxime pudet, bibendi vero, aut edendi, aut aliud quid ejusmodi faciendi desiderio quum teneantur, confiteri non pudet? An quod plerarumque harum rerum cupiditates necessariæ sunt, imo nonnullæ, nisi expleantur, interi-

τυγχάνοντας· ἡ δὲ τῶν ἀφροδισίων ἐκ περιουσίας ἐστίν.

28. Διὰ τί οἱ μὲν ἄνδρες τοῦ χειμῶνος, αἱ δὲ γυναῖκες τοῦ θέρους ὁρμητικώτεραι πρὸς τὰ ἀφροδίσια; Ἢ ὅτι οἱ μὲν ἄνδρες θερμοὶ μᾶλλον καὶ ξηροὶ τὰς φύσεις, αἱ δὲ γυναῖκες ὑγραὶ καὶ κατεψυγμέναι; Τοῖς μὲν οὖν τὸ ὑγρὸν καὶ τὸ θερμὸν αὔταρκες πρὸς τὴν ὁρμὴν τοῦ χειμῶνος (ἡ δὲ τοῦ σπέρματος γένεσις ἐκ τούτων), ταῖς δὲ τὸ θερμὸν ἔλαττον καὶ τὸ ὑγρόν ἐστι πεπηγὸς διὰ τὴν ἔνδειαν τοῦ πυρός, τοῦτο (τοῦ?) δὲ θέρους ταῖς μέν ἐστι σύμμετρον τὸ θερμόν, τοῖς δὲ πλέον τοῦ ἱκανοῦ· τὸ γὰρ ἄγαν πολὺ ἐκλύει τῆς δυνάμεως· διὸ καὶ τὰ παιδία τοῦ θέρους λεπτότερα· συμβαίνει γὰρ πῦρ ἐπὶ πῦρ φέρειν.

29. Διὰ τί ὅσοι θερμοὶ τὴν φύσιν, ἐὰν ἰσχυροὶ ὦσι καὶ εὐτραφεῖς, ἐὰν μὴ ἀφροδισιάσωσι, χολή τε προΐσταται αὐτοῖς πολλάκις καὶ ἔκπικρον ὑποχωρεῖ καὶ φλέγμα ἁλμυρὸν γίνεται, καὶ ἀλλοχροοῦσιν; Ἢ ὅτι μετὰ τοῦ σπέρματος ἀεὶ περίττωμα συναπέρχεται; διὸ καὶ ἐνίοις τῶν πνευματικῶν ἰχθύων πλύντρου ὄζει ἡ γονή. Ἀφροδισιάζουσι μὲν οὖν τοῦτο συναπέρχεται, ὥστ' οὐ λυπεῖ· μὴ ἁπτομένοις δὲ τῆς ὁμιλίας τὸ περίττωμα ἐκπικροῦται, ἢ ἁλμυρὸν γίνεται.

30. Διὰ τί ἀφροδισιαστικοὶ οἱ μελαγχολικοί; Ἢ ὅτι πνευματώδεις, τὸ δὲ σπέρμα πνεύματος ἔξοδός ἐστιν; Οἷς οὖν πολὺ τὸ τοιοῦτον, ἀνάγκη πολλάκις ἐπιθυμεῖν ἀποκαθαίρεσθαι· κουφίζονται γάρ.

31. Διὰ τί καὶ οἱ ὄρνιθες, καὶ οἱ δασεῖς ἄνθρωποι λάγνοι; Πότερον ὅτι ὑγρότητα ἔχουσι πολλήν; Ἢ οὔ (τὸ γὰρ θῆλυ ὑγρὸν μέν, ἀλλ' οὐ δασύ), ἀλλ' ὅτι ἀμφότεραι αἱ φύσεις πεπτικαὶ πολλῆς ὑγρότητος διὰ θερμότητα; Σημεῖον δ' αἱ τρίχες καὶ τὰ πτερά. Ἢ ὅτι πολὺ τὸ ὑγρόν, καὶ κρατεῖται ὑπὸ τοῦ θερμοῦ; οὔτε γὰρ ἂν μὴ πολλῆς οὔσης τῆς ὑγρότητος, οὔτε μὴ κρατουμένης ἐξεφύετο τοῖς μὲν αἱ τρίχες, τοῖς δὲ τὰ πτερά. Τὸ δὲ σπέρμα γίνεται ἐν τοῖς τοιούτοις πλεῖστον καὶ τόποις καὶ ὥραις, οἷον ἐν τῷ ἔαρι· ἡ γὰρ φύσις αὐτοῦ ὑγρὰ καὶ θερμή. Διὰ ταὐτὸ δὲ καὶ οἱ ὄρνιθες λάγνοι καὶ οἱ χωλοί· ἡ γὰρ τροφὴ ἀμφοτέροις κάτω μὲν ὀλίγη διὰ τὴν ἀναπηρίαν τῶν σκελῶν, εἰς δὲ τὸν ἄνω τόπον ἔρχεται καὶ εἰς σπέρμα συγκρίνεται.

32. Διὰ τί, ἐὰν ἀφροδισιάζῃ ὁ ἄνθρωπος, οἱ ὀφθαλμοὶ ἀσθενοῦσι μάλιστα; Ἢ δῆλον ὅτι ἀπολείποντος τοῦ ὑγροῦ τοῦτο γίνεται; Τεκμήριον δ' ὅτι ἡ γονὴ ψυχρά ἐστιν· οὐ γὰρ γίνεται ὑγρά, ἐὰν μὴ διαθερμάνῃ τὰ θερμά. Οὐδὲ δεῖται τήξεως· κέχυται γὰρ ἐν τῷ ἀνθρώπῳ ὥσπερ τὸ αἷμα.

munt : rei autem venereæ libido superflua est.

28. Cur viri quidem per hyemem, mulieres vero per æstatem rei venereæ adpetentiores sunt? An quod viris quidem calida natura et sicca est, mulieribus autem humida refrigerataque? Illis itaque humor et calor sufficiunt ad cupiditatem veneris hiberno tempore adcendendam (seminis enim generatio ex his fit), mulieribus autem et calor minor et humor concretus propter caloris inopiam tunc est; at per æstatem contra mulieribus calor modicus, viris largior quam satis sit : nimium enim virium robur enervat : quapropter infantes quoque per æstatem graciliores sunt : evenit enim ut ignis igni cumuletur.

29. Cur quibus natura calida est, si modo robusti plenique sint, nisi concumbant, apud eos sæpe bilis prædominatur et alvus peramara secedit, et pituita salsa fit et color corporis immutatur? An quod semper cum semine una excrementum exit? hinc etiam apud nonnullos spiritu abundantes piscium loturam genitura redolet. Igitur excrementum quoque illud concumbenti una decedit, ita ut molestiam non adferat; abstinenti autem amarum salsumve redditur.

30. Cur libidinosi sunt melancholici? An quod flatu redundant, semen autem decessio flatus est? Ergo quibus magna hujus copia inest, hos sæpe purgari adpetere necesse est : levantur enim.

31. Cur aves et pilosi homines salaces? Utrum quod multum humoris continent? An non (femina enim, quæ humida est, pilis vacat), sed potius quod genus illud utrumque naturæ multum humoris concoquere potest propter caliditatem? Indicio pilus est atque penna. An quod multum inest humoris, et id a calore superatur? neque enim si multum non esset humoris, neque si non a calore vinceretur, apud illas quidem pennæ, apud hos vero pili pullularent. Seminis autem maxima copia fit in hujusmodi locis et tempestatibus, ut in vere : nam ejus natura et humida et calida est. Eadem autem de causa et aves et claudi homines salaces sunt : alimentum enim utrisque deorsum quidem exiguum profluit propter mutilationem crurum, in sublime vero effertur atque in semen coagmentatur.

32. Cur homini, ubi concumbit, oculi potissimum debiles sunt? An manifestum est humore deficiente hoc adcidere? Probat vero id frigidam esse genituram, quod humida numquam redditur, nisi eam calefecerint calida. Nec desiderat colliquationem, quandoquidem intra hominem effusa est, quemadmodum sanguis.

ΤΜΗΜΑ Ε.

ΟΣΑ ΑΠΟ ΚΟΠΟΥ.

1. Διὰ τί μακροὶ μὲν ὄντες οἱ περίπατοι ἐν τοῖς ὁμαλέσι κοπιαρώτεροί εἰσι τῶν ἀνωμάλων, βραχεῖς δ' ἀκοπώτεροι; Ἢ ὅτι ἥ τε πολλὴ κίνησις ποιεῖ κόπον καὶ ἡ ἰσχυρά, τοιαύτη δ' ἡ σπασματώδης, πολλὴ δ' ἡ συνεχὴς καὶ μία; Ἐν μὲν οὖν τοῖς ἀνάντεσιν, ἐὰν ᾖ μακρά, ἀνάπαυσις γίνεται ἡ μεταβολή, καὶ οὐ μακρὰ ἡ κίνησις, οὐδ' ἵππων αὐτῶν, διὰ τὴν μεταβολήν· ἐν δὲ τοῖς ὁμαλέσιν ἡ ὁμοιότης τοῦ σχήματος οὐ διαλαμβάνει, οὐδὲ ἀναπαύει τὰ μέρη, ἀλλὰ συνεργάζεται πρὸς τὸ συνεχῆ τὴν κίνησιν εἶναι. Ὅταν δ' ᾖ βραχεῖα, διὰ μὲν τὸ πλῆθος τῆς κινήσεως ἐν τοῖς ἐπιπέδοις οὐ γίνεται κόπος· ἐν δὲ τοῖς ἀνάντεσιν διὰ τὸ τὴν μεταβολὴν ἰσχυρὰν γίνεσθαι καὶ ἐναντίαν, ὁτὲ μὲν ἄνω, ὁτὲ δὲ κάτω, ποιεῖ κόπον. Τοιαύτη δέ, ὥς φαμεν, ἐν τοῖς ἀνάντεσιν, ἐν δὲ τοῖς πεδινοῖς τοὐναντίον.

2. Διὰ τί τοῖς λιποψυχοῦσι καὶ τοῖς ἐκ τῶν γυμνασίων διαλυομένοις ἐλάττους θ' οἱ ὄγκοι καὶ ὀξύτεραι δοκοῦσιν εἶναι αἱ φωναί; Ἢ ὅτι αἵ τε φωναὶ ἐλάττους φαινόμεναι ὀξύτεραι φαίνονται (σημεῖον δ' ὅτι μιμούμενοι τοὺς πόρρωθεν ὀξὺ φθέγγονται) καὶ οἱ ὄγκοι ἐλάττους;

3. Διὰ τί ἡ γαστὴρ μόνον λεπτύνεται τῶν γυμναζομένων; Ἢ ὅτι πλείστη ἡ πιμελὴ περὶ τὴν γαστέρα;

4. Διὰ τί τὸ πῖον τετριμμένον γίνεται τοῖς πονοῦσιν; Ἢ διότι τὸ πῖον τήκεται θερμαινόμενον, ἡ δὲ κίνησις θερμαίνει, ἡ δὲ σὰρξ οὐ τήκεται;

5. Διὰ τί δὲ τὰ περὶ τὴν κοιλίαν πιότατα; Πότερον ὅτι ἐγγύς ἐστι τῆς τροφῆς; Ἐν ὅσῳ οὖν τἆλλα παρ' ἐκείνης λαμβάνει, αὐτὴ πολλάκις λαμβάνει. Ἢ ὅτι ἥκιστα πονεῖ; καμπὰς γὰρ οὐκ ἔχει.

6. Διὰ τί οἱ κόποι μᾶλλον παύονται, ὅταν τις τῷ ἐλαίῳ ὕδωρ συμμίξας ἀνατρίψηται; Ἢ ὅτι μᾶλλον εἰσδύεται τὸ ἔλαιον μετὰ τοῦ ὕδατος· ἐὰν δ' αὐτὸ καθ' αὑτὸ ᾖ, οὐχ ὁμοίως παρεισδύνει διὰ τὸ ἐπιπολαστικὸν εἶναι; Μᾶλλον οὖν μαλάττεται τὸ σῶμα εἰσδυομένου, ἐπεὶ τὸ ἔλαιόν ἐστι φύσει θερμόν, τὰ δὲ θερμὰ καὶ ξηραίνει καὶ σκληρύνει, πρὸς δὲ τοὺς κόπους ἀξύμφορόν ἐστιν ἡ ξηρασία καὶ ἡ σκληρότης· μετὰ δὲ τοῦ ὕδατος ἀνατριφθὲν ἧττον ξηραίνει.

7. Διὰ τί τοῖς κοπιῶσι προστάττουσιν ἐμεῖν, εἴπερ ὁ ἔμετος κοπῶδές ἐστιν; Ἢ κόπος γίνεται ὀστῶν θλωμένων καὶ πιεζομένων καὶ κοπιωμένων, ταῦτα δ' ὑπὸ τῶν ἐκτός τινος πάσχοι ἄν, ἢ τῶν ἐν τῷ σώματι, καὶ τοῦτο διττῶς; ἢ γὰρ σαρκῶν ὑπερτεινουσῶν τὴν δύναμιν αὐτῶν, ἢ σώματος μιχθέντος συχνοῦ τῷ ἄλλῳ σώματι χώραν οἰκείαν οὐκ ἔχοντος, οἷα τὰ περιττώματά ἐστιν· πάντα

SECTIO V.

QUÆ AD LASSITUDINEM PERTINENT.

1. Cur ambulationes prolixæ quidem per plana laboriosiores sunt quam per inæqualia, breves autem non æque lassant? An quod tum multus, tum vehemens motus lassitudinem facit, est autem ejusmodi qui vulsivus, multus vero qui continens unusque est? Per loca igitur adclivia, si diutina motio est, requiem mutatio præstat, neque longa est motio, ne ipsorum quidem equorum, propter mutationem; in planis autem habitus similitudo nihil interpellat, nec membris præstat quietem, sed confert ad motionem continuam reddendam. At vero si brevis sit, propter nimietatem quidem motus in plánis non oritur lassitudo; in adclivibus autem, quoniam mutatio vehemens atque in contraria fit, modo quidem sursum, modo vero deorsum, lassitudinem facit; talis vero motus, ut dictum est, qui per adclivia agitur; contrarius vero qui per plana.

2. Quam ob causam iis qui animo deficiunt, et qui præ nimio exercitandi labore dissolvuntur, moles minor et vox acutior esse videntur? An quia voces quæ minores adparent, acutiores esse videntur (argumentum, quod qui remotos imitantur, acute proferunt), itemque moles minores?

3. Cur venter tantummodo extenuatur eorum qui se exercitationi dedunt? An quoniam pinguedo plurima circa ventrem invenitur?

4. Cur pinguedo eorum qui se laboribus dedunt, adtrita fit? An quoniam pingue concalefactum liquescit, motio autem concalfacit; verum caro non liquatur?

5. Cur partes circa ventrem pinguissimæ? Utrum quod cibo propinquus est? Dum itaque cetera membra ex ventre hauriunt, venter ipse sibi sæpius ingerit. An quoniam minime venter laborat? flexus enim non habet.

6. Cur melius lassitudines tum cessant, ubi quis ex aqua oleo permixta se perfricuit? An quoniam oleum magis subit aqua admixta; sin vero per se ipsum, non æque se insinuat, quippe quum innatare solet? Ubi itaque subit, corpus amplius emollitur, quum oleum natura calidum est, calidum autem quodque et siccat et indurat; sed adversus lassitudinem siccitas et durities non conferunt; contra si aqua per frictiones admisceatur, minus siccat.

7. Cur lassis evomendum præcipitur, quum tamen vomitus sit laboriosus? An lassitudo contusis ossibus, aut pressatis, aut fatigatis consequi solet : quos quidem adfectus patiuntur a causa aut interna, aut intra corpus obvia, idque bifariam? aut enim carnibus vires suas excedentibus, aut corpore quodam magna copia cetero corpori admixto, quod locum proprium non habet, cujusmodi excrementa

γὰρ τὰ ἐκτὸς ἡμῖν περιαπτόμενα βάρη κοπωδέστερα τῶν τοῦ σώματος μερῶν, κἂν τύχῃ σταθμῷ ὄντα αὐτῶν ἐλαφρότερα. Σημεῖον δὲ τῶν εἰρημένων· οἱ γὰρ πλεῖον βεβρωκότες καὶ πεπωκότες, ἔλαττον πονήσαντες ἢ νήστεις ὄντες, μᾶλλον κοπιῶσι διὰ τὸ μὴ τὴν οἰκείαν χώραν ἔχειν τὰ σιτία ὄντα ἄπεπτα. Ἐπεὶ δ' ὁ κόπος σύντηξιν ποιεῖ, ἡ δὲ σύντηξις περίττωμά ἐστι, τοῦτό ἐστιν ὃ τὸν κόπον ἐν ἡμῖν ποιεῖ, πλανώμενον ἀτάκτως καὶ προσπῖπτον ὀστοῖς τε καὶ νεύροις καὶ τοῖς ἐντὸς τῆς σαρκὸς ἀραιοῖς οὖσι καὶ ἀνεῳγμένοις. Ὁ οὖν ἔμετος ἐξάγων αὐτὸ ὂν αἴτιον τοῦ κόπου, εἰκότως ἀκόπους ποιεῖ· λείπει γὰρ οἷον ἦν ἐν ἀρχῇ τοῦ πόνου τὸ σῶμα. Κοπῶδες δ' ἐστὶν ὁ ἔμετος οὐ τῇ τῆς γινομένης ἐν αὐτῷ κινήσεως ὑπερβολῇ, ἀλλ' ὅταν συμβῇ μὴ καλῶς ἐξεμέσαι· λειφθέντων γὰρ πολλῶν σιτίων, καὶ περιττωμάτων τούτοις ἐνόντων, τὸν τοῦ ἐμέτου κόπον γίνεσθαι συμβαίνει, καθάπερ ἐπὶ τῶν πεπληρωμένων εἴρηται. Εἰ οὖν μηδ' ἐκείνοις ὁ πόνος ἐστὶ τοῦ κόπου αἴτιος, ἀλλὰ τὸ οὕτως ἔχοντας πονῆσαι, οὐδ' ἂν τοῖς μὴ ἐξαιροῦσι τὰ σιτία ὁ ἔμετος εἴη τοῦ κόπου αἴτιος· χρῆν γὰρ πᾶσι τοῖς ἐμοῦσι γίνεσθαι κόπον, γίνονται δ' ἀκοπώτεροι πολλοὶ ἐμέσαντες.

8. Διὰ τί κοπιαρώτερόν ἐστι τῷ βραχίονι τὸ διὰ κενῆς ῥίπτειν ἢ λιθάζοντα; Ἢ ὅτι σπασματωδέστερον τὸ διὰ κενῆς ἐστιν; οὐ γὰρ ἀπερείδεται πρὸς οὐδέν, ὥσπερ ὁ βάλλων πρὸς τὸ ἐν τῇ χειρὶ βέλος. Ὁμοίως δὲ τούτῳ καὶ ὁ πένταθλος πρὸς τοὺς ἁλτῆρας καὶ ὁ θέων παρασείων πρὸς τὰς χεῖρας· διὸ ὁ μὲν μεῖζον ἅλλεται ἔχων ἢ μὴ ἔχων ἁλτῆρας, ὁ δὲ θᾶττον θεῖ παρασείων ἢ μὴ παρασείων.

9. Διὰ τί ἡ ταχυδρομία καὶ ἐπ' ἀνθρώπου καὶ ἐπὶ τῶν ἄλλων ζῴων νοσηματικοὺς ποιεῖ τὰ περὶ τὴν κεφαλήν, καίτοι ὅλως ὁ δρόμος κατασπᾶν δοκεῖ κάτω τὰ περιττώματα, ὥσπερ ὁ περίπατος; διὸ καὶ παχύνονται τὰ σκέλη οἱ πολλὰ περιπατοῦντες, ὅτι εἰς τὰ κάτω ὑπονοστεῖ ἄνωθεν καὶ ἡ τροφὴ καὶ τὰ περιττώματα. Ἢ ἡ μὲν κίνησις ταὐτὸ ποιεῖ, ἀλλ' ἡ ταχεῖα διὰ τὴν συντονίαν καὶ τὴν ἀπνευστίαν ἐκθερμαίνει τὴν κεφαλήν, καὶ τὰς φλέβας ἐμφυσᾷ τὰς ἐν αὐτῇ, καὶ σπαστικὰς τῶν θύραθεν ποιεῖ δυνάμεων, οἷον ψύχους καὶ ἀλέας καὶ τῶν ἐκ τοῦ θώρακος, ὧν εἰσιόντων νοσεῖν ἀναγκαῖον τὸν τόπον ἐστίν;

10. Διὰ τί κοπιῶσι μὲν μᾶλλον ἐν τοῖς ὁμαλοῖς ἢ ἐν τοῖς ἀνωμάλοις τόποις, θᾶττον δὲ βαδίζουσι τὴν ὁμαλὴν ὁδὸν ἢ τὴν ἀνώμαλον; Ἢ ὅτι ἀκοπώτερον μέν ἐστι τὸ μὴ ἀεὶ ἐν τῷ αὐτῷ σχήματι ποιεῖσθαι τὴν κίνησιν, ὃ συμβαίνει ἐν τῇ ἀνωμάλῳ πορείᾳ μᾶλλον, θᾶττον δὲ πορεύονται, ὅτι ἧττον παρὰ φύσιν κινοῦνται; Ἐν μὲν οὖν τῷ ὁμαλῷ μικρὰ ἡ ἄρσις καὶ θέσις καὶ πυκνή ἐστιν, ἐν δὲ τῷ ἀνωμάλῳ τοὐναντίον. Ἔστι δὲ τὸ αἴρειν παρὰ φύσιν· βίᾳ γάρ ἐστι πᾶσα ἄρσις. Τὸ δὲ παρ' ἑκάστην βάσιν γινόμενον μικρὸν πολὺ γίνεται παρὰ πολλάς.

sunt : pondera enim quæcumque extrinsecus nobis adpenduntur, majorem lassitudinem creant quam ipsa corporis membra, etiamsi pondere leviora illis esse contigerit. Probantur autem quæ diximus, eo quod qui plus æquo vel ederint, vel biberint, hi minus quamvis laborarint quam ubi jejuni erant, gravius tamen fatigantur, quoniam cibus locum proprium non obtinuit, utpote qui adhuc manet crudus. Quum autem fatigatio colliquefaciat, colliquamentum autem excrementum sit, id ipsum est quod nobis lassitudinem movet, dum temere vagatur inciditque ossibus et nervis et internis carnis partibus, quæ raræ patefactæque sunt. Vomitus igitur quum id expellat quod fatigationem inducit, merito liberat a lassitudine : corpus enim quale principio laboris fuerat, tale linquit. Lassat autem vomitus non propter nimium motum, qui eum comitatur, sed si eveniat ut non rite vomatur : quodsi enim magna ciborum copia remanserit, et excrementa si his insint, adcidit ut lassitudo vomitum consequatur, quemadmodum de repletis dictum jam est. Quodsi igitur ne illis quidem lassitudinis causa labor est, sed quod ita sese habentes laborarunt, nec iis qui cibum non ejiciunt, vomitus causa erit lassitudinis : deberet enim omnibus evomentibus lassitudo fieri; nunc vero multi, ubi evomuerunt, alacriores redduntur.

8. Cur laboriosius lacerto est inanem jactasse manum quam cum lapide? An quod inani jactatione lacertus convellitur vehementius? nulla enim re nititur, quemadmodum jaculator telo quod manu tenet. Eodem modo quo hic, et quinquertio halteribus, et cursor manibus quas ad latera jactat : quamobrem ille quidem plus prosilit halteres tenens quam non tenens; hic vero velocius currit manus jactans quam non jactans.

9. Quam ob causam cursus velox tam in hominum genere quam in ceterorum animantium facit ut capita a morbo tententur, quamquam cursus in universum detrahere deorsum excrementa videtur, ut ambulatio? quapropter et crura eorum implentur qui multum ambulant, quoniam superne deorsum recedit cum alimentum, tum residua. An motus quidem ubique idem efficit, verum motus velox, quum vires intendit et respirationis defectum adfert, caput concalfacit, ejusque venas inflat et adtrahentes reddit facultatum externarum, ut frigoris et caloris eorumque quæ in pectore continentur : quibus intrantibus locum ægrotare illum necesse est?

10. Cur locis æqualibus quam inæqualibus magis fatigamur, ocius autem iter æquale quam inæquale conficitur? An quia minus laboris tunc est, quum motus non semper eodem habitu agitur : quod in gressu inæquali potius fit; ocius vero ingredimur, quoniam minus contra naturam movemur? Ergo per locum æqualem quidem parva, sed frequens est sublevatio et repositio, per inæqualem autem contra. Atqui sublevamur quidem contra naturam : vi namque fit omnis sublevatio; quod autem per singulos gradus parvum suboritur, id graduum frequentia multum evadit.

11. Διὰ τί τὰ ἐπίπεδα κοπιαρώτερα ἐγκατακεῖσθαι τῶν κοίλων ἐστίν; Ἢ διὰ τὸ αὐτὸ καὶ τὰ κυρτὰ τῶν ἐπιπέδων; ἐφ' ἕνα γὰρ τόπον συναθροιζόμενον τὸ βάρος ἐν τῇ καθέδρᾳ ἢ κατακλίσει τῇ θλίψει ποιεῖ πόνον. Τὸ μὲν οὖν κυρτὸν τοῦ εὐθέος, τοῦτο δὲ τοῦ κοίλου μᾶλλον τοιοῦτόν ἐστι· τὸ γὰρ σῶμα ἡμῶν ἐστι περιφερέστερον ἢ εὐθύτερον, τῶν δὲ τοιούτων κατὰ πλέον ἅπτεται τὰ κοῖλα ἢ τὰ ἐπίπεδα. Διὰ ταῦτα δὲ καὶ τὰ ἐνδιδόντα τῶν μὴ ἐνδιδόντων ἀκοπώτερά ἐστι καὶ ἐγκατακλιθῆναι καὶ ἐνέζεσθαι.

12. Διὰ τί οἱ βραχεῖς περίπατοι κοπώδεις εἰσίν; Ἢ ὅτι ἀνώμαλοί εἰσιν, (πολλάκις γὰρ ἵστασθαι ποιοῦσιν), τὸ δ' ἐκ τοῦ ἐναντίου εἰς τοὐναντίον πυκνὰ μεταβάλλειν κοπῶδές ἐστιν; συνήθειαν γὰρ οὐδετέρῳ ποιεῖ, ὅ ἐστιν ἄκοπον· ἀμφοῖν δ' ἅμα οὐκ ἐνδέχεται συνήθειαν γίνεσθαι.

13. Διὰ τί οἱ ἐπὶ τῶν ἵππων ὀχούμενοι, ὅσῳ ἂν μᾶλλον θέῃ ὁ ἵππος, τοσούτῳ μᾶλλον δακρύουσι τὰ ὄμματα; Πότερον διὰ τὸ ψυχρότερον εἶναι τὸν ἀεὶ προσπίπτοντα ἀέρα, ὅσῳ ἂν ἐλάττω χρόνον ἅπτηται τοῦ σώματος, ὅπερ ἐπὶ τῶν γυμνῶν θεόντων συμβαίνει, τὸ δὲ ψῦχος δάκρυον ποιεῖ; Ἢ διὰ τοὐναντίον; καὶ γὰρ τὸ θερμὸν ποιεῖ δακρύειν, οἷον ὁ ἥλιος· ἡ δὲ κίνησις θερμότητα ποιεῖ. Ἢ διὰ τὴν ὑπὸ τοῦ ἀέρος πληγήν; ὡς γὰρ οἱ ἄνεμοι ταράττουσιν οἱ ἐξ ἐναντίας τὰ ὄμματα, οὕτως ὁ ἀὴρ προσπίπτων, ὅσῳ ἂν θᾶττον ἐλαύνῃ, τοσούτῳ μᾶλλον ποιεῖ τὴν πληγὴν μαλακήν.

14. Διὰ τί τὰ μὲν ἄλλα τριβόμενα σαρκοῦνται μέρη, ἡ δὲ γαστὴρ λεπτοτέρα γίνεται; Ἢ οὐδὲ αὐτὴ ἐκ προσαγωγῆς, ἀλλὰ στιφροτέρα; Οὐ μὴν ἀλλ' οὐχ ὁμοίως γε καὶ ἡ σάρξ· διὸ καὶ τὸ πρόβλημά ἐστιν· ὅλως γὰρ ἐν τοῖς γυμνασίοις καὶ πόνοις μάλιστα λεπτύνεται ἡ γαστήρ. Αἴτιον δ' ὅτι τὰ πίονα θερμαινόμενα τήκεται, καὶ τὰ φύσει τάσιν ἔχοντα μᾶλλον· τὸ δὲ δέρμα ἐστὶ φύσει ἔχον τάσιν· ἀλλὰ διὰ τὸ πιαίνεσθαι τάχιστα ἀεί τινα ἔχει πιότητα, ἐὰν μὴ κάμνῃ τινὰ νόσον. Αἴτιον δὲ τούτου ὅτι ἐγγύς ἐστι τῆς τροφῆς. Ἐπεὶ οὖν ὅλως ἡ πιμελὴ οὐκ ἔστι φύσει, ἀλλ' ἐπίκτητον, καὶ οὐ τῶν ἀναγκαίων μερῶν ὥσπερ ἡ σάρξ, καὶ ἡ τῶν γυμνασίων κίνησις καὶ ἡ τῆς τρίψεως θερμαίνουσαι τήκουσιν αὐτὴν καὶ τὴν τροφὴν ἐκπλεονάζουσαν νέμουσι τοῖς ἄλλοις μορίοις· διὸ αἱ μὲν καθέδραι τὴν κοιλίαν πιαίνουσι, τὸ δ' ἄλλο σῶμα λεπτύνουσιν, αἱ δὲ κινήσεις καὶ αἱ τρίψεις τὴν μὲν κοιλίαν λεπτύνουσι, τὸ δ' ἄλλο σῶμα παχύνουσιν.

15. Διὰ τί ἐκ τῶν μακρῶν καὶ σφοδρῶν ὁδῶν καὶ δρόμων, ὅταν στῇ τις ἐπ' ἄκρων τῶν δακτύλων, σείονται τῶν ποδῶν αἱ πτέρναι καὶ σπᾶται κάτω προπετῶς; Ἢ διὰ τὴν συνέχειαν καὶ σφοδρότητα τῆς κινήσεως οὐκ ἀναπαύεται ὁ σεισμὸς τῷ ἀνθρώπῳ τῶν νεύρων; τοῦ μὲν γὰρ ὅλου σώματος κρατεῖ ἡ ψυχὴ πολλάκις, μορίων

11. Cur in planis laboriosius adcubamus quam in concavis? An eadem de causa qua etiam in convexis laboriosius quam in planis? quum enim pondus corporis se unicum in locum in sedendo adcubandoque colligit, premendo lassitudinem facit. Convexum igitur quam rectum, idque quam concavum magis tale se exhibet : nostrum etenim corpus rotundum potius quam directum est : quæ autem ejusmodi sunt, hæc pluribus punctis adtinguntur a concavis quam a planis. His eisdem de causis etiam fit ut quæ cedunt, minus quam non cedentia fatigent, et in adcubando et in sedendo.

12. Cur breves deambulationes fatigationem movere solent? An quia inæquales sunt (faciunt enim ut sæpe subsistatur), frequens autem a contrario ad contrarium mutatio laboriosa est? neutri namque adsuescit, idque est quod lassitudinem arcet; utrique autem simul ut adsuescas, fieri non potest.

13. Cur qui equo vehuntur, quo citius equus cucurrerit, eo magis oculis lacrymantur? Utrum quoniam aer perpetuo incidens eo frigidior est, quo minus fuerit temporis spatium per quod corpus adtigerit : quod iis etiam evenit qui nudo corpore currunt; frigus autem lacrymas movet? An propter contrariam causam? calidum enim et lacrymas ciet, exempli gratia sol; motus autem calorem efficit. An propter ictum illatum ab aere? quomodo enim venti adversi oculos turbant, sic aer incidens, quo citius vehitur, eo magis facit ictum mollem.

14. Cur cetera quidem membra, ubi perfricantur, carnosiora evadunt, venter autem emaciatur? An ne is quidem frictione quæ paulatim fit, sed duriori? Verum enimvero non eodem certe modo caro etiam : propterea et quæstio est : nam omnino in exercitando laborandoque venter præcipue emaciatur. Causa autem est, quod pinguia concalefacta liquescunt, et ea magis quæ intensa suapte natura sunt; cutis vero sua natura tensionem habet; sed enim, quod venter celerrime pinguefit, ideo pingue aliquid semper obtinet, nisi morbo quodam laboret. Cujus rei causa est, quod cibo ex vicino positus est. Quum igitur omnino pinguedo res naturalis non sit, sed adventitia, nec ad necessarias pertinet partes, ut caro, ideo et exercitandi, et perfricandi motus ventrem concalefaciens liquefacit, alimentumque redundans membris celeris dispertit : quamobrem sessio ventrem quidem pinguefacit, reliquum vero corpus emaciat, motiones vero perfrictionesque ventrem quidem emaciant, reliquum vero corpus augent.

15. Cur peracto longo itinere, aut cursu, si quis extremis institerit digitis, calces pedum quatiuntur pronusque deorsum trahitur? An propter continuatum vehementemque motum concussio nervorum hominis non requiescit? fit enim sæpe ut animus totum quidem corpus regat,

δ' οὔ, ὁπόταν πως κινηθῇ, οἷον καὶ καρδίας καὶ αἰδοίου. Αἴτιον δ' ὅτι πνεῦμα πολὺ περὶ τὰ νεῦρα ἐκκάεται, ὃ οὐχ ἅμα ἐκψύχεται στάντι. Τοῦτο οὖν σεῖον ὥσπερ ὑποσπῶν τῇ κινήσει κατασπᾷ τε καὶ τοῦ πορρωτάτω ἥκιστα ποιεῖ κρατεῖν· τοιοῦτον δ' αἱ πτέρναι, οἷον τοῖς ὀργιζομένοις τὸ κάτω χεῖλος.

16. Διὰ τί οἱ μὴ σφόδρα συντόνως τρέχοντες ἐν τῷ ῥυθμῷ ἀναπνέουσιν; Πότερον ὅτι πᾶς ῥυθμὸς ὡρισμένῃ μετρεῖται κινήσει, τοιαύτη δ' ἐστὶν ἡ δι' ἴσου οὖσα, ὅπερ οἱ τροχάζοντες ποιοῦσιν; Ἅμα οὖν ἀρχόμενοι τροχάζειν ἀναπνέουσιν, ὥστε τὴν ἀναπνοὴν δι' ἴσου γινομένην, διὰ τὸ τῇ ἴσῃ κινήσει μετρεῖσθαι, ῥυθμὸν ποιεῖν. Ἢ ὅτι πᾶσα μὲν ἁπλῶς ἀναπνοὴ δι' ἴσου γίνεται τοῖς κατὰ φύσιν αὐτῇ χρωμένοις καὶ μὴ κατέχουσιν; Καθημένοις μὲν οὖν καὶ βαδίζουσι μετρίας οὔσης τῆς τοῦ σώματος κινήσεως, οὐκ εὔδηλος ὁ ῥυθμὸς γίνεται· συντόνως δε τρέχουσιν, οὐ παρακολουθούσης τῇ κινήσει τῆς αἰσθήσεως, οὐ δυνάμεθα συνορᾶν τὸν τῆς ἀναπνοῆς ῥυθμόν· ἐν δὲ τῷ μετρίως τροχάζειν μέτρον ἡ κίνησις αἰσθητὸν τῆς ἀναπνοῆς ποιοῦσα τὸν ῥυθμὸν δηλοῖ.

17. Διὰ τί ἐν τῷ τροχάζειν ἐκπνευματοῦσθαι δοκεῖ ἡμῖν ὁ ἀήρ; Πότερον ὅτι κινούμενοι διὰ τοῦ τροχάζειν τὸν συνεχῆ τοῖς σώμασιν ἡμῶν ἀέρα κινοῦμεν, ὅ ἐστι πνεῦμα; διόπερ οὐ δοκεῖ μόνον, ἀλλὰ καὶ κατ' ἀλήθειαν ἐκπνευματοῦται ὁ ἀήρ. Ἢ διότι τροχάζοντες προσκόπτομεν τῷ ἀέρι, τούτου δὲ συμβαίνοντος μᾶλλον αἴσθησιν λαμβάνομεν τοῦ ἀέρος διὰ τῆς κινήσεως; Εἰκότως οὖν ἡμῖν ἐκπνευματοῦσθαι δοκεῖ· τοῦτο γὰρ συμβαίνει διὰ τὴν φοράν.

18. Διὰ τί μᾶλλον θέοντες ἢ βαδίζοντες πίπτουσιν; Ἢ ὅτι μᾶλλον πρὶν κινεῖσθαι αἴρουσιν; τὸ γὰρ θέειν τοῦ βαδίζειν τούτῳ διαφέρει.

19. Διὰ τί ποτε ἀναβαίνοντες μὲν τὰ γόνατα πονοῦμεν, καταβαίνοντες δὲ τοὺς μηρούς; Ἢ ὅτι ὅταν μὲν ἀναβαίνωμεν, ἀναρριπτοῦμεν ἄνω τὸ σῶμα, καὶ ἡ σπάσις πολλὴ τοῦ σώματος καὶ ἡ ἀπὸ τῶν γονάτων γίνεται, διὸ πονοῦμεν τὰ γόνατα· ἐν δὲ τοῖς κατάντεσι, διὰ τὸ ὑποφέρεσθαι τοῖς σκέλεσι, τοῖς μηροῖς ἀποστηριζόμενοι πονοῦμεν αὐτούς; Εἶθ' ἅπαν τὸ παρὰ φύσιν γινόμενον πόνον καὶ λύπην παρασκευάζει· ἔστι δὲ τὸ κατὰ φύσιν τοῖς μὲν γόνασιν ἡ εἰς τὸ πρόσθεν κλάσις, τοῖς δὲ μηροῖς ἡ εἰς τοὔπισθεν. Ἐν μὲν οὖν τοῖς ἀνάντεσι τὰ γόνατα κλᾶται εἰς τοὔπισθεν διὰ τὸ ἀποστηρίζεσθαι βούλεσθαι, ἐν τοῖς κατάντεσι δ' οἱ μηροὶ εἰς τοὔμπροσθεν κλῶνται διὰ τὸ προπετὲς ἡμῶν εἶναι τὸ σῶμα.

20. Διὰ τί ποτε ἐν ταῖς ὁδοῖς τῶν μηρῶν τὸ μέσον μάλιστα πονοῦμεν; Ἢ ὅτι παντὸς μακροῦ καὶ ἑνὸς ὄντος, ἐστηριγμένου δέ, τοῦ μέσου ὁ πόνος μάλιστα γίνεται (διὸ καὶ κατάγνυται μάλιστα ἐντεῦθεν), ὁ δὲ μηρὸς

membra autem singula non, ubi se quemdam in modum commovere, exempli gratia cor, vel penem. Ratio autem rei est, quod multum spiritus circa nervos deuritur, quod non simulac substiteris, refrigescit. Is igitur spiritus concutiens, veluti subducendo, suo motu detrahit, facitque ut partem remotissimam minime regat animus; hujusmodi autem calces sunt, eodem modo quo labrum inferius apud iratos.

16. Qua de causa qui non concitate admodum currunt, numerose respirant? Utrum quod numerus omnis pro mensura utitur motu determinato, talis autem motus est qui æquis agitur intervallis : id quod currentes faciunt? Ergo simulatque currere inceperint, respirant, ita ut respiratio, quippe quæ, utpote æquali motu pro mensura utens, æquis intervallis peragitur, numerum efficiat. An quod quævis quidem simpliciter respiratio omnibus qui secundum naturam ea utuntur, nec (spiritum) retinent, æquis intervallis peragitur? Igitur ubi sedemus, aut ambulamus, quod motus corporis mediocris est, numerus perquam non fit manifestus; ubi vero cursum concitate agimus, quum sensus motum non sequitur, numerum perspicere respirationis non valemus; at ubi mediocriter currimus, motus mensuram respirandi sensibilem præstans numerum manifestum reddit.

17. Quare inter currendum aer in flatum converti nobis videtur? Utrum quoniam, dum currimus, aerem corporibus nostris continentem movemus, idque flatus est? quocirca non solum videtur, sed etiam revera in flatum aer convertitur. An quod currendo aeri inlidimus : quo facto, sensu aeris per motum magis adficimur? Non mirandum ergo si aer nobis in flatum se convertere videatur : hoc enim ratione impetus evenit.

18. Quamobrem currentes potius cadimus quam ambulantes? An quod magis, antequam moveamur, adtollimus? hoc enim inter cursum et ambulationem interest.

19. Cur tandem adscendentes quidem genibus, descendentes vero femoribus laboramus? An quoniam, dum adscendimus quidem, corpus sursum jactamus, tractioque fit multa cum corporis, tum inde a genibus, propterea laboramus; in declivibus vero ideo femoribus laboramus, quod subductis cruribus, iis innitimur? Ad hæc omne quod præter naturam fit, dolorem molestiamque movet; est autem secundum naturam genibus quidem ut ante flectantur, femoribus autem ut retro. In locis itaque adclivibus genua retro flectuntur, quia fulciri volumus; in declivibus autem femora ante flectuntur, quia corpus nostrum pronum nutat.

20. Cur tandem in itinere media femoris parte potissimum fatigamur? An quod longi cujusque atque continui membri pars potissimum media laborat, quum scilicet stabilitum manet (quocirca et hac præcipue frangitur), femur autem

ἐστι τοιοῦτον; διὸ καὶ τὸ μέσον αὐτοῦ μάλιστα πονοῦμεν.

21. Διὰ τί οἱ ὑγροὶ ταχὺ πνίγονται πονήσαντες καὶ ὑπὸ τοῦ καύματος; Ἢ ὅτι ἐκθερμαινόμενον τὸ ὑγρὸν ἀὴρ γίνεται, καὶ κάει μᾶλλον τὸ πλέον; Ὅταν οὖν μὴ δύνηται ὑπεξάγειν διὰ τὸ πλῆθος, οὐ γίνεται κατάψυξις, ὥστε ταχὺ ἐκπυροῦται ὑπὸ τοῦ συμφύτου καὶ ἐπικτήτου θερμοῦ· διὸ καὶ οἱ γινόμενοι ἱδρῶτες τοῖς γυμναζομένοις καὶ ὅλως τοῖς πονοῦσι καὶ ἡ τοῦ πνεύματος ἔξοδος ὠφέλιμον· διακρινομένου γὰρ καὶ λεπτυνομένου τοῦ ὑγροῦ πνεῦμα γίνεται.

22. Διὰ τί τὰ σύμμετρα τῶν σωμάτων κάμνει τε πολλάκις καὶ ἀπαλλάττει ῥᾷον; Ἢ διὰ ταὐτὸ ἄμφω; ὁμαλὸν γὰρ τὸ σύμμετρον, τὸ δ' ὁμαλὸν ὁμοπαθέστερον· ἐὰν οὖν τι πονήσῃ μέρος, εὐθὺς συμπονεῖ τὸ ὅλον· τὸ δ' ἀσύμμετρον, ἅτε μᾶλλον ἀπηρτημένον, οὐ συναπολαύει τῶν μερῶν. Κάμνει μὲν οὖν πολλάκις διὰ τοῦτο, ῥᾷον δ' ἀπαλλάττει, ὅτι πᾶν κοινωνεῖ τὸ σῶμα· εἰς πλείω γὰρ διανεμόμενον τὸ πάθος γίνεται ἀσθενέστερον, ὥστ' εὐαπαλλακτότερον· τὸ δ' ἀσύμμετρον, ἅτε οὐ κοινωνοῦν τοῖς μέρεσιν, ἐλαττονάκις μὲν κάμνει, χαλεπώτερον δ' ἀπαλλάττει· σφοδρὸν γὰρ τὸ πάθος.

23. Διὰ τί κοπιῶσι μὲν μᾶλλον ἐν τοῖς ὁμαλοῖς ἢ ἐν τοῖς ἀνωμάλοις, θᾶττον δὲ βαδίζουσι τὴν ὁμαλὴν ἢ τὴν ἀνώμαλον; Ἢ ὅτι ἀκοπώτερον μὲν τὸ μὴ ἀεὶ ἐν τῇ ἀνωμάλῳ πορείᾳ μᾶλλον, θᾶττον δὲ πορεύονται, ὅπου ἐν τῷ ἴσῳ χρόνῳ ἐλάττων ἡ ἀναφορά; Ἐν μὲν οὖν τῷ ὁμαλῷ μικρὰ ἡ ἄρσις καὶ πυκνή, ἐν δὲ τῷ ἀνωμάλῳ τοὐναντίον· τὸ δὲ παρ' ἑκάστην βάσιν γινόμενον πολὺ γίνεται παρὰ πολλάς.

24. Διὰ τί καταβαίνοντες μὲν τὰ κατάντη τοὺς μηροὺς μάλιστα πονοῦμεν, ἀναβαίνοντες δὲ τὰς κνήμας; Ἢ ὅτι ἀναβαίνοντες μὲν τῷ αἴρειν τὸ σῶμα; ἅπαν γὰρ γίνεται φορτίον τὸ σῶμα. Ὧ οὖν ἅπαν ἐπίκειται καὶ ᾧ αἴρομεν, τοῦτο μάλιστα πονεῖ· ἡ δὲ κνήμη τοῦτο· ἔσχατον γὰρ μῆκος ἔχον, καὶ οὐχ ὥσπερ ὁ ποὺς πλάτος ἔχει· διὸ σαλεύεται, ὥσθ' οἷον τῷ ὤμῳ τὰ βάρη κινοῦμεν, καὶ ἐπὶ τούτῳ ἔχομεν (τοιγαροῦν καὶ πονοῦμεν τὸν ὦμον μάλιστα)· καταβαίνοντες δὲ τῷ ἐμπίπτειν τὸ σῶμα κάτω καὶ προωθεῖν παρὰ φύσιν ὁ πόνος ἐστίν, ὥσθ' ᾧ μάλιστα ἐμπίπτει καὶ σαλεύει, τοῦτο παρέχει τὸν πόνον. Ἡ μὲν οὖν κνήμη μένει, τὸ δὲ βάρος ὁ θώραξ γίνεται· ὁ δὲ μηρὸς δέχεταί τε καὶ σαλεύεται διὰ τὸ μῆκός τ' ἔχειν καὶ στρέφεσθαι ἄνωθεν, ᾗ ὁ θώραξ ἐμπίπτει.

25. Διὰ τί πλείων δοκεῖ ἡ ὁδὸς εἶναι, ὅταν μὴ εἰδότες βαδίζωμεν πόση τις, ἢ ὅταν εἰδότες, ἐὰν τἄλλα ὁμοίως ἔχοντες τύχωμεν; Ἢ ὅτι τὸ εἰδέναι πόση, τὸ εἰδέναι ἐστὶ τὸν ἀριθμὸν αὐτοῦ, καὶ πλεῖον ἀεὶ τὸ ἀόριστον τοῦ ὡρισμένου; Ὥσπερ οὖν εἰ ᾔδει ὅτι τοσήδε, πεπερα-

tale est? propterea et parte potissimum media ejus fatigamur.

21. Quam ob causam humidi cito a labore æstuque subfocantur? An quod humor concalfactus transit in aera, quodque plus est, acrius urit? Ergo quum propter copiam facultas submovendi non datur, refrigeratio non subsequitur, ita ut celeriter calore insito et adventitio exardescat : quapropter et sudores suborti spiritusque secessio eos juvant qui se exercent, atque in universum qui laboribus se dedunt : dum enim humor disjungitur atque adtenuatur, spiritus inde enascitur.

22. Quare corpora quæ mediocriter sese habent, et sæpe laborant, et facilius inde se expediunt? An utrumque eadem de causa evenit? est enim æquabile quod modicum est; quod autem æquabile, id magis aliorum adfectus participare solet; quodsi igitur aliqua pars laboravit, protinus totum una adficitur; immodicum contra, utpote quod sejunctius est, non æque partium adfectus persentit. Ergo sæpe quidem id hac de causa laborat; facilius autem inde se expedit, quoniam totum corpus particeps fit : debilior enim redditur adfectus qui se in plura digesserit, ita ut curabilior evadat; immodicum vero, ut quod rem communem cum partibus non habet, rarius quidem laborat, sed difficilius inde abit : vehemens enim adfectus est.

23. Cur in æqualibus quam in inæqualibus locis magis fatigantur, ocius autem iter æquale quam inæquale expediunt? An quoniam minus quidem in æquabili potius gressu fatigat quod non perpetuo idem; ocius vero ingrediuntur, ubi minus pari tempore adtollunt? Ergo per locum æqualem exigua est atque frequens sublevatio, per inæqualem autem e contrario; quod vero per singulos gradus exiguum fit, graduum frequentia multum evadit.

24. Cur descendentes quidem per declivia femoribus, adscendentes vero cruribus inprimis laboramus? An quia adscendentes quidem ideo laboramus, quod corpus adtollitur? fit enim totum corpus onus. Itaque cui totum incumbit, et quo totum adtollimus, id præcipue laborat; hoc autem crus est : postremum enim hoc longitudine præditum est, nec modo pedis latitudinem sortitur : unde vibratur, ita ut, quomodo humero onera movemus, ita hoc quoque sustineamus (proinde et humero maxime lassitudinem sentimus); at in descendendo, quoniam corpus deorsum incidit propellitque contra naturam, labor adest : hinc cui maxime incumbit atque vibrat, id lassitudinem infert. Crus itaque manet; onus vero fit truncus, femurque suscipit atque vibratur, eo quod et longitudine præditum est et superne versatur, qua truncus incidit.

25. Cur iter longius tum esse videtur, quum ignari quantum sit, ambulamus, quam ubi gnari, modo res ceteræ eadem ratione se habeant? An quod nosse quantum sit, nosse ejus numerum est, quodque interminatum, semper plus quam terminatum est? Ergo quemadmodum, si nossemus iter

σμένην ἀνάγκη εἶναι, οὕτω καὶ εἰ μὴ οἶδεν, ὡς ἀντιστρέφοντος παραλογίζεται ἡ ψυχή, καὶ φαίνεται εἶναι ἄπειρος. Ἔτι τὸ ποσὸν ὡρισμένον καὶ τὸ ὡρισμένον ποσόν. Ὅταν τοίνυν μὴ φαίνηται ὡρισμένον, ὥσπερ ἄπειρον φαίνεται εἶναι, διὰ τὸ τὸ πεφυκὸς ὡρίσθαι, ἐὰν μὴ ᾖ ὡρισμένον, ἄπειρον εἶναι, ὥστε καὶ τὸ φαινόμενον μὴ ὡρίσθαι φαίνεσθαι ἀνάγκη πως ἀπέραντον.

26. Διὰ τί τοὺς μηροὺς μᾶλλον ἢ τὰς κνήμας κοπιῶσιν; Πότερον ὅτι ἐγγὺς τοῦ τόπου τοῦ ἔχοντος τὸ περίττωμα, ὥστ' ἂν ὑπερβάλλῃ διὰ τὴν κίνησιν τῇ θερμότητι, συσπῶσιν οἱ μηροὶ μᾶλλον καὶ πλεῖον ἢ αἱ κνῆμαι; Ἢ διὰ τὸ συμφυὲς εἶναι μᾶλλον τοὺς μηρούς; μάλιστα γὰρ πονοῦσι τῇ τοῦ συνεχοῦς διαστάσει· καὶ γὰρ ἂν μηδὲν ἔχοντες περίττωμα κοπιάσωσιν, ὅμως τοὺς μηροὺς καὶ τὴν ὀσφὺν πονοῦσι μᾶλλον. Ἢ ὅτι καθάπερ οἱ βουβῶνες γίνονται πληγέντες (ος?) διὰ τὴν συνάρτησιν τῶν φλεβῶν καὶ νεύρων, οὕτω καὶ οὗτος; ἐγγυτέρω δὲ τῆς ἀρχῆς ὁ μηρός. Ἢ διότι μᾶλλον ἐν τῷ αὐτῷ σχήματι ὁ μηρὸς τῆς κνήμης, τοῦτο δὲ κοπιαρώτερον; Ἢ ὅτι σαρκώδης, ὥστε πολὺ τὸ κατὰ φύσιν ἔχον ἐν αὐτῷ;

27. Διὰ τί ἐνίοις, ὅταν πονήσωσιν, ἕλκη ἐκφύουσιν; Ἢ ὅταν τὸ σῶμα ἀκάθαρτον ᾖ, ἡ κίνησις θερμαίνουσα καὶ ἄλλα περιττώματα συνεξικμάζει μετὰ τοῦ ἱδρῶτος, παχέα δ' ὄντα καὶ χυμοὺς ἔχοντα μοχθηρούς, ὀξεῖς καὶ πικροὺς καὶ ἁλμυροὺς τὰ περιττώματα ἐκκρίνεσθαι μὲν οὐ δύναται διὰ πάχος, ἐξαίρεται δὲ διὰ τῆς σαρκὸς καὶ ἐξελκοῖ διὰ πικρότητα τοῦ χυμοῦ;

28. Διὰ τί τοῖς ἐκ τῶν γυμνασίων καὶ φαρμακοποσιῶν οὐκ εὐθὺς προσφέρουσι τροφήν; Ἢ διότι καθαίρεται τὸ σῶμα ἔτι, καὶ οὐκ ἀναπέπαυται πονοῦν καὶ ἀποκέκριται τὰ περιττώματα;

29. Διὰ τί χαλεπώτερον θεῖν ἢ βαδίζειν; Ἢ ὅτι πλεῖον φορτίον φέρει ὁ θέων (ὅταν γὰρ ᾖ μετέωρος, ἅπαν ἐφ' αὐτῷ ἔχει)· ὁ δὲ βαδίζων, οἷον οἱ ἐπὶ τοῖς τειχίοις ἀναπαυόμενοι, ἐπιθεὶς ἔχει ἐπὶ τῷ ἠρεμοῦντι;

30. Διὰ τί ἐκ τῶν γυμνασίων οὐ πεινῶσιν εὐθύς; Πότερον διὰ τὴν ὑπόλειψιν τῆς συντήξεως, ἕως ἀντιπεφθῇ; Ἢ διὰ τὸ πνεῦμα ὃ ποιεῖ ὁ πόνος ἐκ τοῦ ὑγροῦ; Ἢ διὰ τὴν δίψαν ἣ γίνεται ἐκ τοῦ θερμαίνεσθαι πονοῦντας; πάντα γὰρ συμβαίνει ταῦτα.

31. Διὰ τί ἐξονειρωκτικοί εἰσιν οἱ κοπιῶντες καὶ φθισιῶντες; Ἢ ὅτι ὅλως ἐξονειρωκτικοὶ οἱ θερμοὶ καὶ ὑγροί; τὸ γὰρ σπέρμα τοιοῦτόν ἐστι τὴν φύσιν· τὸ τοιοῦτο δ' ἐξ οὕτω διακειμένων μάλιστα γίνεται, ὅταν ἡ ἀπὸ τοῦ ὕπνου θερμότης προσγένηται· μικρᾶς γὰρ ῥοπῆς τὰ σώματα δεῖται, καὶ ταύτης ἔσωθεν, ἀλλ' οὐκ ἔξωθεν, οἱ δὲ φθισικοὶ καὶ κοπιῶντες οὕτω διάκεινται· οἱ

tantum esse, finitum id esse necesse esset, sic etiam si ignoramus, quasi reciprocetur, perperam ratiocinatur anima, atque infinitum esse videtur iter. Præterea quantitas finitum est, et finitum quantitas. Ubi igitur terminatum non esse videtur, velut infinitum esse videtur, quoniam quodcumque natura sua terminari potest, id si terminatum non sit, infinitum est, ita ut id quoque infinitum quodammodo videri necesse sit, quod non terminatum esse videtur.

26. Cur femoribus magis quam cruribus fatigamur? Utrum quod prope absunt ab ea parte quæ excrementum continet, ita ut ubi ea pars propter motum nimis incaluerit, femora magis ac plenius contrahant quam crura? An quod femora magis continua sunt? laboratur enim præcipue propter continui distractionem: nam si omni excremento carentes fessi simus, tamen femoribus ac lumbis impensius laboramus. An quia, quomodo bubones post ictum oriuntur propter venarum et nervorum connexionem, ita etiam lassitudo? ab initio enim propius abest femur. An quod femur in eodem habitu magis persistit quam crus, eaque res laboriosior est? An quod femur carnosum est, ita ut multum intra sese contineat quod secundum naturam sit?

27. Quam ob causam ulcera nonnullis ex labore progignuntur? An, corpore impuro, motus concalfaciens excrementa alia etiam cum sudore vaporatim simul destringit: quæ crassa et humoribus pravis, hoc est acidis, aut amaris, aut salsis, prædita, excerni quidem propter crassitudinem non queunt, sed per carnem intumescunt atque exulcerant propter humoris amaritudinem?

28. Cur non protinus ab exercitatione, aut medicamento epoto, cibum propinant? An quod adhuc corpus purgatur, necdum a labore cessavit, excrementaque secreta sunt?

29. Quamobrem currere quam ambulare difficilius est? An quod plus oneris fert qui currit (ubi enim suspensus est, onus sibi impositum habet totum); at qui ambulat, eodem modo ac qui maceriebus innisi requiescunt, quiescenti impositum habet onus?

30. Cur non protinus ab exercitatione esurimus? Utrum quia colliquamenta supersunt, dum vice sua concoquantur? An propter spiritum, quem labor ex humore conficit, An propter sitim, quam calor a labore proveniens inducit? hæc enim adcidunt omnia.

31. Cur genitura in somnis iis profluere solet qui aut labore lassescunt, aut tabe consumuntur? An quod omnino in hoc profluvium proni sunt calidi et humidi? semen enim tale natura est; quod autem tale est, ex iis qui hoc modo dispositi sunt, potissimum provenit, quum calor somni adcesserit, quippe quum corpora eorum exiguum momentum desiderent, idque intrinsecus, non extrinsecus; tabescentes autem

μὲν γὰρ κοπιῶντες διὰ τὸν κόπον καὶ τὴν κίνησιν συντήγματος θερμοῦ πλήρεις εἰσίν, οἱ δὲ φθισικοὶ διὰ τὸν κατάρρουν καὶ τὴν γινομένην θέρμην ὑπὸ τῆς φλεγμασίας.

32. Διὰ τί τὸ ἀριστερὸν σκέλος χαλεπώτερον τρίβεσθαι ὑφ' ἑαυτοῦ πολὺν χρόνον ἢ τὸ δεξιόν; Ἢ ὅτι τοῖς δεξιοῖς πονεῖν δυνάμεθα; ἐν δὲ τοῖς παρὰ φύσιν ἡ τοῦ ἀριστεροῦ σκέλους τρῖψις ἐξεστραμμένως γίνεται· τὰ δὲ παρὰ φύσιν ποιούμενα χαλεπά; τῇ δ' ἀριστερᾷ τὰ δεξιὰ οὐθὲν ἐπίδηλον διὰ τὸ μηθετέρως ἰσχύειν.

33. Διὰ τί ὑγιεινὸν τὸ τροφῆς μὲν ὑποστέλλεσθαι, πονεῖν δὲ πλείω; Ἢ ὅτι τοῦ νοσεῖν αἴτιον περιττώματος πλῆθος, τοῦτο δὲ γίνεται ἢ διὰ τροφῆς ὑπερβολήν, ἢ διὰ πόνων ἔνδειαν;

34. Διὰ τί οὐ δεῖ πυκνοῦν τὴν σάρκα πρὸς ὑγίειαν, ἀλλ' ἀραιοῦν; ὥσπερ γὰρ πόλις ὑγιεινὴ καὶ τόπος εὔπνους (διὸ καὶ ἡ θάλαττα ὑγιεινή), οὕτω καὶ σῶμα τὸ εὔπνουν μᾶλλον ὑγιεινόν· δεῖ γὰρ ἢ μὴ ὑπάρχειν μηθὲν περίττωμα, ἢ τούτου ὡς τάχιστα ἀπαλλάττεσθαι, καὶ δεῖ οὕτως ἔχειν τὰ σώματα ὥστε λαμβάνοντα εὐθὺς ἐκκρίνειν τὴν περίττωσιν, καὶ εἶναι ἐν κινήσει καὶ μὴ ἠρεμεῖν· τὸ μὲν γὰρ μένον σήπεται, ὥσπερ ὕδωρ, τὸ δὲ σηπόμενον καὶ μὴ κινούμενον νοσοποιεῖ· τὸ δ' ἐκκρινόμενον πρὸ τοῦ διαφθαρῆναι χωρίζεται. Τοῦτ' οὖν πυκνουμένης μὲν τῆς σαρκὸς οὐ γίνεται (ὡσπερεὶ γὰρ ἐμφράττονται οἱ πόροι), ἀραιουμένης δὲ συμβαίνει· διὸ καὶ οὐ δεῖ ἐν τῷ ἡλίῳ γυμνὸν βαδίζειν· συνίσταται γὰρ ἡ σάρξ, καὶ κομιδῇ ἀποσαρκοῦνται, καὶ ὑγρότερον τὸ σῶμα γίνεται· τὸ μὲν γὰρ ἐντὸς δὴ μένει, τὸ δ' ἐπιπολῆς ἀπαλλάττεται, ὥσπερ καὶ τὰ κρέα τὰ ἑφθὰ τῶν ὀπτῶν μᾶλλον. Οὐδὲ τὰ στήθη γυμνὰ ἔχοντα βαδίζειν· ἀπὸ γὰρ τῶν ἄριστα ᾠκοδομημένων ὁ ἥλιος ἀφαιρεῖ, ὃ ἥκιστα δεῖται ἀφαιρέσεως, ἀλλὰ μᾶλλον τὰ ἐντός. Ἐκεῖθεν μὲν οὖν διὰ τὸ πόρρω εἶναι, ἂν μὴ μετὰ πόνου, οὐκ ἔστιν ἱδρῶτ' ἀναγαγεῖν, ἀπὸ τούτου δὲ διὰ τὸ πρόχειρον εἶναι ῥᾴδιον.

35. Διὰ τί κοπώδεις οἱ βραχεῖς τῶν περιπάτων; Ἢ ὅτι πολλάκις συνίστανται καὶ οὐχ ὁμαλῶς κινοῦνται περὶ τὰς καμπάς, τὸ δὲ τοιοῦτον κοπῶδες;

36. Διὰ τί ἑστηκότες ἐν τῷ ἡλίῳ μᾶλλον θερμαίνονται ἢ κινούμενοι, καὶ ταῦτα τῆς κινήσεως θερμαντικῆς οὔσης; Ἢ οὐ πᾶσα κίνησις θερμαίνει, ἀλλ' ἐνία ψύχει, οἷον καὶ ἐπὶ τῶν τὰς χύτρας τὰς ἑψημένας φυσώντων καὶ κινούντων συμβαίνει; Εἰ οὖν ἑστηκότι μὲν προσμένει τὸ θερμόν, προσμένον δὲ μᾶλλον θερμαίνει ἢ κινούμενον (ἀεὶ γὰρ τὸ σῶμα ἴδιον ἡμῶν ἀτμίδα τινὰ χλιαρὰν ἀφίησιν ἀφ' ἑαυτοῦ, ἢ θερμαίνει τὸν ἐγγὺς ἀέρα ὥσπερ δαλὸς παρών), ἠρεμούντων μὲν ἡμῶν θερμὸς γίνεται ὁ περιέχων ἡμᾶς ἀὴρ διὰ τὰ εἰρημένα, κινουμένων δὲ πνεῦμα γίνεται, ὃ καταψύχει ἡμᾶς· πᾶν γὰρ πνεῦμα ψυχρόν ἐστιν.

et lassi ita adfecti sunt: redundant enim lassi colliquamentis calidis propter fatigationem et motum, tabefacti vero propter destillationem et calorem, quem inflammatio movet.

32. Quam ob causam crus suum sinistrum diutius perfricare cuique difficilius est quam dextrum? An quod parte dextra laborare valemus? rebus enim præter naturam adnumeranda cruris sinistri frictio est, si motu in transversum deflexo peragatur; quæ autem præter naturam fiunt, factu sunt difficilia; sinistra namque manu si partem perfricamus dextram, nil manifestum efficimus, quoniam ita neutram in partem valemus.

33. Cur cibum quidem imminuere, laborem vero augere salubre est? An quia causa ægrotandi excrementorum est nimia copia, hæc autem fit, ubi aut cibus superest, aut labor deficit?

34. Quam ob causam ad secundam valetudinem conciliandam caro non densa, sed rara reddenda est? quemadmodum enim urbs locusque quicumque salubris est, si flatui pervius (quapropter et mare salubre est), ita etiam corpus, quod flatui patet, salubre: aut enim nullum subesse debet recrementum, aut corpus ab eo quam primum liberandum est, corporaque ita se habere debent, ut simulatque excrementum admiserint, confestim illud excernant, sintque motui dedita, non quieti: quod enim manet, putrescit modo aquæ, quod autem putrescit, nec movetur, morbum efficit; at quod excernitur, antequam vitietur, decedit. Hoc igitur, si densatur quidem caro, non contingit (meatus enim quasi obcluduntur), si vero rarefiat, adcidit: quamobrem et in sole nudo corpore ambulandum non est: spissatur etenim caro et valide carne obcluduntur meatus, corpusque humidius redditur: nam intestinum sane remanet; quod vero in superficie exstat, abit: qua ratione carnes quoque elixæ assis humidiores sunt. Nec pectore nudo ambulandum est: ita enim sol corporis partibus optime conditis adimit quod nulla eget demptione, sed interna potius eam desiderant. Inde igitur, ut e remoto, nonnisi cum labore sudor educi potest; hinc vero facile propter obportunitatem.

35. Cur breves deambulationes laboriosæ sunt? An quod crebro consistunt, neque æquabiliter moventur circa flexuras, hujusmodi autem motus laboriosus est?

36. Cur in sole ubi stamus, amplius recalescimus quam ubi movemur, quum tamen motus vim calefactoriam habeat? An non omnis motus calfacit, sed est etiam qui refrigeret: quod etiam in ollis ferventibus evenit, quoties eas adflamus, aut movemus? Quodsi igitur, ubi stamus quidem, calor permanet, permanens autem amplius calfacit quam ubi movetur (corpus etenim nobis proprium semper vaporem quemdam remittit tepidum, qui proximum aerem tepefacit, quemadmodum titio adjacens), quiescentibus quidem nobis, aer ambiens calidus ob prædictam causam redditur; at ubi movemur, flatus fit, qui refrigerat nos: flatus enim quisque frigidus est.

37. Διὰ τί οἱ ἐπὶ τῶν ἵππων ὀχούμενοι, ὅσῳ ἂν θᾶττον θέῃ ὁ ἵππος, τοσούτῳ μᾶλλον δακρύουσι τὰ ὄμματα, καὶ οἱ πεζοί, ὅσῳ ἂν μᾶλλον τρέχωσιν; Πότερον διὰ τὸ ψυχρὸν εἶναι τὸν προσπίπτοντα ἀέρα; τὸ γὰρ ψῦχος δακρύειν ποιεῖ· συστέλλον γὰρ καὶ πυκνοῦν τὴν σάρκα ἐκκαθαίρει τὸ ὑγρόν. Ἢ διὰ τοὐναντίον; τὸ γὰρ θερμὸν ποιεῖ ἱδρῶτας, τὸ δὲ δάκρυον ἱδρώς τίς ἐστιν· διὸ καὶ γίνονται ὑπὸ θερμασίας ἄμφω ταῦτα, καὶ ἁλυκά ἐστιν ὁμοίως· ἡ δὲ κίνησις θερμότητα ποιεῖ. Ἢ διὰ τὴν ὑπὸ τοῦ ἀέρος πληγήν; ὡς γὰρ οἱ ἄνεμοι ταράττουσιν οἱ ἐξ ἐναντίας τὰ ὄμματα, οὕτω καὶ ὁ προσπίπτων, ὅσῳ ἂν θᾶττον ἐλαύνῃ, ἢ αὐτὸς τρέχῃ, τοσούτῳ μᾶλλον ποιεῖ πληγὴν μαλακήν, δι' ἣν γίνεται δακρύειν, ἀραιουμένων τῶν τοῦ ὀφθαλμοῦ πόρων ὑπὸ τῆς πληγῆς· πᾶσα γὰρ πληγὴ διαιρετικόν ἐστιν, ἢ θλαστικόν.

38. Διὰ τί δεῖ τοὺς μὲν θερινοὺς κόπους λουτρῷ ἰᾶσθαι, τοὺς δὲ χειμερινοὺς ἀλείμματι; Ἢ τούτους μὲν διὰ τὰς φρίκας καὶ τὰς γινομένας μεταβολὰς θερμῷ δεῖ λύειν, ὃ ποιήσει ἀλεάζειν (τὸ δὲ ἔλαιον θερμόν), ἐν δὲ τῷ θέρει καθυγραίνειν; ἡ γὰρ ὥρα ξηρά, καὶ οὐ γίνονται φρῖκαι διὰ τὴν ἀλέαν. Ὀλιγοσιτία δὲ καὶ κωθωνισμὸς θέρους, τὸ μὲν ὅλως, τὸ δὲ μᾶλλον, ὁ μὲν πότος θέρους ὅλως διὰ τὴν ξηρότητα, ἡ δ' ὀλιγοσιτία κοινὸν μέν, μᾶλλον δὲ θέρους· ἐκθερμαίνεται γὰρ μᾶλλον διὰ τὴν ὥραν ὑπὸ τῶν σιτίων.

39. Διὰ τί οἱ θέοντες εὐτόνως μάλιστα λαμβάνουσι σπάσματα, ὅταν τις θέουσιν αὐτοῖς ὑποστῇ; Ἢ ὅτι ταῦτα μάλιστα διασπᾶται, ἃ εἰς τοὐναντίον τε καὶ ἰσχυρῶς ἕλκεται καὶ κινεῖται; Ὅταν οὖν θέοντος καὶ σφοδρῶς ὠθουμένων τῶν μορίων εἰς τὸ πρόσθεν ὑποστῇ τις, συμβαίνει ἅμα ἀντισπᾶν εἰς τοὐναντίον, ἔτι φερομένων εἰς τοὔμπροσθεν, ὥσθ' ἡ σπάσις τοσούτῳ ἰσχυροτέρα γίνεται, ὅσῳ ἂν θέωσι σφοδρότερον.

40. Διὰ τί τῶν περιπάτων οἱ κατὰ τὰς ὁδοὺς ἀκοπώτεροί εἰσιν οἱ ἀνώμαλοι τῶν εὐθέων; Ἢ διὰ τὸ τὴν φορὰν ὀρθὴν εἶναι καὶ κατὰ φύσιν παντὶ τῷ σώματι; Οἱ δ' ἐν τοῖς ὁμαλοῖς τῶν ἀνωμάλων κοπιωδέστεροι· τοῖς γὰρ αὐτοῖς μέρεσι τοὺς πόνους παρέχουσιν, οἱ δ' ἐν τοῖς ἀνωμάλοις διαμερίζουσι μᾶλλον εἰς ἅπαν τὸ σῶμα. Αἱ δ' ἀλέαι μᾶλλον ἰσχνοῦσι τῶν ἐν τοῖς ψύχεσιν· τοῖς γὰρ ἔξω μέρεσι πλείονα τὸν πόνον παρέχονται· διὸ καὶ τοὺς ἱδρῶτας ἐμποιοῦντες ἰσχναίνουσιν. Οἱ δ' ἐν τοῖς ψύχεσι στιφροτέραν τὴν σάρκα ποιοῦσι καὶ τῶν σιτίων ἐπιθυμητικωτέρους· τοῖς γὰρ ἔσω μέρεσι τὴν αὔξησιν τοῦ θερμοῦ ποιοῦνται, καὶ δυσκινήτων γινομένων ὑπὸ τοῦ ψύχους τὸν μὲν ἔσω τόπον καθαίρουσι, τὴν θερμασίαν αὐξάνοντες ἐν αὐτῷ, τὴν δὲ σάρκα στερεὰν ποιοῦσιν, οὐ δυνάμενοι κρατεῖν διὰ πάσης αὐτῆς. Ὁμοίως οἱ ἀνάντεις τῶν κατάντων ἐπιπονώτεροι καὶ ἰσχναντικώτεροι· οἱ μὲν γὰρ ἀνάντεις τὴν ὀσφὺν μάλιστα ποιοῦσι πονεῖν, οἱ δὲ κατάντεις τοὺς μηρούς· τοῖς γὰρ

37. Quam ob causam qui equo vehuntur, quo contentius cucurrerit equus, eo magis oculis lacrymantur, et pedites eo magis, quo cucurrerint vehementius? Utrum quoniam aer incidens frigidus est? frigus enim lacrymas movet, quippe quod contrahendo condensandoque carnem humorem expurgat. An propter contrariam causam? calor enim sudorem elicit, lacryma autem sudor quidam est: quapropter et a calore utrumque fit, salsaque pariter ambo sunt; calorem autem efficit motus. An propter aeris ictum? quomodo enim flatus adversi oculos turbant, ita etiam aer incidens, quo quis contentius equum agitat, aut ipse currit, eo magis ictum mollem efficit, unde lacrymatio oboritur, meatibus oculi ictu rarefactis: omnis etenim ictus vim aut dividendi habet, aut contundendi.

38. Cur æstivis quidem lassitudinibus balneo, hibernis vero unctione mederi oportet? An hibernas quidem propter horrores mutationesque quæ fiunt, calore solvere oportet qui membra tepescere faciat; oleum vero calidum est; at in æstate humefaciendum est? tempestas enim sicca est, nec fiunt horrores propter æstum. Cibus etiam parcus et comessatio per æstatem conveniunt, hæc quidem omnino, ille vero inprimis; compotatio quidem per æstatem propter siccitatem ex toto; parsimonia vero cibi communis quidem tempestatum omnium est, sed magis æstati convenit: tempestatis enim ergo calor vehementior a cibis cietur.

39. Quamobrem qui concitate currunt, lacerationibus maxime corripiuntur, ubi quis inter currendum eorum impetum sistit? An quod ea potissimum divelluntur, quæ in partem contrariam vehementerque trahuntur atque moventur? Quum igitur homine currente vehementerque membra propellente, quis obviam factus obstiterit, accidit ut ea simul in partem retrahat contrariam, dum adhuc ante pertendunt, ita ut divulsio eo vehementior fiat, quo currunt contentius.

40. Cur ambulationes in viis minus laboriosæ sunt quæ inæquales quam quæ rectæ sunt? An quod prolatio recta est et secundum naturam corpore universo peragitur? Ambulationes autem per loca æquabilia laboriosiores quam inæquabiles sunt: iisdem enim partibus laborem adferunt; quæ vero per inæqualia fiunt, dispertiunt magis in totum corpus. Æstus vero emaciant magis quam ambulationes in frigore, quippe qui partibus externis laboris plus adferunt: quapropter et sudorem evocantes emaciant; quæ vero in frigore peraguntur, carnem reddunt rigidiorem, ciborumque faciunt avidiores: partibus enim internis calorem augent, et membrorum motu propter frigus difficiliori reddito, locum quidem internum purgant, calorem eo contentum augentes; carnem vero solidam reddunt, ut quæ per eam universam nequeunt superare. Adclives itidem ambulationes laboriosiores sunt quam declives, magisque emaciant: faciunt enim adclives ut lumbi potissimum laborent, declives vero ut femora: pondus enim totum fe-

μινοῖς τὸ βάρος πᾶν ἐμπῖπτον κόπους εἴωθε παρέχειν· ἄνω γὰρ παρὰ φύσιν ὑπὸ τοῦ θερμοῦ βίᾳ φερόμενος ἐκθερμαίνει· διὸ τούς θ' ἱδρῶτας ἐμποιοῦσι, καὶ τὸ πνεῦμα μετεωρίζοντες ἰσχναίνουσι, καὶ τὴν ὀσφὺν ὀδυνῶσιν· τὰ γὰρ σκέλη χαλεπῶς ἀναγόμενα τὴν ὀσφὺν κάμπτουσί τε καὶ ἀνασπῶσιν, ὑφ' ὧν ἀναγκάζονται μάλιστα πονεῖν. Οἱ δ' ἐν ἀντιτύποις περίπατοι τοῖς τε μυσὶ καὶ τοῖς τεταμένοις τῶν σκελῶν παρέχουσι κόπους· συντάσεις γὰρ ἐμποιοῦσι τοῖς νεύροις καὶ τοῖς μυσί, βιαίας γενομένης τῆς ἀπερείσεως αὐτοῖς. Οἱ δ' ἐν τοῖς μαλακοῖς τοῖς ἄρθροις κοπιώδεις εἰσίν· τῶν γὰρ ἄρθρων πυκνὰς τὰς κάμψεις ποιοῦσιν, ἅτε ἐνδιδούσης τῆς βάσεως. Τὸ δ' αὐτό ἐστι πρόβλημα.

41. Διὰ τί πρὸς τὰ σιμὰ χαλεπῶς βαδίζομεν; Ἢ διότι πᾶσα πορεία ἐξ ἄρσεως καὶ θέσεως συντελεῖται; Τὸ μὲν οὖν ἆραι παρὰ φύσιν, τὸ δὲ θεῖναι κατὰ φύσιν, τὸ δὲ προσθεῖναι μεσότης· ἐν δὲ τῷ πρὸς τὰ σιμὰ βαδίζειν πολὺ τὸ παρὰ φύσιν.

42. Διὰ τί οἱ ἀφ' ἵππων ἧττον πίπτουσιν; Ἢ διὰ τὸ φοβεῖσθαι φυλάττονται μᾶλλον;

moribus incumbens lassitudinem adferre solet: sursum namque præter naturam caloris vi sese efferens majorem in modum calefacit: quapropter sudores movent, respirationemque suspendentes emaciant et lumbis dolorem infligunt: crura enim ubi difficulter sursum ducuntur, lumbos inflectunt atque retrahunt: quibus de causis necessario inprimis laborant. Quæ autem locis renitentibus peraguntur, ambulationes musculis et partibus intensis crurum lassitudinem infligunt, quippe quæ contentiones tam nervis quam musculis adferunt, quum fultura eorum violenta sit. Mollibus vero et cedentibus locis factæ ambulationes articulis potissimum lassitudinem infligunt: flexus enim articulorum efficiunt fréquentes, quum solum cedat. Eadem autem quæstio est.

41. Cur contra loca adclivia difficilius ambulamus? An quoniam omnis ingressus sublevatione et positione absolvitur? Sublevatio igitur præter naturam est, positio vero secundum naturam, dum adpositio medium tenet; in ambulando autem contra loca adclivia multum continetur quod præter naturam est.

42. Quare qui ab equis descendunt, minus decidunt? An magis sibi cavent, quia timent?

ΤΜΗΜΑ Ϛ.

ΟΣΑ ΕΚ ΤΟΥ ΠΩΣ ΚΕΙΣΘΑΙ ΚΑΙ ΕΣΧΗΜΑΤΙΣΘΑΙ ΣΥΜΒΑΙΝΕΙ.

1. Διὰ τί ἡ καθέδρα τοὺς μὲν παχύνει τῶν ἀνθρώπων, τοὺς δὲ ἰσχναίνει; Πότερον ὅτι αἱ ἕξεις διαφέρουσιν; οἱ μὲν γὰρ θερμοί εἰσιν, οἱ δὲ ψυχροί. Οἱ μὲν οὖν θερμοὶ παχύνονται (κρατεῖ γὰρ τὸ σῶμα τῆς τροφῆς διὰ τὴν θερμασίαν)· οἱ δ' ἐψυγμένοι, διὰ τὸ δεῖσθαι ἐπεισάκτου θερμότητος καὶ τοῦτο πάσχειν μάλιστα τὸ σῶμα ὑπὸ τῶν κινήσεων, οὐ δύνανται πέττειν ἠρεμοῦντες. Ἢ ὅτι οἱ μὲν περιττωματικοί εἰσι, καὶ δέονται κινήσεως ἣ ἀναλώσει ταῦτα, οἱ δ' οὔ;

2. Διὰ τί δεῖ ποιεῖν διάτασιν τῶν μερῶν, ὃ ποιεῖ ὁ γυμναζόμενος; Ἢ ὅτι δεῖ τῷ οἰκείῳ πνεύματι καθαίρεσθαι τοὺς πόρους;

3. Διὰ τί συγκεκαμμένον βέλτιον κατακεῖσθαι, καὶ πολλοί γε παραγγέλλουσι τοῦτο καὶ τῶν ἰατρῶν; Ἢ ὅτι ἀλεαίνουσα ἡ κοιλία θᾶττον πέττει, οὕτω δ' ἀλεαίνει μᾶλλον; Ἔτι δεῖ τοῖς πνεύμασι τόπον διδόναι εἰς ὃν ἀπερείσονται· οὕτω γὰρ ἥκιστα λυπήσουσιν αἱ φῦσαι· διὰ τοῦτο γὰρ καὶ ἰξίαι καὶ τὰ ἄλλα ἀποστήματα ὑγιεινόν, ὅτι ἔχουσι κοιλίας εἰς ἃς ἀποδέχονται τὰ πνεύματα. Ἐκτεταμένου μὲν οὖν οὐ γίνεται κοιλία (ἅπαντα γὰρ τὸν τόπον τὰ σπλάγχνα κατέχει), συγκαμφθέντος δὲ γίνεται.

4. Διὰ τί ἀνισταμένοις ἴλιγγος μᾶλλον γίνεται ἢ καθίζουσιν; Ἢ διότι ἠρεμοῦσι τὸ ὑγρὸν εἰς ἓν μόριον

SECTIO VI.

QUÆ AD ACCUBITUM ET HABITUM CORPORIS PERTINENT.

1. Cur sessio alios quidem implet homines, alios vero emaciat? Utrum quia habitus distant inter sese? alii enim calidi, alii vero frigidi sunt. Calidi itaque implentur (cibum enim corpus vi sui caloris domat), frigidi autem, quod adventitium calorem desiderant, idque motionum ope potissimum corpori evenit, concoquere nequeunt, dum quiescunt. An quod alii quidem excrementis redundant, et motum qui ea consumat, desiderant, alii vero non?

2. Cur partes corporis distendendæ sunt, quod qui se exercitat, facit? An quod meatus spiritu proprio purgari oportet?

3. Cur contracto corpore cubare melius est, multique certe medici ita præcipiunt? An quod venter calens concoquit celerius, sic autem magis calet? Ad hæc locum flatibus dare, in quem innitantur, oportet: ita enim minime infestabunt: nam hinc varices quoque et ceteri abscessus salubres sunt, quia cavos continent, in quos flatus recipiunt. Ergo corpore extento cavus non fit (locum etenim omnem viscera occupant), contracto autem fit.

4. Cur vertigo surgentibus potius accidit quam sedentibus? An quoniam quiescentibus humor universus unum in

ἀθρόον ἀποκλίνει; διὸ καὶ τὰ ὠμὰ ᾠὰ οὐ δύναται δινεῖσθαι, ἀλλὰ καταπίπτει· κινούμενον δὲ τὸ ὑγρὸν ὁμοίως ἔχει. Ἀνίστανται μὲν οὖν ἠρεμήσαντες, ὅθ' οὕτω διάκεινται· καθιζάνουσι δὲ ἐν κινήσει γενόμενοι, ὅθ' ὁμαλῶς ἔχει τὸ ὑγρὸν καὶ ἐσκέδασται.

membrum convergit? quapropter cruda etiam ova nequeunt circumvolvi, sed decidunt; humor autem ubi movetur, eodem modo se habet. Surgimus igitur a quiete, quando ita adfecti sumus; considimus vero a motu, quando humor æquabiliter sese habet atque dispersus est.

5. Διὰ τί ἐπὶ τὰ δεξιὰ κατακειμένοις μᾶλλον ἐπέρχεται ὕπνος; Πότερον ὅτι ἐναντίως ἔχοντες ἐγρηγόρασι καὶ καθεύδουσιν; Ἐπεὶ οὖν ἐγρηγορότες ἐπὶ τὰ ἀριστερὰ κατάκεινται, τοὐναντίον ἔσται ἐπ' ἄλλης ἀρχῆς καὶ τῆς ἐναντίας. Ἢ ὅτι ἀκινησία ὁ ὕπνος; Τὰ οὖν κινητικὰ μέρη δεῖ ἠρεμεῖν, τὰ δὲ δεξιὰ κινητικά· οὕτω δὲ κατακειμένων οἷον δέδεται ἀρχή τις ἐπεγερτική.

5. Quam ob causam, ubi parti dextræ incubamus, somnus magis adcedit? Utrum quod vigilantes contra quam dormientes habemus? Ergo quum vigilantes parti incubemus sinistræ, contrarium fiet, ubi aliud est initium, idque contrarium. An quod somnus privatio motionis est? Partes igitur quæ movere valent, quiescant oportet, dextræ autem partes movere valent: ubi autem ita adcubamus, veluti colligatum est initium quoddam resurgendi.

6. Διὰ τί ναρκῶσιν, καὶ διὰ τί χεῖρας καὶ πόδας μᾶλλον; Ἢ ὅτι κατάψυξίς ἐστιν ἡ νάρκη; διὰ στέρησιν γὰρ αἵματος γίνεται καὶ μετάστασιν. Ἀσαρκότατα δὲ ταῦτα καὶ νευρωδέστατα, μάλιστα δ' οἱ πόδες· ὥστε προοδοποιεῖται ὑπὸ τῆς φύσεως πρὸς τὸ καταψύχεσθαι ταχέως.

6. Cur torpemus, et cur manibus potissimum et pedibus? An quod torpor refrigeratio est? fit enim propter sanguinis privationem translationemque. Manus autem et pedes maxime carnis inopes atque nervosi sunt, sed præcipue pedes, ita ut ad refrigerationem celerem natura viam iis sternat.

7. Διὰ τί κατακείμεθα μὲν ἐπὶ τὰ ἀριστερὰ ἡδέως, καθεύδομεν δ' ἐπὶ τὰ δεξιὰ μᾶλλον; Πότερον ὅτι ἀποστραφέντες πρὸς τὸ φῶς οὐ βλέπομεν; ἐν γὰρ τῷ σκότει θᾶττον ὕπνος λαμβάνει. Ἢ διότι ἐγρηγόραμεν κατακείμενοι ἐπὶ τοῖς ἀριστεροῖς, καὶ αἱ χρήσεις ἡμῖν οὕτω πρόχειροι, ὥστε πρὸς τὸ ἐναντίον [τὸ ἐναντίον] σχῆμα πρὸ ἔργου; παρακαλεῖ δ' ἕκαστον πρὸς τὸ ἔργον τὸ σχῆμα μᾶλλον.

7. Cur libenter adcubamus quidem in latus sinistrum, dormimus vero in dextrum potius? Utrum quoniam aversi lucem non intuemur? somnus enim in tenebris ocius obrepit. An quod dum lateri incubamus sinistro, vigilamus, et operum functio sic nobis expeditior est, ita ut ad contrarium opus contrarius habitus ex re sit? Invitat autem unusquisque habitus ad opus suum inprimis.

8. Διὰ τί αἱ καθέδραι τινὰς μὲν παχύνουσι, τινὰς δ' ἰσχναίνουσιν; Ἢ διὰ τὰς ἕξεις τὰς τοῦ σώματος; οἱ μὲν γὰρ θερμότεροι παχύνονται· κρατεῖ γὰρ τὸ σῶμα τῆς τροφῆς διὰ τὴν θερμότητα οὐκ ἀφαιρούμενον· οἱ δ' ἐψυγμένοι διὰ τὸ δεῖσθαι ἐπεισάκτου θερμότητος οὐ δύνανται πέττειν τὰς τροφὰς ἠρεμοῦντες.

8. Quare sessiones alios quidem implent, alios vero emaciant? An propter corporis habitus? calidiores enim implentur: corpus namque cibum domat propter calorem, nihilque ei detrahitur; refrigerati vero, quia calore adventitio indigent, cibos concoquere nequeunt, dum quiescunt.

ΤΜΗΜΑ Ζ.

ΟΣΑ ΕΚ ΣΥΜΠΑΘΕΙΑΣ.

SECTIO VII.

QUÆ AD CONSENSUM PERTINENT.

1. Διὰ τί τοῖς χασμωμένοις ἀντιχασμῶνται ὡς ἐπὶ τὸ πολύ; Ἢ διότι, ἐὰν ἀναμνησθῶσιν ὀργῶντες, ἐνεργοῦσι, μάλιστα δὲ τὰ εὐκίνητα, οἷον οὐροῦσιν, ἡ δὲ χάσμη πνεῦμα καὶ ὑγροῦ κίνησίς ἐστιν; Πρόχειρον οὖν, ἐὰν μόνον νοήσῃ· ἔστι γὰρ πλησίον.

1. Quare oscitantibus oscitando respondemus plerumque? An quia, si turgentes meminerimus, agimus, sed maxime quæ motu facili peraguntur, veluti mictionem; oscitatio autem spiritus est et humoris motus? In promptu igitur est, si modo cogitemus: est enim in vicino.

2. Διὰ τί, ἐὰν μέν τινα ἴδωμεν τὴν χεῖρα ἐκτείνοντα ἢ τὸν πόδα, ἢ ἄλλο τι τῶν τοιούτων, οὐκ ἀντιποιοῦμεν τὸ αὐτό, ἐὰν δὲ χασμώμενον, ἀντιχασμώμεθα; Ἢ οὐδὲ τοῦτο ἀεί, ἀλλ' ἐὰν ὀργῶν τύχῃ τὸ σῶμα καὶ οὕτω διακείμενον ὥστε τὸ ὑγρὸν ἀναθερμαίνεσθαι; τότε γὰρ ἡ μνήμη τὴν κίνησιν ποιεῖ, ὥσπερ καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδήν· τὸ γὰρ ποιῆσαν μνήμην εἶναι τὸ ἔχον ὁρμὴν πρὸς τὸ φαντασθὲν πάθος.

2. Quamobrem, si quem videamus manum extendentem, vel pedem, vel aliud quid hujusmodi, non hoc idem imitamur; si vero oscitantem, oscitando respondemus? An ne hoc quidem perpetuo, sed tantummodo ubi forte turget corpus atque ita dispositum est, ut humor recalescat? tunc enim memoria motum ciet, quemadmodum et ad venerem, vel ad cibum: quod enim memoriam in rem præsentem advocat, id est quod vergit in adfectum imaginationi obversantem.

3. Διὰ τί, ἐπειδὰν πρὸς τὸ πῦρ στῶμεν, οὐρητιῶμεν, καὶ ἐὰν πρὸς ὕδωρ, οἷον ἐὰν πρὸς ποταμόν, οὐροῦσιν; Ἢ ὅτι τὸ πᾶν ὕδωρ ὑπόμνησιν δίδωσι τῆς ἐν τῷ σώματι ὑγρότητος, καὶ ἐκκαλεῖται τὸ προσιόν, αὐτὸ δὲ τὸ πῦρ διαχαλᾷ τὸ πεπηγὸς ἐν τῷ σώματι, ὥσπερ ὁ ἥλιος τὴν χιόνα;

3. Quamobrem, ubi igni adstamus, micturimus, itemque ubi aquæ, exempli gratia fluvio, mingimus? An quia omnis aqua memoriam adfert humoris in corpore inveniundi et adcedentem evocat, ipse vero ignis remollit quod concretum in corpore est, quemadmodum sol nivem?

4. Διὰ τί ἀπὸ μὲν νόσων ἐνίων νοσοῦσιν οἱ πλησιάζοντες, ἀπὸ δ' ὑγιείας οὐδεὶς ὑγιάζεται; Ἢ ὅτι ἡ μὲν νόσος κίνησις, ἡ δ' ὑγίεια ἠρεμία; Ἡ μὲν οὖν κινεῖ, ἡ δ' οὐθέν. Ἢ διότι τὸ μὲν ἄκοντι, τὸ δ' ἑκόντι γίνεται; Καὶ ἄρα τὰ ἀκούσια τῶν ἑκουσίων καὶ τῶν ἐκ προνοίας διαφέρει.

4. Cur a morbis quidem nonnullis ægrotant qui adpropinquant, a sanitate vero nemo sanus fit? An quoniam morbus quidem motio est, sanitas autem quies? Ergo ille quidem movet, hæc vero nihil agit. An quod alterum quidem invito evenit, alterum vero consulto fit? Atqui res non voluntariæ a voluntariis quæque de industria fiunt, differunt.

5. Διὰ τί τῶν μὲν διὰ τῆς ἀκοῆς λυπηρῶν ἔνια φρίττειν ἡμᾶς ποιεῖ, οἷον πρίων ἀκονώμενος καὶ κίσηρις τεμνομένη καὶ λίθος ἀλούμενος, τὰ δὲ διὰ τῆς ὄψεως σημεῖα τῶν παθῶν αὐτὰ ἡμῖν τὰ πάθη ἐμποιεῖ; αἱμωδιῶμέν τε γὰρ τοὺς ὀξὺ ὁρῶντες ἐσθίοντας, καὶ τοὺς ἀπαγχομένους ἔνιοι ὁρῶντες ἐκψύχουσιν. Ἢ διότι φωνὴ μὲν πᾶσα καὶ ψόφος πνεῦμά ἐστι, τοῦτο δ' εἰσδυόμενον ἡμῖν πέφυκε κινεῖν, κινήσει δὲ μᾶλλον ἢ διὰ μέγεθος, ἢ διὰ πληγὴν σφοδροτέραν, ποιοῦν ἢ ἀλλοιοῦν τι τῶν ἐν ἡμῖν. Τὰ μὲν οὖν μεγάλα καὶ λεῖα πνεύματα τὸν τῆς αἰσθήσεως τόπον αὐτὸν κινεῖ· διὸ καὶ ἡδύνει τὰ τοιαῦτα· τὰ δὲ τραχέα πληγὴν ποιοῦντα σφοδράν, σείει τε τὸν τόπον καὶ πόρρω διαδίδωσι τῇ τῆς πληγῆς δυνάμει. Διαδίδωσι δὲ καὶ τὰ ψυχρὰ πόρρω· δύναμις γάρ τίς ἐστιν ἡ ψυχρότης. Αὕτη μὲν οὖν ὅτι φρίττειν ποιεῖ, εἴρηται· τὰ δὲ τραχέα, τῷ πληγὴν ποιεῖν πυκνὴν προσκόπτοντα τῇ ἀρχῇ τῶν τριχῶν, ἀπωθεῖ αὐτὴν εἰς τοὐναντίον· ἀπωθουμένης δ' ἀνάγκη τὴν κορυφὴν τῆς τριχὸς ἀνάπαλιν γίνεσθαι· διὸ συμβαίνει ἵστασθαι αὐτάς· πᾶσαι γὰρ νενεύκασι κάτω, ἡ δὲ φορὰ τοῦ διὰ τῆς ἀκοῆς πνεύματος εἰς τὸ σῶμα ἄνωθεν κάτω ἐστίν. Ὄντων οὖν τραχέων τῶν εἰρημένων ψόφων, ἡ φρίκη γίνοιτ' ἂν διὰ τὰ εἰρημένα. Γίνονται δ' αὗται μᾶλλον τῷ ἄλλῳ σώματι ἢ ἐν τῇ κεφαλῇ διὰ τὸ τὰς ἐνταῦθα τρίχας ἀσθενεστέρας εἶναι καὶ τὸ πάθος ἀσθενές. Τῆς μὲν οὖν ἀκοῆς οὔσης ἀμβλυτέρας αἰσθήσεως ἢ τῆς ὄψεως, ἐπιπόλαια καὶ τὰ πάθη γίνεται ἀπ' αὐτῆς· ἡ δὲ φρίκη τοιοῦτον· διὸ καὶ ἀπὸ πολλῶν καὶ ἀνομοίων γίνεται. Τῆς δ' ὄψεως ἐναργεστάτης οὔσης αἰσθήσεως, ἀνάλογον καὶ τὰ συμβαίνοντα γίνεται ἀπ' αὐτῆς· διὸ ταῦτα μὲν τὰ ἀπὸ τῆς ἀληθείας πάθη συμβαίνει γίνεσθαι ἀπ' αὐτῆς, ἐλαφρότερα δὲ τῆς ἀληθείας· ἀπὸ δὲ τῆς ἀκοῆς αὐτὰ μὲν οὔ, τὴν δ' ἀπ' αὐτῶν προσδοκίαν φρίττομεν· ἀλγεινοῦ γὰρ κακοῦ προσδοκία ἐστίν.

5. Quare nonnulla inter res molestas quæ auditu nobis obcurrunt, nonnullæ ut inhorrescamus efficiunt, ut serra ubi exacuitur, et pumex ubi secatur, lapisque ubi mola frangitur; adfectionum autem notæ quæ visui patent, adfectus ipsos nobis inferunt? dentes enim stupescunt, ubi rem acidam edentes adspicimus, et nonnullis ubi homines strangulari vident, ipsi animo deficiunt. An quod vox quidem omnis sonusque spiritus est, qui nos subiens suapte natura motum ciere solet; movebit autem inprimis vel propter magnitudinem, vel propter ictum vehementiorem, aliquid ex iis quæ nostro in corpore sunt, adficiens, vel immutans. Ergo spiritus magni ac læves sedem ipsam commovent sentiendi, et lætitia ob eam rem nos adficiunt asperi autem, quoniam ictum inferunt vehementem, sedem illam concutiunt, longeque pro ictus sui facultate penetrant. Penetrant quoque frigida procul: frigiditas enim vis quædam est. Hanc itaque horrorem invehere, dictum jam est; asperi vero, quod ictum infligunt frequentem initio pilorum illidentes, in partem id depellunt adversam; depulso autem initio cacumen pilorum se transferat in partem adversam necesse est: quapropter fit ut pili erigantur: omnes enim deorsum nutant, spiritus autem qui per aures corpori se insinuat, superne deorsum tendit. Ergo quum soni quos modo diximus, asperi sint, horror ob causam prædictam fiet. Sed evenit hic cetero corpori potius quam capiti, quoniam pili hujus partis ceteris imbecilliores sunt affectusque imbecillus. Quum itaque sensus audiendi quam videndi obtusior sit, adfectus quoque qui ab eo ipso proficiscuntur, in superficie fiunt, horror autem talis est: quamobrem et multis ac variis de causis exsistit. Sensus videndi vero quum manifestissimus sit, eventa quoque quibus ansam dat, huic proportioni respondent: quocirca efficitur ut ipsi quidem hi secundum veritatem adfectus, etiamsi veris leviores, ab eo proficiscantur; at a sensu audiendi non ipsos quidem adfectus, sed eorum exspectationem horremus: mali enim dolorem adferentis exspectatio horror est.

6. Διὰ τί χασμησαμένοις ἀντιχασμῶνται, καὶ ὅταν οὐροῦντα ἴδωσιν, οὐροῦσι, καὶ μάλιστα τὰ ὑποζύγια; Ἢ διὰ τὴν μνήμην; ὅταν γὰρ μνησθῇ, κινεῖται τοῦτο τὸ μέρος. Τοῖς μὲν οὖν ἀνθρώποις, διὰ τὸ εὐαισθη-

6. Cur oscitantibus oscitando respondemus, et ubi mingentem videmus, mingimus, idque inprimis jumenta? An propter memoriam? movetur enim ea ipsa pars, quoties meminerimus. Hominibus itaque, quia sensu præditi

τοτέροις εἶναι, ἰδοῦσιν εὐθὺς συμβαίνει καὶ κινεῖσθαι καὶ ἀναμιμνήσκεσθαι· τοῖς δ' ὑποζυγίοις οὐκ αὔταρκες τὸ ἰδεῖν, ἀλλὰ προσδέονται καὶ ἄλλης αἰσθήσεως· διὸ καὶ ὀσφρανθέντα, ὅτι εὐκινητοτέρα αὕτη ἡ αἴσθησις τοῖς ἄνευ λόγου, καὶ διὰ τοῦτο εἰς τὸν αὐτὸν τόπον ἅπαντα οὐρεῖ, οὗ ἂν τὸ πρῶτον οὐρήσῃ· τότε γὰρ μάλιστα κινοῦνται, ὅταν ὀσφρανθῶσιν· ὀσφραίνονται δ', ὅταν πλησιάσωσιν.

sunt exquisitiori, simulac viderint, evenit ut moveantur reminiscanturque; jumentis autem vidisse non satis est, sed alio insuper sensu opus est: quamobrem addito etiam olfactu moventur, quoniam sensus hic in animalibus ratione carentibus mobilior est: unde fit ut eumdem quoque in locum mingant omnia, quo primum eminxerit: tum enim præcipue moventur, quum olfecerint; olfaciunt autem posteaquam adpropinquarint.

7. Διὰ τί, ἐπειδὰν τεμνόμενόν τινα ἴδωμεν, ἢ καιόμενον, ἢ στρεβλούμενον, ἢ ἄλλο τι τῶν δεινῶν πάσχοντα, συναλγοῦμεν τῇ διανοίᾳ; Ἢ ὅτι ἡ φύσις ἡμῖν κοινὴ ἅπασιν; Συνήλγησεν οὖν, ἐπειδάν τι τοιοῦτον ἴδῃ, τῷ πάσχοντι διὰ τὴν οἰκειότητα. Ἢ ὅτι ὥσπερ αἱ ῥῖνες καὶ αἱ ἀκοαὶ λαμβάνουσί τινας ἀπορροίας κατὰ τὰς οἰκείας δυνάμεις, οὕτω καὶ ἡ ὄψις αὐτὸ πάσχει, καὶ ἀπὸ τῶν ἡδέων καὶ λυπηρῶν;

7. Quamobrem ubi secari quempiam, aut uri, aut torqueri, aut alia quadam re tetra adfici videmus, mente ejus dolorem participamus? An quod omnibus communis natura nobis est? Dolorem igitur participat qui aliquid hujusmodi viderit, propter cognationem, qua præditus est erga dolentem. An quia eodem modo quo nares et aures effluvia quædam secundum proprias facultates recipiunt, sic etiam visui idem evenit adfectus a rebus tum jucundis, tum tristibus.

8. Διὰ τί ἀπὸ φθίσεως καὶ ὀφθαλμίας καὶ ψώρας οἱ πλησιάζοντες ἁλίσκονται, ἀπὸ δ' ὕδρωπος καὶ πυρετῶν καὶ ἀποπληξίας οὐχ ἁλίσκονται, οὐδὲ τῶν ἄλλων; Ἢ ἡ μὲν ὀφθαλμία, ὅτι εὐκινητότατον ὁ ὀφθαλμὸς καὶ μάλιστα ὁμοιοῦται τῷ ὁρωμένῳ τῶν ἄλλων, οἷον κινεῖται ἀπὸ κινουμένου, ὥστε καὶ ἀντιβλέπων τεταραγμένῳ ταράττεται μάλιστα, ἡ δὲ φθίσις, ὅτι πνεῦμα φαῦλον ποιεῖ καὶ βαρύ, τάχιστα δὲ τὰ νοσήματα ταῦτα ἅπτεται πάντων, ὅσα τούτου φθειρομένου γίνεται, οἷον τὰ λοιμώδη; ὁ δὲ πλησιάζων τοιοῦτον ἀναπνεῖ. Νοσεῖ μὲν οὖν, ὅτι νοσῶδες· ἀπὸ μόνου δέ, ὅτι ἐκπνεῖ, νοσεῖ, οἱ δ' ἄλλοι ἑτέρως· τὴν αὐτὴν δὲ νόσον, ὅτι ᾧ ἂν ἀσθενήσῃ, τούτῳ ἀναπνεῖ τοιοῦτον οἷον εἰ πεπονθὼς ἦν. Ἡ δὲ ψώρα μᾶλλον τῶν ἄλλων, οἷον λέπρας καὶ τῶν τοιούτων, ὅτι ἐπιπολῆς τε καὶ γλίσχρον τὸ ἀπορρέον· τὰ γὰρ κνησμώδη τοιαῦτα· διὸ αὐτὰ τῷ ἐπιπολῆς γίνεσθαι καὶ γλίσχρον εἶναι ἅπτεται. Τῶν δ' ἄλλων τὰ μὲν οὐχ ἅπτεται διὰ τὸ μὴ ἐπιπολῆς γίνεσθαι, τὰ δ' ὄντα ἐπιπολῆς, ὅτι οὐ προσμένει διὰ ξηρότητα.

8. Cur a tabe et lippitudine et scabie capiuntur qui adpropinquant, ab aqua autem intercute, aut febribus, aut morbo adtonito non capiuntur, nec a reliquis? An lippitudo quidem (ita agit), quoniam oculus mobilissima est pars et ceterarum maxime partium rei sibi objectæ similis redditur, movetur exempli gratia a re quæ motu tenetur ipsa, ita ut, quum turbatum ex adverso intueatur, et ipse maxime perturbetur; tabis autem (contagio ideo fit), quoniam spiritum vitiat gravemque reddit, celerrime autem omnes morbi corripiunt qui a spiritu corrupto proveniunt, quales sunt pestilentes? qui enim adpropinquat, talem spiritum trahit. Ægrotat igitur, quia morbiferus est spiritus; ab unico autem morbum recipit, quoniam unus ille (sic) spirat, ceteri vero secus; eumdem autem morbum recipit, quia qua parte ille ægrotarit, eadem hic tale spirat ac si ipse fuisset ægrotus. Sed scabies magis quam cetera, veluti lepra atque hujusmodi vitia, inficit, quoniam superficiem corporis tenet et humore manat glutinoso: pruriginosa namque hujusmodi sunt: quapropter, quia nempe superficiem invadunt glutinosaque sunt, idcirco inficiunt. Inter cetera autem alia quidem non inficiunt, quia superficiem non invadunt, alia vero, etiamsi superficiem teneant, quia ob siccitatem non adhærent.

9. Διὰ τί τὴν αἱμωδίαν παύει ἡ ἀνδράχνη καὶ ἅλες; Ἢ ὅτι ἡ μὲν ὑγρότητά τινα ἔχει; φανερὰ δ' αὕτη μασωμένοις τε, κἂν συντεθῇ χρόνον τινά· ἕλκεται γὰρ ἡ ὑγρότης. Τὸ δὴ γλίσχρον εἰσδυόμενον ἐξάγει τὸ ὀξύ· καὶ γὰρ ὅτι συγγενὴς ἡ ὀξύτης σημαίνει· ἔχει γάρ τινα ὀξύτητα ὁ χυλός. Ὁ δ' ἅλς συντήκων ἐξάγει καὶ τὴν ὀξύτητα. Διὰ τί οὖν ἡ κονία καὶ τὸ νίτρον οὔ; Ἢ ὅτι στύφει, καὶ οὐ τήκει;

9. Cur dentium stuporem portulaca tollit, et sal? An quia portulaca quidem quemdam continet humorem, qui cum manducantibus, tum aliquantisper reponentibus patescit? trahitur enim ille humor. Lentor igitur subiens acorem expellit: nam ipse acor adfinitatem indicat: succus enim acorem quemdam præ se fert. Sal vero item liquefaciendo acorem expellit. Quare itaque lixivium et nitrum non expellunt? An quia adstringunt, non vero liquefaciunt?

ΤΜΗΜΑ Η.

ΟΣΑ ΕΚ ΡΙΓΟΥΣ ΚΑΙ ΦΡΙΚΗΣ.

SECTIO VIII.

QUÆ AD RIGOREM ATQUE HORROREM PERTINENT.

1. Διὰ τί οἱ ῥιγῶντες πελιδνοὶ γίνονται; Ἢ διότι τὸ αἷμα πήγνυται διὰ τὸ ψῦχος, πηγνύμενον δὲ μελαίνεται διὰ τὴν ἀπουσίαν τοῦ θερμοῦ; τὸ δὲ λευκὸν τοῦ

πυρός· διὸ καὶ τοῖς πρεσβύταις μάλιστα πελιδνοῦται ἡ σάρξ, ὅτι ἐλαχίστην ἔχει θερμότητα.

1. Qua de causa lividi qui rigent, efficiuntur? An quoniam sanguis frigore gelascit, gelascens autem nigrescit propter caloris inopiam? albedo namque igni propria est: quapropter et maxime ætate provectis caro livescit, eo quod calorem minimum obtinet.

2. Διὰ τί οἱ ῥιγῶντες καθεύδειν οὐ δύνανται; Ἢ διότι πάντες οἱ ῥιγῶντες μᾶλλον τὸ πνεῦμα κατέχουσιν, ὁ δὲ καθεύδων ἐκπνεῖ μᾶλλον ἢ εἰσπνεῖ· χαλεπὸν ῥιγῶντα καθεύδειν; ἅμα γὰρ ποιεῖν τἀναντία ἀδύνατον.

2. Quapropter rigentes dormire nequeunt? An quia rigentes inprimis spiritum detinent omnes, dormiens vero exspirat potius quam inspirat, difficilis rigenti est somnus? fieri enim nequit ut simul contraria faciamus.

3. Διὰ τί ἐν τῷ ψύχει ὀξύτεροι καὶ οἱ ἀσθενήσαντες, καὶ οἱ λυπούμενοι, καὶ οἱ ὀργιζόμενοι; Ἢ στιφρότερον ποιεῖ τὸ καταψύχεσθαι;

3. Quamobrem in frigore acriores sunt cum convalescentes, tum dolentes, tum irati? An rigidiores reddit refrigeratio?

4. Διὰ τί οἱ ἀθληταὶ δύσριγοι εὖ ἔχοντες; Ἢ ὅτι καθαρὰ καὶ εὔπνους ἡ ἕξις καὶ ἀπίμελος, ἡ τοιαύτη δ' εὐπαθεστάτη ὑπὸ τοῦ ἀέρος, ὅταν εὐδίοδός τ' ᾖ καὶ μὴ ἔχῃ θερμότητα ἐν αὑτῇ; ἡ δὲ πιμελὴ θερμόν, ἂν μὴ δίυγρος.

4. Quamobrem athletæ alsiosi sunt, etiamsi bono utantur habitu? An quia habitus eorum purus flatuique pervius est et pinguedine caret, talis autem habitus facillime ab aere adficitur, quandoquidem facile penetratur, nec calorem intra se continet? pinguedo enim calida est, nisi perquam humida sit.

5. Διὰ τί μάλιστα τὰ ἀκρωτήρια ῥιγῶσιν; Ἢ διὰ στενότητα; Καὶ οἱ πόροι ἐν αὐτοῖς στενοὶ ὄντες ὀλίγαιμοί εἰσιν, ὥστε καὶ ὀλιγόθερμοί εἰσιν· τὸ γὰρ αἷμα θερμόν.

5. Cur extremitatibus corporis maxime rigemus? An propter angustiam? Meatus quoque, qui in his insunt, quippe angusti, parum obtinent sanguinis, et ob eam rem et parum caloris: sanguis enim calidus est.

6. Διὰ τί, ἐὰν μετέωροι ὦσιν οἱ πόδες, μᾶλλον ῥιγοῦσιν; Πότερον ὑποπνεῖ μᾶλλον; Ἢ ὅτι ἐν ἐλάττονι γίνεται τὸ αἷμα κάτω, ὥστε τὸ ἄλλο εὐψυκτότερον, ἐκλείποντος τοῦ θερμοῦ;

6. Cur pedes magis tunc rigent, quum suspensi tenentur? Utrum quod magis subtus adflantur? An quod sanguis deorsum in arctius se contrahit spatium, ita ut reliquum facilius refrigeretur, deficiente calore?

7. Διὰ τί οἱ παχεῖς σφόδρα ῥιγοῦσι, τῆς πιότητος θερμῆς οὔσης; Ἢ διὰ τὸ μέγεθος τοῦ πάχους τοῦ μὲν ἔσωθεν θερμοῦ πόρρω γίνονται τὰ ἔσχατα, τοῦ δ' ἔξω ψυχροῦ ἐγγύς;

7. Cur homines crassi admodum rigent, quum tamen pinguedo calida sit? An propter crassorum amplitudinem longe quidem a calore interiore removentur partes extremæ corporis, externo vero frigori admoventur?

8. Διὰ τί πταρέντες καὶ οὐρήσαντες φρίττουσιν; Ἢ ὅτι κενοῦνται αἱ φλέβες ἐν ἀμφοτέροις, κενωθέντων δ' ἀὴρ εἰσέρχεται ψυχρός, ὁ ποιῶν φρίττειν;

8. Cur post sternutationem et mictionem horremus? An quia venæ vacuantur apud utrosque, his autem vacuatis aer ingreditur frigidus qui horrorem infert?

9. Διὰ τί μάλιστα βουλιμιῶσιν ἐπὶ τῷ ψύχει, καὶ τοῦ χειμῶνος μᾶλλον ἢ τοῦ θέρους; Ἢ διότι ἡ μὲν βουλιμία γίνεται δι' ἔνδειαν τῆς ξηρᾶς τροφῆς, ἐν δὲ τῷ ψύχει καὶ τῷ χειμῶνι συστελλομένου τοῦ ἐντὸς θερμοῦ εἰς ἐλάττω, τοῦτο θᾶττον ὑπολείπει ἡ ἐντὸς τροφή· τούτου δὲ γινομένου, μᾶλλον βουλιμιᾶν εἰκός; Ἡ δ' ἐν τῇ βουλιμίᾳ ἔκλυσις καὶ ἀδυναμία γίνεται συντήξεως γινομένης ἐν τῷ σώματι διὰ τὴν τοῦ θερμοῦ ἄθροισιν, ἧς ῥυείσης μὲν εἰς τὸν τῶν σιτίων τόπον αὐτὴ τροφὴ γίνεται τῷ σώματι, ἐὰν δ' ἐπὶ τὰς ἀρχὰς τῆς ἀναπνοῆς ἔλθῃ, ἀφωνία καὶ ἀδυναμία συμβαίνει, ἀφωνία μὲν διὰ τὸ ἐμφράττεσθαι τὸν τοῦ πνεύματος πόρον, ἀδυναμία δὲ διὰ τὴν τοῦ σώματος ἀτροφίαν καὶ σύντηξιν. Ταχεῖαι δὲ καὶ ἀπ' ὀλίγων αἱ βοήθειαι γίνονται τοῖς τοιούτοις διὰ τὸ τὴν ἀρχὴν τοῦ πάθους ἔξωθεν γίνεσθαι· συστέλλον γὰρ τὸ ἐντὸς ψυχρὸν τὸ θερμὸν ἡμῶν ποιεῖ τὴν βουλιμίαν. Καθάπερ οὖν ἐν τῷ φόβῳ τρέμοντες καὶ ὠχριῶντες, ἀφέντες τοῦ κινδύνου, παραχρῆμα οἱ αὐτοὶ γίνονται, οὕτω καὶ βουλιμιῶντες, μικρὰ προσενεγκάμενοι ἐξ ἄρτου, βίᾳ κινηθέντες ἐκ τῆς φύσεως, μὴ φθαρέντες δέ, ταχεῖα ἡ ἀποκάθαρσις γίνεται·

9. Cur tempore frigido maxime famis illa intolerabilis incidit quæ bulimus adpellatur, et hyeme potius quam æstate? An quod vitium hoc ob inopiam alimenti sicci adcidit tempore autem frigido et hiberno quum calor internus in angustius spatium se contrahit, ocius hunc internum deficit alimentum: quod ubi defuerit, consentaneum est bulimum fieri frequentiorem? Animi autem deliquium et virium collapsus qui hunc morbum comitantur, colliquatione in corpore superveniente, fiunt propter caloris adcumulationem: quæ colliquamenta si ad locum cibo destinatum fluunt, ipsa alimentum fiunt corporis; sin vero respirationis origines adierint, vocem et vires deficere evenit, vocem quidem, quoniam spirandi meatus obstruitur, vires autem, quia alimentum corpori deest, ac propter colliquationem. Celeriter tamen paucisque remediis subvenitur his ægrotis, eo quod mali ortus extrinsecus venit: frigus enim internum calorem nostrum contrahens bulimo ansam dat. Eodem itaque modo quo qui in metuendo tremebant pallebantque, periculo liberati confestim ad priorem redeunt statum, sic etiam bulimo adfecti, ubi parum sumpserunt panis, ut qui vi a naturali conditione submoti, non vero corrupti erant,

ταὐτὸ γὰρ ἀντέτεινε τήν τε κατὰ φύσιν ἀγωγήν, καὶ καθίστησιν εἰς τὴν φύσιν. Ἀφεῖναι οὖν μόνον αὐτὴν δεῖ, καὶ καθάπερ τῶν παιδίων τὰ ἀντιτείνοντα εἰς τοὔπισθεν τὰ σπαρτία· καὶ γὰρ ταῦτα ἀφεθέντων τῶν σπαρτίων, εὐθὺς πεπτώκασιν ὕπτια.

cito liberantur: idem enim quod naturæ tenorem in partem adversam retraxerat, naturalem quoque conditionem reducit. Ergo liberari tantummodo debet natura, quemadmodum et pueri qui funes in contrarias partes retro retrahunt, quippe qui funibus dimissis, confestim resupini decidunt.

10. Διὰ τί οἱ γεγυμνασμένοι δυσριγότεροι τῶν ἀγυμνάστων; Πότερον ὅτι τὸ πῖον ὑπὸ τῶν πόνων ἐξήρηται, τοῦτο δ' ἀλέαν παρέχει; θερμὸν γὰρ τὸ λιπαρόν. Ἢ ὅτι εὐπνούστερα τὰ σώματα καὶ ἀραιότερα διὰ τὸ τὸ πῖον καὶ τὸ περίττωμα ἐξηρῆσθαι, ὥστ' οὐδὲν ἀποστέγειν τὸ ψῦχος; Ἢ διὰ τὴν τῶν πόρων ἀποστόμωσιν τοῖς ἱδρῶσιν οἷον πολλαὶ θύραι ἐξήρηνται; φανερὸν δ' ὅτι οὐχ ἡ αὐτὴ ἕξις πρὸς ὑγείαν καὶ ἰσχὺν συμφέρει· ἡ μὲν γὰρ πίων, ἡ δ' ἀραιὰ φαίνεται οὖσα.

10. Cur exercitati magis alsiosi quam inexercitati sunt? Utrum quia pingue exemptum a laboribus est; hoc autem teporem præstat? calida enim pinguedo est. An quod corpora eorum flatui magis pervia ac rariora ideo sunt, quoniam pingue excrementumque exemptum est, ita ut nihil frigus arceat? An propter meatuum obclusionem sudoribus veluti ostia complura exempta sunt? habitum enim non eumdem sanitati et robori conferre, manifestum est: hunc namque pinguem, illum vero rarum esse constat.

11. Διὰ τί φρίττουσι, καὶ τῷ θερμῷ, καὶ τῷ ψυχρῷ προσχεόμενοι; ἄτοπον γὰρ τὰ ἐναντία τοῦ αὐτοῦ εἶναι αἴτια. Ἢ διότι ὑπὸ μὲν τοῦ ψυχροῦ προσχεόμενοι τὸ ἐντὸς θερμὸν σβεννύμενον ποιεῖ τὴν φρίκην, ὑπὸ δὲ τοῦ θερμοῦ τὸ ἐκτὸς ψυχρὸν ἀντιπεριιστάμενον εἰς ἓν καὶ ἀθροιζόμενον τῇ φυγῇ ἔσω, ὥσθ' ὑπὸ τοῦ αὐτοῦ ἄμφω γίνεται, ἀλλ' ὁτὲ μὲν ὑπὸ τοῦ ἔσω, ὁτὲ δ' ὑπὸ τοῦ ἔξωθεν;

10. Cur cum aqua frigida, tum calida infusa, inhorrescimus? res enim contrarias ejusdem rei causas esse absurdum est. An quia frigida quidem infusa calor interior exstinctus horrorem movet, calida autem frigus externum, dum undequaque circumobsistendo in eumdem locum colligitur atque introrsum fugiens adcumulatur, ita ut utrumque ab eodem fiat, verum modo quidem ab interno, modo vero ab externo.

12. Διὰ τί φρίττουσιν αἱ τρίχες ἐν τῷ δέρματι; Ἢ ὅταν συσπάσωσι τὸ δέρμα, εἰκότως ἐξανέστησαν; συσπῶσι δὲ καὶ ὑπὸ ῥίγους καὶ ὑπ' ἄλλων παθῶν.

12. Cur pili in cute inhorrescunt? An ubi cutem contraxerunt, merito eriguntur? contrahunt enim et rigore et aliis adfectibus.

13. Διὰ τί ἐν τῇ τελευταίᾳ προέσει τοῦ οὔρου φρίττομεν; Ἢ ὅτι ἐνόντος μὲν τοῦ ὑγροῦ, θερμοῦ πλήρεις ἥ τε κύστις καὶ οἱ περὶ αὐτὴν πόροι, ἐξελθόντος δέ, ἀέρος ψυχροῦ ἐνέπλησεν; οὐδὲν γὰρ κενὸν δεῖ εἶναι, ἀλλ' ἢ ἀέρος, ἢ σώματος πλῆρες. Ἅτ' οὖν εἰσεληλυθότος ψυχροῦ ἀέρος εἰκότως φρίττειν συμβαίνει.

13. Cur per extremam urinæ missionem inhorrescimus? An, dum inest quidem humor calido repleta est vesica et meatus qui circa eam positi sunt; postquam vero effluxerit, aere frigido redundat? inane enim nihil oportet esse, sed aut aeris, aut corporis plenum. Quum igitur aer intraverit frigidus, merito ut inhorrescamus evenit.

14. Διὰ τί τῶν ῥιγώντων ἡ γλῶττα, καθάπερ τῶν μεθυόντων, πταίει; Πότερον ὑπὸ τοῦ ψύχους πηγνυμένη καὶ σκληρυνομένη δυσκίνητος γίνεται, τούτου δὲ συμβαίνοντος, οὐ δύναται σαφηνίζειν; Ἢ τῶν ἐκτὸς πυκνουμένων διὰ τὸ ψῦχος εἴσω συρρυὲν τὸ ὑγρὸν ἐξυγραίνει τὴν γλῶτταν; διόπερ οὐ δύναται ἡ γλῶττα τὸ αὑτῆς ποιεῖν, καθάπερ εἴρηται καὶ ἐπὶ τῶν μεθυόντων. Ἢ διὰ τὸν ἀπὸ τοῦ ῥίγους τρόμον ἀτάκτου τῆς κινήσεως οὔσης, οὐ δύναται τὰ λεγόμενα διαρθροῦν ἡ γλῶττα; διόπερ καὶ πταίει.

14. Cur lingua rigentium, quemadmodum vinolentorum, impingit? Utrum quod, ubi frigore concrescit ac induresci, motus ejus difficilis redditur: quod ubi fit, distincte eloqui non potest? An ubi partes exteriores frigore densantur, humor intro confluens linguam perquam madefacit? quapropter suo fungi obficio lingua nequit, ut de vinolentis etiam diximus. An quoniam per tremorem a rigore inductum motus inordinatus est, articulate vocabula lingua edere non potest? quapropter et impingit.

15. Διὰ τί τῶν ῥιγώντων ὀρθαὶ αἱ ἐν τῷ σώματι τρίχες γίνονται; Ἢ διότι ἀπὸ τῆς καταψύξεως τὸ θερμὸν εἰς τὸν ἐντὸς τόπον ἀθροίζεται, ἐκλείποντος δ' ἐκ τῆς σαρκὸς τοῦ θερμοῦ, συνίσταται μᾶλλον, συναγομένης δ', ὀρθότεραι αἱ τρίχες γίνονται; Ἢ διοτι....

15. Cur apud rigentes corporis pili eriguntur? An quod ex refrigeratione calor ad locum interiorem se colligit; ubi autem carnem calor deficit, magis cogitur: quo facto, pili erectiores efficiuntur? An quia...

16. Διὰ τί τοῦ χειμῶνος τρέχοντες μᾶλλον ῥιγῶμεν ἢ ἑστῶτες; Ἢ ὅτι ὁ ἀὴρ ὁ περὶ τὸ σῶμα ἑστώτων μέν, ἐπειδὰν ἅπαξ συνθερμανθῇ, οὐκέτι ἐνοχλεῖ, τρεχόντων δ' ἀεὶ ἄλλος καὶ ἄλλος προσπίπτει ψυχρὸς ὤν; διόπερ

16. Cur hyeme, ubi currimus, magis rigemus quam ubi stamus? An quod aer nostrum ambiens corpus, ubi stamus quidem, modo semel concalefactus sit, nullam præterea molestiam infert; ubi autem currimus, alius atque alius

μᾶλλον ῥιγῶμεν. Ἔτι δὲ καὶ κινούμενος ψυχρότερος γίνεται ὁ ἀήρ· τοῦτο δ' ἐν τῷ τρέχειν μάλιστα συμπίπτει.

subinde frigidus incidit? quapropter magis rigemus. Ad hæc aer, ubi movetur, frigidior redditur: quod quidem in currendo maxime incidit.

17. Διὰ τί ὑποφαύσκοντος μᾶλλον ψῦχος [ἢ] ἐγγυτέρω τοῦ ἡλίου ὄντος; Ἢ ὅτι πλείων ὁ χρόνος τῆς τοῦ ἡλίου ἀπουσίας, ὥστε μᾶλλον ἀπέψυκται ἡ γῆ; Ἢ ὅτι πρὸς ἡμέραν ἡ δρόσος πίπτει ὥσπερ πάχνη, ταῦτα δὲ ψυχρά; Ἢ καὶ ταῦτα πίπτει διὰ τὸ κρατεῖσθαι τὸ ἀναφερόμενον θερμόν, κρατεῖται δὲ διὰ τὴν τοῦ ἡλίου ἀπουσίαν; διὸ καὶ πλεῖον μὲν ἀπέχοντος οὐ πίπτει, ἐγγυτέρω δ' ὄντος πίπτει καὶ πήγνυται, διότι μᾶλλον ἀπέψυκται ὁ τόπος, πλείω χρόνον τοῦ ἡλίου ἀπόντος. Ἢ ὅτι πρὸς ἡμέραν μᾶλλον τὰ ἐκ νυκτῶν πνεύματα τῆς ψύξεως; Ἢ ἡμῖν δοκεῖ μᾶλλον εἶναι ψῦχος διὰ τὸ πεπέφθαι τὰ σιτία; κενώτεροι δ' ὄντες δυσριγότεροι. Σημεῖον δὲ τὸ μετὰ τοὺς ἐμέτους μάλιστα ῥιγοῦν.

17. Cur diluculo frigus acrius est, quum tamen sol propius adsit? An quod plus temporis abfuit sol, ita ut terra magis refrigerata sit? An quod die instante ros cadit, quasi pruina, hæc autem frigida sunt? An hæc etiam ideo cadunt, quoniam calor, qui sursum effertur, superatur, superatur autem propter solis absentiam? quocirca ubi longe quidem distat, non cadunt; ubi vero propius, tum cadunt atque gelantur, quod locus magis refrigeratus est propter solis diuturniorem absentiam. An quia die instante potius flatus citantur nocturni refrigerationi ansam dantes? An nobis frigus acrius idcirco esse videtur, quod cibi concocti sunt? inaniores enim ubi sumus, magis alsiosi sumus. Argumento autem est, quod a vomitu maxime rigemus.

18. Διὰ τί πονοῦσιν, ὅταν ῥιγῶντας πρὸς τὸ πῦρ φέρωσιν· ὅταν δὲ κατὰ μικρὸν χλιαίνωσιν, οὔ; Ἢ ὅτι ὅλως ἐκ τῶν ἐναντίων τοὐναντίον γινόμενον μεγάλην ποιεῖ τὴν μεταβολήν, ὥσπερ ἐπὶ τῶν δένδρων, εἰ μὲν κατὰ μικρὸν κάμπτοι τις, οὐκ ἂν πονοῖ, εἰ δὲ σφοδρότερον καὶ μὴ κατὰ μικρόν, κλῶνται; Εἰ οὖν τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές, τὸ δὲ θερμὸν τοῦ ῥιγῶντος εἴσω συνίσταται καὶ συνέρχεται, τὸ δ' ὑγρὸν καταλείπεται καὶ τὸ ψυχρόν, τὸ δ' ἐναντίον τοῦ ἐναντίου φθαρτικόν· ὥστε ἐὰν μὲν χλιαίνῃ κατὰ μικρόν, ἐξέρχεται τὸ θερμὸν καὶ ἧττον πονεῖ, ἐὰν δὲ μὴ ἀναχλιάνῃ, προσάγει μᾶλλον.

18. Qua de causa rigentes, si ad ignem ferantur, indolescunt, si vero paulatim tepefiant, non? An quod omnino, ubi e contrariis contrarium provenit, magna effici mutatio solet, ut in arboribus, quas si quis paulatim quidem deflectat, non laborabunt, sin vero vehementius ac non paulatim, franguntur? Quodsi igitur simile a suo simili adfici non possit, calidumque rigentis intus consistat et se colligat, humidum vero et frigidum relinquantur, contrariumque suum contrarium destruere valeat, efficitur ut, si paulatim quidem tepefaciat ignis, calor exeat atque minus dolorem cieat; sin vero non refocillet, [sed subito admoveatur], graviorem inferat.

19. Διὰ τί ψυχθέντες μᾶλλον ἀπὸ τῆς αὐτῆς θερμασίας καιόμεθα καὶ ἀλγοῦμεν; Πότερον διὰ πυκνόνητα στέγει ἡ σὰρξ τὸ προσπῖπτον θερμόν; διὸ μόλιβδος ἐρίου θερμότερος. Ἢ βίαιος γίνεται τοῦ θερμοῦ ἡ δίοδος διὰ τὸ πεπηγέναι ὑπὸ τοῦ ψύχους τοὺς πόρους;

19. Cur refrigerati vehementius ab eodem calore urimur atque dolemus? Utrum caro propter densitatem calorem incidentem protegit? quapropter plumbum calidius quam lana. An calor vi penetrat, eo quod meatus frigore congelati sunt?

20. Διὰ τί οἱ ὀργιζόμενοι οὐ ῥιγῶσιν; Ἢ ὅτι ἡ ὀργὴ τῇ δειλίᾳ ἐναντίον καὶ ὁ θυμός, ἔστι δ' ἡ μὲν ὀργὴ ἀπὸ τοῦ πυρός; πολὺ γὰρ τὸ πῦρ κατέχοντες εἴσω χλιαίνονται. Μάλιστα δ' ἔστιν ἐπὶ τῶν παιδίων καταμαθεῖν· οἱ μὲν γὰρ ἄνδρες βλάπτονται, τὰ δὲ παιδία πρῶτον μὲν τὸ πνεῦμα πολὺ ἀναλαμβάνουσιν, εἶτα ἐρυθριῶσιν· πολὺ γὰρ εἴσω ὂν τὸ θερμὸν καὶ ἐξυγραῖνον ἐρυθριᾶν ποιεῖ, ἐπεὶ εἴ τις αὐτοῖς πολὺ τοῦ ψυχροῦ προσχέοι, πρύσοιντ' ἂν ὀργιζόμενοι· κατασβεσθείη γὰρ ἂν αὐτῶν τὸ θερμόν. Οἱ δὲ δειλοὶ καὶ φοβούμενοι τοὐναντίον· ῥιγῶσί τε γὰρ καὶ ψυχροὶ καὶ ὠχροὶ γίνονται· ἐκλείπει γὰρ τὸ θερμὸν αὐτοῖς ἐκ τῶν ἐπιπολῆς τόπων.

20. Quam ob causam non rigent qui irascuntur? An quod ira et excandescentia ignaviæ contrarii adfectus sunt, est autem ira quidem ex igne? ubi enim intus copiam ignis continent, tepescunt. Quod maxime in puerili ætate perspicere licet: viri namque impediuntur, pueri vero primum quidem magnam spiritus copiam in sese recipiunt, deinde erubescunt: calor enim ubi intus adfatim substat atque humificat, facit ut erubescant: nam si quis large aquam frigidam his infuderit, ab ira cessabunt, quippe quum calor eorum exstinguetur. Pavidi autem et metuentes contra: rigent enim et frigidi pallidique redduntur: calor namque eorum partes superficiarias relinquit.

21. Διὰ τί, ὅταν φρίξωμεν, αἱ τρίχες ὀρθαὶ ἵστανται; Ἢ διὰ τὸ ἐν ὑγρῷ πεφυκέναι κατακεκλεῖσθαι; κρατεῖ γὰρ τοῦ ὑγροῦ τὸ βάθος τῆς τριχός, ἡ δὲ φρίκη γίνεται ὑπὸ τοῦ ψυχροῦ, τὸ δὲ ψῦχος κατὰ φύσιν πήγνυσι τὸ θερμόν. Ὅταν οὖν μεταβάλῃ τὸ ὑγρὸν

21. Qamobrem, ubi inhorrescimus, pili eriguntur? An quod suapte natura humore inclusi sunt? humor enim a pili fundo domatur, horror autem frigore fit; frigus vero naturaliter calidum congelat. Ergo ubi commutatus conge-

ἐξ οὗ πεφύκασιν αἱ τρίχες, καὶ παγῇ, μεταϐάλλειν εἰκὸς καὶ τὰς τρίχας. Εἰς μὲν οὖν τοὐναντίον [εἰ] μεταϐάλλουσιν, ἢ ἐν ταὐτῷ μένουσιν, ἢ (εἰ?) ἐπικρατήσει πάλιν ἡ θρὶξ τοῦ ὑγροῦ. Οὐκ εἰκὸς δὲ πεπηγότος καὶ πεπυκνωμένου τοῦ ὑγροῦ τὴν τρίχα τῷ βάρει κρατεῖν. Εἰ δὲ μηδαμόσε κεκλίσθαι δυνατὸν τὴν τρίχα τῷ τὸ ὑγρὸν πεπηγέναι, λείπεται ἑστάναι ὀρθήν. Ἢ διότι ὑπὸ τῆς καταψύξεως τὸ θερμὸν εἰς τὸν ἐντὸς τόπον ἀθροίζεται; ἐκλείποντος δ' ἐκ τῆς σαρκὸς τοῦ θερμοῦ συνίσταται μᾶλλον ἡ σάρξ, συναγομένης δὲ ὀρθότεραι αἱ τρίχες γίνονται, καθάπερ ἐάν τις εἰς τὴν γῆν ἐμπήξας κάρφος, ἢ ἄλλο τι, συντάττῃ καὶ πάντοθεν συνάγῃ τὴν γῆν, μᾶλλον ὀρθοῦται ἢ ἐὰν ἐᾷ μὴ συνεστηκυῖαν.

latusque humor est e quo pili pullulant, pilos ipsos etiam mutari consentaneum est. Aut igitur in contrarium transibunt, aut in eadem conditione persistent, si rursus vincere humorem potuerint pili. Atqui verisimile non est ut humorem gelatum condensatumque pilus vincere suo pondere possit. Si vero pilus, quoniam humor congelatus est, nullam in partem valeat inclinari, restat sane ut erectus consistat. An quoniam calor a refrigeratione ad locum interiorem colligitur? deficiente enim carnem calore, caro magis cogitur: qua coacta, pili magis eriguntur: quo modo si, quum terræ festucam, aut aliud quid, infixeris, coaggeres (?) atque undique colligas terram, magis erigitur quam si non coactam esse siveris.

22. Διὰ τί οἱ ῥιγῶντες μάλιστα οὐ καθεύδουσιν; Ἢ διότι ὁ ῥιγῶν μᾶλλον κατέχει τὸ πνεῦμα ἢ ἐκπνεῖ, ὁ δὲ καθεύδων ἐκπνεῖ ἢ εἰσπνεῖ; Ἐναντίως οὖν ποιεῖ ἔχειν τὸ ῥῖγος τῷ καθεύδειν.

22. Quam ob causam qui rigent, potissimum non dormiunt? An quoniam qui riget, spiritum magis retinet quam exspirat; qui vero dormit, magis exspirat quam inspirat? Facit igitur rigor ut conditione versemur somno contraria.

ΤΜΗΜΑ Θ.

SECTIO IX.

ΟΣΑ ΠΕΡΙ ΥΠΩΠΙΑ ΚΑΙ ΟΥΛΑΣ ΚΑΙ ΜΩΛΩΠΑΣ.

QUÆ AD SUGILLATIONES, ET CICATRICES ET VIBICES PERTINENT.

1. Διὰ τί τοὺς μώλωπας κωλύει τὰ νεόδαρτα δέρματα προστιθέμενα, καὶ μάλιστα κριῶν, καὶ ᾠὰ ἐπικαταγνύμενα; Ἢ ὅτι ἄμφω κωλύει τὴν ἄθροισιν τοῦ ὑγροῦ καὶ τὴν ἔπαρσιν; τὸ γὰρ ἀφηλκωμένον ἕλκει ἐπαίρεται διὰ τὴν θερμασίαν. Τά τε δὴ ᾠὰ διὰ τὴν γλισχρότητα κατακολλῶντα κωλύει ἐπαίρεσθαι, καθάπερ καὶ τὰ καύματα, ὥσπερ καὶ ἡ κόλλα, καὶ τὰ δέρματα τῇ τε γλισχρότητι προσκολλᾶται, καὶ ἅμα τῇ θερμότητι συμπέττει καὶ παύει τὴν φλεγμασίαν· οὐδὲ γὰρ ἀφαιροῦσιν ἡμερῶν τινων. Ἐξάγειν δὲ βούλονται τὴν φλεγμασίαν καὶ οἱ τῷ ἁλὶ καὶ τῷ ὄξει τρίϐοντες.

1. Cur pelles recenter detractæ, maximeque arietum, vibices arcent impositæ, itemque ova super confracta? An quia ambo humoris adcumulationem et intumescentiam prohibent? pars enim ulcerata ulcere intumescit propter fervorem. Ova itaque propter lentorem glutinantia intumescere non sinunt, ut etiam in ambustis, in modum glutinis, itemque pelles adglutinantur propter lentorem, simulque suo calore concoquunt inflammationemque sedant: neque enim detrahunt eas nisi diebus aliquot post. Etiam qui sale acetoque perfricant, inflammationem expellere volunt.

2. Διὰ τί ἐν μὲν τῷ ἄλλῳ σώματι αἱ οὐλαὶ μέλαιναι, ἐν δὲ τῷ ὀφθαλμῷ λευκαί; Ἢ ὅτι ἐναντίαν χρόαν ἡ οὐλὴ λαμϐάνει τῇ πρότερον, ὥσπερ πᾶν τὸ νενοσηκός, ἐν τῷ μέλανι δὲ τοῦ ὀφθαλμοῦ τὰ ἕλκη; Οὐ μὴν οὐδ' ἐν τῷ σώματι μέλαιναι εὐθύς, ἀλλ' ἐξ ἀρχῆς λευκαί, οὐδ' ἐν τῷ ὀφθαλμῷ ἀεὶ μέλαιναι, ἀλλ' ἀποκαθίστανται τῷ χρόνῳ, ἢ ἁπλῶς, ἢ εἰς τὸ μᾶλλον.

2. Cur cicatrices reliquo quidem in corpore nigræ, in oculo vero albæ sunt? An quod cicatrix colorem priori contrarium trahit, quemadmodum omne morbidum, ulcera autem parte oculi nigra contrahi solent? Verumtamen neque in corpore statim nigræ sunt, sed principio albæ, nec in oculo semper nigræ, sed tempore demum eo deveniunt, vel ex toto, vel magna ex parte.

3. Διὰ τί ὁ νάρθηξ τὰ κύκλῳ τῆς πληγῆς ποιεῖ ἐρυθρά, τὸ δὲ μέσον λευκόν; Πότερον ὅτι ἀποπιέζει τὸ αἷμα ἐκ τοῦ μέσου, καθὸ μάλιστα προσπίπτει περιφερὴς ὤν; Ἢ ἔδει ἐπανιέναι διά γε τοῦτο πάλιν; Ἀλλ' αἵματος συνδρομὴ τὸ ἐρύθημά ἐστι, συνδρομὴ δ' εἰς τὸν πληγέντα τόπον.

3. Cur ferula ambitum plagæ rubidum, medium vero album reddit? Utrum quod sanguinem exprimit ex medio, qua parte maxime ferit, quia rotunda est? An ea saltem de causa sanguinem iterum redire oporteret? Verum rubedo concursus sanguinis est, concursus autem eum in locum fit qui ictus est.

4. Διὰ τί τῷ μὲν νάρθηκι σφόδρα τυπτόμενον τὸ μέσον τῆς σαρκὸς λευκὸν γίνεται, τὸ δὲ κύκλῳ ἐρυθρόν, ξύλῳ δὲ ἐρυθρότερον τὸ μέσον; Ἢ ὅτι ὁ μὲν νάρθηξ διὰ κουφότητα, ἐὰν σφόδρα πατάξῃ, τὸ ἐπιπολῆς

4. Quare ferula quidem vehementius ictum medium carnis album fit, oræ vero rubræ, ligno contra medium amplius rubet? An quod ferula quidem suam ob levitatem, ubi vehementer percussit, sanguinem in superficie obvium

διεσκέδασεν αἷμα, ὥσθ' ὅθεν μὲν ἐξέλιπε, λευκὸν φαίνεται, οὗ δὲ πλέον ἦλθεν, ἐρυθρότερον· οἰδησάσης δὲ τῆς πληγῆς, οὐ ταχέως ἀποκαθίσταται τὸ σκεδασθὲν αἷμα διὰ τὸ ὀλίγον τ' εἶναι καὶ τὴν φορὰν εἰς τὸ πρόσαντες εἶναι; πλήθει γὰρ βιασθὲν δεῖ τὴν παρὰ φύσιν φορὰν ἐνεχθῆναι· διὰ δὲ τῶν σκληρῶν αἱ πληγαὶ διὰ τὸ βάρος καὶ τὴν ἰσχὺν θλῖψιν καὶ θλάσιν ποιοῦσιν. Θλιϐόμενον μὲν οὖν κοῖλον γίνεται, θλώμενον δὲ ἀραιόν· τομὴ γὰρ καὶ διαίρεσίς ἐστι μαλακὴ ἡ θλάσις· κοίλου δὲ καὶ ἀραιοῦ γενομένου τοῦ μέσου, φέρεται εἰς αὐτὸ τὸ ἐκ τῶν πέριξ ἐπιπολῆς αἷμα· κάτω τε γὰρ πέφυκε φέρεσθαι, καὶ εἰς τὰ ἀραιὰ τῷ εἴκειν αὐτά· ἀθροιζομένου δ' ἐνταῦθα εἰκότως τοῦ αἵματος, τοῦτο μὲν ἐρυθραίνει, ἃ δ' ἀπολείπει, λευκαίνει.

dissipavit, ita ut unde sanguis defecerit quidem, ea pars alba adpareat; quo autem plenius fluxit, id amplius rubescat, quumque plaga intumuit, sanguis dissipatus cito suam sedem non repetit, quoniam et exiguus est, et iter in adclive faciendum esset? dum enim copia magna vi eum retinet, iter contra naturam conficere debet; at ictus, quos dura corpora infligunt, compressionem ac contusionem faciunt pondere ac robore. Medium itaque, quia comprimitur quidem, cavum redditur, quia vero contunditur, rarum exsistit: contusio namque sectio et divisio mollis est; ubi autem cavum rarumque factum est medium, sanguis ad id superficiarius ex partibus ambientibus fertur: nam natura sua tum deorsum fertur, tum ad rara, quia cedunt; ubi autem sanguis eo se colligit, medium quidem merito rubore tingitur, partes autem, quas deserit, albescunt.

5. Διὰ τί αἱ οὐλαὶ μέλαιναι τῶν σπληνιώντων; Ἢ ὅτι αἷμα διεφθαρμένον ἔχουσι διὰ τὴν ἐκ τοῦ σπληνὸς σύμμιξιν νοσώδους αἵματος καὶ ὑδαροῦς; Ἡ μὲν οὖν οὐλὴ τὸ δέρμα λεπτὸν καὶ ἐπιπόλαιον ἴσχει· τὸ δ' αἷμα, διὰ τὸ ὑδαρὲς καὶ θερμὸν εἶναι μέλαν ὄν, τοιαύτην ποιεῖ τὴν οὐλὴν διαφαινόμενον. Καὶ δὴ πλεονάκις ἡ οὐλὴ ἐν τούτῳ γίνεται μελαντέρα, γίνεται δὲ διὰ ταὐτό· δι' ἀσθένειαν γὰρ τοῦ δέρματος καταψύχεται τὸ αἷμα, καὶ ἐξατμίζοντος τοῦ θερμοῦ γίνεται μελάντερον. Ὁμοίως δὲ καὶ τοῖς πρεσϐύταις οἵ τε χρῶτες μελάντεροι γίνονται, καὶ αἱ οὐλαὶ αἱ συγγενεῖς μελάντεραι ἢ νέοις· οἷον ὑπώπιον γὰρ αὐτοῖς ἅπαν τὸ σῶμα, οὐ διὰ λεπτότητα τοῦ δέρματος, ἀλλ' ὅτι τὸ θερμὸν ἐκλέλοιπεν.

5. Cur nigræ cicatrices hominum sunt qui vitio lienis tenentur? An quod sanguis eorum corruptus est propter admistionem morbosi aquosique sanguinis qui a liene provenit? Cicatrix igitur cutem tenuem ac superficiariam habet; sanguis vero, quia, utpote aquosus et calidus, niger est, translucendo cicatricem ejusmodi reddit. Et quidem sæpius in ejusmodi homine cicatrix nigrior fit, idque propter eamdem causam: sanguis etenim cutis imbecillitate frigescit, et quum calor evaporatur, atrior redditur. Senioribus etiam pari ratione cutis nigrescit, et nativæ cicatrices atriores quam junioribus habentur: est enim quasi sugillatio corpus eorum totum, non ob cutis tenuitatem, sed quod calor defecit.

6. Πότερον ὅσα τοῦ αὐτοῦ αἴτια, τὴν αὐτὴν ἔχει δύναμιν εἰς τὸ ποιεῖν, ἢ οὔ, λέγω δ' οἷον ἐπεὶ τὰ ὑπώπια καὶ ὁ χαλκὸς ἐξαίρει καὶ ἡ ῥαφανὶς καὶ ὁ κύαμος διαμασώμενος, καὶ ὁ πνεύμων, καὶ ἡ ἄργιλος καὶ ἕτερ' ἄττα, τῇ αὐτῇ δυνάμει, ἢ ὁ μὲν χαλκὸς τῷ ἰὸν εἶναι, τὸν δ' ἰὸν φαρμακώδη, ὁ δὲ κύαμος καὶ ὁ πνεύμων καὶ ἡ ἄργιλος τῷ ἐπισπᾶν ἐφ' αὐτὰ διὰ μανότητα, ἄλλα δὲ δι' ἑτέρας αἰτίας; Ἢ τὸ μὲν ἔσχατον ἐπὶ πάντων τῶν τοιούτων ταὐτό (πολλὰ γὰρ καὶ ἐναντία τούτοις, καθάπερ καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν), τὰ δὲ πρὸ τούτων οὐδὲν κωλύει ἕτερα;

6. Utrum quæcumque ejusdem rei causa sunt, vim habent eamdem ad agendum, necne, verbi causa, quum sugillationes tum æs tollit, tum radicula, tum faba commanducata, tum pulmo, tum argilla, tum alia multa, utrum vi eadem hoc efficiunt, an æs quidem, quoniam rubigo est, rubigo autem medicamenti vim habet; faba vero et pulmo et argilla eo quod ad se adtrahunt propter raritatem, aliaque aliis de causis? An ultimum quidem in hujusmodi omnibus idem est (multæ enim qualitates, eæque contrariæ his insunt, veluti calidum quoque et frigidum), quæ autem antecedunt, hæc diversa esse nihil est quod prohibeat?

7. Διὰ τί αἱ μὲν ἄλλαι οὐλαὶ μέλαιναι γίνονται, αἱ δ' ἐν τῷ ὀφθαλμῷ λευκαί; Ἢ διότι μεταϐάλλουσιν ἐν ᾧ ἂν ὦσι, πρὸς τὰς χροιάς, ἐν δὲ τῷ ὀφθαλμῷ μέλανι ὄντι γίνονται, ὥστ' ἀνάγκη λευκὰς γίνεσθαι;

7. Cur ceteræ quidem cicatrices nigræ, oculi vero albæ fiunt? An quod cicatrices quocumque habitu antea usæ fuerint, eum in colores mutant contrarios; fiunt autem in oculo qui niger est, ita ut necessario albæ efficiantur?

8. Διὰ τί ἀλγεινοτέρα ἡ πληγὴ τοῦ νάρθηκος ἢ ἐνίων σκληροτέρων, ἐάν τις κατὰ λόγον σκοπῇ τύπτων; εὐλογώτερον γὰρ τὴν τοῦ σκληροτέρου εἶναι ἀλγεινοτέραν· μᾶλλον γὰρ τύπτει. Ἢ ὅτι ἡ σὰρξ ἀλγεῖ οὐ μόνον τυπτομένη, ἀλλὰ καὶ τύπτουσα; Ὑπὸ μὲν οὖν τῶν σκληρῶν τύπτεται μόνον (ὑπείκει γὰρ διὰ τὴν σκληρότητα αὐτῶν), ὑπὸ δὲ τοῦ νάρθηκος ἄμφω αὐτῇ συμϐαίνει, τύπτεσθαί τε καὶ διὰ κουφότητα τοῦ βάρους τύπτειν μὴ εἴκουσαν, ὥστε διπλασία γίνεται ἡ πληγή.

8. Cur ictus ferulæ dolorem majorem movet quam rerum duriorum nonnullarum, si quis, ubi verberat, proportionem consideret? rationi namque magis congruum esset, ictum rei durioris vehementiorem infligere dolorem: acrius enim ferit. An quod caro, non solum quia percutitur, sed etiam quia repercutit, dolet? Igitur a duris percutitur tantum (cedit enim propter eorum duritiem); at vero a ferula utrumque ei accidit, ut et percutiatur et repercutiat propter ponderis levitatem non cedens, ita ut ictus duplex fiat.

9. Διὰ τί ἡ θαψία καὶ ὁ κύαθος τὰ ὑπώπια παύει, ὁ μὲν ἀρχόμενα, ὁ (ἡ?) δ' ὕστερον, ἐναντία ὄντα; ὁ μὲν γὰρ κύαθος ψυχρός, ὥσπερ καὶ ὁ ποιητής φησιν ('Ιλ. ε', 75)·

ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν·

ἡ δὲ θαψία θερμὸν καὶ καυστικόν. Ἢ ὁ μὲν κύαθος ὥσπερ τοῖς μικροψυχοῦσι τὸ ὕδωρ; ἀπαντῶσα γὰρ ἡ ψῦξις κωλύει ἐξιέναι τὸ θερμὸν ἐκ τοῦ αἵματος ἐξεπιπολῆς διὰ τὴν πληγὴν συνδραμόντος, καὶ ὅταν ἐξέλθῃ τὸ θερμόν, πηγνυμένου· ὥσπερ γὰρ ἂν εἰ ἔξω ὂν πήγνυται, καὶ ἐγγὺς τοῦ ἔξω τὸ αἷμα, ὅταν ᾖ ὑπὸ τὸ δέρμα, κωλυθέντος [δὲ] διεξιέναι τοῦ θερμοῦ διὰ τὴν ψυχρότητα τοῦ χαλκοῦ, [οὐ] πήγνυται, ἀλλὰ πάλιν διαχεῖται καὶ ἐπανέρχεται ὅθεν συνέδραμεν. Ἡ δὲ θαψία θερμὴ οὖσα τὸ αὐτὸ ποιεῖ· κωλύει γὰρ πήγνυσθαι θερμὴ οὖσα.

9. Cur thapsia et cyathus, quæ contraria sunt, pariter sugillationes tollunt, hic quidem principio, illa vero post? cyathus enim frigidus est: quod etiam poeta dixit :

et gelido dentes defixit in ære ;

thapsia vero calida et urens. An cyathus quidem ut apud animo deficientes aqua agit? obcurrens enim refrigeratio calorem prohibet exire e sanguine, qui propter ictum ad superficiem confluit, atque ubi calor decesserit, concrescit: sanguine enim sub cute consistente, tunc quoque ubi parum abest quin extra sit, perinde ac si extra esset, congelatur; at vero ubi calori exitus propter æris frigiditatem negatur, [non] concrescit, sed se rursum diffundit, et sedem unde confluxit, repetit. Thapsia autem, etiamsi calida, idem præstat, quippe quæ calore suo prohibet ne sanguis gelascat.

10. Διὰ τί τὰ ὑπώπια διαλύεται προσέχουσι τὰ χαλκᾶ, οἷον κυάθους καὶ τὰ τοιαῦτα; Ἢ διότι ψυχρὸν ὁ χαλκός ἐστιν; Κωλύει οὖν τὸ θερμὸν ἐξιέναι ἐκ τοῦ συνιόντος αἵματος ὑπὸ τῆς πληγῆς, οὗ ἐξελθόντος ἐκ τοῦ ἐπιπολῆς γίνεται ὑπώπιον· διὸ καὶ ταχὺ δεῖ προστιθέναι πρὶν παγῆναι. Καὶ ἡ θαψία δὲ μετὰ μέλιτος βοηθεῖ διὰ τὸ αὐτό· θερμὴ γὰρ οὖσα κωλύει ψύχεσθαι τὸ αἷμα.

10. Cur æramentis quibusdam admotis, ut cyathis aliisque generis ejusdem, sugillationes resolvuntur? An quoniam æs frigida est res? Ergo calorem effluere vetat e sanguine, quem ictus colligit: eo namque egrediente e partibus superficiei proximis, sugillatio exsistit : hinc et celeriter admovendum est, antequam geletur. Thapsia vero cum melle eadem de causa juvat : quia enim calida est, sanguinem refrigescere prohibet.

11. Διὰ τί ποτε, ὅταν ἐν τῷ αὐτῷ τόπῳ πλεονάκις ἕλκος γένηται, ἡ οὐλὴ μέλαινα γίνεται; Ἢ ὁπόταν γένηται ἕλκος, πᾶν ἀσθενές ἐστι τοῦτο, καὶ ὅσῳ ἂν πλεονάκις, τοσούτῳ μᾶλλον· τὸ δ' ἀσθενὲς κατεψυγμένον καὶ ὑγρότητος πλῆρες; διὸ καὶ μέλαν φαίνεται, εἰ τὰ μεγάλα ἕλκη καὶ πολυχρόνια μελαίνας τὰς οὐλὰς ἴσχει· τὸ δὲ πολλάκις λαβεῖν ἕλκος οὐδὲν ἀλλ' ἢ πολὺν χρόνον ἔχειν ἐστὶν ἕλκος.

11. Cur tandem, si in eodem loco sæpius ulcus exstiterit, cicatrix atra fit? An facto ulcere, omnis hæc pars debilis est, eoque magis, quo ulcerata sæpius fuerit; debile autem friget humorisque plenum est? quo fit ut nigrum quoque adpareat, quandoquidem ulcera magna et vetera cicatrices habent atras; sæpe autem ulcere adfligi nihil est nisi ulcus diu habuisse.

12. Διὰ τί ποτε πρὸς τὰ ὑπώπια τοὺς κυάθους προστιθέμεθα; Ἢ διότι, ὅταν πληγῶμεν, ὁ τόπος καταψύχεται, τὸ δὲ θερμὸν ὑποχωρεῖ; Προστιθέμενος οὖν ὁ κύαθος, ψυχροῦ ὄντος τοῦ χαλκοῦ, διακωλύει τὸ θερμὸν ἐκπορεύεσθαι.

12. Cur tandem sugillationibus cyathos admovemus? An quod locus post ictum refrigeratur, calorque subducitur? Cyathus itaque admotus æris frigiditate impedit ne calor exeat.

13. Διὰ τί ἐν ταῖς οὐλαῖς οὐ γίνονται τρίχες; Ἢ ὅτι οἱ πόροι ἐπιτυφλοῦνται ἐξ ὧν αἱ τρίχες, καὶ παραλλάττουσιν;

13. Cur pili in cicatricibus non exoriuntur? An quod meatus obcœcantur et alternant, e quibus pili pullulant?

14. Διὰ τί οἴδημα καὶ πελιώματα λαμβάνουσιν αἱ πληγαί; Ἢ διότι κατὰ τοῦτον τὸν τόπον διασταλέντα τὰ ὑγρά, εἰς τοὺς πλησίον τόπους προσκόψαντα ἀποπάλλεται πάλιν καὶ τῇ κολλήσει τῶν ὑγρῶν συνήγαγεν· ἐὰν δὲ καὶ φλέβιά τινα ῥαγῇ, ὕφαιμος ἡ συνδρομὴ γίνεται;

14. Cur plagæ tumorem livoresque sumunt? An quod eo in loco humores disjecti in loca proxima obfendentes repercutiuntur rursusque humorum conglutinatione hæc contraxerunt, et si quæ venulæ ruptæ sint, confluvium humoris subcruentum fit?

ΤΜΗΜΑ Ι.

ΕΠΙΤΟΜΗ ΦΥΣΙΚΩΝ.

SECTIO X.

COMPENDIUM RERUM NATURALIUM.

1. Διὰ τί τὰ μὲν βήττει, τὰ δ' οὔ, οἷον ἄνθρωπος μὲν βήττει, βοῦς δ' οὔ; Πότερον τῷ εἰς ἄλλο τι τρέ-

πεσθαι τοῖς πλείστοις ζῴοις τὸ περίττωμα, ἀνθρώπῳ δὲ δεῦρο; Ἢ ὅτι ἐγκέφαλον πλεῖστον καὶ ὑγρότατον ἔχει ὁ ἄνθρωπος, ἡ δὲ βὴξ καταρρέοντος γίνεται φλέγματος;

1. Cur alia quidem tussiunt, alia vero non, verbi gratia homo quidem tussit, bos vero non? Utrum quod plerisque animalibus excrementum aliorsum se vertit, homini autem huc? An quod homo maximum humidissimumque cerebrum habet, tussis autem pituita destillante fit?

2. Διὰ τί ἀνθρώπῳ μόνῳ τῶν ζῴων αἷμα ῥεῖ ἐκ τῶν μυκτήρων; Ἢ ὅτι ἐγκέφαλον ἔχει πλεῖστον καὶ ὑγρότατον, ἀφ' οὗ αἱ φλέβες πληρούμεναι τοῦ περιττώματος διὰ τῶν πόρων προΐενται τὴν ῥύσιν; λεπτότερον γὰρ γίνεται τοῦ αἵματος τοῦ καθαροῦ τὸ νοσερόν, τοῦτο δ' ἐστὶ τὸ μιχθὲν τοῖς τοῦ ἐγκεφάλου περιττώμασι, καὶ ἔστι καθάπερ ἰχώρ.

2. Cur homini soli inter animantes sanguis e naribus defluit? An quoniam plurimum cerebri idque humidissimum habet, ex quo venæ excrementis repletæ per meatus profundunt fluxionem? sanguis enim morbidus puro tenuior redditur; talis autem est qui se cerebri excrementis miscuit, et est quasi sanies.

3. Διὰ τί τῶν ζῴων τὰ μὲν ὑπὸ σάρκα, τὰ δὲ κατὰ σάρκα πίονά ἐστι, τὰ δὲ κατ' ἀμφότερα; Ἢ ὅσων μὲν πυκνὴ ἡ σάρξ, μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς συστέλλεται ἡ ἰκμὰς διὰ τὸ ταύτῃ εἶναι τὸ δέρμα ἀφεστὸς φύσει· ἣ πεττομένη γίνεται πιμελή· ὅσα δ' ἀραιοτέραν ἔχει τὴν σάρκα τό τε δέρμα προεστός, κατὰ σάρκα πίονα γίνεται· τὰ δ' ἀμφοτέρως ἔχοντα ἐπ' ἀμφότερα πιαίνεται;

3. Cur alia quidem animalia sub carne, alia vero intra carnem, alia tandem utroque loco pinguescunt? An quibus densa quidem est caro, iis inter cutem et carnem humor prætenuis cogitur, quod hac parte naturaliter distat cutis: qui concoctus pinguedo efficitur; quæ autem carne sunt rariori cutemque habent adstrictam (?), hæc pinguia intra carnem redduntur; quæ tandem utroque modo se habent, utroque loco pinguescunt?

4. Διὰ τί οἱ παῖδες καὶ αἱ γυναῖκες ἧττον ἔχουσι λεύκην τῶν ἀνδρῶν, καὶ τῶν μὲν γυναικῶν αἱ πρεσβύτιδες μᾶλλον; Ἢ ὅτι ἡ λεύκη ἐστὶ πνεύματος ἔξοδος, ἔστι δὲ τὰ μὲν τῶν παίδων οὐκ εὔπνοα σώματα, ἀλλὰ πυκνά, καὶ τὰ τῶν γυναικῶν ἧττον ἢ τὰ τῶν ἀνδρῶν; εἰς τὰ καταμήνια γὰρ τρέπεται. Δηλοῖ δ' ἡ λειότης τὴν πυκνότητα τῆς σαρκός. Τὰ δὲ τῶν πρεσβυτέρων καὶ τῶν γραῶν εὔπνοα· μόνα γάρ, ὥσπερ τὰ παλαιὰ οἰκοδομήματα, διεστῶσαν ἔχει τὴν σύνθεσιν τῶν μορίων.

4. Cur vitiliginem albam pueri mulieresque minus habent quam viri, et in eo ipso feminino sexu quæ provectæ ætate sunt, magis? An quod vitiligo alba exitus spiritus est, corpora autem puerorum spiritui non pervia, sed densa sunt, itemque mulierum minus quam virorum? spiritus namque in menstrua se avertit. Densitatem vero carnis lævitas earum declarat. Corpora autem ætate provectarum et vetularum spiritui patent : hæc enim sola modo ædificii veteris structuram partium intercapedinibus distinctam habent.

5. Διὰ τί ἄνθρωπος μόνον ἴσχει λεύκην; Πότερον ὅτι λεπτοδερμότατον τῶν ζῴων ἐστίν, ἅμα δὲ καὶ πνευματωδέστερον; Σημεῖον δέ, ὅτι ἡ λεύκη ἐν τοῖς λεπτοδερμοτάτοις μάλιστα καὶ πρῶτον γίνεται μέρεσιν. Ἢ διὰ ταῦτά τε καὶ ὅτι μόνον πολιοῦται τῶν ζῴων; ἐν γὰρ ταῖς λεύκαις πολιαὶ γίνονται αἱ τρίχες, ὥστ' ἀδύνατον, ὅσα μὴ πολιοῦται, λεύκην ἴσχειν.

5. Cur homo tantum habet vitiliginem albam? Utrum quod tenuissimam ex omnibus animalibus cutem habet, simulque flatibus satis refertus est? Argumento autem est, quod vitiligo partibus tenuissima cute obtectis maxime primumque exsistit. An et his ipsis de causis, et præterea quod homo unus ex omnium animantium numero canescit? nam in vitiligine alba cani capilli fiunt, ita ut vitiligine alba adfligi nequeant quæ numquam canescunt.

6. Διὰ τί αἶγες μὲν καὶ πρόβατα ἀμέλγονται πλεῖστον γάλα, οὐ μέγιστον σῶμα ἔχοντα, ἄνθρωπος δὲ καὶ βοῦς ἔλαττον ὡς κατὰ λόγον; Πότερον ὅτι εἰς τὸ σῶμα ἀναλίσκεται, τοῖς δ' ἄλλοις εἰς τὸ περίττωμα, τοῖς δὲ προβάτοις καὶ ταῖς αἰξὶ τὸ περιγινόμενον τοῦ περιττώματος γάλα γίνεται πᾶν; Ἢ ὅτι πολυτοκώτερά ἐστι τῶν μεγάλων, ὥστε πλεῖον σπᾷ περίττωμα διὰ τὸ πλείω τρέφειν; Ἢ δι' ἀσθένειαν τῶν σωμάτων πλεῖον περίττωμα γίνεται κύουσιν αὐτοῖς; τὸ δὲ γάλα γίνεται ἐκ τοῦ περιττώματος.

6. Cur capris quidem et ovibus lac plurimum demulgetur, etiamsi corpore non maximo sint, homini autem et bovi minus, scilicet ad corporis proportionem? Utrum quod his copia in corpus absumitur, ceteris vero in redundantias se confert; ovibus autem et capris, quantum excrementi restat, omne in lac transit? An quod plura pariunt quam quæ magno sunt corpore, ita ut plures contrahant redundantias quam magna, quoniam plura alunt? An his ventrem ferentibus plures redundantiæ propter corporis imbecillitatem fiunt? lac enim e redundantiis consistit.

7. Διὰ τί τῶν ζῴων τὰ μέν, μεταβάλλοντα τὰ ὕδατα, μεταβάλλει τὰς χρόας καὶ ὅμοια γίνεται τοῖς ἐκεῖ, οἷον αἶγες, τὰ δ' οὔ, οἷον ἄνθρωποι, καὶ ὅλως δὲ διὰ τί τὰ μὲν μεταβάλλει, τὰ δ' οὔ, οἷον κόραξ οὐ μεταβάλλει; Ἢ ὧν μὲν οὐ κρατεῖ ἡ φύσις τοῦ ὑγροῦ, ὥσπερ ἡ τῶν

7. Cur animantium alia quidem, ubi aquam mutant, colorem suum mutant, similiaque indigenis redduntur, ut capræ; alia vero non, ut homines, ad summam autem cur alia quidem mutantur, alia vero non, exempli gratia corvus non mutatur? An quorum natura quidem humorem non do-

ὀρνέων (διὸ καὶ κύστιν οὐκ ἔχει), οὐ μεταβάλλει; Καὶ διὰ τί οὐχ αὐτά, ἀλλὰ τὰ ἔκγονα μεταβάλλει; Ἢ ὅτι ἀσθενέστερα τὰ νέα τῶν γεννησάντων;

8. Διὰ τί τὰ ἄρσενα μείζω τῶν θηλειῶν ὡς ἐπίπαν ἐστίν; Πότερον ὅτι θερμότερα, τοῦτο δ' αὐξητικόν; Ἢ ὅτι ὁλόκληρα, τὰ δὲ πεπήρωται; Ἢ ὅτι τὰ μὲν ἐν πολλῷ χρόνῳ τελειοῦται, τὰ δ' ἐν ὀλίγῳ;

9. Διὰ τί τὰ μὲν ταχυτόκα τῶν ζῴων ἐστί, τῶν δὲ πολυχρόνιος ἡ κύησις; Ἢ ὅτι τὰ μακροβιώτερα βραδύτερον πέφυκε τελειοῦσθαι, ἔστι δὲ βραδυτόκα τὰ μακρόβια; οὐ μέντοι τὰ μάλιστα, οἷον ἵππος ἀνθρώπου βραδυτοκώτερον μέν, ὀλιγοχρονιώτερον δέ. Τούτου δ' αἴτιον ἡ σκληρότης τῶν ὑστερῶν· ὥσπερ γὰρ ἡ ξηρὰ γῆ οὐ ταχὺ ἐκτρέφει, οὕτω καὶ ἡ τοῦ ἵππου ὑστέρα.

10. Διὰ τί τοῖς ἄλλοις ζῴοις τὰ ἔκγονα μᾶλλον τὰς φύσεις ὁμοιοῦται ἢ τοῖς ἀνθρώποις; Ἢ ὅτι ὁ μὲν ἄνθρωπος πολλαχῶς διατίθεται τὴν ψυχὴν κατὰ τὴν ὁμιλίαν, καθὼς δ' ἂν ὁ πατὴρ καὶ ἡ μήτηρ διατεθῶσιν, οὕτω ποικίλλεται καὶ τὰ τικτόμενα· τὰ δ' ἄλλα ζῷα τὰ μὲν πλεῖστα πρὸς αὐτὸ τοῦτό εἰσιν; Ἔτι δ' οὐ πληροῦται ὡς ἐπὶ τὸ πολὺ διὰ ταύτην τὴν ἐπιθυμίαν.

11. Διὰ τί οἱ λευκοὶ ἄνθρωποι καὶ ἵπποι ὡς ἐπὶ τὸ πολὺ γλαυκοί; Ἢ διότι τριῶν χρωμάτων ὄντων τοῖς ὄμμασι, μέλανος καὶ αἰγωποῦ καὶ γλαυκοῦ, τῷ τοῦ σώματος χρώματι καὶ τὸ τοῦ ὀφθαλμοῦ χρῶμα ἀκολουθεῖ, τοῦτο δ' ἐστὶ γλαυκότης;

12. Διὰ τίνα αἰτίαν οἱ νάνοι γίνονται, ἔτι δὲ μᾶλλον καθόλου, διὰ τί τὰ μὲν ὅλως μεγάλα, τὰ δὲ μικρά; Εἶτα οὕτω σκεπτέον. Δύο δὴ τὰ αἴτια· ἢ γὰρ ὁ τόπος, ἢ ἡ τροφή. Ὁ μὲν οὖν τόπος, ἐὰν ᾖ στενός, ἡ δὲ τροφή, ἐὰν ᾖ ὀλίγη, ὥσπερ καὶ ἤδη γεγενημένων πειρῶνται μικροὺς ποιεῖν, οἷον οἱ τὰ κυνίδια τρέφοντες ἐν τοῖς ὀρτυγοτροφείοις. Ὅσοις μὲν οὖν ὁ τόπος αἴτιος, οὗτοι πυγμαῖοι γίνονται· τὰ μὲν γὰρ πλάτη καὶ τὰ μήκη ἔχοντες γίνονται κατὰ τὸ τῶν τεκόντων μέγεθος, μικροὶ δ' ὅλως. Τούτου δ' αἴτιον, ὅτι διὰ τὴν στενότητα τοῦ τόπου συγκλώμεναι αἱ εὐθεῖαι καμπύλαι γίνονται. Ὥσπερ οὖν οἱ ἐπὶ τῶν καπηλείων γραφόμενοι μικροὶ μέν εἰσι, φαίνονται δ' ἔχοντες πλάτη καὶ βάθη, ὁμοίως συμβαίνει καὶ τοῖς πυγμαίοις· ὅσοι δὲ διὰ τροφῆς ἔνδειαν ἀτελεῖς γίνονται, οὗτοι καὶ παιδαριώδη τὰ μέλη ἔχοντες φαίνονται. Καὶ ἐνίους ἰδεῖν ἔστι μικροὺς μὲν σφόδρα, συμμέτρους δέ, ὥσπερ τὰ Μελιταῖα κυνίδια. Αἴτιον δ' ὅτι οὐχ ὡς ὁ τόπος, ἡ φύσις ποιεῖ.

13. Διὰ τί τῶν ζῴων τὰ μὲν ἐξ ἀλλήλων γίνεται, τὰ δ' ἔκ τινων συγκρινομένων ὁμοίως τῆς ἐξ ἀρχῆς γενέσεως αὐτοῖς ὑπαρξάσης; Καθάπερ οἱ περὶ φύσεως λέγοντες λέγουσι καὶ τὴν ἐξ ἀρχῆς γένεσιν τῶν ζῴων γε-

mat, ut avium (quapropter et vesicam nullam obtineat), hæc non mutantur? Sed cur non ipsa, sed quæ nata ex iis sunt, mutantur? An quod juniora suis parentibus sunt infirmiora?

8. Cur mares corpore majori plerumque sunt quam feminæ? Utrum quod calidiores: quæ res vim obtinet augendi? An quod mares integri sunt, feminæ vero mancæ? An quod mares quidem longo temporis spatio perficiuntur, feminæ vero brevi?

9. Cur in animantium genere alia quidem brevi pariunt, alia vero diu ventrem ferunt? An quia tardius suapte natura perficiuntur longæviora, tarde autem pariunt longæva? sed non quæ maxime ita se habent: equus verbi gratia tardius quam homo parit, etiamsi vita utatur longiori. Cujus rei causa uteri durities est: quomodo enim ager siccus haud cito enutrit, sic et equæ vulva.

10. Cur proles ceterorum animantium magis quam hominum natura similis redditur? An quod homo quidem vario modo adfectum habet animum in coitu; prout autem pater materque adfecti fuerint, ita et partus variant; cetera vero animantia omnia, plerumque certe, rei ipsi intenta sunt? Adde quod ob hoc studium plerumque non implentur.

11. Cur albi tam homines quam equi oculis magna ex parte cæsii sunt? An quia tribus exstantibus oculorum coloribus, nigro, caprino et cæsio, corporis colorem oculi quoque color sequitur, hicce autem color cæsius est?

12. Cur homines pumiliones fiunt, vel ut universalior instituatur quæstio, cur alia quidem omnino sunt magna, alia vero parva? Deinde ita considerandum est. Causa duplex sane adest: aut enim locus, aut alimentum id facit. Locus itaque, si angustus est, alimentum vero, si exiguum, quemadmodum etiam partu jam edito parvos efficere conantur, ut qui catellos in coturnicum caveolis educant. Quibus itaque causæ locus est, hi pygmæi redduntur: latitudine enim ac longitudine suorum parentum magnitudini respondentibus præditi efficiuntur, parvi tamen omnino. Cujus rei causa est, quod propter loci angustiam infractæ rectæ lineæ curvæ fiunt. Quemadmodum igitur simulacra quæ in tabernis pingere solent, quæ, etiamsi parva sint, latitudinem crassitudinemque habere cernuntur, ita pygmæis quoque adcidit; at vero qui ob alimenti inopiam imperfecti fiunt, hos membris quoque puerilibus constare videmus. Nec non videre licet quosdam qui, quamvis parvi admodum sint, omnes tamen corporis partes proportione sibi invicem respondentes habeant, ut Melitenses catelli. Ratio autem quod non ut locus se habet, sic natura effingit.

13. Cur in animantium genere alia quidem ex se invicem procreantur, alia vero concrescentibus quibusdam in modum generationis quæ olim apud ea obtinebat? Quemadmodum qui de natura docent, primitivum quoque ani-

νέσθαι διὰ τὰς μεταβολὰς καὶ μετακινήσεις τοῦ κόσμου καὶ τοῦ παντὸς οὕτω μεγάλας, καὶ νῦν εἴπερ μέλλει πάλιν ἔσεσθαι, τοιαύτας τινὰς ὑπάρξαι δεῖ κινήσεις· ἡ μὲν γὰρ ἀρχὴ παντὸς ἔργου μέγιστον· ἥμισυ γάρ· τὸ δὲ σπέρμα ἀρχή. Τῶν μὲν οὖν μικρῶν ὅσα γίνεται μὴ ἐξ ἀλλήλων, αἴτιον τοιαῦτα γενέσθαι ὥσπερ ἐξ ἀρχῆς ἐγεννήθησαν, ἡ τοῦ σπέρματος μικρότης· τοῦ γὰρ ἐλάττονος καὶ ἡ ἀρχὴ ἐλάττων· ὥστ' ἱκαναὶ καὶ αἱ τούτου μεταβολαὶ πρὸς τὸ γεννῆσαι αὐτῷ τὸ σπέρμα· ὅπερ συμβαίνει· γίνονται γὰρ ἐν ταῖς μεταβολαῖς μάλιστα· τοῖς δὲ μείζοσι μείζονος δεῖ καὶ μεταβολῆς.

14. Διὰ τί τὰ μὲν πολύτεκνα τῶν ζῴων, οἷον ὗς, κύων, λαγώς, τὰ δ' οὔ, οἷον ἄνθρωπος, λέων; Ἢ ὅτι τὰ μὲν πολλὰς μήτρας καὶ τόπους ἔχει, ἃς καὶ πίμπλασθαι ἐπιθυμεῖ καὶ εἰς ἃ σχίζεται ἡ γονή, τὰ δὲ τοὐναντίον;

15. Διὰ τί ἐλάχιστον διάστημα τῶν ὀμμάτων ὁ ἄνθρωπος ἔχει τῶν ζῴων κατὰ μέγεθος; Ἢ διότι μάλιστα κατὰ φύσιν ἔχει τῶν ἄλλων, ἡ δ' αἴσθησις φύσει τὸ ἔμπροσθεν· ἐφ' ὃ γὰρ ἡ κίνησις, τοῦτο δεῖ προορᾶν· ὅσῳ δ' ἂν ᾖ πλεῖον τὸ διάστημα τῶν ὀμμάτων, τοσούτῳ μᾶλλον αἱ ὄψεις ἔσονται ἐν τῷ πλαγίῳ; Εἰ οὖν ἔχειν δεῖ κατὰ φύσιν, ὅτι ὀλίγιστον δεῖ τὸ διάστημα εἶναι· οὕτω γὰρ εἰς τὸ πρόσθεν μάλιστα πορεύσεται. Ἔτι δὲ τοῖς ἄλλοις ζῴοις, ἐπεὶ χεῖρας οὐκ ἔχουσιν, ἀναγκαῖον παροράν εἰς τὰ πλάγια· διὸ πλεῖον διέστηκε τὰ ὄμματα αὐτῶν, καὶ μάλιστα τῶν προβάτων, διὰ τὸ μάλιστα ποιεῖσθαι τὴν πορείαν κύπτοντα.

16. Διὰ τί τὰ ἄλλα ζῷα τὰ μὲν οὐκ ἐξονειρώττει, τὰ δ' ὀλιγάκις; Πότερον ὅτι οὐδὲν ὕπτιον κατάκειται, ἐξονειρώττει δ' οὐδὲν μὴ ὕπτιον; Ἢ ὅτι οὐκ ἐνυπνιάζει τὰ ἄλλα ὁμοίως, ὁ δ' ἐξονειρωγμὸς μετὰ φαντασίας γίνεται;

17. Διὰ τί τῶν ζῴων τὰ μὲν κινεῖ τὴν κεφαλήν, τὰ δ' οὐ κινεῖ; Ἢ ὅτι ἔνια οὐκ ἔχει αὐχένα, διὸ ταῦτα οὐ κινεῖ τὴν κεφαλήν;

18. Διὰ τί ἄνθρωπος πτάρνυται τῶν ζῴων μάλιστα; Πότερον ὅτι τοὺς πόρους εὐρεῖς ἔχει δι' ὧν τὸ πνεῦμα καὶ ὀσμὴ εἰσέρχεται; τούτοις γὰρ πνεύματος πληρουμένοις πτάρνυται. Ὅτι δ' εὐρεῖς, σημεῖον ὅτι ἥκιστα ὀσφραντικὸν τῶν ἄλλων ζῴων· ἀκριβέστεροι δ' οἱ λεπτόποροι. Εἰ οὖν εἰς μὲν τοὺς εὐρεῖς πλέον καὶ πλεονάκις εἰσέρχεται τὸ ὑγρόν, οὗ πνευματουμένου ὁ πταρμὸς γίνεται, τοιούτους δὲ μάλιστα τῶν ζῴων οἱ ἄνθρωποι ἔχουσι, πλειστάκις ἂν πτάρνοιντο εἰκότως. Ἢ ὅτι ἐλάχιστοι κατὰ τὸ μῆκος οἱ μυκτῆρες, ὥστε τὸ θερμανθὲν ὑγρὸν ταχὺ δύναται πνεῦμα γίνεσθαι· ἐν δὲ τοῖς ἄλλοις διὰ μῆκος καταψύχεται πρότερον;

19. Διὰ τί ἡ γλῶττα οὐδενὸς πιερὰ τῶν ζῴων; Ἢ ὅτι τὸ πῖον πυκνόν, ἡ δὲ γλῶττα ἀραιὰ φύσει ἐστίν, ὅπως τοὺς χυμοὺς γνωρίζῃ;

mantium ortum propter mutationes dimotionesque mundi rerumque universitatis adeo magnas factum esse perhibent, sic itidem, si nunc rursum ortus ejusmodi obtinere debet, tales motiones aliquas fieri oportet: principium enim operis cujusque maximum est, quippe quod dimidium est; principium autem semen est. Ergo minutis animalibus quæ non ex se invicem procreantur, causa cur, ut olim exstiterunt, nunc etiam nascantur, seminis exiguitas est: rei namque minoris minus quoque principium est, ita ut hujus etiam mundi mutationes subficiant, ut semen ei generetur: quod sane evenit: nascuntur enim maxime circa [tempestatum] mutationes; majora autem mutationem vel majorem desiderant.

14. Cur animantium alia quidem multos fœtus pariunt, ut sus, canis, lepus, alia vero non, ut homo, ut leo? An quod illa quidem vulvas loculamentaque continent multa, quæ et impleri cupiunt, et in quæ semen dividitur; hæc vero contra se habent?

15. Cur homo inter animantes oculorum minimum pro sua magnitudine habet intervallum? An quod inter reliquos maxime secundum naturam homo constat, sensus autem naturaliter quod prorsum tendit: id enim prospicere oportet, ad quod tendit motus; quanto autem majus oculorum intervallum est, tanto magis intuitus ad latus siti erunt? Quodsi igitur secundum naturam habere debeat, quam minimum esse intervallum oportet: sic enim prorsum versus maxime ibunt. Ad hæc ceteris animantibus, quum careant manibus, despiciant in latera necesse est: quapropter plus eorum oculi distant inter sese, et maxime ovium, eo quod maxime prono capite ingrediuntur.

16. Cur ceteris animantibus partim quidem numquam profusio seminis per somnum incidit, partim vero raro? Utrum quod nullum resupinum cubat, nullum autem, nisi resupinum, noctu sponte semen profundit? An quod cetera non æque somniant, seminis autem illa profusio cum imaginatione fit?

17. Cur animalium alia quidem caput movent, alia vero non movent? An quod nonnulla collo carent, eapropter hæc caput non movent?

18. Cur in animantium genere homo sternutat maxime? Utrum quod meatus obtinet amplos, per quos spiritus odorque subeunt? his enim spiritu repletis sternuit. Argumento autem est amplos esse hos meatus, quod inter reliqua animalia homo olfactu minime valet: quibus namque arcti meatus sunt, hi exquisitius sentiunt. Quodsi igitur in ampliores quidem abundantius ac sæpius humor ingreditur, quo in spiritum verso sternutamentum fit, tales autem omnium maxime animantium homines obtinent, non mirandum homines omnium sternutare sæpissime. An quod homo brevissimis naribus est, ita ut humor concalfactus celeriter mutari in spiritum possit, quum ceteris refrigescat antea præ longitudine?

19. Cur nullius animalis lingua est pinguis? An quoniam pinguedo densa est, lingua autem rara sua natura est, ut percipiat sapores?

20. Διὰ τί τὰ θήλεα συντάσει οὐρεῖ, τὰ δ' ἄρρενα οὔ; Ἢ ὅτι πορρώτερόν ἐστιν ἡ κύστις ἡ τῶν θηλειῶν, καὶ εἰς βάθος καὶ εἰς μῆκος; μεταξὺ γὰρ αὐτῶν ἡ μήτρα τῆς ἕδρας καὶ τῆς κύστεως· ὥστε δεῖται βίας πλείονος τὸ ἐκπεμπόμενον διά γε τὴν ἀπόστασιν τῆς μήτρας· βιάζεται δὲ συντεῖνον τῷ πνεύματι.

21. Διὰ τί τῶν ζῴων ὅσα μὴ πέτεται, πάντα ἀποβάλλει τὰς χειμερινὰς τρίχας, πλὴν ὑός; καὶ γὰρ κύων ἀποβάλλει καὶ βοῦς. Ἢ ὅτι θερμότατον ἡ ὗς ἐστι, καὶ ἐκ θερμοῦ πεφύκασιν αἱ τρίχες αὐτῇ; τοιοῦτον γάρ ἐστι τὸ λιπαρόν. Τῶν μὲν οὖν ἄλλων ἢ διὰ τὸ ἀποψύχεσθαι τὸ ὑγρὸν ἀποπίπτουσιν, ἢ πέττειν τροφὴν οὐ δυναμένης τῆς οἰκείας θερμότητος. Ἢ διὰ τὸ μηδὲν πάσχειν τὴν ὑγρότητα τὴν ἐν αὐτῇ, διὰ τὸ πέττεσθαι καλῶς τὴν τροφήν, οὐκ ἀποβάλλει τὰς τρίχας; ὁπότε γὰρ ἡ αἰτία τῆς ἀποβολῆς ἐστιν, ἱκανὴ ἡ πιότης κωλῦσαι. Πρόβατα δὲ καὶ ἄνθρωποι διὰ πλῆθος καὶ πυκνότητα τῆς τριχὸς ἀπαθῆ ἐστιν· οὐ γὰρ διικνεῖται ἡ ψύξις εἰς βάθος, ὥστε πῆξαι τὴν ὑγρότητα, ἢ πέψαι κωλῦσαι τὴν θερμότητα.

22. Διὰ τί τῶν μὲν προβάτων μαλακώτεραι αἱ τρίχες ἀναφύονται τιλλόμεναι, τῶν δ' ἀνθρώπων σκληρότεραι; Ἢ ὅτι τῶν μὲν προβάτων ἐκ τοῦ ἐπιπολῆς πεφύκασιν; διὸ καὶ ἀλύπως ἐκσπῶνται, μενούσης τῆς ἀρχῆς τῆς τροφῆς ἀδιαφθόρου, ἥ ἐστιν ἐν σαρκί. Τὰ μὲν οὖν περιττώματα ἀνοιχθέντων ἐξατμίζει μᾶλλον, τὸ δ' ἔριον σαρκὸς οἰκείαν τροφὴν λαμβάνει· σὰρξ δὲ μαλακοῖς καὶ γλυκέσι τρέφεται. Αἱ δὲ τῶν ἀνθρώπων τρίχες ἐκ βάθους πεφυκυῖαι βίᾳ καὶ μετ' ἀλγηδόνος ἐκσπῶνται. Δῆλον δέ· ἐπισπῶνται γὰρ αἷμα. Τραυματιζομένου οὖν τοῦ τόπου συμβαίνει αὐτὸν καὶ οὐλοῦσθαι· διὸ τέλος μὲν συμβαίνει γίνεσθαι τοῖς τιλλομένοις· ἕως δ' ἂν ἀνίωσι τρίχες, σκληρὰς ἀνιέναι διὰ τὸ τὴν μὲν τροφώδη τῆς σαρκὸς ἐκλελοιπέναι πᾶσαν τροφήν, ἐκ περιττωμάτων δ' αὐτὰς γίνεσθαι. Σημεῖον δέ· τῶν μὲν γὰρ πρὸς μεσημβρίαν πάντων σκληραί εἰσιν αἱ τρίχες διὰ τὸ τὸ ἐκτὸς θερμὸν εἰς βάθος διικνούμενον ἐξατμίζειν τὴν εὔπεπτον τροφήν, τῶν δ' ὑπὸ τὰς ἄρκτους μαλακαί· τούτοις γὰρ ἐπιπολῆς μᾶλλόν ἐστι τό θ' αἷμα καὶ οἱ γλυκεῖς χυμοί· διὸ καὶ εὔχροοί εἰσιν.

23. Διὰ τί αἱ μὲν τῶν προβάτων τρίχες ὅσῳ ἂν μακρότεραι ὦσι, σκληρότεραι γίνονται, αἱ δὲ τῶν ἀνθρώπων μαλακώτεραι; Ἢ ὅτι αἱ τῶν προβάτων, οἵαν εἴρηται τροφὴν ἔχουσαι, μακρὰν τῆς ἀρχῆς ἀπαρτώμεναι ἀτροφώτεραί εἰσι, καὶ ῥᾳδίως ἐξ αὐτῶν ἐξατμίζεται ὑπὸ τοῦ θερμοῦ ἡ ἐνυπάρχουσα τροφὴ δι' ἀπεψίαν, ξηραινόμεναι δὲ ξηρότεραι γίνονται; τὸ γὰρ ὑγρὸν μαλακόν. Αἱ δὲ τῶν ἀνθρώπων ἐλάττω μέν, μᾶλλον δὲ τῆς ἀρχῆς. Πέττεται δ' αὐταῖς μᾶλλον διὰ τὸ ἐλάττω εἶναι· πεττομένη δὲ μαλακωτέραν ποιεῖ τὴν τρίχα· πάντα γὰρ τὰ πεπεμμένα τῶν ἀπέπτων μαλακώτερά ἐστιν· ἐκ περιττώματος γὰρ πλείστου ἡ τοῦ ἀνθρώπου

20. Cur feminæ intento corpore mingunt, mares vero non? An quod feminarum vesica remotius tum profunditate, tum longitudine, sita est? jacet enim vulva earum inter sedem atque vesicam, ita ut humor emittendus vim propter intercessionem vulvæ desideret pleniorem; vim autem infert spiritu intendens.

21. Cur quæcumque animalia non volant, omnia hibernos pilos abjiciunt præter suem? nam et canis abjicit, et bos. An quod sus calidissimus est, atque ex calido ejus pili pullulant? nam pinguedo talis est. Ceterorum itaque, vel quia humor refrigescit, pili defluunt, vel quia proprius calor alimentum concoquere non potest. An quia propter alimenti concoctionem rite peractam nullo modo humor qui pilo continetur, adficitur, non abjicit pilos? ubi enim causa defluvii adest, pinguedo subficit ad interpellandum. Oves vero ac homines propter pili tum densitatem, tum copiam adfectus expertes sunt : non enim ad fundum penetrat refrigeratio, ita ut humorem congelet, vel calorem impediat quominus concoquat.

22. Cur ovium quidem pili molliores renascuntur evulsi, hominum vero duriores? An quod ovium quidem pili e superficie pullulant? hinc et evelluntur sine dolore, quum initium alimenti integrum maneat, quod carni inest. Meatibus itaque patefactis excrementa melius evaporantur, lanaque proprio carnis utitur alimento, caro autem mollibus dulcibusque alitur. Hominum contra pili, utpote e fundo pullulantes, per vim et cum dolore evelluntur. Constat id, quandoquidem sanguinem secum detrahunt. Loco igitur saucio evenit ut cicatrix obducatur : unde fit ut vel finis imponatur pilis evulsis, vel quamdiu prodeant, ut duri exeant, eo quod omne alimentum carni nutriendæ destinatum deficit, ipsi vero e residuis proveniunt. Indicio autem est, quod hominum omnium plagam inhabitantium meridianam pili duri sunt, quoniam calor exterior ad fundum penetrans alimentum bene concoctum evaporat; contra eorum qui sub aquilonem incolunt, molles sunt pili : apud hos enim sanguis dulcesque succi in superficie potius adsunt : quamobrem his color quoque hilaris est.

23. Cur ovium quidem pili eo duriores fiunt, quo prolixiores fuerint, hominum contra molliores? An quod ovium pili, qui quale diximus, habent alimentum, ubi procul ab origine distant, parcius nutriuntur, et alimentum quod inest, quia male concoctum est, vi caloris facile ex iis evaporatur; quum autem siccantur, duriores redduntur? humidum namque molle est. Hominum vero pili minus quidem alimenti habent, sed longius ab origine distant. Concoquitur autem plenius in iis, quoniam copia minus est, concoctum autem pilum efficit molliorem : concocta etenim omnia molliora sunt crudis : e plurimo namque excremento hominum pili potius quam ovium procrean-

θρὶξ ἢ ἡ τοῦ προβάτου. Σημεῖον δέ· τὰ γὰρ νέα πρόβατα τῶν παλαιῶν μαλακώτερα ἔχει τὰ ἔρια.

24. Διὰ τί οἱ ἄνθρωποι καὶ οἱ ὄρνιθες οἱ δασεῖς λάγνοι εἰσίν; Ἢ ὅτι θερμοὶ καὶ ὑγροὶ τὴν φύσιν εἰσί, δεῖ δ' ἀμφοῖν πρὸς τὴν ὀχείαν; τὸ μὲν γὰρ θερμὸν ἐκκρίνει, τὸ δ' ὑγρὸν ἐκκρίνεται. Διὰ τὸ αὐτὸ δὲ καὶ οἱ χωλοὶ ἄνδρες· ἡ γὰρ τροφὴ αὐτοῖς ὀλίγη μὲν κάτω ἀφικνεῖται διὰ τὴν ἀναπηρίαν τῶν σκελῶν, εἰς δὲ τὸν ἐπάνω τόπον ἔρχεται πολλή, καὶ εἰς σπέρμα συγκρίνεται.

25. Διὰ τί ὁ ἄνθρωπος χαίτην οὐκ ἔχει; Ἢ διότι πώγωνα ἔχει, ὥσθ' ἡ ἐκεῖ ἀπελθοῦσα τροφὴ τῆς τοιαύτης περιττώσεως εἰς τὰς σιαγόνας ἔρχεται;

26. Διὰ τί πάντα τὰ ζῷα ἀρτίους τοὺς πόδας ἔχει; Ἢ ὅτι οὐκ ἐνδέχεται κινεῖσθαι μὴ ἑστηκότος τινός, ἂν μὴ ἅλληται; Ἐπεὶ τοίνυν ἐκ δυοῖν τινοῖν κίνησιν ἀνάγκη τῇ πορείᾳ εἶναι, ἔκ τε κινήσεως καὶ στάσεως, ταῦτα δὲ δύο, καὶ ἄρτια ἤδη. Καὶ τετράποδα, διότι πλείους· τοὺς μὲν γὰρ δύο κινεῖ, οἱ δὲ δύο ἑστήκασιν. Καὶ οἱ ἕξ, καὶ τὰ ἄλλα δὲ δύο ἔτι· τούτων δὲ τὸ μὲν κινεῖται, τὸ δ' ἕστηκεν.

27. Διὰ τί τοῖς μὲν ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν οὐλῶν φύονται τρίχες, τοῖς δ' ἀνθρώποις οὔ; Ἢ διότι τοῖς μὲν ἄλλοις ζῴοις ἐστὶ τὸ δέρμα μέρος τῆς σαρκός, ἀνθρώπῳ δὲ καθάπερ πάθος σαρκός; δοκεῖ γὰρ αὐτῆς τὸ ἐπιπολῆς καταψυχόμενον στερεώτερον γίνεσθαι, καθάπερ τῶν ἑφθῶν ἀλεύρων αἱ γραῖαι καλούμεναι. Ἐπεὶ οὖν κἀκεῖναί εἰσιν ἄλευρον ἑφθόν, καὶ τὸ τοῦ ἀνθρώπου καλούμενον δέρμα σὰρξ ἂν εἴη. Τραυματισθέντος δέ, ἢ τριβέντος ἀνθρώπου μὲν τὴν σάρκα συμβαίνει πυκνοῦσθαι· διὸ ἠλλοιωμένης τῆς ἐπιπολῆς σαρκὸς οὐ τὴν αὐτὴν φύσιν λαμβάνει τὰ τραύματα ᾗπερ καὶ ἐκ γενετῆς· ἀλλοιωθείσης δ' αὐτῆς μὴ γίνεσθαι ἔτι τὸ ἐξ αὐτῆς οὐθὲν ἄτοπον, καθάπερ καὶ ἐκ τῶν ἀλωπεκιῶν καλουμένων· καὶ γὰρ αὗται τῆς ἐπιπολῆς σαρκὸς φθοραὶ καὶ ἀλλοιώσεις εἰσίν. Τῶν δ' ὑποζυγίων τριβέντων καὶ ὑγιαζομένων πάλιν ἀναπληροῦται τὰ νενοσηκότα μέρη τοῦ σώματος τῶν αὐτῶν μέν, ἀσθενεστέρων δ' ἢ ἐξ ἀρχῆς ἦν. Ἐπεὶ δ' ἐστὶ καὶ τὸ δέρμα μέρος αὐτῶν, γίνοιντό τ' ἂν καὶ φύοιντο τρίχες (ἐκ δέρματος γὰρ φύονται τρίχες), λευκαὶ δὲ φύονται διὰ τὸ τὸ δέρμα ἀσθενέστερον γεγονέναι τοῦ ἐξ ἀρχῆς, καὶ τὴν λευκὴν ἀσθενεστάτην εἶναι τρίχα.

28. Διὰ τί ἐν μὲν τοῖς ἄλλοις ζῴοις διαμένει ὁμοίως τὰ δίδυμα θήλεα καὶ ἄρρενα ὄντα, ἐν δὲ τοῖς ἀνθρώποις οὔ; Ἢ διότι τούτῳ ἀσθενῆ μάλιστα τὰ δίδυμα; μονοτόκον γάρ ἐστιν, ἐν δὲ τοῖς διδύμοις παρὰ φύσιν τὸ θῆλυ γίνεσθαι καὶ ἄρρεν, ὥσθ' ὃ μάλιστά ἐστι παρὰ φύσιν, τοῦτο καὶ ἀσθενέστατον.

tur. Indicio autem est, quod oves juniores lanas molliores habent quam vetulæ.

24. Cur hirti homines et aves libidinosi sunt? An quod natura calidi et humidi sunt, qua quidem utraque qualitate opus ad coitum est? calor enim excernit, humor vero excernitur. Hæc eadem ratio est cur etiam claudi homines sint salaciores : his enim parum quidem alimenti deorsum propter crurum mutilationem devenit, sed multum loca petit superiora, atque in semen coagmentatur.

25. Cur homo jubam non habet? An quoniam barbam habet, ita ut hujusmodi redundantiis constans alimentum quod illuc se conferebat, maxillas adeat?

26. Cur pedes animalia omnia pares habent? An quod motus fieri non potest nisi aliquid consistat, dummodo non fiat saltus? Quum igitur ingressus necessario motus esse debet ex duabus quibusdam partibus compositus, motu nempe et statu, hæque numero duæ sunt, sic jam pares etiam erunt. Item quadrupedes, quia plures habent : alteros enim duos movent, alteri vero duo stant. Item sex, atque reliqua omnia æque per bina numerantur, quorum alterum quidem movetur, alterum vero stat.

27. Cur equis quidem et asinis pili e cicatricibus enascuntur, hominibus autem non? An quod ceteris quidem animalibus cutis pars carnis est, homini autem veluti adfectus carnis? carnis enim superficies refrigescens solidior fieri videtur, quemadmodum coctarum farinarum pelliculæ, quas græce vetulas adpellant. Quum itaque illæ quoque farina elixa sint, hominis quoque pars quæ cutis nominatur, caro erit. Ubi igitur hæc vel vulnus adceperit, vel adtrita fuerit, incidit ut hominis quidem caro condensetur : quamobrem, quum caro superficiei proxima immutata fuerit, vulnera non eamdem recipiunt naturam ac inde ab ortu naturæ; hac autem immutata, nullo modo absurdum est, si non amplius proveniat quod ex ea gigni solet, sicut et ex areis quas alopecias adpellant : nam hæ etiam carnis superficiei proximæ corruptiones immutationesque sunt. At jumentis adtritis, ubi ad sanitatem redeunt, membra corporis morbo adfecta eisdem quidem partibus replentur, sed debilioribus quam olim fuerant. Quum vero etiam cutis eorum pars sit, fient pili pullulabuntque (e cute namque pili enascuntur), verum candidi oriuntur, quoniam cutis imbecillior quam olim est, atque pilus candidus imbecillimus.

28. Cur apud cetera quidem animalia servari æque gemini possunt, quamquam sexus sunt utriusque, apud homines autem non? An quod homini maxime gemelli debiles sunt? singulos enim parit; in geminis ipsis vero marem ac feminam creari præter naturam est, ita ut quod maxime contra naturam est, id quoque imbecillimum sit.

29. Διὰ τί τοῖς μὲν ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν οὐλῶν φύονται τρίχες, τοῖς δ' ἀνθρώποις οὔ; Ἢ διότι ἡ οὐλὴ κωλύει διὰ τὴν πύκνωσιν, ἢ διὰ τὸ φθείρειν τὴν τροφήν; Τοῖς μὲν οὖν ἀνθρώποις παντελῶς κωλύει διὰ τὴν ἀσθένειαν τῆς τριχός, τοῖς δ' ἵπποις οὐκ ἐκώλυσε, διέφθειρε δέ.

29. Cur equis quidem et asinis pili e cicatricibus nascuntur, hominibus autem non? An quod cicatrix ob densitatem impedimento est, vel quia depravat nutrimentum? Hominibus itaque ex toto propter pili infirmitatem impedimento est; equis autem non impedivit, sed depravabat.

30. Διὰ τί τοῖς ζῴοις ἄρτιοι πόδες; Ἢ ὅτι παντὸς μὲν τοῦ κινουμένου ἀνάγκη τι ἠρεμεῖν, συνέβαινε δὲ περιττῶν ὄντων μὴ γίνεσθαι τοῦτο· ὅπερ κατὰ τὴν ἀντιστοιχίαν τῶν ποδῶν ἦν ἡ κίνησις;

30. Cur pares pedes habent animantes? An quia cujusque rei quæ movetur, partem aliquam requiescere necesse est; quodsi vero pedes impares essent, eveniret ut hoc non fieret, idque ipsum pedum erat secundum alternam eorum obpositionem motus?

31. Διὰ τί ἐλάττω χρόνον τὰ ζῷα καθεύδει ἢ ἐγρήγορεν, οὐ συνεχῶς δέ; Ἢ διὰ τὸ μὴ ἅμα πᾶσαν πέττεσθαι τὴν περίττωσιν, ἀλλ' ὅταν τι πεφθῇ, κουφισθὲν διεγείρεται; Καὶ πλεονάκις δ' ἐγείρονται, ὅσοις ψυχρὸς ὁ τόπος ὁ πέττων ἐστὶ τὴν περίττωσιν· ταχὺ γὰρ παύεται καὶ πολλάκις, ἡ δὲ διάπαυσις ἔγερσίς ἐστιν. Ἡδὺ δέ, οὐδ' εἰκὸς διὰ τὸ ἀνάπαυσιν εἶναι φαίνεται, ἀλλ' οὐδ' ἐνταῦθα πλείω χρόνον ἡ ἀνάπαυσις γίνεται τῶν κατὰ φύσιν ἔργων· οὐδ' εἰ τὸ ἐσθίειν ἥδιον τοῦ μή, ὅμως πλείω χρόνον ἐσθίουσιν ἢ ἀσιτοῦσιν.

31. Cur animalia minus temporis dormiunt quam vigilant, idque non continue? An quod non simul omnia residua concoquuntur, sed ubi pars aliqua est concocta, levatum jam animal expergiscitur? Et vero sæpius illi expergiscuntur, quibus ea pars frigida est quæ residua concoquit: fit enim ut celeriter sæpeque cesset, cessatio autem expergefactio est Suave autem est dormire, nec, quoniam requies est, consentaneum videtur: sed tamen ne hic quidem quieti plus temporis impenditur quam muneribus naturalibus; nec etsi esse suavius est quam non esse, tamen plus temporis edunt quam a cibo abstinent.

32. Διὰ τί τῶν ζῴων τὰ μὲν εὐθὺς ἀκολουθεῖ τοῖς γεννήσασι, τὰ δ' ὀψέ, οἷον ἄνθρωπος, ἢ μόλις, ἢ οὐδέποτε; Ἢ διότι τὰ μὲν ταχὺ ἀπολαμβάνει τὸ γνωρίζειν, τὰ δ' ὀψέ, καὶ τὰ μὲν ἀναίσθητα τοῦ ὠφελοῦντος, τὰ δ' ἔχει αἴσθησιν; Ὅσα μὲν οὖν ἄμφω ἔχει ταῦτα (λέγω δ' οἷον καὶ αἴσθησιν τοῦ ὠφελοῦντος καὶ ἐπιτέλεσιν τοῦ σώματος), ἀκολουθεῖ, τὰ δὲ μὴ ἄμφω, οὐ ποιεῖ τοῦτο· δεῖ γὰρ δύνασθαι καὶ διαισθάνεσθαι.

32. Cur animantium alia quidem statim parentes sectantur, alia autem sero, ut homo, vel vix, vel numquam? An quod alia quidem cito vim recipiunt cognoscendi, alia autem sero, et alia quidem rei sibi commodæ sensu carent, alia vero hunc sensum habent? Quæ igitur hæc ambo (sensum dico rei commodæ et corporis perfectionem) sortiuntur, hæc parentes sectantur, quæ vero non utrumque, id non faciunt: opus enim est et viribus et sensu.

33. Διὰ τί λεύκη οὐ γίνεται τοῖς ἄλλοις ζῴοις; Πότερον ὅτι τοῖς μὲν ἄλλοις νόσημα, τοῖς δ' ἀνθρώποις γίνεται διάλευκα τὰ δέρματα καὶ αἱ τρίχες αὐτῶν; Ἀλλ' ὅμως ἀπορήσειεν ἄν τις, διὰ τί ὕστερον οὐ γίνεται, ἀλλ' ἐκ γενετῆς ἡ ποικιλία. Ἢ ὅτι τὰ δέρματα τῶν ἄλλων ζῴων σκληρά, ἄνθρωπος δὲ φύσει λεπτοδερμότατον, ἡ δὲ λεύκη πνεύματός ἐστιν ἔκκρισις, ὃ κωλύεται διὰ τὴν πυκνότητα ἐξιέναι τοῖς ἄλλοις ζῴοις τοῦ δέρματος;

33. Cur vitiligo alba ceteris quidem animantibus non fit? Utrum quod ceteris quidem morbus id est; hominibus autem albedine interstinguuntur cutes pilique earum? Attamen ambiget aliquis, cur non postea, sed statim ab ortu varietas exsistat. An quod ceterorum animantium tergora dura sunt, homo autem natura tenuissimam habet cutem; vitiligo autem spiritus excretio est, qui apud cetera animantia excerni tergore denso prohibetur?

34. Διὰ τί ἐν μὲν τῇ λεύκῃ πολιαὶ γίνονται, ὅπου δὲ πολιαί, οὐκ ἀεὶ λεύκη; Ἢ διότι αἱ τρίχες ἐκ τοῦ δέρματος εἰσίν, ἡ δὲ πολιὰ ὥσπερ σαπρότης τις τῶν τριχῶν ἐστιν; Ὅταν μὲν οὖν τὸ δέρμα κάμνῃ, ἀνάγκη καὶ τὴν τρίχα ἐξ ἐκείνου οὖσαν κάμνειν· ὅταν δ' ἡ θρίξ, οὐκ ἀνάγκη τὸ δέρμα.

34. Cur in vitiligine quidem alba cani enascuntur, ubi vero cani, ibi non semper adest vitiligo alba? An quod pili omnes e cute proveniunt, canities autem putrilago quædam pilorum est? Ubi itaque cutis morbo laborat, pilum etiam laborare necesse est, quippe ex ea ortum; ubi autem pilus, cutem male adfici necesse non est.

35. Διὰ τί τῶν ζῴων τὰ μὲν χαλεπά ἐστι μετὰ τὸν τόκον, οἷον κύων καὶ ὗς, τὰ δ' οὐδὲν ἐπιδήλως, οἷον γυνή, πρόβατον; Ἢ ὅτι ὅσα μὲν περιττωματικά, πραέα; ἀπέρχεται γὰρ ἐν τῷ τόκῳ τὰ λυποῦντα. Τούτοις δ' ἀπὸ τῶν εὖ ἐχόντων γίνεται ἡ ἀφαίρεσις, ὥσθ' ἡ ἰσχνότης ποιεῖ διὰ τὴν ἕξιν τὴν ὀργήν, ὥσπερ καὶ αἱ

ἀλεκτορίδες οὐ τεκοῦσαι χαλεπαί, ἀλλ' ἐπῳάζουσαι, διὰ τὴν ἀσιτίαν.

35. Cur animantium alia quidem post partum torva sunt, ut canis, ut sus, alia vero nequaquam manifeste, ut mulier, ut ovis? An quia quæ supervacua quidem redundant materia, hæc mitia sunt? quantum enim molestum erat, in partu abit. Illis autem secretio fit a corporis elementis bene constitutis, ita ut macritudo propter habitum iram moveat, ut etiam gallinæ, non quum pepererint, sed ubi incubant, propter alimenti defectum torvæ sunt.

36. Διὰ τί οἱ εὐνοῦχοι τὰ μὲν ἄλλα εἰς τὸ θῆλυ διαφθειρόμενοι μεταβάλλουσιν· καὶ γὰρ φωνὴν θηλυκὴν ἴσχουσι καὶ ὀξύτητα καὶ ἀναρθρίαν, καὶ οὕτω σφόδρα μεταπίπτουσιν ὡς καὶ ἐν τοῖς ἄλλοις ζῴοις τὰ ἐκτεμνόμενα (ἐναντίως δ' οἱ ταῦροι καὶ οἱ κριοὶ τὰ κέρατα ἴσχουσι, διότι καὶ τὰ θήλεα ἐναντίως αὐτῶν ἔχει· διὸ οἱ μὲν μείζω ἐκτεμνόμενοι ἴσχουσιν, οἱ δ' ἐλάττω)· τὸ δὲ μέγεθος μόνον οἱ εὐνοῦχοι εἰς τὸ ἄρρεν μεταβάλλουσιν; μείζους γὰρ γίνονται, ἔστι δὲ τοῦτο τοῦ ἄρρενος· τὰ γὰρ θήλεα ἐλάττω ἐστὶ τῶν ἀρρένων. Ἢ οὐδὲ τοῦτο εἰς τὸ ἄρρεν, ἀλλ' εἰς τὸ θῆλυ; οὐ γὰρ εἰς πᾶν τὸ μέγεθος, ἀλλ' εἰς τὸ μῆκος μόνον, τὸ δ' ἄρρεν καὶ εἰς πλάτος καὶ εἰς βάθος· τότε γὰρ τετελείωται. Ἔτι δ' ὡς ἔχει τὸ θῆλυ πρὸς τὸ ἄρρεν, οὕτως αὐτοῦ τοῦ θήλεος ἡ παρθένος πρὸς τὴν γυναῖκα· ἡ μὲν γὰρ ἤδη γενναία, ἡ δ' οὔ. Εἰς τὴν τούτων οὖν μεταβάλλει· ἐπὶ μῆκος γὰρ ταύταις ἡ αὔξησις· διὸ καὶ Ὅμηρος εὖ τό (Ὀδ. υ, 71)·

μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή,

ὡς διὰ τὴν παρθενίαν, ὃ εἶχε, δυναμένης δοῦναι. Οὔκουν εἰς τὸ ἄρρεν κατὰ τὸ μέγεθος μεταβάλλει· οὐ γὰρ εἰς τὸ τέλειον μεταβάλλει· οἱ δ' εὐνοῦχοι εἰς μέγεθος τὸ μῆκος ἐπιδιδόασιν.

36. Cur spadones ceteroquin quidem ita immutantur, ut in sexum femineum degenerent: vocem enim femininam habent, et acumen et articulationis defectum, atque ita vehementer commutantur ut etiam apud cetera animantia quæcumque castrantur (nam tauri et verveces cornua contrario modo habeat ac cetera animalia, quia feminæ quoque eorum contrario modo habent: quapropter alii quidem castrati majora gerunt, alii vero minora); magnitudine vero tantummodo spadones ad sexum virilem transeunt? majores namque redduntur: quæ quidem res maris est, quippe quum feminæ minores maribus sint. An ne id quidem ad sexum masculinum, sed ad femininum est mutatio? haud enim ad omne magnitudinis genus, sed ad longitudinem duntaxat transeunt, dum mas latitudine etiam augetur et crassitudine: tunc enim perfectus est. Ad hæc, ut femina ad marem, sic inter feminas ipsas virgo se habet ad mulierem: altera enim generosa jam est, altera vero non. In earum igitur magnitudinem mutatur spado: his namque in longitudinem fit incrementum: unde et recte Homerus:

Virgo Diana dedit prælongi corporis usum,

utpote quum rem, quam suam ob virginitatem haberet, largiri posset. Ergo non magnitudine in marem mutatur, quum non ad perfectionem commutetur: spadones enim longitudinis ratione magnitudine proficiunt.

37. Διὰ τί οἱ εὐνοῦχοι ἢ ὅλως οὐκ ἴσχουσιν, ἢ ἧττον ἰξίας; Ἢ ὅτι μεταβάλλουσι τὴν φύσιν ἐν τῇ ἐκτμήσει εἰς τὰ ἄγονα, τοιαῦτα δὲ παῖς καὶ γυνή, ὧν οὐδέτερον ἴσχει ἰξίας, εἰ μή τι σπάνιον γυνή;

37. Cur spadones vel omnino varicibus vacant, vel minus habent? An quoniam naturam, dum castrantur, ad semine carentium habitum commutant, tales autem sunt puer et mulier: quorum neutrum habet varices, præterquam si mulier raro?

38. Διὰ τί μᾶλλον ἄνθρωπος πολλὰς φωνὰς ἀφίησι, τὰ δ' ἄλλα μίαν ἀδιάφορα ὄντα τῷ εἴδει; Καὶ τοῦ ἀνθρώπου μία φωνή, ἀλλὰ διάλεκτοι πολλαί.

38. Cur homo potius multas fundit voces, cetera vero animalia, quæ ad idem pertinent genus, unicam? Apud hominem etiam vox unica est, sed multiplex loquela.

39. Διὰ τί δ' αὕτη ἄλλη, τοῖς δ' ἄλλοις οὔ; Ἢ ὅτι οἱ μὲν ἄνθρωποι γράμματα πολλὰ φθέγγονται, τῶν δ' ἄλλων τὰ μὲν οὐδέν, ἔνια δὲ δύο, ἢ τρία τῶν ἀφώνων, ταῦτα δὲ ποιεῖ μετὰ τῶν φωνηέντων τὴν διάλεκτον; ἔστι δ' ὁ λόγος οὐ τὸ τῇ φωνῇ σημαίνειν, ἀλλὰ τοῖς πάθεσιν αὐτῆς, καὶ μὴ ὅτι ἀλγεῖν χαίρει· τὰ δὲ γράμματα πάθη ἐστὶ τῆς φωνῆς. Ὁμοίως δ' οἵ τε παῖδες καὶ τὰ θηρία δηλοῦσιν· οὐ γάρ πω οὐδὲ τὰ παιδία φθέγγονται τὰ γράμματα.

39. Sed cur hæc varia, apud cetera vero non? An quoniam homines quidem multas proferunt literas, inter cetera autem alia quidem nullam, aliqua vero duas, aut tres consonantes, hæc autem vocalibus junctæ locutionem conficiunt? oratio enim non eo constat, ut voce, sed ut vocis adfectionibus significetur, nec se dolere, vel gaudere; at literæ vocis adfectiones sunt. Quin etiam infantes non secus ac bestiæ significant, utpote qui ipsi quoque nondum literas enuntiant.

40. Διὰ τί μόνον τῶν ζῴων ἄνθρωπος γίνεται ἰσχνόφωνον; Πότερον ὅτι καὶ ἐνεόν, ἡ δ' ἰσχνοφωνία ἐνεότης ἐστίν; Ἀλλὰ δὴ καὶ οὐδ' ὅλως πεπλήρωται τοῦτο τὸ μόριον. Ἢ ὅτι κοινωνεῖ μᾶλλον λόγου, τὰ δ' ἄλλα φωνῆς; ἔστι δ' ἡ ἰσχνοφωνία οὐ κατὰ τὸ ὄνομα ἕν, ἢ οὐδὲ συνεχῶς διεξιέναι.

40. Cur homo solus omnium animantium lingua hæsitans fit? Utrum quod etiam mutus solus exsistit, linguæ autem hæsitatio mutitas est? Verum enimvero nec membrum hocce ex toto completum est. An quod homo magis particeps est sermonis, cetera autem vocis duntaxat? linguæ autem hæsitatio non secundum vocabuli græci (ἐνεός ab ἕν ἵημι) derivationem eo constat ut unicum quid, vel ne ut continue quidem percurramus.

41. Διὰ τί ἄνθρωπος γίνεται ἐκ γενετῆς χωλὸς μάλιστα τῶν ἄλλων ζῴων; Πότερον ὅτι ἰσχυρὰ τῶν ἄλλων ἐστὶ σκέλη τῶν ζῴων; ὀστώδη γὰρ καὶ νευρώδη καὶ

41. Cur homo omnium reliquorum maxime animantium inde ab ortu claudus nascitur? Utrum quod ceterorum animalium crura robusta sunt? osse namque et nervo tam

τετράποδα καὶ ὄρνιθες ἔχουσιν, οἱ δ᾽ ἄνθρωποι σαρκώδη· διὰ τὴν ἁπαλότητα οὖν θᾶττον πηροῦνται ἐν τῇ κινήσει. Ἢ διότι μόνον τῶν ζῴων πολλοὺς ἔχει χρόνους τῆς γενέσεως; καὶ γὰρ ἑπτάμηνα καὶ ὀκτάμηνα καὶ δεκάμηνα γίνεται· τοῖς δ᾽ ἄλλοις εἷς χρόνος τῆς τελειώσεως γέγονεν οὐ διατρίψας· τοῖς δ᾽ ἀνθρώποις πολὺς ὁ χρόνος γίνεται τῆς ἐν πλήθει διατριϐῆς, ὥστε κινουμένων διὰ τὸ ἁπαλὰ εἶναι καὶ θραύεται τὰ ἀκρωτήρια ἐν τῷ πλείονι χρόνῳ πλείω.

quadrupedum quam avium constant, hominum vero carnosa sunt : ergo facilius hæc ob teneritudinem mutilantur, ubi moventur. An quod solus animantium varia generationis tempora obtinet? nam et septimo et octavo et decimo mense nascitur; ceteris vero tempus unicum perficiendi sine mora statutum est; hominibus autem longum fit tempus quo diu immorentur, ita ut, quum moventur, artus, quod teneri sunt, frangantur plures per longius tempus.

42. Διὰ τί οἱ εὐνοῦχοι ἑλκώδεις τὰς κνήμας ἴσχουσι καὶ σαπράς; Πότερον ὅτι καὶ αἱ γυναῖκες, οἱ δ᾽ εὐνοῦχοι γυναικικοί; Ἢ τοῦτο μὲν συμϐέϐηκεν, αἴτιον δὲ καὶ ταῖς γυναιξὶν ὅτι ἡ θερμότης κάτω ὁρμᾷ; δηλοῖ δὲ τὰ γυναικεῖα· διὸ οὔθ᾽ οἱ εὐνοῦχοι, οὔτε γυναῖκες δασεῖς γίνονται, διὰ πολλὴν ὑγρότητα.

42. Cur spadones cruribus ulcerosis putridisque sunt? Utrum quod etiam mulieres, spadones autem effeminati sunt? An hoc quidem evenit, sed tamen mulieribus id quoque causa est, quod calor deorsum vergit? id quod menstrua declarant : unde neque spadones, nec mulieres hirsutæ fiunt, propter humoris abundantiam.

43. Διὰ τί τῶν ζῴων οὐθὲν λιθιᾷ ἀλλ᾽ ἢ ἄνθρωπος; Ἢ ὅτι τῶν μὲν ὑποζυγίων καὶ τῶν πολυωνύχων οἱ πόροι τῆς κύστεως εὐρεῖς εἰσιν; (ὅσα δὲ μὴ τὸ πρῶτον, ὕστερον δὲ ζῳοτοκεῖ ἐν αὐτοῖς, οἷον ἔνιοι τῶν ἰχθύων, τούτων δ᾽ οὐδὲν κύστιν ἔχει, ἀλλ᾽ εἰς τὴν κοιλίαν αὐτοῖς ἡ τοιαύτη συνθλίϐεται ὑπόστασις, οἷον καὶ τοῖς ὄρνισιν, ὥστε ταχὺ καὶ διεξέρχεται κατὰ τὴν ἕδραν)· ὁ δ᾽ ἄνθρωπος κύστιν τ᾽ ἔχει καὶ στενὸν τὸν καυλὸν ὡς κατὰ μέγεθος; Διὰ μὲν οὖν τὸ ἔχειν τοῦτο τὸ μόριον συνθλίϐεται τὸ γεῶδες εἰς τὴν κύστιν (διὸ καὶ χρώζονται αἱ ἀμίδες ὑπ᾽ αὐτοῦ), διὰ δὲ τὴν θερμότητα τοῦ τόπου συμπέττεται καὶ παχύνεται μᾶλλον, ἐμμένει δὲ καὶ αὐξάνεται διὰ τὴν στενότητα τοῦ οὐρητῆρος· οὐ γὰρ δυνάμενα τὰ γεώδη ὑποστήματα ῥᾳδίως ὑπεξιέναι, πρὸς ἄλληλα ὑποστρεφόμενα λίθος γίνεται.

43. Cur nullum animal, nisi homo, calculo laborat? An quod jumenta quidem, et quæ unguibus sunt multis, vesicæ meatus obtinent amplos (quæ autem non protinus, sed post, intra se animal pariunt, ut pisces nonnulli, ex his nullum vesicam habet, sed sedimentum ejusmodi illis in alvum contruditur, sicut etiam avibus, ita ut celeriter quoque exeat per sedem); at homo tum vesicam habet, tum cervicem ejus angustam pro magnitudine? Ergo quod membrum id habet, terrenum in vesicam contruditur (ex quo et matulæ eo tinguntur), loci autem calore concoquitur atque magis crassescit; retinetur vero augeturque propter meatus urinæ angustiam : quum enim terrena sedimenta ex facili subduci nequeant, ad se invicem reversa calculus fiunt.

44. Διὰ τί οὐκ ἐρεύγεται τὰ ὑποζύγια, οὐδ᾽ οἱ βόες καὶ τὰ κερατοφόρα, οὐδ᾽ οἱ ὄρνιθες; Ἢ διὰ ξηρότητα τῆς κοιλίας; ταχὺ γὰρ ἀναλίσκεται τὸ ὑγρὸν καὶ διηθεῖται· ἐμμένοντος δὲ καὶ πνευματουμένου γίνεται ὁ ἐρευγμός. Τοῖς δὲ λοφούροις διὰ μῆκος τοῦ αὐχένος εἰς τὸ κάτω ὁρμᾷ τὸ πνεῦμα· διὸ καὶ ἀποψοφοῦσι μάλιστα. Οἱ ὄρνιθες δὲ καὶ τὰ κερατοφόρα οὐ ποιεῖ οὐδέτερον. Οὐδ᾽ ἐρεύγονται δ᾽ ὅσα μηρυκάζει, διὰ τὸ πολλὰς ἔχειν κοιλίας καὶ τὸν καλούμενον κεκρύφαλον. Διὰ πολλῶν οὖν γίνεται καὶ ἄνω καὶ κάτω τῷ πνεύματι ἡ πορεία, καὶ φθάνει ἀναλισκόμενον τὸ ὑγρὸν πρὶν ἐκπνευματωθῆναι καὶ ποιῆσαι ἢ ἐρυγεῖν, ἢ ψοφῆσαι.

44. Cur nec jumenta, nec boves et quæ cornua gerunt, neque aves ructant? An propter ventris siccitatem? celeriter enim consumitur percolaturque humor : qui ubi immoratur atque in spiritum convertitur, ructatio fit. Jumentis tamen ob colli prolixitatem flatus inferiora petit : quamobrem et crepitum ventris maxime reddunt. Aves vero et cornigera neutrum faciunt. Quin etiam ruminans nullum ructat, quoniam tum plures continent ventres, tum quem reticulum adpellamus. Multa itaque permeare debet tam sursum quam deorsum flatuum iter, atque humor consumitur antequam in flatum vertatur, moveatque vel ructum, vel crepitum.

45. Διὰ τί, ὅσα μὲν ἥμερα τῶν ζῴων ἐστί, πάντως καὶ ἄγρια, ὅσα δ᾽ ἄγρια, οὐ πάντως ἥμερα; καὶ γὰρ ἄνθρωποί που φαίνονται ἄγριοι ὄντες, καὶ κύνες ἐν Ἰνδοῖς, καὶ ἵπποι ἄλλοθι, ἀλλ᾽ οὐ λέοντες ἥμεροι, οὐδὲ παρδάλεις, οὐδ᾽ ἔχεις, οὐδ᾽ ἄλλα πολλά. Ἢ ὅτι ῥᾶον τὸ φαῦλον καὶ γενέσθαι ἐξ ἀρχῆς, καὶ μεταϐαλεῖν εἰς αὐτό; ἡ γὰρ φύσις οὐχ ἡ πρώτη, ἀλλ᾽ ἡ ἐν τέλει ἐργώδης τυχεῖν εὐθύς· διὸ πάντα καὶ τὰ ἥμερα ἄγρια γίνονται τὸ πρῶτον μᾶλλον ἢ ἥμερα, οἷον παιδίον ἢ ἀνὴρ παμφάγον καὶ τῷ θυμῷ ζῶν· ἀλλ᾽ ἀσθενέστερα. Ὥσπερ οὖν καὶ ἐπὶ τῶν τῆς τέχνης ἔργων, οὕτως ἔχει καὶ ἐπὶ τῶν τῆς φύσεως ἔργων· καὶ γὰρ ἐπὶ τούτων πάντ᾽ ἐστὶ φαύλως εἰργασμένα, καὶ πλείω τὰ φαῦλα, κλίνη καὶ ἱμάτιον καὶ ἄλλ᾽ ὁτιοῦν, καὶ ὃ μέν ἐστι καλόν, λαϐεῖν ἔστιν ἅπαν καὶ φαῦλον, ὃ δὲ φαῦλον, οὐ πᾶν καὶ καλόν, οἷον εἴ τις ἐπὶ τῶν ἀρχαίων γραφέων καὶ ἀνδριαντοποιῶν σκοπεῖ τὰ ἔργα· οὐ γὰρ ἦν πώποτε οὐδαμῇ γραφὴ σπουδαία, οὐδ᾽ ἀνδριάς, φαῦλα δ᾽ ἦν. Ὁμοίως δὲ καὶ ἡ φύσις φαῦλα μὲν πάντα ποιεῖ, καὶ πλείους καὶ πλείω, σπουδαῖα δ᾽ ἐλάττω, καὶ οὐ πάντα δύναται. Τὸ δ᾽ ἥμερον βέλτιον, τὸ δ᾽ ἄγριον φαῦλον. Φύσει δ᾽ οὐ τῇ ἐξ ἀρχῆς, ἀλλ᾽ ἐφ᾽ ἥν, οἶμαι, ῥᾶον ποιεῖ σπουδαῖα καὶ ἥμερα, τὰ δ᾽ ἐναντία ἢ οὐδέποτε, ἢ μόλις, καὶ ἔν τισι τόποις καὶ ἐν χρόνοις, ἢ ἀρτίου, ἤ ποτε ἔν τινι κράσει τοῦ ὅλου, γίνονται ἥμερα τὰ ζῷα πάντα. Τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ τῶν φυτῶν πάντων ἐστίν· ὅσα μὲν γὰρ ἥμερα, καὶ ἄγρια, οὐ πάντα δὲ δύναται ἡμεροῦσθαι, ἀλλ᾽ ὅμως εἰσὶν ἐν ἰδίᾳ χώρᾳ πρὸς πολλὰ ἰδίως ἐχούσῃ ὥστ᾽ ἠμελημένα καὶ ἄγρια κρείττω καὶ ἡμερώτερα φύεσθαι τῶν ἐν ἄλλῃ γεωργουμένων.

45. Cur in animantium genere quæcumque quidem domestica, eadem omnino etiam fera exstant; quæcumque autem fera, non utique et domestica? etenim cum homines feri nonnusquam cernuntur, tum canes apud Indos, tum equi aliubi; sed non leones, non pardales, non viperæ, non alia complura domestica exstant. An quod facilius tum initio fit res prava, tum in eam obtinet mutatio? naturam enim non primam, sed quæ in fine residet, adsequi statim perdifficile est : quapropter omnia etiam domestica principio fera potius quam domestica nascuntur, ut infans quam vir magis quodvis comedit, iraque effervescit, sed debiliora. Quomodo itaque in operibus artis, sic etiam in naturæ se habet res : nam in his quoque prave omnia facta sunt, et plura sunt prava, ut lectus, vestis, quodvis aliud, quodque probum quidem est, id omne pravum etiam comperiri potest, quod autem pravum, id non omne probum quoque reperies, ut si quis priscorum pictorum fictorumque opera consideret : nondum enim usquam exstabat pictura bona, nec statua, sed pravæ erant. Eodem modo natura etiam prava quidem omnia facit, et plura prava cum genera, tum singula corpora, proba vero pauciora nec omnia præstare potest. Atqui domesticum melius est; ferum autem pravum. Naturæ autem non quæ initio jam adest, sed ad quam tenditur, facilius est, opinor, bona atque domestica creare, contraria vero aut numquam, aut vix, atque certis quibusdam temporibus ac locis, vel jamjam non, vel aliquando in certo quodam temperamento universi, mansueta fiunt omnia animalia. Hoc idem in omni etiam stirpium genere obtinet : quæcumque enim domestica, eadem etiam silvestria exstant, nec omnia mansuescere possunt; attamen reperiuntur in solo proprio multas ad res peculiariter se habenti ita ut neglecta feraque proveniant meliora ac mitiora quam quæ alio in solo coluntur.

46. Διὰ τί τοῖς μὲν ἀνθρώποις οἱ ὀμφαλοὶ μεγάλοι γίνονται, τοῖς δ᾽ ἄλλοις ζῴοις οὐ φανεροί; Ἢ διότι τοῖς μὲν διὰ τὸ πολὺν χρόνον εἴσω μένειν ἀφαυαίνονται καὶ εὐθὺ τείνονται, ὅλον δ᾽ ἐπανοιδοῦσι τὰ ἕλκη; διὸ ἔνιοι τῶν ὀμφαλῶν καὶ αἰσχίους εἰσίν· ὁ δ᾽ ἄνθρωπος ἀτελὴς ἐξέρχεται, ὥστ᾽ ἔφυγροι καὶ ἄναιμοι οἱ ὀμφαλοὶ ἀκολουθοῦσιν. Ὅτι δὲ τὰ μὲν τετελειωμένα, τὰ δ᾽ ἀτελῆ ἐξέρχεται, σημεῖον ὅτι τὰ μὲν εὐθὺς δύναται ζῆν, τὰ δὲ παιδία ἐπιμελείας δεῖται.

46. Cur hominibus quidem umbilici fiunt ampli, ceteris autem animantibus non conspicui? An his quidem, quoniam quod multum temporis intus manent, umbilici arescunt inque directum porriguntur, denique plagæ intumescunt? quamobrem nonnulli umbilici et deformes sunt; at vero homo imperfectus prodit, ita ut humidi atque sanguinolentus sequantur umbilici. Indicium vero, alia quidem perfecta, alia vero imperfecta prodire, quod illa quidem statim vivere queunt, infantes vero curam desiderant.

47. Διὰ τί τὰ μὲν τῶν ζῴων ἅπαξ ὀχεύεται, τὰ δὲ πολλάκις, καὶ τὰ μὲν ὥρᾳ ἔτους, τὰ δ᾽ ὅτ᾽ ἔτυχεν, ἄνθρωπος μὲν ἀεί, τὰ δ᾽ ἄγρια οὐ πολλάκις, καὶ ὗς μὲν ἄγριος ἅπαξ, ἥμερος δὲ πολλάκις; Ἢ διὰ τὴν τροφὴν καὶ ἀλέαν καὶ πόνον; ἐν πλησμονῇ γὰρ Κύπρις. Ἔπειτα τὰ αὐτὰ ἄλλοθι μὲν ἅπαξ τίκτει, ἄλλοθι δὲ πλεονάκις, οἷον τὰ πρόϐατα ἐν Μαγνησίᾳ καὶ Λιϐύῃ τίκτει δίς. Τὸ δ᾽ αἴτιον ἡ πολυχρονία τοῦ τόκου· οὐ γὰρ ἐπιθυμεῖ ὅταν πλησθῇ, ὥσπερ οὐδὲ τροφῆς τὰ πλήρη. Τὰ δὲ κυοῦντα ἧττον ὀχείας ἐπιθυμεῖ διὰ τὸ μὴ γίνεσθαι τὴν κάθαρσιν.

47. Cur animantium alia quidem semel ineuntur, alia vero sæpe, et alia quidem tempore æstatis, alia vero ut fors tulerit; homo quidem semper, feræ vero non sæpe, et quidem sus agrestis semel, domesticus vero sæpe? An propter pabulum, calorem atque laborem, quippe quum Venus comes plenitudinis sit? Præterea eadem alibi quidem semel, alibi vero sæpius pariunt, ut oves Magnesiæ et in Africa bis pariunt. Causa vero est tempus pariendi prolixius : ubi enim impleta sunt, non concupiscunt, quomodo nec cibum adfectant quæ plena sunt. Quæ autem gravida sunt, minus avida veneris sunt, quoniam menstruæ purgationes non fiunt.

48. Διὰ τί τῶν ἀνθρώπων οἱ ἀραιοὺς ἔχοντες τοὺς ὀδόντας βραχύϐιοι, ὡς ἐπὶ τὸ πολύ; Ἢ ὅτι σημεῖον τοῦ τὸ ὀστοῦν πυκνὸν εἶναι, ὡς ὁ ἐγκέφαλος ἀσθενὴς οὐκ εὔπνοων, ὥσθ᾽ ὑγρὸς ὢν τὴν φύσιν ταχὺ σήπεται; καὶ γὰρ τὰ ἄλλα μὴ κινούμενα καὶ ἀπατμίζοντα· διὸ καὶ ἄνθρωπος τὴν κεφαλὴν δασύτατον, καὶ τὸ ἄρρεν τοῦ θήλεος μακροϐιώτερον διὰ τὰς ῥαφάς. Δεῖ δ᾽ ἰδεῖν καὶ ἐπὶ τῶν ἄλλων.

48. Cur homines quæ raris dentibus sunt, magna ex parte brevioris sunt vitæ? An quia indicium hoc est densum os esse, ita ut cerebrum invalidum sit, quippe minus facile respirans : unde celeriter putret, utpote sua natura humidum? nam ceteris quoque idem evenit, ubi non moventur, neque exhalant : quo etiam fit ut homo capite piloso maxime sit, et mas quam femina diutius vivat propter suturas. In ceteris quoque considerandum est.

49. Διὰ τί δ' ὅσοι τὴν διὰ τῆς χειρὸς τομὴν ἔχουσι δι' ὅλης, μακροβιώτεροι; Ἢ διότι τὰ ἄναρθρα βραχυβιώτατα, ὡς τὰ ἔνυγρα; εἰ δὲ τὰ ἄναρθρα βραχύβια, δῆλον ὅτι τὰ ἠρθρωμένα τοὐναντίον· τοιαῦτα δὲ ὧν καὶ τὰ φύσει ἄναρθρα μάλιστα ἤρθρωται· τῆς δὲ χειρὸς τὸ εἴσω ἀναρθρότατον.

49. Cur vero qui manus cæsuram per totam obtinent palmam, longæviores sunt? An quoniam brevissime vivunt quibus articuli male compacti sunt, exempli gratia aquatilia? nam si quæ articulata non sunt, vitam habent breviorem, constat contra sese habere quæ articulata: cujus generis illa sunt, quorum etiam ea quæ sua natura omni articulo carent, maxime sunt articulata; manus autem pars interior penitus articulo vacat.

50. Διὰ τί τῶν ζῴων ἄνθρωπος ἢ μόνον, ἢ μάλιστα διαστρέφεται; Ἢ ὅτι ἢ μόνον, ἢ μάλιστα ληπτὸν ἐν τῇ νηπιότητι γίνεται, ὅτε καὶ διαστρέφεσθαι συμβαίνει πᾶσιν;

50. Cur animantium homo vel solus, vel maxime distorquetur? An quod homo vel solus, vel maxime morbo comitiali capi solet in infantia, ubi et distortio omnibus addidit?

51. Διὰ τί τῶν ζῴων ἄνθρωπος μάλιστα καπνίζεται; Ἢ ὅτι μάλιστα δακρύει, ἡ δὲ κάπνισις μετὰ δακρύου;

51. Cur animantium homo maxime fumo adficitur? An quod homo lacrymam maxime emittit, fumi autem effectus cum lacryma est?

52. Διὰ τί ἵππος ἵππῳ χαίρει καὶ ἐπιθυμεῖ, ἄνθρωπος δ' ἀνθρώπῳ, καὶ ὅλως δὲ τὰ συγγενῆ τοῖς συγγενέσι καὶ ὁμοίοις; οὐ γὰρ δὴ ὁμοίως ὅτι πᾶν ζῷον καλόν, ἡ δ' ἐπιθυμία τοῦ καλοῦ. Ἔδει οὖν τὸ καλὸν ἥδιον εἶναι· νῦν δὲ μᾶλλον οὐ πᾶν κάλλος ἡδύ, τὸ καλὸν καὶ τὸ ἡδύ. Οὐδὲ πᾶσιν ἡ ἡδονὴ ἢ τὸ καλὸν ἡδύ, οἷον φαγεῖν ἢ πιεῖν ἐστιν ἥδιον ἑτέρῳ, καὶ ἀφροδισιάσαι ἄλλῳ. Διότι μὲν οὖν ἕκαστον τῷ συγγενεῖ μιγνύμενον μάλιστα καὶ ἥδιστα ἀφροδισιάζει, ἄλλο πρόβλημα· ὅτι δὲ καὶ κάλλιστον, οὐκέτι ἀληθές, ἀλλὰ ἡμεῖς τὸ εἰς τὴν συνουσίαν ἡδύ, ὅτι ὃ μὲν καλόν, ὅ τι ἐπιθυμοῦντες χαίρομεν ὁρῶντες. Καίτοι καὶ ἐπὶ τῶν ἄλλων ἐπιθυμιῶν ἔχει ὁμοίως· διψῶντες γὰρ ἥδιον ὁρῶσι τὸ πόμα. Τὸ μὲν οὖν πρὸς χρείαν τινὰ καλόν, οὗ καὶ μάλιστα ἐπιθυμοῦμεν, τοῦτο δοκεῖ ἥδιστον εἶναι, τὸ δὲ καθ' αὑτὸ οὐκέτι οὕτως. Σημεῖον δὲ τούτου· δοκοῦσι γὰρ ἡμῖν καὶ ἄνδρες καλοὶ εἶναι, πρὸς τὴν συνουσίαν βλέψασιν. Ἆρ' οὖν οὕτως ὥστε καὶ ἡσθῆναι ὁρῶσι μᾶλλον τῶν εἰς συνουσίαν; Οὐδέν γε κωλύει, εἰ μὴ ἐπιθυμοῦντες τύχοιμεν. Οὕτω δὲ πόμα κάλλιον· εἰ γὰρ διψῶντες τύχοιμεν, ἥδιον ὀψόμεθα.

52. Cur equus equo, homo homine, atque omnino cognata cognatis sibique similibus gaudent, eosque cupiunt? nec enim profecto eodem redit quod omne animal pulchrum est, cupiditas autem formam sequitur. Oporteret itaque rem pulchram suaviorem esse; nunc contra potius non omne pulchrum jucundum est, sed quod jucundum, ideo quoque pulchrum est. Nec etiam omnibus voluptas, aut pulchrum gratum est: sic aliis quidem esse aut bibere, aliis vero concumbere gratius est. Sed causa cur unumquodque junctum suo cognato maxime suavissimeque concumbat, in aliam cadit quæstionem; pulcherrimum vero id etiam esse, non amplius verum est; sed nos quod ad concumbendum utile, id suave habemus, quoniam id pulchrum putamus cujus, dum cupimus, adspectu delectamur. Attamen in ceteris etiam cupidinibus res pariter sese habet: ubi enim siti detinemur, potum cum majori voluptate cernimus. Quod itaque ad usum aliquem pulchrum est, et quod idem maxime cupimus, suavissimum id esse videtur; quod autem per se pulchrum est, non amplius ita. Argumentum hujus rei est, quod viri quoque nobis pulchri esse videntur, si concubitum [non] respicimus. Numquid igitur ita, ut etiam videntes plus gaudeamus quam conspectis iis qui coitui inservire possunt? Nihil certe impedit, si forte cupidine non detinemur. Eo modo potus quoque videtur pulchrior: nam si forte siti detinemur, majori cum voluptate adspiciemus.

53. Διὰ τί ποτε τοῦ μὲν ἀνθρώπου τὰ ἔμπροσθεν δασύτερα τῶν ὄπισθέν ἐστι, τῶν δὲ τετραπόδων τὰ ὄπισθεν; Ἢ ὅτι πάντα τὰ δίποδα τὰ ἔμπροσθεν ἔχει δασύτερα; οἱ γὰρ ὄρνιθες τὸν αὐτὸν τρόπον τοῖς ἀνθρώποις ἔχουσιν. Ἢ τὰ ἀσθενέστερα μᾶλλον ἀεὶ σκεπάζειν ἡ φύσις εἴωθεν, ἀσθενὲς δ' ἕκαστόν ἐστί τινα τρόπον; τῶν δὲ τετραπόδων ἁπάντων τὰ ὄπισθεν ἀσθενέστερά ἐστι τῶν ἔμπροσθεν διὰ τὸν τόπον· ὑπὸ γὰρ τῶν ψυχῶν καὶ καυμάτων μᾶλλον δυνατά ἐστι πάσχειν· τῶν δ' ἀνθρώπων τὰ ἔμπροσθεν ἀσθενέστερά ἐστι καὶ τὸ αὐτὸ πέπονθεν.

53. Cur tandem hominis quidem prior pars pilosior quam posterior est, quadrupedum contra posterior? An quod omne animal bipes partem priorem habet pilosiorem? nam aves quoque eodem modo quo homines se habent. An partes infirmiores natura semper integere potius consuevit, infirmum autem unumquodque certo quodam modo est? quadrupedum enim omnium partes posteriores infirmiores loci causa sunt quam priores: adfici namque a frigore æstuque amplius possunt: contra hominum priores infirmiores sunt, incommodisque illis eisdem patent.

54. Διὰ τί ἄνθρωπος τῶν ζῴων μάλιστα πτάρνυται; Ἢ ὅτι καὶ κορυζᾷ μάλιστα; Τούτου δ' αἴτιόν ἐστιν ὅτι τοῦ θερμοῦ ὄντος περὶ τὴν καρδίαν καὶ πεφυκότος ἄνω φέρεσθαι τοῖς μὲν ἄλλοις ζῴοις ἡ κατὰ φύσιν αὐτοῦ φορά ἐστιν ἐπὶ τοὺς ὤμους, ἐντεῦθεν δ' ἐξ ἀνακλάσεως σχιζόμενον τὸ μὲν ἐπὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν

54. Cur animantium homo maxime sternutat? An quod etiam gravedine maxime tenetur? Cujus rei causa est, quod calor quum circa cor residet sursumque sua natura fertur, apud cetera quidem animalia secundum naturam armos petit, unde per refractionem disjectus, partim qui-

φέρεται αὐτοῦ, τὸ δ' εἰς τὴν ῥάχιν καὶ τὴν ὀσφύν, διὰ τὸ ἐπὶ τῆς αὐτῆς εὐθείας εἶναι ταῦτα πάντα καὶ παρὰ τὴν βάσιν. Φερόμενον δ' ὁμοίως τὸ σῶμα καὶ τὰ ὑγρὰ μερίζει εἰς αὐτὰ ὁμαλῶς· ἕπεται γὰρ τὰ ὑγρὰ τῷ θερμῷ· διὸ οὐδὲ πάνυ κορυζᾷ τὰ τετράποδα ζῷα, οὐδὲ πτάρνυται· ὁ γὰρ πταρμὸς ἢ πνεύματος ἀθρόου φορά ἐστιν, ὑγρῶν ἐξατμιζόντων τι μᾶλλον τοῦ σώματος, ἢ ὑγρῶν ἀπέπτων· διὸ πρὸ τῶν κατάρρων γίνεται, ἃ οὐ συμβαίνει τοῖς ἄλλοις ζῴοις, διὰ τὸ τὴν τοῦ θερμοῦ φορὰν ὁμαλίζειν ἐν αὐτῷ εἰς τὸ πρόσθεν καὶ ὄπισθεν. Τοῦ δ' ἀνθρώπου πρὸς ὀρθὴν πεφυκότος τῇ βάσει, καθάπερ τὰ φυτά, συμβαίνει τοῦ θερμοῦ φορὰν ἐπὶ τὴν κεφαλὴν γίνεσθαι πλείστην καὶ σφοδροτάτην, φερόμενόν τ' ἐνταῦθα ἀραιοῖ καὶ θερμαίνει τοὺς περὶ αὐτὴν πόρους· ὄντες δὲ τοιοῦτοι δεκτικοὶ γίνονται τῶν ὑγρῶν μᾶλλον ἢ οἱ κάτω τῆς καρδίας πόροι. Ὅταν οὖν συμβῇ ἐξυγρανθῆναι μᾶλλον τοῦ δέοντος καὶ καταψυχῆναι ἔξωθεν, συμβαίνει τὸ θερμόν, τροφήν τ' ἔχον καὶ συστελλόμενον ἐντὸς αὔξεσθαι, αὐξανόμενον δὲ φέρεσθαι ἐπὶ τὴν κεφαλὴν καὶ τοὺς ἐν αὐτῇ πόρους· εἰς οὓς ἀκολουθοῦντα τὰ ὑγρά, ὄντα λεπτὰ καὶ ἄπεπτα, πληροῖ αὐτοὺς καὶ τοὺς κατάρρους ποιεῖ, καὶ πταρμοὺς ὁμοίως· ἐν γὰρ ταῖς ἀρχαῖς τῶν κατάρρων τὸ θερμὸν προαναφερόμενον τοῦ ὑγροῦ καὶ πνευματοῦν τοὺς πόρους, τῇ τ' ἐκβολῇ τοῦ πνεύματος τοὺς πταρμοὺς ποιεῖ καὶ τῇ πρὸ τῶν ὑγρῶν ἀναγωγῇ, ἅ ἐστι λεπτὰ καὶ δριμέα· διὸ καὶ συμβαίνει μετὰ τῶν τῆς κορύζης πταρμῶν ὑδατώδη ἀπομύττεσθαι. Πάντων δὲ τούτων ὁρμησάντων τὰ συνεχῆ καὶ πάθος ἔχοντα ὑγρὰ ἐφίσταται αὐτοῖς, καὶ ἐμφράττει τοὺς περὶ τὴν κεφαλὴν καὶ τὴν ῥῖνα πόρους· ὀγκηρότερα γὰρ γινόμενα καὶ διατείνοντα ποιεῖ τοὺς περὶ τὴν κεφαλὴν πόνους. Σημεῖον δὲ τὸ μήτ' ἐκτὸς ἢ δι' αὐτῶν πνεῦμα ἀφεῖσθαι· διὸ οὔτε πτάρνυνται, οὔτ' ὀσφραίνονται οἱ κορυζῶντες. Οἱ δ' ἄνευ κορύζης γινόμενοι διὰ μὲν τὰς αὐτὰς αἰτίας γίνονται, μικρὰς δὲ καὶ ἐλαφρὰς ἀρχὰς λαβόντες, ὥστε συναχθέντα τὰ ὑγρὰ τῷ θερμῷ, ἐκπνευματούμενα ὑπ' αὐτοῦ δι' ὀλιγότητα, εἰσπίπτει κατὰ τὰς ῥῖνας. Ποιεῖ δὲ τὸν ψόφον τοῦ πνεύματος οὐχ ἧττον ἡ βία τῆς φορᾶς ἢ τὸ πλῆθος αὐτοῦ· ἐνεχθέντος γὰρ τοῦ θερμοῦ πρὸς ὀρθὴν πρὸς τὸν ἐγκέφαλον καὶ προσπεσόντος αὐτῷ, ἀνακλᾶται ἐπὶ τὰς ῥῖνας διὰ τὸ τοὺς ταύτῃ πόρους ἐκτὸς ἀπὸ τοῦ ἐγκεφάλου διατείνειν. Παρὰ φύσιν οὖν τῆς ἐκτὸς κλάσεως φορᾶς γινομένης ἐπὶ τὰς ῥῖνας τῷ πνεύματι, σφοδρὰν συμβαίνει γίνεσθαι· διὸ ποιεῖ τοὺς ψόφους. Τῶν δ' ἄλλων ζῴων συμβαίνει μάλιστα κορυζᾶν τοὺς ὄρνιθας διὰ τὸ μάλιστα ὁμοιόσχημον εἶναι ἀνθρώπῳ· ἧττον δ' ἢ ἄνθρωπος πάσχει αὐτό, ὅτι τὰ πολλὰ κάτω ἔχει τὴν κεφαλὴν διὰ τὸ τὴν νομὴν ἀπὸ τῆς γῆς εἶναι.

dem cervicem caputque adit, partim vero spinam lumbosque, quia hæc omnia in eadem linea recta sita sunt atque e regione soli quo innituntur. Progrediens autem tam corpus quam humores æquabiliter in ea partitur: humores enim calorem sequuntur: ex quo fit ut neque a gravedine admodum infestentur, neque sternutent quadrupedes; sternutamentum enim vel spiritus subitus impetus est, humoribus majorem vaporis copiam e corpore elicientibus, vel crudorum humorum: quocirca destillationes præcedunt, eaque animantibus ceteris non incidunt, eo quod caloris impetus ante retroque portionibus æquis apud ea distribuitur. Homini vero, quum modo stirpium secundum rectum angulum solo innitatur, evenit ut caloris impetus plurimus et vehementissimus caput adeat, elatusque eo calor meatus concalfacit rarefacitque capitis, qui tales demum effecti capaciores humorum quam meatus infra cor siti redduntur. Quoties itaque adcidit ut caput humescat amplius quam convenit, atque extrinsecus refrigeretur, efficitur ut calor, quum et alimentum habet et se introrsum contrahit, crescat, crescens vero feratur ad caput meatusque capitis, qui implentur humoribus, utpote propter tenuitatem et cruditatem eo versus motus tenorem sequentibus, iique destillationes faciunt, et sternutamenta eadem ratione: nam inter initia destillationum calor qui ante humorem superiora petit inflatque meatus, sternutamenta expulso spiritu incitat, vel adscensu suo ante humores qui tenues acresque sunt: unde etiam fit ut una cum gravedinis sternutamentis aquæ similia emungamus. Omnibus autem his humoribus motu citatis, humores iis proximi atque morbo adflicti eos insequuntur et capitis nasique meatus obstruunt: dum enim tumidiores fiunt atque distendunt, caput dolore infestant. Argumento est quod neque foras, nec per eas, ullus emittitur spiritus: quapropter neque sternutant, neque olfaciunt qui gravedine detinentur. Sternutamenta autem quæ sine gravedine fiunt, easdem quidem ob causas eveniunt, sed ab exiguis levibusque proficiscuntur initiis, ita ut humores vi caloris collecti, ubi ab eo ipso propter exiguam copiam in spiritum convertuntur, per nares incidunt. Strepitum vero spiritus non minus impetus violentia quam sui copia movet: quum enim calor ad perpendiculum cerebrum versus se extulerit eique impegerit, ad nares reflectitur, eo quod meatus ibi obvii foras de cerebro pertendunt. Quum itaque contra naturam obtinet impetus qua spiritus, utpote refractus, foras ad nares fertur, vehemens ut fiat evenit: quapropter strepitum movet. Inter ceteras autem animantes evenit ut gallinæ maxime gravedinem sentiant, quod forma maxime similes hominibus sunt; verum minus quam homines hoc morbo adficiuntur, quoniam caput magna ex parte deorsum tenent, ut quæ victum abs terra petunt.

55. Διὰ τί τὰ θαλάττια ζῷα τῶν ἐν τῇ γῇ μείζω καὶ εὐτραφέστερά ἐστιν; Ἢ ὅτι ὁ ἥλιος καταδαπανῶν τὰ περιέχοντα τὴν γῆν ἀφαιρεῖται τὴν τροφήν; διὸ καὶ

55. Cur marina animalia majora vegetioraque sunt quam terrena? An quod sol, consumendo quæ terram ambiunt, detrahit nutrimentum? quamobrem et inclusa ve-

τὰ κατακεκλεισμένα εὐτραφέστερά ἐστιν. Πάντων οὖν τούτων ἀπήλλακται τὰ θαλάττια ζῷα.

getiora sunt. His igitur omnibus incommodis genus maritimum immune est.

56. Διὰ τί ποτε τὰ μὲν ἄλλα ζῷα πλεονάκις τὴν ξηρὰν τροφὴν ἢ τὴν ὑγρὰν προσάγεται, ὁ δ' ἄνθρωπος τὴν ὑγρὰν ἢ τὴν ξηράν; Ἢ ὅτι φύσει ὁ ἄνθρωπος θερμότατον; Πλείστης οὖν καταψύξεως δεῖται.

56 Cur tandem cetera quidem animalia alimentum sæpius siccum quam humidum capiunt, homo vero humidum sæpius quam siccum? An quod homo natura calidissimus est? Plurimam itaque refrigerationem desiderat.

57. Διὰ τί οἱ εὐνοῦχοι οὐ γίνονται φαλακροί; Ἢ ὅτι πολὺν ἔχουσι τὸν ἐγκέφαλον; τοῦτο δὲ συμβέβηκεν αὐτοῖς διὰ τὸ μὴ συγγίνεσθαι ταῖς γυναιξίν· ἡ γὰρ γονή ἐστιν ἀπὸ τοῦ ἐγκεφάλου χωροῦσα διὰ τῆς ῥάχεως. Διὰ τοῦτο δ' οὐ δοκοῦσι καὶ οἱ βόες οἱ ἐκτομίαι μεγάλα τὰ κέρατα ἴσχειν, ὅταν ἐκτμηθῶσιν. Δοκεῖ δ' ἡ αὐτὴ αἰτία εἶναι καὶ ὅτι αἱ γυναῖκες καὶ οἱ παῖδες οὐκ εἰσὶ φαλακροί.

57. Cur spadones calvi non efficiuntur? An eo quod multum cerebri obtinent? id enim iis contingit quia cum mulieribus non concumbunt: semen enim e cerebro venit per spinam delabens. Hac itaque de causa boves quoque castrati cornua habere magna videntur. Eadem et causa esse videtur cur mulieres et pueri calvi non sint.

58. Διὰ τί τὰ μὲν εὐθὺς δύνανται δι' αὐτῶν τρέφεσθαι μετὰ τὴν γένεσιν, τὰ δ' οὔ; Ἢ ὅσα ὀλιγοχρονιώτερα τῶν μνήμης δεκτικῶν; διὸ ἅπαντα καὶ τελευτᾷ θᾶττον.

58. Cur animantium alia quidem quam primum in lucem edita sunt, nutriri per se ipsa possunt, alia vero nequeunt? An ea possunt quæ in genere quod memoriæ capax est, brevius vivunt? quocirca ocius quoque morte omnia occumbunt.

59. Διὰ τί ποτε ὁ μὲν ἄνθρωπος πλείω τὴν ὑποχώρησιν ποιεῖται τὴν ὑγρὰν τῆς ξηρᾶς, οἱ δ' ἵπποι καὶ οἱ ὄνοι τὴν ξηράν; Ἢ διότι ταῦτα μὲν τὰ ζῷα πλείονι τροφῇ χρῆται τῇ ξηρᾷ, ὁ δ' ἄνθρωπος ὑγρᾷ μᾶλλον ἢ τῇ ξηρᾷ; πᾶσα δὲ περίττωσις ἀπὸ τῆς τροφῆς ἐστι, καὶ ἀπὸ τῆς πλείονος πλείω. Τὰ μὲν οὖν τῇ ὑγρᾷ μᾶλλον, τὰ δὲ τῇ ξηρᾷ πλείονι τροφῇ χρῆται, διότι τὰ μὲν τῶν ζῴων ἐστὶ φύσει ξηρά, τὰ δ' ὑγρά. Τὰ μὲν οὖν τῇ φύσει ξηρὰ τῆς ὑγρᾶς μᾶλλον ἐπιθυμεῖ (ταύτης γὰρ ἐνδεέστερά εἰσι), τὰ δὲ τῇ φύσει ὑγρὰ τῆς ξηρᾶς· ταύτης γὰρ ἐνδεέστερα καθέστηκεν.

59. Cur tandem homo quidem plus excrementi humidi egerit quam sicci, equi et asini vero plus sicci? An quod hæc quidem animalia sicco alimento largiori utuntur; homo vero humido magis quam sicco? ex cibo enim omne proficiscitur excrementum, et ex copiosiori copiosius. Igitur alia quidem humido magis, alia vero sicco largiori utuntur alimento, quoniam alia quidem animalia sicca natura sunt, alia vero humida. Itaque humidum potius adpetunt quam siccum quæ sicca constant natura (hujus namque magis indigent); contra siccum adfectant quæ humida, utpote quæ magis hoc indigent.

60. Διὰ τί ὄρνιθες καὶ ἄνθρωποι καὶ τῶν ζῴων τὰ ἀνδρεῖα σκληρότερα; Ἢ ὅτι ὁ θυμὸς μετὰ θερμότητος; ὁ γὰρ φόβος κατάψυξις. Ὅσων οὖν τὸ αἷμα ἔνθερμόν ἐστι, καὶ ἀνδρεῖα καὶ θυμοειδῆ· τὸ δ' αἷμα τροφή· ὅσα δὲ θερμῷ ἄρδεται τῶν φυομένων, σκληρότερα πάντα.

42. Cur ocius quidem crepant et exsiliunt parva salis grana, vehementius autem et crepant et exsiliunt majora? An quod illa quidem finduntur celerius (haud enim multum est quod permeare debet ignis) propter exiguitatem; hæc autem lente? majus enim negotium est majus disrupisse quam parvum, crepatque parvus quidem parum, quia parvus infligitur ictus; major vero valde, quia magnus est ictus; crepitus autem ictus est. Quod robustius est, etiam magis exsilit, ubi feritur, quoniam minus cedit.

43. Διὰ τί, ἐὰν εἰς πολὺ πῦρ ἐμβάλλῃ τις τὸ αὐτὸ μέγεθος ἁλός, ἧττον ψοφεῖ, ἢ οὐ ψοφεῖ; Ἢ ὅτι φθάνει κατακαυθεὶς πρὶν σχισθῆναι; καίεται μὲν γὰρ τῷ τὸ ὑγρὸν ἀναλωθῆναι, ψοφεῖ δὲ τῷ σχισθῆναι.

43. Cur si salis granum æque magnum multo injicias igni, vel nihil, vel minus crepat? An quod prius comburitur quam findi possit? comburitur enim, quia humor consumptus est; crepat vero, quia disruptum est.

44. Διὰ τί οἱ χασμώμενοι ἧττον ἀκούουσιν; Ἢ ὅτι τὸ πνεῦμα ἐναπολαμβάνουσιν, τὸ δ᾽ ἀπολαμβανόμενον πνεῦμα περὶ τὰ ὦτα ἀθροίζεται (σημεῖον δέ· ἐν γὰρ τοῖς ὠσὶ ψόφος γίνεται ὅταν χασμησώμεθα)· τὸ δὲ ἀπολαμβανόμενον πνεῦμα κωλύει ἀκούειν; Ἔτι δὲ καὶ φωνή τις γίνεται τῶν χασμωμένων· τοῦτο δὲ κωλυτικὸν τοῦ ἀκούειν. Καὶ συμπιέζεσθαι ἀναγκαῖον τὰς ἀκοὰς διασπωμένου τοῦ στόματος.

44. Cur oscitantes minus audiunt? An quod spiritum intercludunt, interclusus autem spiritus circa aures adcumulatur (indicium est, quod strepitus in auribus nascitur, ubi oscitamus), interclususque spiritus audire vetat? Ad hæc vox oscitantibus quædam oritur, idque auditus impedimentum est. Et comprimi aures necesse est, quoties os distrahitur.

45. Διὰ τί τῆς φωνῆς, ἐπειδὴ ῥύσις τίς ἐστι, φύσιν ἐχούσης ἄνω φέρεσθαι, μᾶλλόν ἐστιν εὐήκοος ἄνωθεν κάτω ἢ κάτωθεν ἄνω; Ἢ ὅτι ἡ φωνὴ ἀήρ τίς ἐστι μεθ᾽ ὑγροῦ; Βαρυνόμενος οὖν οὗτος ὑπὸ τοῦ ὑγροῦ φέρεται κάτω, καὶ οὐκ ἄνω· τοῦ γὰρ ὑγροῦ κατὰ φύσιν ἡ κάτω φορά· διὸ τοῖς κάτω μᾶλλον ἀκούεται. Ἢ τοῦτο μὲν ὑπὸ τῆς τοῦ ζῴου φωνῆς μόνον γίνεται (αὕτη γὰρ μεθ᾽ ὑγροῦ), τὸ δὲ συμβαῖνόν ἐστι καὶ ἐπὶ τῶν ἄλλων ψόφων; Καθάπερ οὖν ἡ ὄψις, ἐὰν μὲν ἄνωθεν κάτω προσπέσῃ, τὴν ἀνάκλασιν ἄνω ποιεῖται, κάτωθεν δ᾽ ἄνω προσπεσοῦσα ἀνεκλάσθη κάτω, τὸν αὐτὸν τρόπον ἡ φωνὴ ἡ φύσιν ἔχουσα ἄνω φέρεσθαι, προσκόψασα τῷ ἐξ ἐναντίας ἀέρι, βιάζεσθαι μὲν οὐ δύναται πλείονα ὄντα καὶ βαρύτερον, ἀνακλασθεὶς δ᾽ ὁ κινηθεὶς ἀὴρ ἐπὶ τοὐναντίον ἠνέχθη κάτω· διὸ καταχεόμενος ἀκούεται κάτω μᾶλλον. Τοιοῦτο δὲ καὶ τὸ περὶ τὴν ἠχὼ συμβαῖνόν ἐστιν, ἀνάκλασις τῆς φωνῆς ἐπὶ τοὐναντίον.

45. Cur vox, quum natura sua superiora petit, ut quæ fluxio quædam est, superne deorsum melius quam inferne sursum auditur? An quod vox aer quidam junctus humori est? Hicce igitur, pondere humoris gravescens, deorsum fertur, non sursum: humori namque secundum naturam est ut deorsum feratur: quapropter ab iis qui infra sunt, magis auditur. An hoc quidem circa vocem duntaxat animalium fit (hæc enim humori juncta est); quod vero adcidit, vel in ceteris sonis obtinet? Ergo ut visus, si superne quidem deorsum inciderit, sursum versus reflectitur; si vero inferne sursum, deorsum repercutitur: sic vox, quæ sua natura sursum fertur, ubi in aerem sibi adversum illiderit, vim quidem ei inferre nequit, quippe qui et amplior et gravior est, sed aer motu citatus reflectitur atque in partem adversam deorsum fertur: quapropter deorsum effusus infra quoque auditur magis. Hujusmodi etiam est quod circa echo fieri solet, vocis nimirum repercussio in partem obpositam.

46. Διὰ τί μεθυόντων μᾶλλον ἀπορρήγνυται ἡ φωνὴ ἢ νηφόντων; Ἢ διὰ τὸ πεπληρῶσθαι ταχέως ἀπορρηγνύασι τὴν φωνήν (σημεῖον δὲ τούτου· οὔτε γὰρ οἱ χοροὶ μελετῶσιν ἐξ ἀρίστου, οὔθ᾽ οἱ ὑποκριταί, ἀλλὰ νήστεις ὄντες)· ἐν δὲ τῇ μέθῃ πληρέστεροι ὄντες εὐλόγως μᾶλλον ἀπορρήγνυνται τὰς φωνάς;

46. Cur vinolentis potius quam sobriis abrumpitur vox? An repletio facit ut vox celeriter abrumpatur (hujus rei argumentum est, quod neque chori, neque ludiones statim a prandio, sed jejuni vocem exercent); vinolentis autem, utpote plenioribus, merito voces potius abrumpuntur.

47. Διὰ τί ποτε τῶν ὀξυτέρων φωνῶν πορρώτερον ἀκούουσιν; Ἢ διότι τὸ ὀξὺ ἐν φωνῇ ταχύ ἐστι, θᾶττον δὲ κινεῖται τὰ βίᾳ μᾶλλον φερόμενα, τὰ δὲ σφοδρότερον φερόμενα ἐπὶ πλέον φέρεται;

47. Cur tandem voces acutiores longius audiunt? An quod vocis acumen velocitas est; moventur autem ocius, quæ vi potius feruntur; quæ autem vehementius feruntur, hæc longius pertendunt?

48. Διὰ τί κατέχοντες τὸ πνεῦμα μᾶλλον ἀκούομεν; Ἢ ὅτι ἡ ἀνάπνευσις ψόφον τινὰ παρέχει; Εἰκότως οὖν τότε μᾶλλον ἀκούομεν, ὅταν ἥττων ὁ ψόφος ᾖ· ἥττων γὰρ ὁ ψόφος, ὅταν κατέχωμεν τὸ πνεῦμα.

48. Cur spiritu retento melius audimus? An quod respiratio sonum quemdam excitat? Merito ergo tunc melius audimus, quum sonus minor est; minor autem sonus est, ubi spiritum retinemus.

49. Διὰ τί τὸ μὲν φῶς οὐ διέρχεται διὰ τῶν πυκνῶν, λεπτότερον ὂν καὶ πόρρω ὂν καὶ θᾶττον, ὁ δὲ ψόφος διέρχεται; Ἢ διότι τὸ μὲν φῶς κατ᾽ εὐθεῖαν φέρεται, ὥστ᾽ ἂν ἀντιφράξῃ τι τὴν εὐθυωρίαν, ὅλως ἀποκέκλεισται, ὁ δὲ ψόφος φέρεται καὶ οὐκ εὐθὺ διὰ τὸ πνεῦμα εἶναι, διὸ πανταχόθεν ψοφοῦντες ἀκούομεν, καὶ οὐ μόνον τῶν κατ᾽ εὐθυωρίαν τοῖς ὠσίν.

49. Quamobrem lux quidem, quæ tenuior et velocior et remota est, corpora densa non permeat, sonus autem permeat? An quod lux quidem directo itinere fertur, ita ut, si quid rectum tramitem obstruxerit, penitus intercludatur; at sonus, quia spiritus est, fertur etiam non recta? quapropter sonantem undique audimus, nec tantum qui se recta nostris auribus obtulerint.

50. Διὰ τί ποτε οἱ μὲν γελῶντες βαρὺ φθέγγονται, οἱ δὲ κλαίοντες ὀξύ; Ἢ διότι ἀπὸ τῶν συντόνων ὀξεῖα ἡ φωνή, τὸ δ᾽ ὀξύ ἐστιν ἀσθενές, ἄμφω δὲ ταῦτα μᾶλλον τοῖς κλαίουσιν ὑπάρχει; καὶ γὰρ συντέτανται μᾶλλον οἱ κλαίοντες καὶ ἀσθενέστεροί εἰσιν.

50. Cur tandem qui rident quidem, vocem gravem emittunt, qui vero flent, acutam? An quod a corporibus intentis vox acuta prodit, acutumque debile est, utraque autem hæc in flentibus insunt potius? sunt enim et intentiori corpore et infirmiores.

51. Διὰ τί, εἴπερ ἡ φωνὴ ἀήρ τις ἐσχηματισμένος ἐστί, φερομένη διαλύεται πολλάκις τὸ σχῆμα, ἡ δ᾽ ἠχώ, ἣ γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεόν, οὐ διαλύεται, ἀλλὰ σαφῶς ἀκούομεν; Ἢ διότι ἀνάκλασίς ἐστιν, οὐ κατάκλασις, τοῦτο δ᾽ ὅλον ἀφ᾽ ὅλου; Εἶτα τὸ πάθος ἀφ᾽ ὁμοίου· ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τοῦ κοίλου.

51. Quamobrem, quum vox aer quidam figuratus sit, in itinere sæpius dissolvitur figura, echo autem quæ fit illidente ejusmodi aere in solidum quidpiam, non dissolvitur, sed expresse eam audimus? An quod refractio id est, non perfractio; hac autem integrum ab integro repercutitur? Tum etiam adfectus a re simili exsistit, quippe quum ab aere fit reflectio in re cava, non de re ipsa.

52. Διὰ τί ἑνός τε καὶ πολλῶν φθεγγομένων ἅμα οὔτ᾽ ἴσος ὁ φθόγγος, οὔτ᾽ ἐπὶ πλεῖον γεγώνασιν, ὡς κατὰ λόγον εἰς τὸ πόρρω; Ἢ ὅτι ἕκαστος τὸν καθ᾽ αὑτὸν ἀέρα προωθεῖ, ἀλλ᾽ οὐ τὸν αὐτόν, πλὴν ἐπὶ μικρόν; Ὅμοιον δὴ συμβαίνει ὥσπερ ἂν εἰ πολλοὶ μὲν εἶεν οἱ βάλλοντες, ἕκαστος μέντοι λίθῳ ἑτέρῳ, ἢ οἵ γε πλεῖστοι· οὔτε γὰρ ἐκεῖ πόρρω οὐθὲν ἀφίξεται βέλος, ἢ οὐ κατὰ λόγον, οὔτ᾽ ἐνταῦθα· οὐ γὰρ ἑνὸς ἡ τοσαύτη φωνή, ἀλλὰ πολλῶν. Ἐγγύθεν μὲν οὖν κατὰ λόγον πολλὴ φαίνεται ἡ φωνή (καὶ γὰρ τὰ βέλη πλείω τεύξεται τοῦ αὐτοῦ), πόρρωθεν δ᾽ οὐκέτι.

52. Quamobrem, seu unus, sive multi simul vocem emittant, non par est sonus, nec validius resonant procul pro portione? An quod singuli sibi proximum aerem propellunt, nec eumdem, nisi paulo tenus? Simile itaque evenit ac si multi quidem projiciant, sed singuli, aut plerique saltem, alium mittant lapidem: neque enim hic longe pertendet telum ullum, aut non pro portione, neque illic: vox etenim tanta non unius est, sed multorum. E propinquo igitur vox multa pro portione videtur, quandoquidem lapides quoque plures eumdem adsequentur locum; e longinquo vero non amplius.

53. Διὰ τί ἀγωνιῶντες μὲν βαρύτερον φθέγγονται, φοβούμενοι δ᾽ ὀξύτερον, καίτοι καὶ ἡ αἰδὼς φόβος τίς ἐστιν; Ἢ διαφέρει πολὺ τὸ πάθος; οἱ μὲν γὰρ αἰδούμενοι ἐρυθριῶσιν (ἡ δ᾽ ἀγωνία αἰσχύνη τίς ἐστιν), οἱ δὲ φοβούμενοι ὠχριῶσιν. Φανερὸν οὖν ὅτι τοῖς μὲν φοβουμένοις ἐκλείπει ἄνωθεν τὸ θερμόν, ὥστε κινεῖ ἀσθε-

53. Cur trepidantes quidem vocem reddunt graviorem, metuentes autem acutiorem, quamquam etiam pudor metus quidam est? An multum differt adfectus? pudibundi enim erubescunt (trepidatio autem pudor quidam est); qui vero metuunt, pallent. Constat igitur metuentibus quidem calorem in parte superiori deficere, ut parum

νὲς ὂν ὀλίγον ἀέρα τὸ πνεῦμα, τὸ δ' ὀλίγον ταχὺ φέρεται, τὸ δὲ ταχὺ ἐν φωνῇ τὸ ὀξύ. τοῖς δ' αἰδουμένοις ἄνω ἔρχεται τὸ θερμὸν περὶ τὰ στήθη. Σημεῖον δ' ὅτι γίνονται ἐξέρυθροι. Πολὺν δὲ κινεῖ ἀέρα ἡ πολλὴ δύναμις, τὸ δὲ πολὺ βραδέως φέρεται, τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ.

54. Διὰ τί ἰσχνόφωνοι γίνονται; Ἢ αἴτιον ἡ κατάψυξις τοῦ τόπου ᾧ φθέγγονται, ἣ ὥσπερ ἀποπληξία τοῦ μέρους τούτου ἐστίν; διὸ καὶ θερμαινόμενοι ὑπ' οἴνου καὶ τοῦ λέγειν συνεχῶς ῥᾷον συνείρουσι τὸν λόγον.

55. Διὰ τί μόνον τῶν ἄλλων ζώων ἄνθρωπος γίνεται ἰσχνόφωνον; Ἢ ὅτι λόγου κοινωνεῖ μόνον, τὰ δ' ἄλλα φωνῆς, οἱ δ' ἰσχνόφωνοι φωνοῦσι μέν, λόγον δ' οὐ δύνανται συνείρειν;

56. Διὰ τί τοῦ μὲν χειμῶνος ὀξύτερον φθέγγονται καὶ νήφοντες, θέρους δὲ καὶ μεθύοντες βαρύτερον; Ἢ ὅτι ὀξυτέρα μέν ἐστιν ἡ ταχυτέρα, ταχυτέρα δ' ἐστὶν ἡ ἀπὸ συντεταμένου φωνή, τῶν δὲ νηφόντων καὶ ἐν τῷ χειμῶνι τὰ σώματα συνέστηκε μᾶλλον ἢ μεθυόντων καὶ ἐν τῷ θέρει; τὸ γὰρ θερμὸν καὶ αἱ ἀλέαι διαλύουσι τὰ σώματα.

57. Διὰ τί ἡ φωνὴ ὕστατον τελειοῦται τοῖς ἀνθρώποις τῶν φθεγγομένων; Ἢ διότι πλείστας ἔχει διαφορὰς καὶ εἴδη (τὰ γὰρ ἄλλα ζῷα ἢ οὐθὲν γράμμα, ἢ ὀλίγα διαλέγονται)· τὸ δὲ ποικιλώτατον καὶ πλείστας ἔχον διαφορὰς ἀνάγκη ἐν πλείστῳ χρόνῳ ἀποτελεῖσθαι;

58. Διὰ τί ἡ μὲν ὄψις οὐ διέρχεται διὰ τῶν στερεῶν, ἡ δὲ φωνὴ διέρχεται; Ἢ ὅτι τῆς μὲν ὄψεως μία φορὰ ἡ κατ' εὐθεῖαν (σημεῖον δ' αἵ τε τοῦ ἡλίου ἀκτῖνες, καὶ ὅτι ἐξ ἐναντίας μόνον ὁρῶμεν), τῆς δὲ φωνῆς πολλαί; ἀκούομεν γὰρ πανταχόθεν. Ὅταν οὖν κωλυθῇ κατ' εὐθεῖαν ἐκπίπτειν διὰ τὸ μὴ κατ' ἀλλήλους εἶναι τοὺς πόρους, ἀδυνατεῖ διορᾶν· ὁ δ' ἀὴρ καὶ ἡ φωνή, ἅτε πανταχοῦ φερομένη, διὰ παντὸς διαπίπτει καὶ ἀκούεται. Ἐν δὲ τοῖς ὑγροῖς αἱ μὲν ὄψεις διορῶσιν, αἱ δὲ φωναὶ οὐκ ἀκούονται, ἢ μόλις, λεπτοτέρου ὄντος τοῦ ὑγροῦ ἢ τῆς γῆς, ὅτι οἱ πόροι μικροὶ καὶ πυκνοὶ καὶ κατ' ἀλλήλους, ὥστ' οὐ κωλύεται ἡ ὄψις εὐθυπορεῖν. Διὰ τοῦτο καὶ διὰ μὲν τῆς ὑέλου διορᾶται πυκνῆς οὔσης, διὰ δὲ τοῦ νάρθηκος ἀραιοῦ ὄντος οὐ διορᾶται. Ἔτι τῆς μὲν οἱ πόροι κατάλληλοι, τῶν δὲ παραλλάττοντες· οὐθὲν δ' ὄφελος εἶναι μεγάλους, ἐὰν μὴ κατ' εὐθεῖαν ὦσιν. Ἡ δὲ φωνὴ οὐκ ἀκούεται, ὅτι ἐλάττω τὰ διάκενα τὰ ἐν τῷ ὕδατι τοῦ ἀέρος, ὥστ' οὐ δύναται δέχεσθαι, οὐδὲ μεῖναι τὴν φωνήν, ἀλλὰ μόλις ἡ μετὰ φωνῆς· ἡ γὰρ φωνὴ ἀήρ τις· οὐ γὰρ ἅπαν τὸ μανότερον διιτικώτερον, ἂν μὴ καὶ οἱ πόροι ὦσιν ἁρμόττοντες τῷ διιόντι· ὥστ' οὐδὲ συνιτικώτερον εἰς αὐτό, ἂν μὴ δεκτικοὶ ὦσιν οἱ πόροι τῶν σωμάτων, καίτοι τὸ μανὸν μαλακὸν καὶ δυνάμενον εἰς αὑτὸ συνιέναι. Ἀλλ' ἔνια κωλύεται διὰ τὴν μικρότητα τῶν πόρων

aeris præ sua debilitate moveat spiritus; velociter autem fertur quod exiguum est; vocis vero velocitas acumen est; pudibundis contra calor partem superiorem circa pectus petit. Cujus rei indicium est, quod erubescunt. Multum autem aerem multa potentia movet; tardius vero fertur quod multum est, tarditasque in voce gravitas est.

54. Quæ causa est ut lingua hæsitantes fiant? An loci quo loquimur, refrigeratio causam habet, quæ tamquam sideratio hujus membri est? quapropter et vino continentique oratione concalfacti sermonem serunt facilius.

55. Cur homo solus præ reliquis animalibus lingua fit hæsitans? An quod solus compos sermonis est, cetera vocis; qui autem lingua hæsitant, vocem quidem producunt, sed sermonem serere nequeunt?

56. Cur sobrii temporeque hiberno vocem acutiorem mittunt, vinolenti autem et æstivo graviorem? An quia vox acutior quidem, quæ velocior est; velocior autem quæ corpore ab intento prodit; sobriorum vero hyemeque corpora magis constant quam vinolentorum æstateque? calor enim æstusque corpora resolvunt.

57. Cur homini vox tardissime perficitur voce præditorum? An quod vocis humanæ genera et discrimina plurima sunt (cetera enim animantia literas vel nullas, vel paucas eloquuntur); quod autem summam varietates plurimasque differentias præ se fert, id tempore longissimo perfici necesse est?

58. Cur visus quidem corpora solida non penetrat, vox autem penetrat? An quod visus quidem iter unicum est, quod recto tramite meat (cujus rei indicium cum solis radii sunt, tum quod nisi e regione cernere non possumus); vocis autem multiplex, quippe quum undique audiamus? Quoties igitur recta excidere impeditur visus, eo quod meatus sibi invicem non respondent, transspicere nequit; at aer et vox, quoniam quoquoversus fertur, omnia periabitur et auditur. In humoribus vero oculi quidem transspiciunt, voces autem aut vix, aut non audiuntur, quamquam humor tenuior quam terra est, quoniam humoris meatus parvi et densi sunt, sibique invicem respondent, ut non impediatur visus quominus recto tramite meet. Hæc eadem causa est, cur etiam per vitrum quidem, quod densum est, transpiciatur, per ferulam vero, quæ rara est, non. Præterea in illo quidem meatus respondent inter sese, in his vero alternatim implicantur; nec quidquam juvat amplos esse meatus, nisi recta decurrant. Vox autem non auditur, quoniam vacua aquæ minores aere sunt, ita ut hunc capere nequeant, nec vocem exspectare, nisi ægre, atque ubi cum voce conjunctus est: vox namque aer quidam est: haud enim omne quo rarius est, eo facilius permeatur, nisi etiam meatus in rem permeantem quadrent; neque igitur eo magis in sese contrahi solet, nisi meatus capaces corporum sint, quamquam quod rarum est, molle est et in se ipsum contrahi potest. Verum nonnulla præ meatuum angustia impediuntur, ut vitrum: hujus enim

οἷον ἡ ὕελος· ταύτης γὰρ οὐ συνάγονται, μανοτέρας οὔσης τοῦ νάρθηκος, διὰ τὴν εἰρημένην αἰτίαν. Ὁμοίως δὲ καὶ τὸ ὕδωρ, καὶ εἴ τι ἄλλο τοιοῦτον, ὥστε καὶ τόδε φανερόν, διότι τοῦ μανοῦ καὶ μαλακοῦ ἢ αὐτοῦ ὄντος, ἢ παραπλησίου τὴν φύσιν, οὐ τὸ μανότερον μᾶλλον συνάγεται εἰς αὐτό· ἡ γὰρ αὐτὴ αἰτία πάντων.

59. Διὰ τί γίνεται ἐλάττων μὲν ἡ φωνὴ ἐξαιρουμένων, ὁμοία δὲ τὸν χαρακτῆρα; Ἢ ὅτι ἐμέμικτο αὐτοῖς, τὸ δὲ μεμιγμένον οὐ τῇ μέν ἐστι, τῇ δ' οὔ, ἀλλὰ πάντῃ; Ὁμοίως οὖν πανταχόθεν ἐξαιρουμένων συνέρχεται ὁμοίως, ὥστ' ἔλαττόν τ' ἀνάγκη καὶ ὅμοιον εἶναι.

60. Διὰ τί ἰσχνόφωνοι γίνονται; Πότερον διὰ θερμότητα προπετέστεροί εἰσιν, ὥστε προσπταίοντες ἐπίσχουσιν, ὥσπερ οἱ ὀργιζόμενοι; καὶ γὰρ οὗτοι πλήρεις ἄσθματος γίνονται. Πολὺ μὲν οὖν τὸ πνεῦμα συμβαίνοι. Ἢ διὰ τὴν ζέσιν τοῦ θερμοῦ ἀσθμαίνουσιν, διὰ τὸ πολὺ εἶναι καὶ μὴ φθάνειν ὑπεξιὸν τῷ τῆς ἀναπνοῆς καιρῷ; Ἢ μᾶλλον τοὐναντίον κατάψυξις ἢ θερμότης τοῦ τόπου ᾧ φθέγγονται, ὥσπερ ἀποπληξία τοῦ μέρους τούτου; διὸ καὶ θερμαινόμενοι ὑπ' οἴνου καὶ τοῦ λέγειν συνεχῶς ῥᾷον συνείρουσι τὸν λόγον.

61. Διὰ τί τοῦ χειμῶνος αἱ φωναὶ βαρύτεραι; Ἢ ὅτι παχύτερος ὁ ἀήρ, παχυτέρου δ' ὄντος βραδυτέρα ἡ κίνησις, ὥσθ' ἡ φωνὴ βαρυτέρα; Ἢ διότι διὰ τῶν στενῶν βραδύτερον χωρεῖ ὁ ἀήρ, συμφράττεται δὲ τὸ περὶ τὸν φάρυγγα ὑπό τε τοῦ ψυχροῦ καὶ τοῦ ἐπιρρέοντος φλέγματος;

62. Διὰ τί τὰ παιδία καὶ αἱ γυναῖκες καὶ οἱ εὐνοῦχοι καὶ οἱ γέροντες φθέγγονται ὀξύ; Ἢ ὅτι θάττων κίνησίς ἐστιν ἡ ὀξυτέρα, ἔστι δὲ τὸ αὐτὸ πλείονος δυσκινητότερον, ὥσθ' οἱ ἐν ἀκμῇ πλείω συνεπισπῶνται τὸν ἀέρα; Οὗτος οὖν βραδύτερον ἰὼν βαρυτέραν παρασκευάζει τὴν φωνήν· ἐν δὲ τοῖς παιδίοις καὶ εὐνούχοις διὰ τὸ ἐλάττω ἔχειν ἐναντίως. Τρέμειν δὲ τοὺς πρεσβύτας οὐ δυναμένους κρατεῖν, ὥσπερ τοῖς ἀδυνάτοις καὶ παιδίοις, ὅταν μακρὸν ξύλον λάβωσιν ἀπ' ἄκρου, τὸ ἕτερον ἄκρον σείεται διὰ τὸ μὴ κρατεῖν. Διὰ τοῦτο καὶ οἱ πρεσβῦται τρέμουσιν. Τὸ αὐτὸ δ' ὑποληπτέον καὶ ἐπὶ τῶν ἀγωνιώντων καὶ φοβουμένων καὶ ῥιγώντων αἴτιον τοῦ τρόμου τῆς φωνῆς· τοῦ γὰρ ἔχοντος τὴν φωνὴν τοιαύτην, τῶν τοιούτων παθῶν εἴσω περιεστηκότος τοῦ πλείστου, λοιπὸν ὀλίγον ὂν οὐ δύναται κρατεῖν τῆς φωνῆς· διὸ καὶ σείεται καὶ τρέμει· διὸ καὶ οἱ τεχνικοὶ τῶν συνειδότων ὅτι ἀγωνιῶσι μικρὸν διαλέγονται ἀπ' ἀρχῆς, καὶ ἄχρις οὗ ἂν καταστῶσιν· μικρᾶς γὰρ οὔσης τῆς φωνῆς ῥᾷον κρατοῦσιν.

meatus non contrahuntur, quamvis rarior ferula sit, propter rationem prædictam. Eodem modo se habet etiam aqua, et quidquid aliud generis ejusdem est: unde illud quoque palam fit, rarius, etiamsi raritas ac mollitudo vel idem, vel res sibi invicem proximæ sint, non magis in se ipsum contrahi: causa enim omnium eadem est.

59. Cur vox, quamvis minor sane reddatur eximendo, speciem tamen servat eamdem? An quod cum his ipsis mixta erat, mixtura autem non hac quidem exstat, illac vero non, sed usquequaque est? Aeque igitur undique detractis, æque etiam contrahitur, ita ut necesse sit simul et minorem esse et similem.

60. Quare lingua hæsitantes fiunt? Utrum propter calorem procaciores sunt, ita ut obfendentes inhibeamus quemadmodum irati? hi enim et anhelitu implentur. Multum igitur spiritus coiret. An præ caloris fervore anhelant, quoniam copiosus spiritus adest, nec antea subtrahitur tempore respirationis? An potius contra loci quo vocem mittunt, refrigeratio magis quam calor causa est, veluti membri hujus sideratio? quapropter et concalfacti a vino, aut perpetua oratione, expeditius sermonem serunt.

61. Cur tempore hiberno voces graviores redduntur? An quod aer crassior est, talis autem quum sit, motus tardior fit, ita ut vox reddatur gravior? An quod aer per angusta lentius progreditur, faucium autem regio constringitur a frigore pituitaque influente?

62. Cur infantes, mulieres, spadones senesque vocem reddunt acutam? An quod motus velocior qui acutior est, idemque difficilius movet majorem copiam, ita ut adulti simul plus aeris trahant? Hicce igitur, quum tardius meat, vocem efficit graviorem; infantibus vero et spadonibus contra res evenit, quoniam minus aeris capiunt. Senes autem ideo tremere verisimile est, quoniam vocem regere non possunt: quo modo imbecillibus ac pueris, ubi lignum prælongum parte extrema prehenderint, alterum extremum quatitur, quia regere nequeunt. Hanc ob causam et senes tremunt. Idem et trepidantibus et metuentibus et rigentibus causam vocis tremulæ esse credendum est: apud hominem enim hujusmodi voce præditum, quum in hujusmodi adfectibus intro compellitur maxima pars, qui reliquus est, spiritus, quippe exiguus, voce superior evadere non potest: quapropter et quatitur et tremit: unde et sollertes inter eos qui sibi conscii sunt se trepidare, principio voce submissa loquuntur, idque dum ad pristinum statum redierint: voce enim, dum exigua est, facilius superiores evadunt.

ΤΜΗΜΑ ΙΒ.

ΟΣΑ ΠΕΡΙ ΤΑ ΕΥΩΔΗ.

1. Διὰ τί τῶν θυμιαμάτων ἧττον αἰσθάνονται πλησίον ὄντες; Πότερον ὅτι ἀκρατεστέρα κερασθεῖσα ἡ ἀπόρροια τῷ ἀέρι ἡδίων, ὥσπερ ἡ σμύρνη τῶν ἰατρῶν; Ἢ καὶ τοὐναντίον εἴη ἄν, ὥστε ἀφαιρεῖσθαι τὸ πῦρ τὴν ὀσμὴν διὰ τὸ καίειν; ἡ γὰρ ὀσμὴ θυμιωμένων· διὸ καὶ ἐπὶ τῶν ἀνθράκων οὐκ ὄζει, πορρώτερον δὲ καθαρώτερον φαίνεται καὶ λεπτότατον τοῦτο.

2. Διὰ τί αἱ ὀσμαὶ ἧττον εὐώδεις τῶν θυμιαμάτων καὶ τῶν ἀνθῶν ἐκ τοῦ ἐγγύς; Πότερον ὅτι συναπέρχεται τῇ ὀσμῇ καὶ γῆς μόρια, ἃ προκαταφέρεται διὰ βάρος, ὥστε καθαρὰ πορρώτερον γίνεται ἡ ὀσμή; Ἢ οὔτε ἐγγὺς οὔσης τῆς ἀρχῆς πλεῖστον γίνεται τὸ ῥέον, οὔτε λίαν πόρρω; τὸ μὲν γὰρ οὔπω πολύ, τὸ δὲ διασπᾶται.

3. Πότερον οὖν ἀληθές ἐστιν, ἢ ψεῦδος; καὶ εἰ ἀληθές, διὰ τίν' αἰτίαν εἴη τὸ συμβαῖνον; λέγεται γὰρ ὡς εὐώδη γίνεται τὰ δένδρα εἰς ἅπερ ἂν ἡ ἶρις κατασκήψῃ. Ὅτι μὲν οὖν οὔτε πάντα, οὔτ' ἀεί, δῆλον· πολλάκις γὰρ ἡ ἶρις μὲν γέγονε, τὰ δὲ δένδρα οὐθὲν ἐπίδηλα φαίνεται, ὅταν τε γένηται τοῦτο, οὐκ ἐν πάσῃ γίνεται ὕλῃ, ἐπεὶ συμβαίνει γέ ποτε· διὸ καὶ λέγεται. Τὸ δ' αἴτιον κατὰ συμβεβηκὸς τῇ ἴριδι ἀποδοτέον, ἄλλως τε καὶ εἰ μή ἐστί τις φύσις ἡ ἶρις, ἀλλὰ τῆς ὄψεως πάθος ἀνακλωμένης. Γίνεται δέ, ὥσπερ ἐλέχθη, οὐχ ὁπωσοῦν ἐχούσης τῆς ὕλης τὸ πάθος· οὔτε γὰρ ἐν τοῖς χλωροῖς δένδροις, οὔτ' ἐν τοῖς αὔοις, ἀλλ' ἐν τῇ ἐμπεπρησμένῃ ὕλῃ φασὶν οἱ νομεῖς μετὰ τὰ ἐπὶ τῇ ἴριδι ὕδατα γίνεσθαι ἐπίδηλον τὴν εὐωδίαν, καὶ μάλιστα οὗ ἂν ἀσπάλαθος ᾖ καὶ ῥάμνος καὶ ὧν τὰ ἄνθη εὐώδη ἐστίν. Αἴτιον δὲ τῆς εὐωδίας ἐστίν, ὅπερ καὶ ἐπὶ τῆς γῆς· διαθέρμου γὰρ καὶ διακεκαυμένης οὔσης, ὃ ἂν ἐκφύσῃ, τὸ πρῶτον εὐῶδες ὄζει· τὰ γὰρ πυρούμενά πως τῶν ὑγρότητα ἐχόντων ὀλίγην εὐώδη γίνεται· πέττει γὰρ τὸ θερμὸν ταύτην· διὸ καὶ τῆς ὅλης γῆς εὐωδέστερα τὰ πρὸς τὸν ἥλιον τῶν πρὸς ἄρκτον ἐστίν· τούτων δὲ τὰ πρὸς ἕω τῶν πρὸς μεσημβρίαν, ὅτι γεώδης μᾶλλον ὁ τόπος ὁ περὶ τὴν Συρίαν καὶ Ἀραβίαν ἐστίν, ἡ δὲ Λιβύη ἀμμώδης καὶ ἄνικμος· δεῖ γὰρ μήτε πολλὴν εἶναι τὴν ἰκμάδα· ἄπεπτος γάρ ἐστιν ἡ πολλή· μήτε ἄνικμον· οὐ γὰρ γίνεται ἀτμίς· ὃ συμβαίνει καὶ περὶ τὴν νεόκαυστον ὕλην, καὶ τὸ γένος τοιαύτην ὥστ' ἔχειν εὐωδίαν σὺν αὐτῇ. Δηλοῖ δὲ τοῖς ἄνθεσιν· ἀφίησι γὰρ ἐν τούτοις τὴν ὀσμήν. Δοκεῖ δ' ἐν οἷς ἂν ἐνσκήψῃ ἡ ἶρις γίνεσθαι, ὅτι οὐδὲν ἄνευ ὕδατος οἷόν τε γίνεσθαι· βραχεῖσά τε γὰρ ἡ ὕλη καὶ τῷ ἐνόντι θερμῷ πέψασα τὴν ἐν αὐτῇ γινομένην ἀτμίδα ἀφίησιν. Οὔτε πολὺ τὸ ὕδωρ δεῖ εἶναι· ἐκκλύζει γὰρ τὸ πολὺ λίαν, καὶ σβέννυσι τὴν θερμότητα τὴν ἐνυπάρχουσαν ἀπὸ τῆς

SECTIO XII.

QUÆ AD RES BENE OLIDAS PERTINENT.

1. Cur suffimenta minus e propinquo sentimus? Utrum quod effluvium sincerius aere temperatum suavius redditur, ut myrrha medicorum? An contrarium obtineret, ita ut ignis vi sua cremandi eximeret odorem? odor enim rebus quæ suffiuntur, proprius est: quapropter et super carbonibus non olent; longius vero purius tenuissimumque adparet illud.

2. Cur odores tam suffimentorum quam florum minus suaves e proximo sentiuntur? Utrum quia una cum odore terræ quoque particulæ abeunt, quæ præ suo pondere antea delabuntur, ita ut longius sincerus fiat odor? An neque ubi principium proximum est, nec ubi admodum semotum, plurimum fit effluvium? nam illud quidem nondum large emanat, hoc vero distrahitur.

3. Utrum itaque verum est, an falsum? et si verum, quam ob causam fieret id quod evenit? dicunt enim arbores odoras fieri, in quas cœlestis arcus decubuerit. Itaque nec omnibus arboribus, nec semper id evenire, palam est: etenim sæpe arcus cœlestis constitit quidem, et tamen arbores nihil manifesti habere conspiciuntur, quumque illud locum habet, non in quaque materie fit: nam interdum certe fit: quapropter et referunt. Causa vero per accidens ad arcum referenda est, præsertim siquidem arcus nequaquam natura quædam est, sed visionis refractæ adfectio. Provenit autem odoris ille adfectus, ut dictum jam est, non qualitercumque se materies habeat: neque enim in viridibus arboribus, nec in aridis, sed in incensa materie post aquam, quæ arcui supervenerit, manifestam reddi suavitatem odoris pastores referunt, maximeque ubi aspalathus, aut etiam rhamnus fuerit, et quarum flores suaviter olent. Ratio autem odoris eadem est quæ etiam circa terram obtinet: hæc enim quum percalida et exusta fuerit, quodcumque ediderit, principio bene olet: parca enim humiditate prædita, si quemdam in modum igni exponantur, odorata redduntur: humor enim concoquitur calore: qua de causa totius quoque orbis terrarum quæ solem spectant, odoratiora sunt quam quæ aquilonem, et eorum ipsorum quæ ad ortum vergunt, plus quam quæ ad meridiem, eo quod locus circa Syriam et Arabiam magis terrenus est, Africa vero arenosa siticulosaque: nec enim humorem nimium inesse oportet (concoqui namque nimius non potest), nec nullum: sic enim nullus fit vapor: quod in ea materie solet accidere, quæ et nuper combusta est, et tale habet genus ut secum odoris ferat suavitatem. Quæ quidem res floribus declarari potest: odorem enim in his emittunt. Videtur autem in iis locis fieri in quæ cœlestis arcus incubuerit, quoniam nihil sine aqua effici potest: quum enim materies immaduerit, caloreque insito concoxerit, vaporem intra se ortum emittit. Nec vero aquam multam adesse oportet: eluit enim nimia aquæ copia atque exstinguit calorem quem ignitio intule-

πυρώσεως. Τὰ δὲ μετὰ τὴν ἶριν ὕδατα οὐ πολλὰ γίνεται, ἀλλὰ μέτρια, ὡς εἰπεῖν, καὶ ἐὰν πολλαὶ γίνωνται ἴριδες, οὐ πολὺ γίνεται, ἀλλὰ πολλάκις μέν, ὀλίγον δέ· διὸ εἰκότως τούτου γινομένου, οὐθὲν ἄλλο ὁρῶντες διάφορον πλὴν τὴν ἶριν, ταύτῃ τὴν αἰτίαν προσέθεσαν τῆς εὐωδίας.

4. Διὰ τί τὰ ἄνθη καὶ τὰ θυμιώμενα πόρρωθεν μᾶλλον ἥδιον ὄζει, ἐγγύθεν δὲ τὰ μὲν ποωδέστερον, τὰ δὲ καπνωδέστερον; Ἢ ὅτι ἡ ὀσμὴ θερμότης τίς ἐστι καὶ τὰ εὐώδη θερμά, τὸ δὲ θερμὸν κοῦφον, ὥστε διὰ μὲν τοῦτο πορρωτέρω διιόντων ἀμιγεστέρα γίνεται ἡ ὀσμὴ τῶν συμπαρεπομένων ὀσμῶν ἀπὸ τῶν φύλλων καὶ τοῦ καπνοῦ, ὄντος ὑδατώδους ἀτμοῦ, πλησίον δ' ὄντων τὰ μεμιγμένα αὐτοῖς συνόζει ἐν οἷς ἐστιν;

5. Διὰ τί πάντα μᾶλλον ὄζει κινούμενα; Ἢ ὅτι ἀναπίμπλησι πλείω ἀέρα ἢ ἡσυχάζοντα; Διαπέμπεται οὖν ἡ ὀσμὴ θᾶττον οὕτω πρὸς τὴν αἴσθησιν ἡμῖν.

6. Διὰ τί τοῦ χειμῶνος ἧττον ὀσφραινόμεθα, καὶ ἐν τοῖς πάγεσιν ἥκιστα; Ἢ ὅτι ὁ ἀὴρ ἀκινητότερός ἐστιν ἐν τῷ ψύχει; Οὔκουν ἀφικνεῖται ὁμοίως ἡ κίνησις ἡ ἀπὸ τοῦ σώματος τοῦ τὴν ὀσμὴν ἔχοντος διὰ τὴν δυσκινησίαν τῆς ἀπορροῆς καὶ τοῦ ἀέρος ἐν ᾧ ἐστιν.

7. Διὰ τί δριμύτερον ὄζει τῶν ἀρωμάτων ἐπὶ τέφρας θυμιωμένων ἢ ἐπὶ τοῦ πυρός, καὶ μᾶλλον καὶ πλείω χρόνον τὴν αὐτῶν ὀσμὴν ἔχει ἐπὶ τῆς τέφρας θυμιώμενα; Ἢ ὅτι ἀπεπτοτέρα ἐστὶν ἡ ὀσμὴ ἐπὶ τῆς τέφρας· διὸ καὶ πλείων· τὸ δὲ πῦρ ταχὺ πέττον αὐτῶν τὴν δύναμιν, ἀλλοιοῖ τὴν ὀσμήν; ἡ γὰρ πέψις ἀλλοίωσίς ἐστι τοῦ πεττομένου.

8. Διὰ τί ἥδιον ὄζει τῶν ῥόδων ὧν ὁ ὀμφαλὸς τραχύς ἐστιν ἢ ὧν λεῖος; Ἢ ὅτι μᾶλλον ὄζει ἡδὺ ὅσα τὴν φύσιν ἀπείληφε τὴν αὐτῶν, ἀκανθῶδες δὲ φύσει τὸ ῥόδον ἐστίν; διὸ μᾶλλον ἔχον τὰ κατὰ φύσιν ἥδιστα ὄζει.

9. Διὰ τί αἱ ὀσμαὶ ἐγγύθεν ἧττον εὐώδεις καὶ θυμιαμάτων καὶ ἀνθῶν; Ἢ ὅτι πλησίον μὲν συναποφέρεται τὸ γεῶδες, ὥστε κεραννύμενον ἀσθενεστέραν ποιεῖ τὴν δύναμιν, εἰς δὲ τὸ πόρρω καταφέρεται ἡ ὀδμή; Διὰ ταῦτα δὲ καὶ τριφθέντα τὰ ἄνθη ἀπόλλυσι τὴν ὀσμήν.

10. Πότερον αἱ ὀσμαὶ καπνός, ἢ ἀήρ, ἢ ἀτμίς; διαφέρει γάρ, ᾗ τὸ μὲν ὑπὸ τοῦ πυρός, τὸ δὲ καὶ ἄνευ τούτου γίνεται. Καὶ πότερον ἀπὸ τῆς αἰσθήσεώς τι πρὸς ἐκεῖνα, ἢ ἀπ' ἐκείνων πρὸς τὴν αἴσθησιν ἀφικνεῖται, ἀεὶ κινοῦν τὸν πλησίον ἀέρα; Καὶ εἰ ἀπ' ἐκείνων ἀπορρεῖ, ἔδει ἔλαττον γίνεσθαι, καίτοι τὰ εὐωδέστατα ὁρῶμεν μάλιστα διαμένοντα.

11. Διὰ τί δριμύτερον ὄζει μᾶλλον τῶν ἀρωμάτων ἐπὶ τέφρας θυμιωμένων ἢ ἐπὶ τοῦ πυρός; Ἢ διότι

rat. Quæ autem aquæ post arcum solent incidere, non multæ, sed pene mediocres adveniunt, et si multi constiterint arcus, aqua non large, sed sæpe quidem, etiamsi parce supervenit: quamobrem non immerito, ubi hoc ita fit, qui rem insignem præter arcum nullam adspicerent, causam odoris illi adtribuere.

4. Cur flores et suffimenta suavius e longinquo olent potius, e propinquo autem herbam quidem alia potius redolent, alia vero fumum? An quia calor quidam odor est, odorataque calida sunt, calidum autem leve est, ita ut propter hanc quidem causam, quum longius permeant, odor fiat minus inquinatus ab odoribus concomitantibus qui cum a foliis proveniunt, tum a fumo, quum vapor res aquea sit; at ubi in propinquo sunt, quæ illis admista sunt, una cum iis quibus insunt, redolent?

5. Cur omnia plenius olent, ubi moventur? An quod plus aeris implent quam quiescentia? Itaque ocius hoc modo ad sensum nostrum odor transmittitur.

6. Cur tempore hiberno minus olfacimus, minimeque per gelu? An quod aer per frigus immobilior est? Itaque motus non æque proficiscitur a corpore odorato propter difficilem motum effluvii et aeris cui inest?

7. Cur acrius aromata olent cinere suffita quam igne, et plenius ac diutius suum servant odorem, ubi cinere suffiuntur? An quod in cinere minus concoquitur odor: quapropter et plenior est; ignis autem, quod celeriter vires eorum concoquit, odorem commutat? concoctio enim rei concoquendæ commutatio est.

8. Cur rosæ suavius olent, quibus umbilicus asper, quam quibus lævis est? An quod suavius olent quæ suam naturam consecuta sunt; rosa autem spinosa natura est? Ergo suavissime olet, quum potissimum suam naturam adsecuta est.

9. Cur odores e proximo minus suaves, tam suffimentorum quam florum? An quod prope quidem portio terrena una cum odore avolat, ita ut admistione sua vim hebetet, in longinquum vero defertur odor? Hinc etiam flores contriti odorem amittunt.

10. Utrum odores fumus sunt, an aer, an vapor? hæc enim inter se differunt, quà alterum quidem ab igne, alterum vero et sine igne fit. Et utrum a sensu aliquid in res odoratas proficiscitur, an ab illis in sensum, semper aera proximum movens? Atque si ab illis aliquid effluerit, minora reddi oporteret, etiamsi quæ odoratissima sunt, potissimum videmus edurare.

11. Cur aromata cinere suffita acrius olent quam igne? An quod in cinere minus concoquitur odor? quapropter

ἀπεπτοτέρα ἡ ὀσμὴ ἐπὶ τῆς τέφρας; διὸ καὶ πλείων. Πολὺ οὖν καὶ τοῦ γεώδους συναναθυμιᾶται καὶ γίνεται καπνός· τὸ δὲ πῦρ φθάνει ἐκκαῖον τὸ γεῶδες αὐτῶν, ὥσθ' ἡ ὀσμὴ καθαρωτέρα καὶ εἰλικρινὴς ἀφικνεῖται ἄνευ τοῦ καπνοῦ· διὸ καὶ τριβόμενα ἧττον εὐώδη τὰ ἄνθη· τὸ γὰρ γεῶδες καὶ ἡ τρῖψις κινεῖ, καὶ ἡ βραδεῖα θερμότης οὐ φθείρει.

et copiosior est. Multum ergo partis quoque terrenæ exhalatur una fumusque redditur; at ignis terrenum eorum ante exurit, ita ut odor purior ac sincerus sine fumo adveniat: unde etiam flores triti minus suave olent: partem enim terrenam ut contritus movet, sic lentus calor non destruit.

12. Διὰ τί τὰ εὐώδη οὐρητικά, καὶ σπέρματα καὶ φυτά; Ἢ ὅτι θερμὰ καὶ λεπτά, τὰ δὲ τοιαῦτα οὐρητικά; ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης, καὶ ἡ ὀσμὴ οὐ σωματώδης, ἐπεὶ καὶ τὰ μὴ εὐώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά, μᾶλλον μέντοι τηκτικά. Θερμὰ δὲ τὰ εὐώδη σπέρματα, διότι ὅλως ἡ ὀσμὴ διὰ θερμότητα γίνεται. Ἀλλὰ τὰ δυσώδη ἄπεπτά ἐστιν· δεῖ δὲ μὴ μόνον θερμὰ εἶναι, ἀλλὰ καὶ εὔπεπτα, εἰ ἔσται οὐρητικά, ὅπως συγκατιόντα λεπτύνῃ τὰ ὑγρά.

12. Cur odorata, tam semina quam plantæ, urinam cient? An quod calida et tenuia sunt, hujusmodi autem res urinam citant? celeriter enim calor inditus extenuat, nec odor aliqua corpulentia præditus est: nam et quæ non bene olent, velut allia, vi sui caloris urinam movent, attamen potius vim liquefaciendi obtinent. Calida vero semina quæ bene olent, ideo sunt, quod odor omnino calore efficitur. Sed fœtida concoctu difficilia; nec solum calida, verum etiam concoctu facilia esse debent, quæ provocatura sunt urinam, ut una descendendo humores adtenuent.

13. Διὰ τί ποτε οἱ κεχραμένοι τῶν οἴνων θᾶττον τῶν ἀκράτων ὄζουσιν; Ἢ ὅτι ὁ κεχραμένος ἀσθενέστερος τοῦ ἀκράτου ἐστί, τὸ δ' ἀσθενέστερον ὑπὸ πάντων ἐξίσταται τοῦ ἰσχυροτέρου; Εἶτα ὁ κεχραμένος ἐστὶν εὐπετέστερος τοῦ ἀκράτου· εὐπετέστερον δ' ἐστὶν ὑπάρξαι ᾡτινιοῦν, καὶ ἐκλαβεῖν τι τῶν μὴ ὑπαρχόντων. Ὁ μὲν οὖν ἄκρατος ὀσμώδης ἐστίν, ὁ δὲ κεχραμένος ἄνοσμος.

13. Cur tandem vina diluta olent citius quam mera? An quod dilutum imbecillius mero est; quod autem imbecillius est, a quacumque re expellitur e validiori? Tum etiam vinum dilutum facilius est quam merum; facilitas autem rerum eo constat ut tum alii rei cuicumque insint, tum sibi adsciscant aliquam earum quæ non insunt. Merum itaque odorum, dilutum vero inodorum est.

ΤΜΗΜΑ ΙΓ.

ΟΣΑ ΠΕΡΙ ΤΑ ΔΥΣΩΔΗ.

SECTIO XIII.

QUÆ AD RES MALE OLIDAS PERTINENT.

1. Διὰ τί τὸ μὲν οὖρον, ὅσῳ ἂν χρονίζηται ἐν τῷ σώματι, δυσωδέστερον γίνεται, ἡ δὲ κόπρος ἧττον; Ἢ ὅτι ἡ μὲν ξηραίνεται μᾶλλον χρονιζομένη (τὸ δὲ ξηρὸν ἀσηπτότερον), τὸ δ' οὖρον παχύνεται, πρόσφατόν τ' ὂν ὁμοιότερον τῷ ἐξ ἀρχῆς ἐστι πόματι;

1. Cur urina quidem, quo diutius in corpore manserit, eo fœtidior fit; stercus autem minus? An quod stercus quidem remanens siccatur potius; quod autem siccum est, minus putredini patet; urina contra crassescit, recensque ubi est, potioni pristinæ similior est?

2. Διὰ τί τὰ δυσώδη τοῖς ἐδηδοκόσιν οὐ δοκεῖ ὄζειν; Ἢ διὰ τὸ συντετρῆσθαι τὴν ὄσφρησιν τῷ στόματι κατὰ τὸν οὐρανὸν πλήρης ἡ αἴσθησις γίνεται ταχύ, καὶ τῆς τε ἔσω οὐκέθ' ὁμοίως αἰσθάνεται (τὸ γὰρ πρῶτον αἰσθάνονται πάντες, ὅταν δ' ἅψωνται, οὐκέτι, ὥσπερ συμφυοῦς), καὶ ἡ ἔξωθεν ἡ ὁμοία ἀφανίζεται ὑπὸ τῆς ἔσω;

2. Cur male olida his non olere videntur qui illa ederunt? An quod olfactus ad os perforatus est in palato, idcirco sensus propere impletur, interioremque odorem non æque amplius percipit (principio enim omnes sentiunt; ubi autem tetigerint, non amplius, quasi jam agnatum esset), similisque exterior delitescit obtentu interioris?

3. Διὰ τί τριβόμενα τὰ ἄνθη δυσωδέστερα; Ἢ διότι συμμίγνυται τῇ ὀσμῇ τὸ γεῶδες τὸ ἐν τῷ ἄνθει;

3. Cur flores contriti deterius olent? An quod pars terrena quæ flori inest, odori sese permiscet?

4. Διὰ τί τῶν μὲν ζῴων οὐθὲν εὐῶδές ἐστιν ἔξω τῆς παρδάλεως (αὕτη δὲ καὶ αὐτοῖς τοῖς θηρίοις· φασὶ γὰρ αὐτῆς τὰ θηρία ἡδέως ὀσμᾶσθαι), φθειρόμενα δὲ καὶ δυσώδη ἐστί, τῶν δὲ φυτῶν πολλὰ καὶ φθειρόμενα καὶ αὐαινόμενα ἔτι μᾶλλον εὐώδη γίνεται; Πότερον ὅτι τῆς δυσωδίας αἴτιον ἀπεψία τις περιττώματος; διὸ καὶ οἱ ἱδρῶτες ἐνίοις καὶ ἐνίοτε τοιοῦτοί εἰσι, μάλιστα

4. Cur animantium quidem nullum suaviter olet, excepta pardali (hæc autem vel ipsis bestiis: ferunt enim hujus odorem ab iis cum voluptate respirari), imo pereuntia vel male olent; stirpium autem multæ, ubi corrumpuntur et arescunt, adhuc suaviorem adquirunt odorem? Utrum quod mali odoris causa cruditas quædam excrementi est? quamobrem sudores etiam aliquibus atque

δὲ οἷς μὴ ἀεὶ τοιοῦτοι ἐκ τῶν νόσων γίνονται. Καὶ αἱ φῦσαι δὲ καὶ οἱ ἐρυγμοὶ οἱ τῶν ἀπέπτων δυσώδεις εἰσίν. Τὸ αὐτὸ δ' αἴτιον καὶ τοῦ ἐν ταῖς σαρξὶ καὶ τῷ ἀνάλογον· λέγω δ' ἀνάλογον τὸ ἀντὶ σαρκὸς τοῖς ἄλλοις ἐνυπάρχον ζῴοις· ἔστι γὰρ καὶ ἐνταῦθα περίττωμα ἐνίοις ἄπεπτον. Τοῦτο οὖν ζώντων αἴτιον τῆς δυσωδίας ἐστὶ καὶ φθειρομένων σηπόμενον· διὸ καὶ τὰ πίονα καὶ ὀστᾶ καὶ τρίχες οὐ δυσώδη ἐστίν, ὅτι τὰ μὲν πέττεται, τὰ δ' οὐκ ἔχει ὑγρότητα. Τοῖς δὲ φυτοῖς οὐκ ἔνι περίττωμα. Ἢ ἔστι μέν τι καὶ τούτοις, ἀλλ' ὅτι ξηρὰ καὶ θερμὰ τὰ φυτὰ τὴν φύσιν ἐστίν, ὥστ' εὐπεπτοτέρα ἡ ἰκμὰς καὶ οὐ πηλώδης ἐστὶν αὐτῶν; Δηλοῖ δὲ καὶ τῆς γῆς ἡ ἐν τοῖς θερμοῖς εὐώδης οὖσα, Συρία καὶ Ἀραβία, καὶ τὰ εὐώδη τἀκεῖθεν, ὅτι ξηρὰ καὶ θερμά ἐστι, τὰ δὲ τοιαῦτα ἄσηπτα. Τὰ δὲ ζῷα οὐ τοιαῦτά ἐστι καὶ θερμά, ὥσθ' αἵ τε περιττώσεις ἄπεπτοι καὶ δυσώδεις αὐτῶν εἰσι, καὶ διαφυσήσεις ὁμοίως. Καὶ διαφθειρομένων σήπεται ἡ ὑγρότης, τῶν δ' οὔ· οὐ γὰρ ἔχουσιν.

aliquando ita olent, sed maxime quibus non semper tales sunt, e morbis ejusmodi fiunt. Et flatus etiam ructusque crudorum male olent. Eadem quoque causa est mali odoris carnibus proprii, vel parti his proportione respondenti; adpello autem proportione respondentem quæ carnis locum tenet apud reliqua animalia: nam excrementum crudum vel huic apud quædam inest. Hoc igitur et vivis causa fœdi halitus est, et mortuis, ubi putrescit: quamobrem pinguia, ossa et pili fœdum numquam reddunt odorem, quod illa quidem concoquuntur, hæc vero humore vacant. At plantæ nullum intra se continent excrementum. An etiam plantis revera aliquid inest, sed quia siccæ et calidæ sunt natura, ita ut vapor earum concoctu facilior, nec lutulentus sit, [non male olent]? Probatur hoc et eo quod orbis terrarum pars quæ calido sita loco est, ut Syria, ut Arabia, suaviter olet, et plantæ ibi reperiuntur odoratæ, quia siccæ et calidæ sunt; nullam autem putredinem sentiunt quæ hujusmodi sunt. At animalia talia non sunt, etiamsi calida, ita ut excrementa eorum cruda fœtidaque sint, flatusque itidem. Mortuis quoque animantibus humor putrescit, plantis vero non, quippe quum humore careant.

5. Διὰ τί τὰ δυσώδη θερμὰ ὄντα μᾶλλον δυσώδη ἐστὶν ἢ ἐψυγμένα; Ἢ ὅτι ἐστὶν ἡ ὀσμὴ ἀτμὸς καὶ ἀπορροή τις; Ὅ τ' οὖν ἀτμὸς ὑπὸ θερμοῦ γίνεται καὶ ἡ ἀπορροή· κίνησις γάρ τίς ἐστι, τὸ δὲ θερμὸν κινητικόν, τὸ δὲ ψυχρὸν τοὐναντίον στατικὸν καὶ συσταλτικὸν καὶ φορὸν δὲ κάτω. Τὸ δὲ θερμὸν καὶ αἱ ὀσμαὶ πᾶσαι ἀνωφερεῖς διὰ τὸ ἐν ἀέρι τ' εἶναι καὶ τὸ αἰσθητήριον αὐτῶν ἄνω εἶναι, μὴ κάτω· πρὸς γὰρ ἐγκέφαλον περαίνουσα ἡ ὀσμὴ αἴσθησιν ποιεῖ.

5. Quam ob causam res male olidæ gravius olent, ubi calent, quam ubi refrigeratæ sunt? An quod odor vapor quidam et effluvium est? Vapor itaque et effluvium calore exsistunt: motus etenim quidam sunt, calor autem movendi vim obtinet, frigus contra efficit ut res consistant et contrahantur, deorsumque ferantur. Calor autem odoresque omnes sursum feruntur, tum quia in aere sunt, tum quia sensorium eorum supra, non infra habetur, quippe quum odor ad cerebrum penetrans moveat sensum.

6. Διὰ τί, ἐάν τις σκόροδα φάγῃ, τὸ οὖρον ὄζει, ἄλλων δ' ἐχόντων ἰσχυρὰν ὀσμὴν οὐκ ὄζει ἐδεσθέντων; Πότερον, ὥσπερ τινὲς τῶν ἡρακλειτιζόντων φασίν, ὅτι ἀναθυμιᾶται, ὥσπερ ἐν τῷ ὅλῳ, καὶ ἐν τῷ σώματι, εἶτα πάλιν ψυχθὲν συνίσταται ἐκεῖ μὲν ὑγρόν, ἐνταῦθα δ' οὖρον, ἡ ἐκ τῆς τροφῆς ἀναθυμίασις, ἐξ οὗ ἐγένετο αὕτη συμμιγνυμένη, ποιεῖ τὴν ὀσμήν; αὕτη γάρ ἐστιν, ὅταν μεταβάλλῃ. Ἢ ἔδει καὶ τὰ ἄλλα τοῦτο ποιεῖν, ὅσα ἰσχυρὰς ὀσμὰς ἔχει; νῦν δ' οὐ ποιεῖ. Ἔτι συγκρινόμενα ἐκ τῆς ἀτμίδος οὐκ εἰς τὸ ἀρχαῖον ἔρχεται, οἷον οἶνος ἐξ οἴνου, ἀλλ' οὐχ ὕδωρ, ὥστε καὶ τοῦτο ψεῦδος. Ἀλλ' ὅτι μόνον φυσητικὸν τῆς κάτω κοιλίας τῶν ὀσμὴν ἐχόντων ἰσχυρὰν ἅμα καὶ οὐρητικήν, τὰ δ' ἄλλα ἄνω ποιεῖ, οἷον ἡ ῥάφανος, καὶ τὰ πνεύματα, ἢ οὐκ οὐρητικά. Κάτω δὲ τρία ὑπάρχει ταῦτα· καὶ γὰρ οὐρητικόν, καὶ πνεῦμα ποιεῖ, καὶ τοῦτο κάτω. Ὁ δὲ τόπος ὁ πέριξ τὰ αἰδοῖα καὶ τὴν κύστιν τῶν τοιούτων ἀπολαύει διὰ τὴν γειτνίασιν, καὶ ὅτι πνευματικός ἐστιν· δηλοῖ δ' ἡ συντονία τοῦ αἰδοίου. Δῆλον οὖν ὅτι ἀφικνεῖται τὸ περίττωμα εἰς τὴν κύστιν αὐτοῦ μάλιστα τῶν τοιούτων ἅμα τῷ πνεύματι, ὃ μιγνύμενον ποιεῖ τοῦ οὔρου τὴν ὀσμήν.

6. Cur si quis allia ederit, urina redolet allium; si vero aliis rebus odore vehementi præditis vescatur, urina non olet? Utrum, ut quidam Heracliti sectatores perhibent, quod sicut in universo, ita etiam in corpore nostro fit exhalatio, deinde post refrigerationem denuo concrescit illic quidem in humorem, hic vero in urinam, exhalatio alimenti, ubi admiscetur ei ipsi unde prodierat, odori ansam dat? hæc enim exhalatio odor est, ubi immutatur. An cetera quoque idem facere deberent, quæ vehementem spirant odorem? nunc autem non faciunt. Ad hæc quæ e vapore concrescunt, non ad statum pristinum redeunt, ita ut verbi causa e vino vinum, sed non aqua fiat, ita ut hoc quoque falsum sit. Verum quia allium solum ex rebus odore vehementi simul ac urinam cienti præditis ventrem inferiorem inflat, [urinæ odorem indit]: cetera enim vel superne quoque flatus faciunt, ut radicula, vel urinam non citant. Tria nimirum hæc ei insunt quæ deorsum agunt: urinam, inquam, ciet, flatus excitat, idque deorsum. Locus autem circa genitalia et vesicam hujusmodi res sibi adsciscit, tum propter vicinitatem, tum quia spiritualis est, quod veretri intentione demonstratur. Constat igitur, excrementum allii omnium maxime hujuscemodi rerum una cum spiritu ad vesicam devenire, quod admistione sua odorem urinæ efficit.

7. Διὰ τί τὰ στόματα μηδὲν ἐδηδοκότων, ἀλλὰ νηστευσάντων ὄζει μᾶλλον (ὃ καλεῖται νηστείας ὄζειν),

7. Quam ob causam ora hominum, quum nihil ederint, sed jejunarint, gravius olent (quod jejunium olere dicunt),

φαγόντων δ' οὐκέτι, ὅτε ἔδει μᾶλλον; Ἢ ὅτι κινουμένης τῆς κοιλίας θερμότερος ὁ ἀὴρ γινόμενος διὰ τὴν ἀκινησίαν σήπει τὸ πνεῦμα καὶ τὰ φλεγματώδη περιττώματα (ὅτι δὲ θερμότερος γίνεται, σημεῖον ὅτι καὶ δίψαν ποιεῖ ἡ νηστεία μᾶλλον)· φαγόντων δὲ διὰ τὸ ἐλάττων εἶναι ἡ ὀσμὴ τῆς τῶν σιτίων παύεται; κρατεῖ γὰρ τῆς θερμότητος ἡ τῶν σιτίων θερμότης, ὥστε μηθὲν πάσχειν.

quum vero ederint, non amplius, quo tempore tamen magis olere deberent? An quod ventre inani aer incalescens spiritum excrementaque pituitosa propter immobilitatem putrefacit (calidiorem autem effici, argumentum est quod vel sitim potius parit jejunium); at ubi ederimus, cessat odor ille, quia minor est odore ciborum? calor enim ciborum calorem illum superat, ita ut nihil patiatur os.

8. Διὰ τί ἡ μασχάλη δυσωδέστατον τῶν τόπων; Πότερον ὅτι ἀπνούστατός ἐστιν, ἔστι δ' ἡ δυσωδία ἐν τοῖς τοιούτοις μάλιστα διὰ τὸ σῆψιν γίνεσθαι ὑπὸ τῆς ἡσυχίας τῆς ὑγρότητος; Ἢ διότι ἀκίνητος καὶ ἀγύμναστος;

8. Cur ala omnium locorum pessime olet? Utrum quod omnium minime flatui patet? malus enim odor locis hujusmodi contrahi maxime solet, quoniam putredo quiete humoris consistit. An ideo quod motu exercitationeque caret?

9. Διὰ τί οἱ τοῦ γράσου ὄζοντες, ὅταν ἀλείφωνται μύρῳ, δυσωδέστεροι γίνονται; Ἢ διότι τοῦτο ἐπὶ πολλῶν γίνεται, οἷον ὀξὺ καὶ γλυκὺ συμμιχθὲν τὸ ὅλον γλυκύτερον ἐγένετο; Εἶτα ἱδρώσαντες πάντες δυσωδέστεροί εἰσι, τὸ δὲ μύρον θερμαντικόν ἐστιν· ἱδρῶτας οὖν παρασκευάζει.

9. Cur qui hircum redolent, fœdiorem contrahunt odorem, ubi se unguento inunxerint? An quia hoc in multis rebus adcidere solet, velut ubi acido dulce commistum est, universa mistura inde redundans dulcior est? Tum etiam omnes, postquam sudarunt, gravius olent; unguentum autem concalfaciendi vim habet: itaque sudores provocat.

10. Διὰ τί τῶν ἐγκύρτων καὶ κυφοτέρων δυσοσμοτέρα καὶ βαρυτέρα ἡ ὀσμὴ τοῦ πνεύματος; Ἢ διότι συγκέκλεισται ὁ τόπος ὁ περὶ τὸν πνεύμονα καὶ ἀνέσπασται ἐκ τῆς εὐθυωρίας, ὥστ' οὐκ εὔπνους, ἀλλὰ σήπεται ἡ ἰκμὰς καὶ τὸ πνεῦμα μᾶλλον εἴσω ἐγκατακλειόμενον;

10. Cur incurvorum gibborumque halitus odor fœtidior ac gravior est? An quod locus circa pulmonem conclusus et a recto tramite retractus est, ita ut spiritui non pateat, sed vapor ac spiritus intus interclusus putrescant amplius?

11. Διὰ τί τὰ πολλὰ τῶν μύρων συνεξιδρῶσαι δυσώδη, ἔνια δ' ἡδίω, ἢ οὐ χείρω; Ἢ ὅσα μὲν τῇ κινήσει ἢ τῇ τρίψει μεταβάλλοντα, χείρω τὰ τοιαῦτα, ὅσα δὲ μή, τοὐναντίον; ἔστι δ' ἔνια τοιαῦτα, ὥσπερ καὶ τῶν ἀνθῶν, ἐξ ὧν γίνονται αἱ εὐωδίαι, τὰ μὲν τριβόμενα ἢ θερμαινόμενα ἢ ξηραινόμενα φαῦλα, οἷον τὰ λευκόϊα, τὰ δ' ὅμοια, οἷον τὰ ῥόδα. Καὶ τῶν μύρων δὴ ὅσα ἐκ τοιούτων ἐστί, μεταβάλλει, τὰ δ' οὔ· διὸ τὸ ῥόδινον ἥκιστα. Καὶ δυσώδη δὲ φαίνεται μᾶλλον, ὅσων οἱ ἱδρῶτες δυσώδεις, καὶ διὰ τὸ μίγνυσθαι τῷ ἐναντίῳ, ὥσπερ τὸ μέλι μετὰ τοῦ ἁλὸς οὐ μᾶλλον γλυκύ, ἀλλ' ἧττον.

11. Cur unguentorum major pars, ubi una cum sudore expelluntur, male olet, aliqua tamen suaviora redduntur, aut non deteriora? An quæ motu, vel tritu commutantur, hæc deteriora sunt; quæ autem non, his contrarium evenit? nonnulla enim hujus generis effluvia, quomodo etiam florum quibus odores conficimus, partim quidem contrita, vel concalfacta, vel desiccata prava sunt, ut violæ albæ, alia vero sibi similia manent, ut rosæ. Et unguenta igitur quæ ex floribus hujusmodi proveniunt, commutantur utique; alia vero non: unde rosaceum commutatur minime. Et quidem gravius redolere videntur apud homines quorumcumque sudores male olent, vel quoniam rei sibi contrariæ se permiscent, ut mel cum sale mixtus non magis, sed minus dulce redditur.

12. Διὰ τί πάντα μᾶλλον ὄζει κινούμενα; Ἢ διότι ἀναπίμπλησι τὸν ἀέρα; Διαπέμπεται οὖν θᾶττον ἡ ὀσμὴ πρὸς τὴν αἴσθησιν.

12. Cur omnia plenius olent, ubi moventur? An quod aera implent? Itaque odor citius ad sensum transmittitur.

ΤΜΗΜΑ ΙΔ.

SECTIO XIV.

ΟΣΑ ΠΕΡΙ ΚΡΑΣΕΙΣ.

QUÆ AD [REGIONUM] HABITUS PERTINENT.

1. Διὰ τί θηριώδεις τὰ ἔθη καὶ τὰς ὄψεις οἱ ἐν ταῖς ὑπερβολαῖς ὄντες ἢ ψύχους, ἢ καύματος; Ἢ διὰ τὸ αὐτό; ἡ γὰρ ἀρίστη κρᾶσις καὶ τῇ διανοίᾳ συμφέρει, αἱ δ' ὑπερβολαὶ ἐξιστᾶσι, καὶ ὥσπερ τὸ σῶμα διαστρέφουσιν, οὕτω καὶ τὴν τῆς διανοίας κρᾶσιν.

1. Cur efferis et moribus et adspectibus sunt qui in nimio vel frigore, vel æstu colunt? An eadem causa est? optima enim temperies etiam intelligentiæ prodest, excessus autem mentem perturbant, et ut corpus distorquent, sic etiam mentis temperamentum.

2. Διὰ τί ἐν τῷ Πόντῳ ὁ σῖτος ἐαθεὶς ἐν τῷ ψύχει πολλὰ ἔτη γίνεται ἄκοπος; Ἢ ὅτι ἐξικμάζεται τὸ ἀλλότριον ὑγρὸν μετὰ τοῦ θερμοῦ, ὥσπερ ἐν ταῖς σταφυλαῖς; ἔνια μὲν γὰρ ὑπὸ τοῦ ψυχροῦ, ἔνια δ' ἅμα τῷ θερμῷ.

2. Cur frumentum in Ponto in frigore per multos annos repositum corruptionis fit expers? An propterea quia humor alienus una cum calore exhauritur, ut in uvis? alia enim frigore, alia vero una cum calore exhauriuntur.

3. Διὰ τί ἐν τῇ ψυχροτάτῃ χώρᾳ οἱ καῦσοι μᾶλλον γίνονται; Ἢ διότι ἀντιπεριίστησι τὸ ψῦχος εἴσω τὴν θερμότητα, ἐν δὲ τῷ θέρει τοὐναντίον συμβαίνει, τὰ εἴσω ψυχρότερα; ὁ δὲ καῦσος πυρετὸς τῶν ἔξω κατεψυγμένων τὰ ἔσω θερμότητι ὑπερβάλλει.

3. Cur potius in frigidissimis regionibus febres ardentes fiunt? An quod frigus calorem intus circumobsistit, cujus rei contrarium æstivo tempore fit, partes nempe ut internæ frigidiores sint? febris enim ardens partibus refrigeratis exterioribus internarum calore excellit.

4. Διὰ τί οἱ Αἰθίοπες καὶ οἱ Αἰγύπτιοι βλαισοί εἰσιν; Ἢ διότι ὑπὸ θερμοῦ, ὥσπερ καὶ τὰ ξύλα διαστρέφεται ξηραινόμενα, οὕτω καὶ τὰ τῶν ζῴων σώματα; Δηλοῦσι δὲ καὶ αἱ τρίχες· οὐλοτέρας γὰρ ἔχουσιν, ἡ δ' οὐλότης ἐστὶν ὥσπερ βλαισότης τῶν τριχῶν.

4. Cur blæsi Æthiopes sunt et Ægyptii? An quoniam calore, quemadmodum ligna siccata distorquentur, ita etiam corpora animantium? Quod etiam pili declarant: crispiores enim habent, crispitudo autem veluti pilorum blæsitas est.

5. Διὰ τί ἐν τοῖς νοτίοις μᾶλλον θηλυτοκοῦσιν αἱ ὀχεῖαι; Ἢ ὅτι τὸ πλεῖον ὑγρὸν βραδύτερον παχύνεται, ἐν δὲ τοῖς νοτίοις διὰ τὴν ὑγρότητα τῆς κράσεως ὑγρότερον τὸ σπέρμα γίνεται;

5. Cur in austrinis initus feminam potius generant? An quod largior humor tardius crassescit, in austrinis autem humiditas temperamenti facit ut semen reddatur humidius?

6. Διὰ τί ἐν τοῖς ἑλώδεσι τὰ μὲν ἐν τῇ κεφαλῇ ἕλκη ταχὺ ὑγιάζεται, τὰ δ' ἐν ταῖς κνήμαις μόλις; Ἢ ὅτι βαρεῖα ἡ ὑγρότης διὰ τὸ γεώδης εἶναι, τὰ δὲ βαρέα εἰς τὸ κάτω ὑποχωρεῖ; Τὰ μὲν οὖν ἄνω εὔπεπτα διὰ τὸ ὑποκεχωρηκέναι εἰς τὸ κάτω, τὰ δὲ κάτω πολλῆς γέμει τῆς περιττώσεως καὶ εὐσήπτου.

6. Cur locis palustribus capitis quidem ulcera sanantur celeriter, crurum autem ægre? An quod humor est gravis, quia terrenus est; omne autem grave deorsum subit? Ergo partes superiores quidem rite concoctæ sunt, quoniam humor deorsum subiit; inferiores autem multo excremento putrefactuque facili redundant.

7. Διὰ τί οἱ μὲν ἐν τοῖς εὐπνόοις τόποις βραδέως γηράσκουσιν, οἱ δ' ἐν τοῖς κοίλοις καὶ ἑλώδεσι ταχέως; Ἢ τὸ γῆρας σηπεδών τίς ἐστι, σήπεται δὲ τὸ ἠρεμοῦν, τὸ δ' ἐν κινήσει ὂν ἢ ὅλως ἀσαπές, ἢ ἧττον τοῦτο πάσχει, οἷον τὸ ὕδωρ; Ἐν μὲν οὖν τοῖς ὑψηλοῖς διὰ τὴν εὔπνοιαν ὁ ἀὴρ ἐν κινήσει ἐστίν, ἐν δὲ τοῖς κοίλοις μένει. Ἔτι δ' ἐκεῖ μὲν διὰ τὴν κίνησιν ἀεὶ καθαρὸς ὁ ἀὴρ καὶ ἕτερος γίνεται, ἐν δὲ τοῖς ἑλώδεσι μένει.

7. Cur qui loca flatibus pervia colunt, tardius senescunt, qui autem cava et palustria, ocius? An senectus quædam putredo est, putret autem quod quiescit; quod vero movetur, aut minus ita adficitur, ut aqua, aut putredinis plane expers est? Igitur in locis editis quidem aer agitatur, quippe flatibus patens, in cavis vero manet immotus. Ad hæc illic quidem purus ac diversus adsidue propter agitationem fit aer, in palustribus vero restat.

8. Διὰ τί οἱ μὲν ἐν τοῖς θερμοῖς τόποις δειλοί εἰσιν, οἱ δ' ἐν τοῖς ψυχροῖς ἀνδρεῖοι; Ἢ ὅτι ἐναντίως τοῖς τόποις καὶ ταῖς ὥραις ἡ φύσις ἔχει, διὰ τὸ ὁμοίως ἐχόντων ἀνάγκη διακαίεσθαι ταχέως· ἀνδρεῖοι δ' εἰσὶν οἱ τὴν φύσιν θερμοί, δειλοὶ δ' οἱ κατεψυγμένοι; Συμβαίνει δὲ τοὺς μὲν ἐν τοῖς θερμοῖς ὄντας κατεψῦχθαι, τοὺς δ' ἐν τοῖς ψυχροῖς ἐκτεθερμάνθαι τὴν φύσιν· μεγάλοι δ' ἄμφω εἰσίν, οἱ μὲν ἐν τοῖς ψυχροῖς διὰ τὴν ἐν αὐτοῖς σύμφυτον θερμότητα, οἱ δ' ἐν τοῖς θερμοῖς διὰ τὴν ἐν τῷ τόπῳ· ἐν γὰρ τοῖς θερμοῖς καὶ ὑπὸ τοῦ θερμοῦ αὐξάνονται, τὸ δὲ ψῦχος πιλητικόν ἐστιν. Ἅτε οὖν τῶν μὲν ἐν αὐτοῖς ἐχόντων τὴν ἀρχὴν τῆς αὐξήσεως σφοδράν, τῶν δ' οὐ κωλυομένων ὑπὸ τῆς ἔξωθεν ψυχρότητος, εἰκότως ἐπὶ πολὺ τὴν αὔξησιν ἐπιδέχονται· οἱ δὲ περὶ ἡμᾶς ἧττον διὰ τὸ ἐλάττω τ' ἔχειν τὴν ἀρχὴν ἐν αὐτοῖς, καὶ διὰ τὸ τοὺς ἐν τοῖς ψυχροῖς συμπιλεῖσθαι.

8. Cur ignavi quidem sunt qui loca calida incolunt, fortes vero, qui frigida? An quod natura contra quam loca et tempestates se habet, quoniam si eodem modo se haberet, necesse esset ut cito exurerentur; sunt autem fortes qui calidi sunt natura, ignavi vero qui refrigerati? Adcidit autem ut qui calida quidem loca inhabitant, refrigerati sint, qui vero frigida, naturaliter concalefacti; utrique tamen grandes sunt, frigidarum quidem regionum incolæ propter insitum calorem quem continent, calidarum vero propter regionis, quippe quum in calidis et a calore augentur, dum frigus vim constipandi habet. Quum igitur illi quidem principium intra se vehemens augendi obtineant, hi vero externo frigore non impediantur, merito utrique plenius recipiunt incrementum; at homines nostræ regionis minus, cum quia principium intra se minus continent, tum quia frigidarum regionum incolæ constipantur.

9. Διὰ τί μακρόβιοι μᾶλλόν εἰσιν οἱ ἐν τοῖς θερμοῖς τόποις οἰκοῦντες; Ἢ διὰ τὸ ξηροτέραν ἔχειν τὴν φύσιν, τὸ δὲ ξηρότερον ἀσαπέστερον εἶναι καὶ πολυχρονιώτερον, τὸν δὲ θάνατον οἷον σῆψίν τινα εἶναι; Ἢ διότι ὁ μὲν θάνατός ἐστι ψῦξις τοῦ ἐντὸς θερμοῦ, καταψύχεται δὲ πᾶν ὑπὸ τοῦ περιέχοντος καὶ ψυχροτέρου; ἔστι δ' ὁ περιέχων ἀὴρ ἐν μὲν τοῖς ἀλεεινοῖς τόποις θερμός, ἐν δὲ τοῖς ψυχροῖς ψυχρός, ὥστε θᾶττον καὶ μᾶλλον φθείρει τὸ ἐν αὐτοῖς θερμόν.

10. Διὰ τί οἱ ἐν τοῖς θερμοῖς τόποις μακροβιώτεροι; Ἢ ὅτι μᾶλλον τὸ θερμὸν καὶ τὸ ὑγρὸν σώζουσιν; ὁ γὰρ θάνατος ἡ τούτων φθορά.

11. Διὰ τί ἐν τοῖς ἑλώδεσι τόποις ὑπνωδέστεροι γινόμεθα; Ἢ διότι κατεψυγμένοι μᾶλλον ἐν αὐτοῖς ἐσμεν, ἡ δὲ κατάψυξις ἡσυχία τις οὖσα παρασκευάζει ὕπνον, ὁ δ' ὕπνος ἐν τῷ ἡσυχάζειν παραγίνεται;

12. Διὰ τί οἱ ἐν τοῖς πλοίοις εὔχροοι, ἐπὶ ὕδατος διαιτώμενοι, μᾶλλον τῶν ἐν τοῖς ἕλεσιν; Ἢ ἡ ὥρα καὶ τὸ εὔπνουν αἴτιον; ὠχροὺς δὲ τὸ ὕδωρ ποιεῖ, ὅταν σήπηται, ὃ πάσχει δι' ἀκινησίαν· διὸ ἐν τοῖς ἑλώδεσιν ὕπωχροι.

13. Διὰ τί ἐν τοῖς χειμερινοῖς χωρίοις πνίγη σφοδρὰ γίνεται πολλά, καὶ μᾶλλον ἢ ἐν τοῖς ἀλεεινοῖς; Πότερον διὰ τὴν ὑγρότητα τοῦ ἀέρος; ἀπὸ γὰρ τῆς αὐτῆς θερμότητος ὕδωρ θερμότερον γίνεται τοῦ ἀέρος, ὥστε καὶ ὁ ἀὴρ ὑγρότερος τοῦ θερμοῦ; Ἢ οὐδὲ ἔστι ξηρότερος ὁ ἀὴρ ἐν τοῖς τόποις τοῖς τοιούτοις, ἀλλὰ φαίνεται παρὰ τὸ ἐναντίον, ὥσπερ ὁ ἐκ νεφέλης ἥλιος παρὰ τὸ ἐκ τῆς σκιᾶς θιγγάνεσθαι;

14. Διὰ τί οἱ πρὸς μεσημβρίαν οἰκοῦντες μᾶλλόν εἰσι μελανόφθαλμοι; Ἢ γλαυκὰ μέν ἐστι τὰ ὄμματα δι' ὑπερβολὴν τοῦ ἐντὸς θερμοῦ, μέλανα δὲ διὰ τὴν τούτου ἀπουσίαν, ὥσπερ καὶ Ἐμπεδοκλῆς φησιν; Καθάπερ οὖν τῶν πρὸς ἄρκτον οἰκούντων γλαυκὰ τὰ ὄμματά ἐστι τῷ τὸ ἐντὸς θερμὸν κωλύεσθαι διεκπίπτειν διὰ τὸ ἐκτὸς ψυχρόν, οὕτω τῶν πρὸς μεσημβρίαν οἰκούντων τὸ μὲν ὑγρὸν διὰ τὸ περιέχον θερμὸν οὐκ ἐκπίπτει, τὸ δὲ θερμὸν μηδενὸς ἀντιφράττοντος ἐκπίπτει, τὸ δὲ λειπόμενον ὑγρὸν μέλαν ποιεῖ· τῇ γὰρ τοῦ φωτὸς ἀπουσίᾳ τὸ λειπόμενόν ἐστι σκοτῶδες. Ἢ τοῖς τοῦ λοιποῦ σώματος χρώμασιν ὁμοιοῦται τὸ ἐν τῷ ὀφθαλμῷ χρῶμα; διὸ τῶν πρὸς ἄρκτον λευκῶν ὄντων γλαυκὰ τὰ ὄμματα (τοῦ γὰρ λευκοῦ τοῦτο ἐγγὺς τὸ χρῶμα), καὶ τῶν πρὸς μεσημβρίαν μελάνων ὄντων μέλανα καὶ τὰ ὄμματα.

12. Cur in magnitudinibus, quæ pondere sunt inæquali, si quis partem moverit leviorem, in orbem circumfertur res projecta, quemadmodum in talis fit plumbo gravatis, quoties quis parte leviori ad se conversa projiciat? An quod fieri non potest ut quod gravius est, æquali impetu cum leviori feratur, ubi projectum eisdem a viribus est? quum tamen moveri necesse sit, idque æquabiliter ac recto tramite fieri nequeat, introrsum latum in orbem ferri necesse est, quemadmodum si pars ejus in medio penitus immobilis propter pondus esset, pars quidem projicienti proxima prorsum moveretur, quæ vero his subjecta est ad projicientem. Sed quoniam totum quidem movetur, habetque in medio pondus motu citum, idem hoc fieri necesse est.

13. Quamobrem corpora quæ feruntur, ubi impegerunt, resiliunt partem in contrariam quam suapte natura ferun-

γωνίας; Ἢ ὅτι οὐ μόνον ἐκείνην φέρεται τὴν φορὰν ἣν φέρεται κατὰ τὸ οἰκεῖον μέρος, ἀλλὰ καὶ τὴν ὑπὸ τοῦ ἀφιέντος γινομένην; Ἡ μὲν οὖν οἰκεία παύεται, ὅταν εἰς τὸν οἰκεῖον ἔλθῃ τόπον (ἅπαν γὰρ ἠρεμεῖ ἐλθὸν εἰς ὃν φέρεται τόπον κατὰ φύσιν), καθ' ἣν δ' ἔχει ἀλλοτρίαν, ἀνάγκη ἔτι κινεῖσθαι, οὐκ εἰς τὸ πρόσθεν δὲ διὰ τὸ κωλύεσθαι, ἀλλ' ἢ εἰς τὸ πλάγιον, ἢ εἰς τὸ ὀρθόν. Ἅπαντα δ' ἀποπηδᾷ πρὸς ὁμοίας γωνίας διὰ τὸ φέρεσθαι μὲν ἐνταῦθα οὗ ἡ κίνησις φέρει, ἣν ἐποίησεν ὁ ἀφείς· ἐκεῖ δὲ πρὸς ὀξεῖαν ἢ πρὸς ὀρθὴν φέρεσθαι συμβαίνει. Ἐπεὶ οὖν τὸ ἀντικροῦσαν κωλύει τὴν εἰς εὐθὺ κίνησιν, ὁμοίως κωλύει τὸ φερόμενον καὶ τὴν φορὰν αὐτοῦ. Ὥσπερ οὖν ἐν τοῖς κατόπτροις τὸ ἄκρον τῆς εὐθείας οὗ ξυνέπεσεν ἡ ὄψις φαίνεται, καὶ ἐν τοῖς φερομένοις οὕτω τὸ ἐναντίον γίνεται· τοσαύτην γὰρ γωνίαν ἀπέωσται ὅση γίνεται ἡ κατὰ κορυφήν· δεῖ γὰρ νοῆσαι μετακινουμένην τὴν γωνίαν καὶ τὴν φοράν· τούτου δὲ γενομένου φανερὸν ὅτι πρὸς ὁμοίας γωνίας ἀνάγκη ἀφάλλεσθαι.

tur, idque secundum angulos æquales? An quod non solum eo feruntur motu quo pro suo munere naturaliter cientur, verum etiam illo qui a mittente proficiscitur? Proprius igitur cessat motus, ubi proprium ad locum pervenerint (omnia namque requiescunt, ubi eum in locum devenerint quo sua natura feruntur), sed alieno quem habent, motu necessario moveri pergunt, idque non in partem priorem quia prohibentur, sed vel in latus, vel secundum rectum angulum. Omnia autem secundum angulos resiliunt æquales, quoniam eo quidem feruntur quo motus ducit, cui ansam dedit qui miserit, illic vero evenit ut secundum angulum vel acutum, vel rectum ferantur. Quum ergo quod retorserit, vetat quominus in directum motus agatur, pariter et rem quæ fertur, et ejus impetum prohibet. Ut igitur in speculis extremum lineæ rectæ illic cernitur, ubi visio cum rei imagine concidit, ita in iis quæ feruntur, contrarium obtinet, quippe quum secundum angulum tantum retorqueantur quantus is est qui in vertice exstat: ita enim intelligendum est, ut transferantur simul et angulus et motus: quo facto, secundum angulos æquales manifesto resilire debet res.

ΤΜΗΜΑ ΙΖ.

ΟΣΑ ΠΕΡΙ ΕΜΨΥΧΑ.

SECTIO XVII.

QUÆ AD RES ANIMATAS PERTINENT.

1. Διὰ τί οἱ ἀσύμμετροι παρ' ἀλλήλους θεωρούμενοι μείζους φαίνονται ἢ καθ' αὑτοὺς μόνους; Ἢ ὅτι τὸ σύμμετρόν ἐστιν ἕν, καὶ ἡ συμμετρία ὅτι μάλιστα ἓν ποιεῖ, τὸ δ' ἓν ἀδιαίρετον βούλεται εἶναι, τὸ δ' ἀδιαίρετον ἔλαττόν ἐστιν, ἡ δὲ συμμετρία κατὰ τὴν διαφορὰν πολλὰ ποιεῖ; Καθ' αὑτὰ μὲν οὖν θεωρούμενα μᾶλλον λανθάνει ποῖα ἄττα τὰ μεγέθη ἐστί, παρ' ἄλληλα δ' οὔ. Τὸ μὲν οὖν ἀδιαίρετον ἓν φαίνεται, καὶ ἡ θεωρία μία ἐστὶν αὐτοῦ διὰ τὴν συμμετρίαν· τὸ δ' ἀσύμμετρον ὡς πολλὰ ὄν, θεωρίαν ποιεῖ πλείω, καὶ μείζω φαίνεται τῷ ἓν ὂν πολλὰ φαίνεσθαι· ἔχει γὰρ τήν τε τοῦ μεγέθους κατὰ τὴν συνέχειαν φύσιν, καὶ τὴν τοῦ ἀριθμοῦ κατὰ τὸ ἀνώμαλον τῶν μερῶν· διόπερ εἰκότως τὴν ἐξ ἀμφοῖν αὔξην ἔχον μεῖζον φαίνεται παρὰ τὸ ἁπλοῦν καὶ ἕν.

1. Cur proportione carentes, si sibi invicem adpositi considerantur, majores esse videntur quam si soli per se? An quod modicum unum est, et moderatio unum quam maxime efficit; unum autem quod est, id individuum esse solet; individuum autem minus est; proportionis vero defectus multiplex pro sui discriminis ratione efficit. Per sese igitur si considerentur magnitudines, qualesnam sint, latet potius; ubi vero sibi invicem adpositi, non. Ergo unum adparet quod individuum est, consideratioque ejus unica est propter proportionem, proportione vero carens, quippe quum plura est, ampliorem efficit considerationem, eaque majora propterea esse videntur, quod unum quum sit, plura esse videtur: natura enim et magnitudinis habet continuitatis ergo, et numeri, quod adtinet ad partium inæqualitatem: quapropter quum incrementum obtineat utrique proprium, merito majus adparet, si cum simplice atque unico conferatur.

2. Διὰ τί ἐπὶ μῆκος μᾶλλον τὰ ζῷα καὶ τὰ φυτὰ φύεται; Ἢ ὅτι τὸ μῆκος μὲν τρὶς αὔξεται, τὸ δὲ πλάτος δίς, τὸ δὲ βάθος ἅπαξ; ἔστι γὰρ μῆκος τὸ ἀπὸ τῆς ἀρχῆς πρῶτον, ὥστε μόνον τε αὔξεται, καὶ ἅμα τῷ πλάτει πάλιν γινόμενον, καὶ τρίτον ἅμα τῷ βάθει· τὸ δὲ πλάτος δίς, καθ' ἑαυτό τε καὶ ἅμα τῷ μεγέθει.

2. Cur animantia et stirpes in longitudinem potius crescunt? An quod ter quidem longitudo augetur, bis vero latitudo, semelque profunditas? est enim longitudo inde a principio primum, ita ut et sola, et iterum una cum latitudine conjuncta, et tertio una cum profunditate augeatur; latitudo autem bis, videlicet per se et una cum magnitudine.

3. Πῶς τὸ πρότερον καὶ τὸ ὕστερον δεῖ λαβεῖν; Πότερον ὥσπερ ἡμῶν οἱ ἐπὶ Τροίας καὶ ἐκείνων οἱ πρὸ αὐτῶν καὶ ἀεὶ οἱ ἐπάνω πρότεροί εἰσιν; Ἢ εἴπερ ἀρχή τίς ἐστι καὶ μέσον καὶ τέλος τοῦ παντός, καὶ ὅταν γηράσκων τις ἐπὶ τὸ πέρας ἔλθῃ καὶ πάλιν ἐπαναστρέψῃ ἐπὶ τὴν ἀρχήν, τὰ δ' ἐγγυτέρω τῆς ἀρχῆς πρότερα,

3. Quonam modo prius et posterius adcipi debent? Utrum quemadmodum qui tempore Trojano vixerunt, nobis priores sunt, et his ipsis qui ante illos, atque sic semper superiores priores sunt? Vel siquidem initium et medium et finis sunt universi, et ubi quis senescens ad finem pervenerit, rursusque ad initium reversus fuerit, et priora sunt quæ

τί κωλύει ἡμᾶς ἐν τῷ πρὸς τὴν ἀρχὴν εἶναι μᾶλλον; εἰ δὲ τοῦτο, κἂν πρότεροι εἴημεν. Ὥσπερ ἐπὶ τοῦ οὐρανοῦ καὶ ἑκάστου τῶν ἄστρων φορᾷ κύκλος τίς ἐστι, τί κωλύει καὶ τὴν γένεσιν καὶ τὴν ἀπώλειαν τῶν φθαρτῶν τοιαύτην εἶναι, ὥστε πάλιν ταῦτα γίνεσθαι καὶ φθείρεσθαι, καθάπερ καί φασι κύκλον εἶναι τὰ ἀνθρώπινα; Τὸ μὲν δὴ τῷ ἀριθμῷ τοὺς αὐτοὺς ἀξιοῦν εἶναι ἀεὶ τοὺς γινομένους εὔηθες, τὸ δὲ τῷ εἴδει μᾶλλον ἄν τις ἀποδέξαιτο· ὥστε κἂν αὐτοὶ πρότεροι εἴημεν, καὶ θείη ἄν τις τὴν τοῦ εἱρμοῦ τάξιν τοιαύτην εἶναι ὡς πάλιν ἐπανακάμπτειν ἐπὶ τὴν ἀρχὴν καὶ συνεχὲς ποιεῖν καὶ ἀεὶ κατὰ ταὐτὰ ἔχειν· τοὺς γὰρ ἀνθρώπους φησὶν Ἀλκμαίων διὰ τοῦτο ἀπόλλυσθαι, ὅτι οὐ δύνανται τὴν ἀρχὴν τῷ τέλει προσάψαι, κομψῶς εἰρηκώς, εἴ τις ὡς τύπῳ φράζοντος αὐτοῦ ἀποδέχοιτο καὶ μὴ διακριβοῦν ἐθέλοι τὸ λεχθέν. Εἰ δὴ κύκλος ἐστί, τοῦ δὲ κύκλου μήτ' ἀρχή, μήτε πέρας, οὐδ' ἂν πρότεροι εἶεν τῷ ἐγγυτέρω τῆς ἀρχῆς εἶναι, οὔθ' ἡμεῖς ἐκείνων, οὔτ' ἐκεῖνοι ἡμῶν.

propius ab initio absunt, quid vetat nos ab initio minus distare? at si minus distamus, erimus quoque priores. Quemadmodum in cœli siderumque uniuscujusque motu circulus quidam exstat, quid vetat rerum caducarum ortum atque interitum ejusmodi esse, ut hæc denuo oriantur ac pereant, veluti etiam vulgo dicitur, circulum res esse humanas? Igitur numero quidem semper eosdem esse qui nascuntur, inepta est opinio, specie vero eosdem esse, potius probari possit, ita ut priores esse possemus ipsi, talemque aliquis statuere possit seriei ordinem, ut rursus ad initium reverteretur continuumque efficeret ac semper eodem modo se haberet: homines enim idcirco mori Alcmæon perhibet, quod initium fini connectere non possunt, scite locutus, siquis ejus verba adcipiat tamquam si exempli gratia verba fecisset, neque effatum ad amussim exigere velit. Quodsi igitur circulus est, circulus autem et principio et fine caret, ne priores quidem ulli exstabunt eo quod initio propiores sunt, nec nos illis, neque illi nobis.

ΤΜΗΜΑ ΙΗ.

ΟΣΑ ΠΕΡΙ ΦΙΛΟΛΟΓΙΑΝ.

SECTIO XVIII.

QUÆ AD LITERARUM STUDIA PERTINENT.

1. Διὰ τί τοὺς μέν, ἐὰν ἄρξωνται ἀναγινώσκειν, ὕπνος λαμβάνει καὶ μὴ βουλομένους, τοὺς δὲ βουλομένους προσεγρηγορέναι, ὅταν λάβωσι τὸ βιβλίον; Ἢ ὅσοις μέν εἰσι πνευματικαὶ κινήσεις διὰ ψυχρότητα φύσεως, ἢ μελαγχολικῶν χυμῶν, δι' οὓς περίττωμα γίνεται πνευματικὸν ἄπεπτον διὰ ψυχρότητα, τούτοις ὅταν μὲν κινῆται ἡ διάνοια καὶ μὴ νοήσῃ ἐπιστήσασά τι, ἐκκρούεται τῇ ἑτέρᾳ κινήσει οὔσῃ καταψυκτικῇ· διὸ μᾶλλον καθεύδουσιν· ὅταν δ' ἐρείσωσι πρός τι ἐν τῇ διανοίᾳ, ὅπερ ἡ ἀνάγνωσις ποιεῖ, κινοῦνται ὑπὸ τῆς θερμαντικῆς κινήσεως οὐκ ἐκκρουομένης ὑπ' οὐδενός, ὥστ' οὐ δύνανται καθεύδειν· τῶν δὲ κατὰ φύσιν ἐχόντων ὅταν στῇ πρὸς ἓν ἡ διάνοια καὶ μὴ μεταβάλλῃ πολλαχῇ ἰσχυροτάτη οὖσα, ἵσταται καὶ τὰ ἄλλα ὅσα ἐστὶ περὶ τὸν τόπον τοῦτον, ὧν ἠρέμησις ὁ ὕπνος ἐστίν· ὅταν δὲ στῇ καὶ οἷον κοπιάσῃ ὁ νοῦς, βαρύνει τὴν κεφαλὴν τὰ ἐν αὐτῇ καὶ ποιεῖ τὸν ὕπνον· κινουμένης δὲ τῆς ψυχῆς κατὰ φύσιν οὐ καθεύδει· ζῇ γὰρ τότε μάλιστα. Τὸ δ' ἐγρηγορέναι τοῦ ζῆν αἴτιόν ἐστιν ἢ τὸ καθεύδειν.

1. Cur alios quidem, si legere cœperint, somnus obcupat, etiam nolentes; alios vero, ubi dormire volunt, liber susceptus vigilare facit? An in quibus motus spiritales sunt ob frigiditatem vel naturæ, vel humorum e genere atræ bilis propter quos excrementum spiritale crudum ob frigiditatem consistit, his quidem, ubi intelligentia movetur insistensque aliquantulum intelligere nequit, repellitur motu altero, qui refrigerandi vim habet: quapropter potius dormiunt; at ubi aliqua re intelligentia sua innituntur, id quod lectio efficit, a motu calefaciente moventur, quam nihil quum repellat, dormire non possunt; quorum autem secundum naturam habitus est, eorum cogitatio ubi alicui rei institerit, nec multifariam transfertur, utpote intentissima, cetera quoque sita eo in loco sistuntur, quorum requies somnus est; ubi autem mens constiterit et quasi fatigata est, caput adgravant quæ eo continentur (*alii*, caput adgravat, utpote quæ sita in eo sit), somnumque inducunt; at quum secundum naturam animus noster movetur, nullo tum somno premitur: tum enim maxime vivit. Vigilia autem quam somnus causa potius est cur vivamus.

2. Διὰ τί οἱ ἐριστικοὶ λόγοι γυμναστικοί εἰσιν; Ἢ ὅτι ἔχουσι τὸ νικᾶν ἢ ἡττᾶσθαι πυκνόν; Φιλονείκους οὖν εὐθὺς ποιοῦσιν· καὶ γὰρ νικῶντες διὰ τὸ χαίρειν προάγονται μᾶλλον ἐρίζειν καὶ ἡττώμενοι ὡς ἀναμαχούμενοι. Καὶ οἱ ἐν τοῖς ἄλλοις ἀγῶσι ταὐτό· διὸ καὶ μαχόμενοι καὶ ἥττους ὄντες πολλάκις οὐ βούλονται διαλύεσθαι.

2. Cur contentiosæ disputationes ingenia exercere possunt? An quod in eo disputandi genere adcidit ut crebro quis aut vincat, aut vincatur? Protinus ergo contentiosi hinc redduntur: nam et vincentes per lætitiam magis ad contendendum incitantur, et victi, utpote repugnaturi. Tum qui ceteris certandi generibus obcupantur, idem quoque faciunt: quamobrem et pugnantes, quamquam inferiores sunt, tamen sæpe disjungi nolunt.

3. Διὰ τί τοῖς παραδείγμασι χαίρουσιν ἄνθρωποι ἐν ταῖς ῥητορείαις καὶ τοῖς λόγοις μᾶλλον τῶν ἐνθυμημάτων; Ἢ ὅτι τῷ τε μανθάνειν χαίρουσι καὶ τῷ ταχύ; ῥᾷον δὲ διὰ τῶν παραδειγμάτων καὶ τῶν λόγων μανθάνουσιν· ἃ γὰρ ἴσασιν, ἔστι ταῦτα καὶ ἐπὶ μέρους, τὰ δ' ἐνθυμήματα ἀπόδειξίς ἐστιν ἐκ τῶν καθόλου, ἃ ἧττον ἴσμεν ἢ τὰ μέρη. Ἔτι οἷς ἂν μαρτυρῶσι πλείους, μᾶλλον πιστεύομεν, τὰ δὲ παραδείγματα καὶ οἱ λόγοι μαρτυρίαις ἐοίκασιν· αἱ δὲ διὰ τῶν μαρτύρων ῥᾴδιοι πίστεις. Ἔτι τὸ ὅμοιον μανθάνουσιν ἡδέως, τὸ δὲ παράδειγμα καὶ οἱ μῦθοι τὸ ὅμοιον δεικνύουσιν.

3. Cur homines in exercitiis rhetoricis exemplis et fabulis potius gaudent quam argumentationibus? An quia discere gaudent, idque celeriter? atqui per exempla et fabulas facilius discunt: sunt enim quæ explorata habent, particularia nempe: argumentationes vero demonstratio ex universalibus sunt, quæ minus quam partes novimus. Ad hæc iis credimus potius, quæ plurium testimonio confirmantur; exempla autem et fabellæ testibus similia sunt, fidesque facilis est, quam testes fecerint. Adde quod simile libenter discunt, exemplum autem et fabellæ simile docent.

4. Διὰ τί ῥήτορα μὲν καὶ στρατηγὸν καὶ χρηματιστὴν λέγομεν δεινόν, αὐλητὴν δὲ καὶ ὑποκριτὴν οὐ λέγομεν; Ἢ ὅτι τῶν μὲν ἡ δύναμις ἄνευ πλεονεξίας (ἡδονῆς γὰρ στοχαστική ἐστι), τῶν δὲ πρὸς τὸ πλεονεκτεῖν; ῥήτωρ γὰρ καὶ στρατηγὸς καὶ χρηματιστὴς ἀγαθός ἐστιν ὁ δυνάμενος πλέον ἔχειν, ἡ δὲ δεινότης μάλιστα ἐν τῷ πλεονεκτεῖν ἐστιν.

4. Cur rhetorem quidem imperatoremque et argentarium callidum adpellamus, tibicinem vero histrionemque hoc nomine non adpellamus? An quod horum quidem facultas sine cupiditate est (oblectationem enim tantummodo adsequi conatur), illorum autem lucrum spectat? bonus enim rhetor et imperator et argentarius est qui lucrari potest; calliditas autem lucrum maxime respicit.

5. Διὰ τί τὸν φιλόσοφον τοῦ ῥήτορος οἴονται διαφέρειν; Ἢ ὅτι ὁ μὲν τί ἐστιν ἀδικία, ὁ δὲ ὡς ἄδικος ὁ δεῖνα, καὶ ὁ μὲν ὅτι τύραννος, ὁ δὲ οἷον ἡ τυραννίς;

5. Cur philosophum differre ab oratore putant? An quod alter quidem quidnam injustitia sit dicit, alter vero hunc illumve injustum esse, et alter quidem hunc illumve tyrannum esse, alter vero quale quid sit tyrannis?

6. Διὰ τί, ἅπερ ἄν τινες προέλωνται, ἐνδιατρίβουσι τούτοις ἐνίοτε φαύλοις οὖσι μᾶλλον ἢ ἐν τοῖς σπουδαιοτέροις, οἷον θαυματοποιός, ἢ μῖμος, ἢ συρικτὴς μᾶλλον ἢ ἀστρονόμος, ἢ ῥήτωρ εἶναι ἂν βούλοιτο ὁ ταῦτα προελόμενος; Ἢ ὅτι βούλονται μὲν ἔνιοι τὰ σπουδαιότατα μεταχειρίζεσθαι, διὰ δὲ τὸ μὴ πιστεύειν ἑαυτοῖς ὡς δυνησομένοις, διὰ τοῦτο οὐ πράττουσιν; Ἢ ὅτι ἐν οἷς οἴεται ἕκαστος κρατιστεύειν, ταῦτα προαιρεῖται· ὃ δὲ αἱρεῖται, καὶ ἐπὶ τοῦτ' ἐπείξεται, νέμων τὸ πλεῖστον ἡμέρας αὐτῷ μέρος, ἵνα αὐτὸς αὑτοῦ τυγχάνῃ κράτιστος ὤν; Ὅ τι δ' ἄν τινες ἐξ ἀρχῆς προέλωνται καὶ οἷς ἂν συνεθισθῶσιν, οὐδὲ κρίνειν ἔτι δύνανται τὰ βελτίω· διέφθαρται γὰρ ἡ διάνοια διὰ φαύλας προαιρέσεις.

6. Cur in iis studiis quæ aliqui sibi delegerint, quamquam interdum pravis, libentius tamen quam in honestioribus versantur, verbi gratia præstigiator, aut mimus, aut tibicen quam astronomus aut rhetor esse mavelit qui hæc sibi delegerit? An quia volunt quidem nonnulli res honestissimas tractare, sed quoniam minus sibi confidunt se posse efficere, ideo non ita agunt? An quia res, in quibus sese excellere quisque arbitratur, eas deligit sibi; quod autem deligit, eidem quoque operam dabit, illi partem diei maximam tribuens, ut se ipse præstantior evadat? Quin etiam quod principio aliqui sibi delegerint quibusque insueverint, in iis ne judicare quidem possunt quidnam melius sit: mens enim eorum corrupta est propter prava studia.

7. Διὰ τί τοὺς μέν, ἂν ἄρξωνται ἀναγινώσκειν, ὕπνος λαμβάνει καὶ μὴ βουλομένους, τοὺς δὲ οὐ βουλομένους ποιεῖ δύνασθαι, ὅταν λάβωσι βιβλίον; Ἢ ὅσοις μέν εἰσι πνευματικαὶ κινήσεις διὰ ψυχρότητα φύσεως, ἢ μελαγχολικῶν χυμῶν, δι' οὓς περίττωμα γίνεται πνευματικὸν ἄπεπτον διὰ ψυχρότητα, τούτοις ὅταν μὲν κινῆται ἡ διάνοια καὶ μὴ νοῇ ἐπιστήσασά τι, ἐκκρούεται ἡ ἑτέρα κίνησις· διὸ μᾶλλον μεταβάλλοντες πολὺ τὴν διάνοιαν καθεύδουσιν· ἡττᾶται γὰρ ἡ πνευματική· ὅταν δ' ἐρείσωσι πρός τι τὴν διάνοιαν, ὅπερ ἡ ἀνάγνωσις ποιεῖ, κινοῦνται ὑπὸ τῆς πνευματικῆς κινήσεως, οὐκ ἐκκρουομένης ὑπ' οὐδενός, ὥστ' οὐ δύνανται καθεύδειν. Τῶν δὲ κατὰ φύσιν ἐχόντων ὅταν στῇ πρὸς ἓν ἡ διάνοια καὶ μὴ μεταβάλλῃ πολλαχῇ, ἵσταται καὶ τὰ ἄλλα ὅσα περὶ τὸν τόπον, ὧν ἠρέμησις ὁ ὕπνος ἐστίν· ἑνὸς γὰρ κυρίου στάντος, ὥσπερ ἐν τρο-

7. Cur alios quidem, si legere cœperint, somnus obcupat vel nolentes; aliis vero dormire nolentibus liber susceptus facultatem hanc impertit? An in quibus motus sunt spiritales ob frigiditatem vel naturæ, vel humorum e genere atræ bilis, propter quos excrementum spiritale crudum ob frigiditatem consistit, apud hos quidem ubi cogitatio movetur insistensque aliquantulum intelligere nequit, expellitur motus alter: quapropter potius, ubi cogitationem multifariam transferunt, dormiunt: motus enim spiritalis superatur; at ubi aliqua re cogitatione innisi fuerint, id quod lectio efficit, a motu spiritali moventur, isque a nullo alio expellitur, ita ut dormire non possint. Quorum autem habitus secundum naturam est, eorum cogitatio ubi aliqua in re una consistit, nec multifariam transfertur, cetera quoque sita circa hunc locum sistuntur, quorum requies somnus est: ubi enim pars una, quæ potissima sit, con-

πῇ, καὶ τὰ ἄλλα μόρια ἵστασθαι πέφυκεν· φύσει γὰρ ἄνω τὸ κοῦφον φέρεται, τὸ δὲ βαρὺ κάτω. Ὅταν οὖν ἡ ψυχὴ κινῆται κατὰ φύσιν, οὐ καθεύδει· οὕτω γὰρ ἔχει· ὅταν δὲ στῇ καὶ οἷον κοπιάσῃ, ὁ μὲν νοῦς μεταβάλλει, καὶ ἄνω τὰ σωματώδη πρὸς τὴν κεφαλὴν ἰόντα ποιεῖ τὸν ὕπνον. Δόξειε δ' ἂν ἡ ἀνάγνωσις κωλύειν καθεύδειν· ἔστι δὲ οὐ διὰ τὸ νοεῖν (ὥρισται γὰρ τότε μᾶλλον ἡ ψυχή), ἀλλὰ διὰ τὸ μεταβάλλειν ἡ ἀγρυπνία, ἐπεὶ καὶ νοήσεις αἱ τοιαῦται ἄγρυπνοί εἰσιν, ἐν αἷς ζητεῖ ἡ ψυχὴ καὶ ἀπορεῖ, ἀλλ' οὐκ ἐν αἷς ἀεὶ θεωρεῖ· ἐκεῖναι μὲν γὰρ ἀοριστεῖν ποιοῦσιν, αὗται δ' οὔ.

stiterit, ceteræ quoque partes natura sua consistunt, perinde ac in copiis, quæ versæ in fugam fuerint: natura enim sursum fertur quod leve est, deorsum autem quod grave. Ubi igitur anima secundum naturam movetur, non dormit: ita enim se habet; at ubi constiterit et quasi fatigata subcubuerit, mens immutatur, et elementa corporea sursum caput petentia faciunt somnum. Lectio vero prohibere somnum videri possit; fit tamen vigilia non propter cogitationem (anima enim tunc magis definitur), sed propter mutationem, quandoquidem et cogitationes ejusmodi vigiliam pariunt, in quibus anima quærit et dubitat, non illæ in quibus semper contemplatur, quum illæ quidem fines delent, hæ vero non.

8. Διὰ τί ἐν τοῖς ἐριστικοῖς οὐκ ἔνεστιν ἀδολεσχία; Ἢ ὅτι συλλογισμός ἐστι φαινόμενος, ἐν ὀλίγοις δ' ὁ συλλογισμός, καὶ ἐὰν μηκύνῃ, χρόνου γινομένου ὁ παραλογισμὸς δῆλος, καὶ ἔστιν ὃ ἔδωκεν ἀναλαβεῖν;

8. Cur in disputationibus contentiosis nugatio non incidit? An quod syllogismus res evidens est, isque paucis continetur; quin etiam si protrahatur tempore intercedente, ratiocinationis falsitas manifesta fit, et revocare quod dederit, licet?

9. Διὰ τί ποτε τῶν ἱστοριῶν ἥδιον ἀκούομεν τῶν περὶ ἓν συνεστηκυιῶν ἢ τῶν περὶ πολλὰ πραγματευομένων; Ἢ διότι τοῖς γνωριμωτέροις μᾶλλον προσέχομεν καὶ ἥδιον αὐτῶν ἀκούομεν· γνωριμώτερον δ' ἐστὶ τὸ ὡρισμένον τοῦ ἀορίστου; Τὸ μὲν οὖν ἓν ὥρισται, τὰ δὲ πολλὰ τοῦ ἀπείρου μετέχει.

9. Quamobrem tandem libentius narrationes audimus, quæ circa rem unam consistunt, quam quæ multas pertractant? An quod rebus magis adtendimus notioribus, easque libentius audimus; notius autem finitum est quam indeterminatum? Atqui unicum finitum est, multiplicia autem infinitum participant.

10. Διὰ τί ἡδόμεθα ἀκούοντες τὰ μήτε λίαν παλαιά, μήτε κομιδῇ νέα; Ἢ διότι τοῖς μὲν πόρρω ἀφ' ἡμῶν ἀπιστοῦμεν, ἐφ' οἷς δ' ἀπιστοῦμεν, οὐχ ἡδόμεθα· τὰ δ' ὥσπερ ἔτι αἰσθανόμεθα, καὶ περὶ τούτων ἀκούοντες οὐχ ἡδόμεθα;

10. Cur nos rerum narratio oblectat, quæ nec nimium veteres sunt, nec admodum novæ? An quod rebus fidem negamus quæ procul a nobis absunt, quibus vero fidem negamus, iis non oblectamur; has vero adhuc quasi sentimus, atque de his audientes non oblectamur?

ΤΜΗΜΑ ΙΘ.

ΟΣΑ ΠΕΡΙ ΑΡΜΟΝΙΑΝ.

SECTIO XIX.

QUÆ AD CONCENTUM PERTINENT.

1. Διὰ τί οἱ πονοῦντες καὶ οἱ ἀπολαύοντες αὐλοῦνται; Ἢ ἵνα οἱ μὲν ἧττον λυπῶνται, οἱ δὲ μᾶλλον χαίρωσιν;

1. Cur tam in laborando quam in fruendo tibia canunt? An laborantes quidem ut minus adfligantur, fruentes vero ut magis oblectentur?

2. Διὰ τί πορρωτέρω ὁ αὐτὸς τῇ αὐτῇ φωνῇ γεγωνεῖ μετ' ἄλλων ᾄδων καὶ βοῶν ἢ μόνος; Ἢ ὅτι τὸ ἀθρόως τι ποιεῖν, ἢ θλίβειν, ἢ ὠθεῖν οὐ τοσαυταπλάσιόν ἐστιν ὅσος ὁ ἀριθμός, ἀλλ' ὥσπερ ἡ γραμμὴ ἡ δίπους οὐ διπλάσιον, ἀλλὰ τετραπλάσιόν τι γράφει, οὕτω τὰ συντιθέμενα πλέον ἰσχύει κατὰ τὸν ἀριθμὸν ἢ ὅταν ᾖ διῃρημένα; Ἀθρόων οὖν ὄντων μία γίνεται ἡ τῆς φωνῆς ἰσχὺς καὶ ἅμα ὠθεῖ τὸν ἀέρα, ὥστε πολλαπλάσιον προϊέναι· καὶ γὰρ ἡ ἐκ πάντων φωνὴ μιᾶς ἑκάστης πολλαπλάσιος.

2. Cur idem voce eadem utens longius resonat, si cum aliis cantat aut clamat quam si solus? An quia viribus universis simul agere quidpiam, vel premere, vel trudere non tantuplum est quantus singulorum numerus est, sed quemadmodum linea bipedalis non duplum, sed quadruplum quid describit, sic composita numero plus valent quam ubi separata sunt? Ergo ubi universi simul agunt, vocis potentia una redditur, unoque impetu aera propellit, ita ut projicere multiplicem valeat copiam, quippe quum vox quæ ab omnibus proficiscitur, uniuscujusque multiplex sit.

3. Διὰ τί τὴν παρυπάτην ᾄδοντες μάλιστα ἀπορρήγνυνται, οὐχ ἧττον ἢ τὴν νήτην καὶ τὰ ἄνω, μετὰ δὲ διαστάσεως πλείονος; Ἢ ὅτι χαλεπώτατα ταύτην ᾄδουσι, καὶ αὕτη ἀρχή; τὸ δὲ χαλεπὸν διὰ τὴν ἐπίτασιν καὶ πίεσιν τῆς φωνῆς· ἐν τούτοις δὲ πόνος· πονοῦντα δὲ μᾶλλον διαφθείρεται.

3. Cur maxime in cantanda parhypate vox abrumpitur, non minus quam in nete superioribusque, sed cum majori dilatatione? An quod ejus cantus et perdifficilis est, et cantandi principium est? difficultas enim ab intentione pressuraque vocis pendet, atque in his labor consistit; corrumpi autem quæque potius solent, quoties labore obprimuntur.

4. Διὰ τί δὲ ταύτην χαλεπῶς, τὴν δ' ὑπάτην ῥᾳδίως, καίτοι δίεσις ἑκατέρας; Ἢ ὅτι μετ' ἀνέσεως ἡ ὑπάτη, καὶ ἅμα μετὰ τὴν σύστασιν ἐλαφρὸν τὸ ἄνω βάλλειν; Διὰ ταὐτὸ δ' ἔοικε καὶ τὰ πρὸς μίαν λεγόμενα πρὸς ταύτην, ἢ παρανήτην· δεῖ γὰρ μετὰ συννοίας καὶ καταστάσεως οἰκειοτάτης τῷ ἤθει πρὸς τὴν βούλησιν. Τοῦ δὲ δὴ μετὰ συμφωνίας τίς ἡ αἰτία;

4. Sed cur hæc difficile, hypate vero facile cantatur, etiamsi diesis sit utriusque intervallum? An quod hypate cum remissione cantatur; tum quoque leviter post systema adscenditur? Hæc eadem causa esse videtur, cur quæ ad unam (quæ violenta?) vocantur, ad hanc paranetemve fiant: nam cum mentis intentione conditioneque aptissima consuetudini adlaborandum est ut consilium adsequaris. Verum quænam causa est, cur cum symphonia fiat?

5. Διὰ τί ἥδιον ἀκούουσιν ᾀδόντων ὅσα ἂν προεπιστάμενοι τυγχάνωσι τῶν μελῶν ἢ ὧν μὴ ἐπίστανται; Πότερον ὅτι μᾶλλον δῆλος ὁ τυγχάνων ὥσπερ σκοποῦ, ὅταν γνωρίζωσι τὸ ᾀδόμενον, τοῦτο δ' ἡδὺ θεωρεῖν; Ἢ ὅτι ἡδὺ τὸ μανθάνειν; Τούτου δ' αἴτιον ὅτι τὸ μὲν λαμβάνειν τὴν ἐπιστήμην, τὸ δὲ χρῆσθαι καὶ ἀναγνωρίζειν ἐστίν. Ἔτι καὶ τὸ σύνηθες ἡδὺ μᾶλλον τοῦ ἀσυνήθους.

5. Cur suavius cantilenas quascumque antea noverimus, canere audimus quam eas quas ignoramus? Utrum quia, ubi quod cantatur adgnoscimus, melius patet cantorem veluti scopum adsequi; id autem contemplatu suave est? An quod discere lætabile est? Hujus autem rei causa est, quod alterum quidem capienda doctrina constat, alterum vero eo ut disciplina utamur eamque recognoscamus. Adde etiam quod res solita suavior quam insolita est.

6. Διὰ τί ἡ παρακαταλογὴ ἐν ταῖς ᾠδαῖς τραγικόν; Ἢ διὰ τὴν ἀνωμαλίαν; παθητικὸν γὰρ τὸ ἀνωμαλὲς καὶ ἐν μεγέθει τύχης, ἢ λύπης· τὸ δὲ ὁμαλὲς ἔλαττον γοῶδες.

6. Cur paracataloge in cantando tragica est? An propter inæqualitatem? adfectu namque plena est inæqualitas adcommodaturque magnitudini calamitatis, aut mœroris; contra quod æquale est, minus est lugubre.

7. Διὰ τί οἱ ἀρχαῖοι ἑπταχόρδους ποιοῦντες ἁρμονίας τὴν ὑπάτην, ἀλλ' οὐ τὴν νήτην κατέλιπον; Πότερον τοῦτο ψεῦδος (ἀμφοτέρας γὰρ κατέλιπον, τὴν δὲ τρίτην ἐξῄρουν), ἢ οὔ, ἀλλ' ὅτι ἡ βαρυτέρα ἰσχύει τὸν τῆς ὀξυτέρας φθόγγον, ὥστε μᾶλλον ἡ ὑπάτη ἀπεδίδου τὸ ἀντίφωνον ἢ ἡ νήτη, ἐπεὶ τὸ ὀξὺ δυνάμεως μᾶλλον, τὸ δὲ βαρὺ ῥᾷον φθέγξασθαι;

7. Cur veteres, septem fidibus concentus disponentes hypaten, non vero neten relinquebant? Utrum falso id dicitur (earum enim utramque servarunt, sed triten tollebant), an non, sed quia gravior sonum valet acutioris, ita ut hypate magis antiphonum redderet quam nete? nam acutum vim desiderat pleniorem, grave vero exprimi facilius potest.

8. Διὰ τί ἡ βαρεῖα τὸν τῆς ὀξείας ἰσχύει φθόγγον; Ἢ ὅτι μεῖζον τὸ βαρύ; τῇ γὰρ ἀμβλείᾳ ἔοικε, τὸ δὲ τῇ ὀξείᾳ γωνίᾳ.

8. Cur gravis sonum valet acutæ? An quia majus quod grave est? grave enim obtuso, acutum vero acuto angulo simile est.

9. Διὰ τί ἥδιον τῆς μονῳδίας ἀκούομεν, ἐάν τις πρὸς αὐλὸν ἢ λύραν ᾄδῃ, καίτοι πρὸς χορδὰς καὶ τὸ αὐτὸ μέλος ᾄδουσιν ἀμφοτέρως; εἰ γὰρ ἔτι μᾶλλον τὸ αὐτό, πλέον ἔδει πρὸς πολλοὺς αὐλητάς, καὶ ἔτι ἥδιον εἶναι. Ἢ ὅτι τυγχάνων δῆλος τοῦ σκοποῦ μᾶλλον, ὅταν πρὸς αὐλὸν ἢ λύραν; τὸ δὲ πρὸς πολλοὺς αὐλητὰς ἢ λύρας πολλὰς οὐχ ἥδιον, ὅτι ἀφανίζει τὴν ᾠδήν.

9. Cur solitariam cantilenam lubentius audimus, si ad tibiam quam si ad lyram cantet aliquis, etiamsi ad fides cantilenam eamdem modo utroque canant? nam si idem ita amplius esset, magis adhuc id fieri deberet, si ad multos tibicines caneret, atque etiam tunc suavius esse oporteret. An quoniam evidentius est cantorem scopum adsequi, ubi ad tibiam quam ubi ad lyram cantat? ad multos enim tibicines, vel multas lyras ubi canitur, gratius non est, quia cantilenam obfuscant.

10. Διὰ τί, εἰ ἥδιον ἡ ἀνθρώπου φωνή, ἡ ἄνευ λόγου ᾄδοντος οὐχ ἡδίων ἐστίν, οἷον τερετιζόντων, ἀλλ' αὐλός, ἢ λύρα; Ἢ οὐδ' ἐκεῖ, ἐὰν μὴ μιμῆται, ὁμοίως ἡδύ; Οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἔργον αὐτό· ἡ μὲν γὰρ φωνὴ ἡδίων ἡ τοῦ ἀνθρώπου, κρουστικὰ δὲ μᾶλλον τὰ ὄργανα τοῦ στόματος· διὸ ἥδιον ἀκούειν ἢ τερετίζειν.

10. Cur si vox hominis suavior est, non ejus qui sine sermone cantat, suavior, verbi gratia præludentis, sed tibia lyrave? An ne tunc quidem æque suavis est, nisi imitetur? Verum enimvero et propter laborem ipsum: vox enim hominis suavior quidem est; instrumenta vero pulsandi vim obtinent pleniorem: quamobrem suaviora auditu sunt quam prælusio.

11. Διὰ τί ἡ ἀπηχοῦσα ὀξυτέρα; Ἢ ὅτι ἔλαττον, ἀσθενεστέρα γινομένη;

11. Cur vox desinens acutior est? An quia minor, ut quæ imbecillior fit?

12. Διὰ τί τῶν χορδῶν ἡ βαρυτέρα ἀεὶ τὸ μέλος λαμβάνει; ἂν γὰρ δέηται ᾆσαι τὴν παραμέσην, σὺν ψιλῇ τῇ μέσῃ γίνεται τὸ μέσον οὐθὲν ἧττον· ἐὰν δὲ τὴν μέσην, δέον ἄμφω ψιλά, οὐ γίνεται. Ἢ ὅτι τὸ βαρὺ μέγα ἐστίν, ὥστε κρατερόν, καὶ ἔνεστιν ἐν τῷ μεγάλῳ τὸ μικρόν; Καὶ τῇ διαλήψει δύο νῆται ἐν τῇ ὑπάτῃ γίνονται.

12. Quamobrem quæ gravior e fidibus est, huic semper actus modulandi committitur? nam si paramesen canere oportet, cum nuda mese fit tempus intermedium nihilo minus; at si mesen, etiamsi utraque nuda provenire deberet, non fit. An quia magnum quod grave est, atque eapropter validum est, inestque in magno quod parvum est? Præterea duæ netæ in hypate continentur, quoad intervallum.

13. Διὰ τί ἐν τῇ διὰ πασῶν τοῦ μὲν ὀξέος ἀντίφωνον γίνεται τὸ βαρύ, τούτου δὲ τὸ ὀξὺ οὔ; Ἢ ὅτι μάλιστα μὲν ἐν ἀμφοῖν ἐστι τὸ ἀμφοῖν μέλος, εἰ δὲ μή, ἐν τῷ βαρεῖ; μεῖζον γάρ.

13. Cur in consonantia diapason grave quidem acuti antiphonum fit, gravis vero acutum non? An quod maxime quidem in utroque modulus utriusque continetur, sin vero minus, certe in gravi? majus enim hoc est.

14. Διὰ τί λανθάνει τὸ διὰ πασῶν, καὶ δοκεῖ ὁμόφωνον εἶναι, οἷον ἐν τῷ φοινικίῳ καὶ ἐν τῷ ἀνθρώπῳ; τὰ γὰρ ἐν τοῖς ὀξέσιν ὄντα οὐχ ὁμόφωνα, ἀλλ' ἀνάλογον ἀλλήλοις διὰ πασῶν. Ἢ ὅτι ὥσπερ ὁ αὐτὸς εἶναι δοκεῖ φθόγγος; διὰ τὸ ἀνάλογον ἰσότης ἐπὶ φθόγγων, τὸ δ' ἴσον τοῦ ἑνός. Ταὐτὸ δὲ τοῦτο καὶ ἐν ταῖς σύριγξιν ἐξαπατῶνται.

14. Cur diapason consonantia latitat et unisonum esse videtur, velut in punicea (*alii* tibia punica) et homine (*alii* atropo)? consonantiæ namque diapason quæ ab acutis proveniunt instrumentis, non unisonæ videntur, sed ex proportione diapason sibi invicem respondent. An quoniam sonus quasi idem esse videtur? a proportione enim æqualitas in sonis pendet, æquale autem ad unitatem referendum est. Hoc eodem in fistulis etiam decipiuntur.

15. Διὰ τί οἱ μὲν νόμοι οὐκ ἐν ἀντιστρόφοις ἐποιοῦντο, αἱ δ' ἄλλαι ᾠδαὶ αἱ χορικαί; Ἢ ὅτι οἱ μὲν νόμοι ἀγωνιστῶν ἦσαν, ὧν ἤδη μιμεῖσθαι δυναμένων καὶ διατείνεσθαι ἡ ᾠδὴ ἐγίνετο μακρὰ καὶ πολυειδής; Καθάπερ οὖν καὶ τὰ ῥήματα, καὶ τὰ μέλη τῇ μιμήσει ἠκολούθει ἀεὶ ἕτερα γινόμενα· μᾶλλον γὰρ τῷ μέλει ἀνάγκη μιμεῖσθαι ἢ τοῖς ῥήμασιν· διὸ καὶ οἱ διθύραμβοι, ἐπειδὴ μιμητικοὶ ἐγένοντο, οὐκέτι ἔχουσιν ἀντιστρόφους, πρότερον δ' εἶχον. Αἴτιον δ' ὅτι τὸ παλαιὸν οἱ ἐλεύθεροι ἐχόρευον αὐτοί· πολλοὺς οὖν ἀγωνιστικῶς ᾄδειν χαλεπὸν ἦν, ὥστ' ἐναρμόνια μέλη ἐνῇδον· μεταβάλλειν γὰρ πολλὰς μεταβολὰς τῷ ἑνὶ ῥᾷον ἢ τοῖς πολλοῖς, καὶ τῷ ἀγωνιστῇ ἢ τοῖς τὸ ἦθος φυλάττουσιν· διὸ ἁπλούστερα ἐποίουν αὐτοῖς τὰ μέλη· ἡ δ' ἀντίστροφος ἁπλοῦν· ἀριθμὸς γάρ ἐστι καὶ ἑνὶ μετρεῖται. Τὸ δ' αὐτὸ αἴτιον καὶ διότι τὰ μὲν ἀπὸ τῆς σκηνῆς οὐκ ἀντίστροφα, τὰ δὲ τοῦ χοροῦ ἀντίστροφα· ὁ μὲν γὰρ ὑποκριτὴς ἀγωνιστὴς καὶ μιμητής, ὁ δὲ χορὸς ἧττον μιμεῖται.

15. Cur genus cantilenæ quod lex adpellatum est, non per antistrophos olim agebatur, verum cetera chorearum cantica? An quod olim quidem leges ad athletas musicos pertinebant, quorum, quum imitari atque pertendere possent, cantus jam et prolixus et varius fiebat? Itaque ut verba, sic etiam moduli imitationem sequebantur, ita ut semper alii fierent: imitari namque modulamine potius quam verbis necesse est: quamobrem dithyrambi etiam, postquam imitationi inservire cœperunt, antistrophis amplius non utuntur, quamquam antea uterentur. Cujus rei causa est, quod olim homines liberi choros agebant: itaque multos esse qui fungi cantu certatorio possent, erat difficile: quapropter modulos concinnos cantabant: uni enim crebro cantilenam variare facilius est quam vulgo, et athletæ quam qui mores servant: quocirca simpliciores illis faciebant modulos; antistrophus autem simplex est, quippe qui numerus est unitateque mensuratur. Hæc eadem causa est cur et in scena quidem antistrophi nullus sit usus, cantica vero chorica reciprocent: histrio namque simul et athleta et imitator est, chorus autem minus imitatur.

16. Διὰ τί ἥδιον τὸ ἀντίφωνον τοῦ συμφώνου; Ἢ ὅτι μᾶλλον διάδηλον γίνεται τὸ συμφωνεῖν ἢ ὅταν πρὸς τὴν συμφωνίαν ᾄδῃ; ἀνάγκη γὰρ τὴν ἑτέραν ὁμοφωνεῖν, ὥστε δύο πρὸς μίαν φωνὴν γινόμεναι ἀφανίζουσι τὴν ἑτέραν.

16. Qua de causa antiphonum gratius quam unisonum est? An quod tunc manifestior fit consonantia quam ubi voce unisona cantatur? alteram enim vocem idem sonare necesse est, ita ut, quum inde duæ proveniant voces adversus unam certantes, hæ alteram obfuscent.

17. Διὰ τί πέντε οὐχ ᾄδουσιν ἀντίφωνα; Ἢ ὅτι οὐχ ἡ αὐτὴ ἡ σύμφωνος τῇ συμφωνίᾳ, ὥσπερ ἐν τῷ διὰ πασῶν; ἐκείνη γὰρ ἐν τῷ βαρεῖ ἀνάλογον, ὡς ἡ ὀξεῖα ἐν τῷ ὀξεῖ (ὥσπερ οὖν ἡ αὐτή ἐστιν ἅμα καὶ ἄλλη)· αἱ δ' ἐν τῷ διὰ πέντε καὶ διὰ τεττάρων οὐκ ἔχουσιν οὕτως, ὥστ' οὐκ ἐμφαίνεται ὁ τῆς ἀντιφώνου φθόγγος· οὐ γάρ ἐστιν ὁ αὐτός.

17. Cur in diapente consonantia numquam antiphonis cantatur? An quod non eadem vox quæ simul resonat, ac ea quacum consonat, quemadmodum in diapason concinentia? ea enim in gravitate eamdem servat rationem quam acuta in acumine (itaque simul quasi eadem est et diversa vox); at vero in diapente atque diatessaron concinentiis non ita sese habent soni, ita ut non emergat antiphonus, quoniam idem non est.

18. Διὰ τί ἡ διὰ πασῶν συμφωνία ᾄδεται μόνη; μαγαδίζουσι γὰρ ταύτην, ἄλλην δ' οὐδεμίαν. Ἢ ὅτι μόνη ἐξ ἀντιφώνων ἐστὶ χορδῶν, ἐν δὲ τοῖς ἀντιφώνοις καὶ τὴν ἑτέραν ἐὰν ᾄδῃ, τὸ αὐτὸ ποιεῖ; ἡ γὰρ μία τρόπον τινὰ τὰς ἀμφοτέρων ἔχει φωνάς, ὥστε καὶ μιᾶς ᾀδομένης ἐν ταύτῃ τῇ συμφωνίᾳ ᾄδεται ἡ συμφωνία,

18. Cur sola diapason consonantia cantatur? hanc enim magadizant, nec ullam aliam. An quod hæc sola ex fidibus antiphonis constat, inque antiphonis si alteram canas, idem efficis? voces enim ambarum una quodam modo illa continet, ita ut in hoc consonandi genere tum ubi una canitur, tota canatur consonantia, tum ubi ambæ, aut ubi

καὶ ἄμφω ᾄδοντες, ἢ τῆς μὲν ᾀδομένης, τῆς δ' αὐλουμένης, ὥσπερ μίαν ἄμφω ᾄδουσιν· διὸ μόνη μελῳδεῖται, ὅτι μιᾶς ἔχει χορδῆς φωνὴν τὰ ἀντίφωνα.

19. Διὰ τί δὲ ταῖς ἀντιφώνοις τοῦτο μόναις ὑπάρχει; Ἢ ὅτι μόναι ἴσον ἀπέχουσι τῆς μέσης; Ἡ οὖν μεσότης ὁμοιότητά τινα ποιεῖ τῶν φθόγγων, καὶ ἔοικεν ἡ ἀκοὴ λέγειν ὅτι ἡ αὐτὴ καὶ ὅτι ἀμφότεραι ἔσχαται.

20. Διὰ τί, ἐὰν μέν τις τὴν μέσην κινήσῃ ἡμῶν, ἁρμόσας τὰς ἄλλας χορδάς, καὶ χρῆται τῷ ὀργάνῳ, οὐ μόνον ὅταν κατὰ τὸν τῆς μέσης γένηται φθόγγον, λυπεῖ καὶ φαίνεται ἀνάρμοστον, ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μελῳδίαν· ἐὰν δὲ τὴν λιχανόν, ἤ τινα ἄλλον φθόγγον, τότε φαίνεται διαφέρειν μόνον, ὅταν κἀκείνῃ τις χρῆται; Ἢ εὐλόγως τοῦτο συμβαίνει; πάντα γὰρ τὰ χρηστὰ μέλη πολλάκις τῇ μέσῃ χρῆται, καὶ πάντες οἱ ἀγαθοὶ ποιηταὶ πυκνὰ πρὸς τὴν μέσην ἀπαντῶσι, κἂν ἀπέλθωσι, ταχὺ ἐπανέρχονται, πρὸς δ' ἄλλην οὕτως οὐδεμίαν. Καθάπερ ἐκ τῶν λόγων ἐνίων ἐξαιρεθέντων συνδέσμων οὐκ ἔστιν ὁ λόγος Ἑλληνικός, οἷον τὸ τέ καὶ τὸ καί, ἔνιοι δ' οὐθὲν λυποῦσι, διὰ τὸ τοῖς μὲν ἀναγκαῖον εἶναι χρῆσθαι πολλάκις, εἰ ἔσται λόγος, τοῖς δὲ μή, οὕτω καὶ τῶν φθόγγων ἡ μέση ὥσπερ σύνδεσμός ἐστι, καὶ μάλιστα τῶν καλῶν, διὰ τὸ πλειστάκις ἐνυπάρχειν τὸν φθόγγον αὐτῆς.

21. Διὰ τί τῶν ᾀδόντων οἱ βαρύτερον ᾄδοντες τῶν ὀξὺ ᾀδόντων, ἐὰν ἀπᾴδωσι, μᾶλλον κατάδηλοι γίνονται; Ὁμοίως δὲ καὶ τῷ ῥυθμῷ οἱ ἐν τῷ βαρυτέρῳ πλημμελοῦντες κατάδηλοι μᾶλλον. Πότερον ὅτι πλείων ὁ χρόνος ὁ τοῦ βαρέος, οὗτος δὲ μᾶλλον αἰσθητός; Ἢ ὅτι ἐν πλείονι χρόνῳ πλείω αἴσθησιν παρέχει, τὸ δὲ ταχὺ καὶ ὀξὺ λανθάνει διὰ τὸ τάχος;

22. Διὰ τί οἱ πολλοὶ μᾶλλον ᾄδοντες τὸν ῥυθμὸν σώζουσιν ἢ οἱ ὀλίγοι; Ἢ ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέπουσι, καὶ βραδύτερον ἄρχονται, ὥστε ῥᾷον τοῦ αὐτοῦ τυγχάνουσιν; ἐν γὰρ τῷ τάχει ἡ ἁμαρτία πλείων.

23. Διὰ τί διπλασία ἡ νήτη τῆς ὑπάτης; Ἢ πρῶτον μὲν ὅτι ἐκ τοῦ ἡμίσεος ἡ χορδὴ ψαλλομένη καὶ ὅλη συμφωνοῦσα διὰ πασῶν; Ὁμοίως δ' ἔχει καὶ ἐπὶ τῶν συρίγγων· ἡ γὰρ διὰ τοῦ μέσου τῆς σύριγγος τρήματος φωνὴ τῇ δι' ὅλης τῆς σύριγγος συμφωνεῖ διὰ πασῶν. Ἔτι ἐν τοῖς ἄλλοις τῷ διπλασίῳ διαστήματι λαμβάνεται τὸ διὰ πασῶν, καὶ οἱ αὐλοτρῦπαι οὕτω λαμβάνουσιν. Ὁμοίως δὲ καὶ τὸ διὰ πέντε τῷ ἡμιολίῳ, ὅτι οἱ τὰς σύριγγας ἁρμοττόμενοι εἰς μὲν τὴν ὑπάτην ἄκραν τὸν κηρὸν ἐμπλάττουσι, τὴν δὲ νήτην μέχρι τοῦ ἡμίσεος ἀναπληροῦσιν. Ὁμοίως δὲ καὶ τὴν διὰ πέντε τῷ ἡμιολίῳ καὶ τὴν διὰ τεττάρων τῷ ἐπιτρίτῳ διαστήματι λαμβάνουσιν. Ἔτι οἱ ἐν τοῖς τριγώνοις ψαλτηρίοις τῆς ἴσης ἐπιτάσεως γινομένης συμφωνοῦσι διὰ πασῶν, ἡ μὲν διπλασία οὖσα, ἡ δ' ἡμίσεια τῷ μήκει.

altera quidem voce canitur, altera vero tibia, quasi eamdem uterque canit: quamobrem solam hanc modulantur, eo scilicet quod antiphona vocem obtinent chordæ ejusdem.

19. Sed cur solis antiphonis datum hoc est? An quod solæ pari intervallo distant a media? Itaque medietas similitudinem quamdam sonorum efficit, et sensus eas ambas et eamdem et extremas esse dicere videtur.

20. Cur si quis nostrum ceteris omnibus nervis concinnatis, mediam quidem turbet instrumentoque utatur, non solum ubi ad mediæ sonum devenerit, sed etiam ceteris modulandi partibus, molestiam adfert, atque incomposita adparet cantilena; sed si lichanon, aut quemquam sonum alium turbarit, tum duntaxat aliquid referre videtur, ubi ea ipsa quis utitur? An ratione hoc evenit optima? omnes enim egregiæ cantilenæ medio sæpe utuntur, omnesque boni poetæ crebro ad medium veniunt, et si discesserint, mox redeunt eodem; ad alium vero nullum hoc modo. Quemadmodum exemptis ex oratione quibusdam conjunctionibus, ut τέ et καί, oratio non est Græca; aliæ vero nullam molestiam adferunt, eo quod aliis quidem sæpe uti necesse est, ut omnino exstare possit oratio, aliis vero non, sic etiam medius veluti conjunctio est sonorum, maximeque pulchrorum, quoniam ejus sonus inest sæpissime.

21. Qua de causa qui gravius cantant, si discrepant, deprehenduntur facilius quam qui cantant acute? Nec vero secus in numero qui peccant, evidentiores sunt si peccant in graviori. Utrum quod plus temporis gravis obtinet, talisque sonus plenius percipi potest? An quod longius tempus durans ampliorem etiam adfert sensum, velox autem et acutum ob velocitatem latet?

22. Quam ob causam multi, ubi cantant, potius numerum servant quam pauci? An quod multi potius unum ducemque respiciunt, tardiusque incipiunt, ita ut facilius adsequantur idem, quippe quum in celeritudine plus erroris committitur?

23. Cur nete duplum est hypates? An primum quidem, quod ubi nervus et parte sui dimidia pulsatur et totus, concinit per consonantiam diapason? Eodem quoque modo se habet res in fistulis: vox enim quæ per medium foramen emergit, cum ea quæ totam fistulam permeat, concinit per consonantiam diapason. Quin etiam in ceteris duplo intervallo capitur consonantia diapason, itemque qui tibias forant, ita eam capiunt. Eodem modo et consonantiam diapente sesquialtero capiunt intervallo, quoniam qui fistulas concinnant, extremam quidem hypaten cera oblinunt, neten vero ad dimidium usque implent. Eodem quoque modo consonantiam diapente sesquialtero intervallo capiunt, diatessaron vero intervallo quod uni cum tertia parte æquale est. Præterea in triquetris psalteriis nervi, quorum alter quidem longitudine dupla, alter vero dimidia est, æque intenti diapason consonantiam reddunt.

24. Διὰ τί, ἐάν τις ψήλας τὴν νήτην ἐπιλάβῃ, ἡ ὑπάτη μόνη δοκεῖ ἀντηχεῖν; Ἢ ὅτι συμφυὴς μάλιστα γίνεται τῷ φθόγγῳ ὁ ἀπὸ ταύτης ἦχος διὰ τὸ σύμφωνος εἶναι; Τῷ οὖν συναυξάνεσθαι τῷ ὁμοίῳ φαίνεται μόνος, οἱ δ' ἄλλοι διὰ μικρότητα ἀφανεῖς.

25. Διὰ τί μέση καλεῖται ἐν ταῖς ἁρμονίαις, τῶν δ' ὀκτὼ οὐκ ἔστι μέσον; Ἢ ὅτι ἑπτάχορδοι ἦσαν αἱ ἁρμονίαι τὸ παλαιόν, τὰ δ' ἑπτὰ ἔχει μέσον;

26. Διὰ τί ἐπὶ τὸ ὀξὺ ἀπᾴδουσιν οἱ πλεῖστοι; Πότερον ὅτι ῥᾷον ὀξὺ ᾆσαι ἢ βαρύ; Ἢ ὅτι χεῖρον τοῦ βαρέος; ἁμαρτία δ' ἐστὶ τοῦ χείρονος πρᾶξις.

27. Διὰ τί τὸ ἀκουστὸν μόνον ἦθος ἔχει τῶν αἰσθητῶν; καὶ γὰρ ἐὰν ᾖ ἄνευ λόγου μέλος, ὅμως ἔχει ἦθος· ἀλλ' οὐ τὸ χρῶμα, οὐδ' ἡ ὀσμή, οὐδ' ὁ χυμὸς ἔχει. Ἢ ὅτι κίνησιν ἔχει μόνον, οὐχ ἣν ὁ ψόφος ἡμᾶς κινεῖ (τοιαύτη μὲν γὰρ καὶ τοῖς ἄλλοις ὑπάρχει· κινεῖ γὰρ καὶ τὸ χρῶμα τὴν ὄψιν), ἀλλὰ τῆς ἑπομένης τῷ τοιούτῳ ψόφῳ αἰσθανόμεθα κινήσεως· αὕτη δ' ἔχει ὁμοιότητα ἔν τε τοῖς ῥυθμοῖς καὶ ἐν τῇ τῶν φθόγγων τάξει τῶν ὀξέων καὶ βαρέων, οὐκ ἐν τῇ μίξει, ἀλλ' ἡ συμφωνία οὐκ ἔχει ἦθος· ἐν δὲ τοῖς ἄλλοις αἰσθητοῖς τοῦτο οὐκ ἔστιν; αἱ δὲ κινήσεις αὗται πρακτικαί εἰσιν, αἱ δὲ πράξεις ἤθους σημασία ἐστίν.

28. Διὰ τί νόμοι καλοῦνται οὓς ᾄδουσιν; Ἢ ὅτι πρὶν ἐπίστασθαι γράμματα ᾖδον τοὺς νόμους, ὅπως μὴ ἐπιλάθωνται, ὥσπερ ἐν Ἀγαθύρσοις ἔτι εἰώθασιν; Καὶ τῶν ὑστέρων οὖν ᾠδῶν τὰς πρώτας τὸ αὐτὸ ἐκάλεσαν ὅπερ τὰς πρώτας.

29. Διὰ τί οἱ ῥυθμοὶ καὶ τὰ μέλη φωνὴ οὖσα ἤθεσιν ἔοικεν, οἱ δὲ χυμοὶ οὔ, ἀλλ' οὐδὲ τὰ χρώματα καὶ αἱ ὀσμαί; Ἢ ὅτι κινήσεις εἰσὶν ὥσπερ καὶ αἱ πράξεις; Ἤδη δ' ἡ μὲν ἐνέργεια ἠθικὸν καὶ ποιεῖ ἦθος, οἱ δὲ χυμοὶ καὶ τὰ χρώματα οὐ ποιοῦσιν ὁμοίως.

30. Διὰ τί οὐδ' ὑποδωριστί, οὐδ' ὑποφρυγιστὶ οὐκ ἔστιν ἐν τραγῳδίᾳ χορικόν; Ἢ ὅτι οὐκ ἔχει ἀντίστροφον; Ἀλλ' ἀπὸ σκηνῆς· μιμητικὴ γάρ.

31. Διὰ τί οἱ περὶ Φρύνιχον ἦσαν μᾶλλον μελοποιοί; Ἢ διὰ τὸ πολλαπλάσια εἶναι τότε τὰ μέλη ἐν ταῖς τραγῳδίαις τῶν μέτρων;

32. Διὰ τί διὰ πασῶν καλεῖται, ἀλλ' οὐ κατὰ τὸν ἀριθμὸν δι' ὀκτώ, ὥσπερ καὶ διὰ τεττάρων καὶ διὰ πέντε; Ἢ ὅτι ἑπτὰ ἦσαν αἱ χορδαὶ τὸ ἀρχαῖον, εἶτ' ἐξελὼν τὴν τρίτην Τέρπανδρος τὴν νήτην προσέθηκε, καὶ ἐπὶ τούτου ἐκλήθη διὰ πασῶν, ἀλλ' οὐ δι' ὀκτώ; δι' ἑπτὰ γὰρ ἦν.

33. Διὰ τί εὐαρμοστότερον ἀπὸ τοῦ ὀξέος ἐπὶ τὸ βαρὺ ἢ ἀπὸ τοῦ βαρέος ἐπὶ τὸ ὀξύ; Πότερον ὅτι τὸ ἀπὸ τῆς ἀρχῆς γίνεται ἄρχεσθαι; ἡ γὰρ μέση καὶ ἡγεμὼν ὀξυτάτη τοῦ τετραχόρδου, τὸ δ' οὐκ ἀπ' ἀρχῆς, ἀλλ'

24. Cur, si quis neten pulsatam adprehenderit, hypate sola resonare videtur? An quod sonus qui ex hac proficisci solet, sono illius maxime cognatus est, utpote qui consonus est? Ergo quia una cum simili augetur, solus adparet; ceteri vero ob exiguitatem non sunt manifesti.

25. Cur nervum medium in concentibus adpellamus, quum inter octo nullum medium sit? An quod olim concentus septem nervis constabant, septem autem medium obtinent?

26. Cur in acutum plerique discrepant? Utrum quod facilius acutum quam grave cantatur? An quod acutum gravi deterius est? peccare enim non aliud est quam rem agere deteriorem.

27. Cur inter omnia quæ sensum movent, sola audibilia mores spectant? nam et si quid sine sermone modulamur, mores tamen præ se fert modulatio; iis vero caret tum color, tum odor, tum sapor. An quod motum solum hoc obtinet, non cujus ope sonus nos movet (talis enim vel ceteris adest, quippe quum etiam color visum movet), sed motum percipimus qui hujusmodi sonum insequitur: hic enim similitudinem præ se fert, tum in numeris, tum in sonorum ordine acutorum et gravium, non vero in mistione, quum symphonia mores non spectat; in ceteris autem rebus quæ sensu percipiuntur, hoc non inest? hi enim motus activi sunt, actiones autem morum sunt indices.

28. Cur leges adpellantur moduli quos canunt? An quod priusquam literas scirent, leges cantabant, ne eas oblivioni mandarent, uti apud Agathyrsos ad hunc usque diem facere solent? Ergo primas quoque posteriorum cantilenarum eodem adpellaverunt nomine, quo superiores vocabantur.

29. Cur numeri musici et modi qui ad vocem pertinent, moribus similes sunt, sapores vero non, sed ne colores quidem, aut odores? An quod motus sunt ejusdem generis cujus etiam actiones? Jam omnis quidem efficientia moralis res est, moresque condit; sapores vero et colores eodem modo non agunt.

30. Cur neque subdorius, nec subphrygius modus in tragœdiis choris adhibentur? An quoniam antistropho carent? De scena vero canuntur, quippe qui imitandi facultate pollent.

31. Cur Phrynichus ceterique ejus ætatis musici modulandi potius artem exercebant? An quod tum in tragœdiis modulaminum usus metris longe frequentior erat?

32. Cur diapason consonantia vocatur, nec ratione numeri diaocto, ut et diatessaron et diapente? An quod antiquitus septem erant nervi; deinde Terpander tertia exempta neten adjunxit, ac ejus temporibus diapason adpellata est, non diaocto, quippe quæ per septem erat?

33. Quamobrem concinnius de acuto in grave fit transitus quam de gravi in acutum? Utrum quod inchoamus, ubi a principio proficiscimur? nervus enim qui medius et dux est, acutissimus (primi) tetrachordi est; illo

ἀπὸ τελευτῆς. Ἢ ὅτι τὸ βαρὺ ἀπὸ τοῦ ὀξέος γενναιότερον καὶ εὐφωνότερον;

autem modo non a principio, sed a fine exordimur. An quod grave generosius sonoriusque est post acutum?

34. Διὰ τί δὶς μὲν δι' ὀξειῶν καὶ δὶς διὰ τεττάρων οὐ συμφωνεῖ, δὶς διὰ πασῶν δέ; Ἢ ὅτι οὐδὲ δὶς δι' ὀξειῶν, οὐδὲ δὶς διὰ τεττάρων ἐστίν, τὸ δὲ διὰ τεττάρων καὶ διὰ πέντε;

34. Cur bis per acutos, aut bis diatessaron non consonant, bis autem diapason consonat? An quod (diapason) nec bis per acutos, neque bis diatessaron est, sed diatessaron ac diapente?

35. Διὰ τί ἡ διὰ πασῶν καλλίστη συμφωνία; Ἢ ὅτι ἐν ὅλοις ὅροις οἱ ταύτης λόγοι εἰσίν, οἱ δὲ τῶν ἄλλων οὐχ ἐν ὅλοις; ἐπεὶ γὰρ διπλασία ἡ νήτη τῆς ὑπάτης, οἷα ἡ νήτη δύο, ἡ ὑπάτη ἕν, καὶ οἷα ἡ ὑπάτη δύο, ἡ νήτη τέσσαρα, καὶ ἀεὶ οὕτως· τῆς δὲ μέσης ἡμιόλια· τὸ γὰρ διὰ πέντε ἡμιόλιον οὐκ ἐν ὅλοις ἀριθμοῖς ἐστιν· οἷον γὰρ ἓν τὸ ἔλαττον, τὸ μεῖζον τοσοῦτον δὲ καὶ ἔτι τὸ ἥμισυ· ὥστ' οὐχ ὅλα πρὸς ὅλα συγκρίνεται, ἀλλ' ἔπεστι μέρη. Ὁμοίως δὲ καὶ ἐν τῷ διὰ τεττάρων ἔχει· τὸ γὰρ ἐπίτριτόν ἐστιν ὅσον τεμεῖν ὃ καὶ ἔτι ἓν τῶν τεττάρων ἐπίτριτόν ἐστιν. Ἢ ὅτι τελεωτάτη ἐξ ἀμφοτέρων οὖσα, καὶ ὅτι μέτρον τῆς μελῳδίας; Διὰ παντὸς τοῦ φερομένου ἡ κατὰ μέσον κίνησις σφοδροτάτη, ἀρχομένου δὲ καὶ λήγοντος μαλακωτέρα· ὅτε δὲ σφοδροτάτη ἡ κίνησις, καὶ ἡ φωνὴ ὀξυτέρα τοῦ φερομένου· διὸ καὶ χορδαὶ ἐπιτεινόμεναι ὀξύτερον φθέγγονται· θᾶττον γὰρ ἡ κίνησις γίνεται. Ἡ δὲ φωνὴ ἢ ἀέρος, ἢ ἄλλου τινὸς φορά· τὴν ἀνὰ μέσον τὸν πόρον ὀξυτάτην δεῖ γίνεσθαι· ὥστ' εἰ τοῦτο μὴ συμβαίνει, οὐκ ἂν εἴη φορά τινος.

35. Cur diapason consonantia pulcherrima est? An quod integris terminis hujus proportiones continentur, ceterarum autem non integris? quum enim nete duplum hypates sit, qualia nete duo tenuerit, tale hypate unum habebit, et qualia hypate duo, nete quatuor, ac ita semper; at vero eadem nete mediæ sesquialtera est: diapente namque, id est proportio sesquialtera, non integris numeris continetur: quale enim minus unicum intra se continet, tantum et majus atque insuper dimidium: quamobrem non integri cum integris comparantur, sed partes adduntur. In consonantia quoque diatessaron eodem modo se habet res: proportio enim epitritos tantum est quantum illud et insuper una earum quatuor partium quibus ipsa epitritos est. An quod perfectissima est, quippe ex ambabus constans, et quoniam modulandi mensura est? Semper rei quæ fertur, motus in medio vehementissimus est; inchoante vero, vel cessante ignavior; ubi autem motus vehementissimus est, sonus rei quæ fertur, etiam fit acutior: hinc et chordæ, ubi intenduntur, acutius sonant: ocius enim fit motus. Quodsi autem vox aeris, aut alius cujusdam rei transitus est, quæ medio itinere redditur, acutissima fieri debet: hinc si id non adcidit, alicujus rei transitus non erit vox.

36. Διὰ τί, ἐὰν μὲν ἡ μέση κινηθῇ, καὶ αἱ ἄλλαι χορδαὶ ἠχοῦσι φθεγγόμεναι, ἐὰν δ' αὖ ἡ μὲν μένῃ, τῶν δ' ἄλλων τις κινηθῇ, κινηθεῖσα μόνη φθέγγεται; Ἢ ὅτι τὸ ἡρμόσθαι ἐστὶν ἁπάσαις, τὸ δ' ἔχειν πως πρὸς τὴν μέσην ἁπάσαις, καὶ ἡ τάξις ἡ ἑκάστης ἤδη δι' ἐκείνην; Ἀρθέντος οὖν τοῦ αἰτίου τοῦ ἡρμόσθαι καὶ τοῦ συνέχοντος οὐκέτι ὁμοίως φαίνεται ὑπάρχειν· μιᾶς δ' ἀναρμόστου οὔσης, τῆς δὲ μέσης μενούσης, εὐλόγως τὸ κατ' αὐτὴν ἐκλειπόμενον· ταῖς γὰρ ἄλλαις ὑπάρχει τὸ ἡρμόσθαι.

36. Cur, si nervus medius quidem turbatus est, ceteri quoque tinniunt sonantes; sin contra integro illo manente aliquis ex ceteris turbatus est, solus qui turbatus est (cum tinnitu) sonat? An quod concinnatio res est nervis omnibus communis, itemque certa quædam proportio, qua ad medium referuntur; quin imo uniuscujusque ordo ab hoc pendet? Ergo sublata causa qua concinnantur atque continentur, concentus non amplius æque adesse videtur; ubi vero nervo medio sibi constante, unus ex ceteris discreparit, merito quod huic respondet, deficit: ceteri namque concinnatione præditi sunt.

37. Διὰ τί τοῦ ἐν φωνῇ ὀξέος ὄντος κατὰ τὸ ὀλίγον, τοῦ δὲ βαρέος κατὰ τὸ πολύ (τὸ μὲν γὰρ βαρὺ διὰ τὸ πλῆθος βαρύ, τὸ δ' ὀξὺ δι' ὀλιγότητα ταχύ), ἔργον μᾶλλον ᾄδειν τὰ ὀξέα ἢ τὰ βαρέα, καὶ ὀλίγοι τὰ ἄνω δύνανται ᾄδειν, καὶ οἱ νόμοι ὄρθιοι καὶ οἱ ὀξεῖς χαλεποὶ ᾆσαι διὰ τὸ ἀνατεταμένοι εἶναι, καίτοι ἔλαττον ἔργον τὸ ὀλίγον κινεῖν ἢ τὸ πολύ, ὥστε καὶ ἀέρα; Ἢ οὐ ταὐτό γε ὀξύφωνον εἶναι φύσει καὶ τὸ ὀξὺ ᾄδειν, ἀλλὰ φύσει μὲν ὀξύφωνα ἅπαντα δι' ἀσθένειαν, τῷ μὴ δύνασθαι πολὺν κινεῖν ἀέρα, ἀλλ' ὀλίγον, ὁ δ' ὀλίγος ταχὺ φέρεται, ἐν δὲ τῷ ᾄδειν τὸ ὀξὺ δυνάμεως σημεῖον; τὸ μὲν γὰρ σφοδρῶς φερόμενον ταχὺ φέρεται· διὸ τὸ ὀξὺ δυνάμεως σημεῖον· διὸ καὶ οἱ ἑκτικοὶ ὀξύφωνοι. Καὶ ἔργον τὰ ἄνω ᾄδειν· τὰ δὲ βαρέα κάτω.

37. Quare quum vocis acumen a paucitate pendet, gravitas autem a copia (grave enim ob multitudinem grave est, acutum vero ob paucitatem celere) cur, inquam, majus negotium est cantica canere acuta quam gravia, paucique reperiuntur qui superna cantare valeant, legesque rectæ et acutæ difficiles cantu, quia sursum intentæ sunt, quamquam minus negotium sit movisse quod exiguum quam quod multum est, ita ut vel in aere hoc idem adcidere oporteret? An vocem e natura mittere acutam non idem certe est quod acutum cantare, sed mittunt quidem naturaliter acutam vocem omnia propter imbecillitatem, eo quod aeris parum, non multum ciere possunt; parum autem aeris velociter fertur; in cantando vero vocis acumen vires integras significat: quod enim vehementer fertur, fertur celeriter: eapropter vocis acumen vires integras significat: unde et tabidi acutam proferunt vocem. Præterea laboriosum est superna cantare; gravia autem locum tenent inferiorem.

38. Διὰ τί ῥυθμῷ καὶ μέλει καὶ ὅλως ταῖς συμφωνίαις χαίρουσι πάντες; Ἢ ὅτι ταῖς κατὰ φύσιν κινήσεσι χαίρομεν κατὰ φύσιν (σημεῖον δὲ τὸ τὰ παιδία εὐθὺς γενόμενα χαίρειν αὐτοῖς)· διὰ δὲ τὸ ἔθος τρόποις μελῶν χαίρομεν· ῥυθμῷ δὲ χαίρομεν διὰ τὸ γνώριμον καὶ τεταγμένον ἀριθμὸν ἔχειν, καὶ κινεῖν ἡμᾶς τεταγμένως; οἰκειοτέρα γὰρ ἡ τεταγμένη κίνησις φύσει τῆς ἀτάκτου, ὥστε καὶ κατὰ φύσιν μᾶλλον. Σημεῖον δέ· πονοῦντες γὰρ καὶ πίνοντες καὶ ἐσθίοντες τεταγμένα σώζομεν καὶ αὔξομεν τὴν φύσιν καὶ τὴν δύναμιν, ἄτακτα δὲ φθείρομεν καὶ ἐξίσταμεν αὐτήν· αἱ γὰρ νόσοι τῆς τοῦ σώματος οὐ κατὰ φύσιν τάξεως κινήσεις εἰσίν. Συμφωνίᾳ δὲ χαίρομεν, ὅτι κρᾶσίς ἐστι λόγον ἐχόντων ἐναντίων πρὸς ἄλληλα. Ὁ μὲν οὖν λόγος τάξις, ὃ ἦν φύσει ἡδύ· τὸ δὲ κεκραμένον τοῦ ἀκράτου πᾶν ἥδιον, ἄλλως τε κἂν αἰσθητὸν ὂν ἀμφοῖν τοῖν ἄκροιν ἐξ ἴσου τὴν δύναμιν ἔχοι· ἐν τῇ συμφωνίᾳ ὁ λόγος.

38. Cur numeris, modulis, ac denique consonantiis oblectantur omnes? An quod motibus naturalibus oblectamur secundum naturam (indicium, quod pueri nuper editi his oblectantur); modis tamen cantilenarum delectamur propter consuetudinem; sed enim rhythmo delectamur, quia cognitum ordinatumque numerum habet, movetque nos ordinate? motus enim familiarior naturæ est ordinatus quam inordinatus, ita ut quoque secundum naturam magis sit. Argumentum, quod ubi ordinate et laboramus et bibimus et edimus, naturam viresque et servamus et augemus; contra ubi inordinate, depravamus naturam atque de suo statu dimovemus: morbi enim non naturalis ordinis corporis motiones sunt. Consonantia vero delectamur, quod temperatio contrariorum est inter quæ proportio intercedit. Proportio igitur ordo est, quem modo natura suavem esse proposuimus; temperatum autem omne suavius quam intemperatum est, præsertim si, dum sensibile est, pariter vim habeat utriusque extremi: in consonantia enim proportio inest.

39. Διὰ τί ἥδιόν ἐστι τὸ σύμφωνον τοῦ ὁμοφώνου; Ἢ καὶ τὸ μὲν ἀντίφωνον σύμφωνόν ἐστι διὰ πασῶν; ἐκ παίδων γὰρ νέων καὶ ἀνδρῶν γίνεται τὸ ἀντίφωνον, οἳ διεστᾶσι τοῖς τόνοις ὡς νήτη πρὸς ὑπάτην· συμφωνία δὲ πᾶσα ἡδίων ἁπλοῦ φθόγγου (δι' ἃ δέ, εἴρηται), καὶ τούτων ἡ διὰ πασῶν ἡδίστη· τὸ ὁμόφωνον δ' ἁπλοῦν ἔχει φθόγγον. Μαγαδίζουσι δ' ἐν τῇ διὰ πασῶν συμφωνίᾳ, ὅτι καθάπερ ἐν τοῖς μέτροις οἱ πόδες ἔχουσι πρὸς αὐτοὺς λόγον ἴσον πρὸς ἴσον, ἢ δύο πρὸς ἕν, ἢ καί τινα ἄλλον, οὕτω καὶ οἱ ἐν τῇ συμφωνίᾳ φθόγγοι λόγον ἔχουσι κινήσεως πρὸς αὐτούς. Τῶν μὲν οὖν ἄλλων συμφωνιῶν ἀτελεῖς αἱ θατέρου καταστροφαί εἰσιν, εἰς ἥμισυ τελευτῶσαι· διὸ τῇ δυνάμει οὐκ ἴσαι εἰσίν· οὖσαι δ' ἄνισοι, διαφορὰ τῇ αἰσθήσει καθάπερ ἐν τοῖς χοροῖς ἐν τῷ καταλύειν μεῖζον ἄλλων φθεγγομένοις ἐστίν. Ἔτι δ' ὑπάτῃ συμβαίνει τὴν αὐτὴν τελευτὴν τῶν ἐν τοῖς φθόγγοις περιόδων ἔχειν· ἡ γὰρ δευτέρα τῆς νεάτης πληγὴ τοῦ ἀέρος ὑπάτη ἐστίν. Τελευτώσαις δ' εἰς ταὐτόν, οὐ ταὐτὸν ποιούσαις, ἓν καὶ κοινὸν τὸ ἔργον συμβαίνει γίνεσθαι, καθάπερ τοῖς ὑπὸ τὴν ᾠδὴν κρούουσιν· καὶ γὰρ οὗτοι τὰ ἄλλα οὐ προσαυλοῦντες, ἐὰν εἰς ταὐτὸν καταστρέφωσιν εὐφραίνουσι μᾶλλον τῷ τέλει ἢ λυποῦσι ταῖς πρὸ τοῦ τέλους διαφοραῖς, τῷ τὸ ἐκ διαφόρων τὸ κοινὸν ἥδιστον ἐκ τοῦ διὰ πασῶν γίνεσθαι. Τὸ δὲ μαγαδίζειν ἐξ ἐναντίων φωνῶν· διὰ ταῦτα ἐν τῇ διὰ πασῶν μαγαδίζουσιν.

39. Cur suavius consonans unisono est? An antiphonum quoque consonum diapason est? ex pueris enim, adolescentibus virisque consistit antiphonum, qui ita distant inter se tonis ut nete et hypate; omnis autem consonantia sono simplici suavior est (cur autem ita sit, dictum jam est), atque omnium consonantiarum suavissima diapason est; æquisonum contra simplicem habet sonum. Magadizant autem in diapason consonantia, quia ut pedes carminum proportionem aut paris ad par, aut dupli ad unicum, aut aliam quamdam inter se obtinent, ita et soni qui consonantia continentur, motus proportionem inter se servant. Ceterarum igitur consonantiarum alterius exitus imperfecti sunt, quum finiant ad dimidium: quamobrem pares non sunt facultate, quumque dispares sint, discrimen percipit sensus, sicut in choris fit, ubi ad finem deventum est, ampliore quam alii voce utentibus. Adde quod hypatæ adcidit, ut ejus soni eumdem circuituum exitum habeant (cum nete): secundus enim ictus quem aeri infligit nete, hypate est. Quum autem finiant in idem, quamvis non idem faciant, evenit ut opus unum communeque inde redundet, non secus ac illis adcidit qui vocis cantui instrumentorum cantum jungunt; nam etsi cetera tibiarum cantu non prosequantur, si in idem desinant, fine magis delectantur quam differentiis finem præcedentibus molestantur, quia commune post diversa incidens suavissimum e consonantia diapason provenit. Magadizatio autem ex contrariis vocibus fit: hinc in consonantia diapason magadizant.

40. Διὰ τί ἥδιον ἀκούουσιν ᾀδόντων ὅσα ἂν προεπιστάμενοι τύχωσι τῶν μελῶν ἢ ἐὰν μὴ ἐπιστῶνται; Πότερον ὅτι μᾶλλον δῆλός ἐστιν ὁ τυγχάνων ὥσπερ σκοποῦ, ὅταν γνωρίζωσι τὸ ᾀδόμενον, γνωριζόντων δ' ἡδὺ θεωρεῖν; Ἢ ὅτι συμπαθής ἐστιν ὁ ἀκροατὴς τῷ τὸ γνώριμον ᾄδοντι; συνᾴδει γὰρ αὐτῷ· ᾄδει δὲ πᾶς γεγηθὼς ὁ μὴ διά τινα ἀνάγκην ποιῶν τοῦτο.

40. Cur lubentius canere audiunt modulos quos sciunt, quam quos ignorant? Utrum quoniam, ubi cantilenam adgnoscunt, melius patet cantorem veluti scopum adsequi; ubi autem adgnoscunt, contemplatu dulce est? An quod auditor eodem adficitur modo ac qui notam exprimit cantilenam, quippe qui socium sese præbet cantandi; solet autem quisque hilari animo cantare, nisi aliqua coactus necessitate id faciat?

41. Διὰ τί δὶς μὲν δι' ὀξειῶν, ἢ δὶς διὰ τεττάρων οὐ συμφωνεῖ, δὶς διὰ πασῶν δέ· Ἢ ὅτι τὸ μὲν διὰ πέντε

41. Cur bis per acutos, aut bis diatessaron non consonant, bis diapason vero consonant? An quod diapente

ἐστὶν ἐν ἡμιολίῳ λόγῳ, τὸ δὲ δια τεττάρων ἐν ἐπιτρίτῳ, ὄντων δ' ἡμιολίων τριῶν ἑξῆς ἀριθμῶν, ἢ ἐπιτρίτων, οἱ ἄκροι πρὸς ἀλλήλους οὐδένα λόγον ἕξουσιν; οὔτε γὰρ ἐπιμόριοι, οὔτε πολλαπλάσιοι ἔσονται. Τὸ δὲ διὰ πασῶν ἐπειδή ἐστιν ἐν διπλασίῳ λόγῳ, δὶς τούτου γινομένου ἐν τετραπλασίῳ λόγῳ ἂν εἶεν οἱ ἄκροι πρὸς ἀλλήλους· ὥστ' ἐπεὶ συμφωνία εὔλογον ἐχόντων φθόγγον πρὸς ἀλλήλους ἐστί, λόγον δ' οἱ μὲν τὸ δὶς διὰ πασῶν διάλειμμα ἔχοντες πρὸς ἀλλήλους φθόγγοι ἔχουσιν, οἱ δὲ τὸ δὶς διὰ τεττάρων, ἢ δὶς διὰ πέντε οὐκ ἔχουσιν, οἱ μὲν δὶς διὰ πασῶν σύμφωνοι εἶεν ἄν, οἱ δ' ἕτεροι οὔ, διὰ τὰ εἰρημένα.

42. Διὰ τί, ἐάν τις ψήλας τὴν νήτην ἐπιλάβῃ, ἡ ὑπάτη μόνη δοκεῖ ὑπηχεῖν; Ἢ ὅτι ἡ νεάτη λήγουσα καὶ μαραινομένη ὑπάτη γίνεται; Σημεῖον δὲ τὸ ἀπὸ τῆς ὑπάτης τὴν νεάτην δύνασθαι ᾄδειν· ὡς γὰρ οὔσης αὐτῆς ᾠδῆς νεάτης, τὴν ὁμοιότητα λαμϐάνουσιν ἀπ' αὐτῆς. Ἐπεὶ δὲ καὶ ἠχὼ ᾠδή τίς ἐστιν, ἀφή ἐστι φωνῆς τῆς νεάτης ληγούσης, ἦχος ὢν ὁ αὐτὸς τῷ τῆς ὑπάτης φθόγγῳ κινεῖ, εἰκότως τῇ ὁμοιότητι τὴν ὑπάτην ἡ νήτη δοκεῖ κινεῖν· τὴν μὲν γὰρ νεάτην ἴσμεν οὗ κινεῖται ἐπιληφθεῖσα, τὴν δ' ὑπάτην αὐτὴν ὁρῶντες ἀκατάληπτον οὖσαν, καὶ φθόγγου αὐτῆς ἀκούοντες, ταύτην οἰόμεθα ἠχεῖν· ὅπερ ἐπὶ πολλῶν ἡμῖν συμϐαίνει, ἐφ' ὧν μήτε τῷ λογισμῷ, μήτε τῇ αἰσθήσει δυνάμεθα εἰδῆσαι τὸ ἀκριϐές. Ἔτι εἰ πληγείσης τῆς νεάτης μάλιστα ἐντεταμένης συμϐαίνει τὸν ζυγὸν κινεῖσθαι, οὐθὲν ἂν εἴη θαυμαστόν· κινηθέντος δὲ πάσας τὰς χορδὰς συγκινεῖσθαι καί τιν' ἦχον ποιεῖν οὐκ ἄλογον. Ταῖς μὲν οὖν ἄλλαις ὁ τῆς νεάτης φθόγγος ἀλλότριός ἐστι καὶ λήγων καὶ ἀρχόμενος, τῇ δ' ὑπάτῃ λήγων ὁ αὐτός· οὗ προστεθέντος τῇ ἰδίᾳ αὐτῆς κινήσει, ἐκείνης δόξαι πάντ' αὐτὸν εἶναι οὐθὲν ἄτοπον. Ἔσται δὲ μείζων ἢ ὁ κοινὸς τῶν λοιπῶν χορδῶν ἦχος, ὅτι αἱ μὲν ὑπὸ τῆς νεάτης καθάπερ ὠσθεῖσαι μαλακῶς ἤχησαν, ἡ δὲ νεάτη πάσῃ τῇ αὐτῆς δυνάμει, οὖσα αὐτῶν σφοδροτάτη· ὥστ' εἰκότως καὶ τὸ δευτερεῖον αὐτῆς κρεῖττον ἂν εἴη ἢ τὸ τῶν ἄλλων· ὥστε καὶ βραχείας κινεῖσθαι, ὡς αὐταῖς τε γεγενημένης.

43. Διὰ τί ἥδιον τῆς μονῳδίας ἀκούομεν ἐάν τις πρὸς αὐλὸν ἢ λύραν ᾄδῃ; Ἢ ὅτι πᾶν τὸ ἥδιον μιχθὲν ἡδίονι ἕν ἐστιν; Ὁ δ' αὐλὸς ἡδίων τῆς λύρας, ὥστε καὶ ἡ ᾠδὴ τούτῳ μιχθεῖσα ἢ λύρᾳ ἡδίων ἂν εἴη, ἐπεὶ τὸ μεμιγμένον τοῦ ἀμίκτου ἥδιόν ἐστιν, ἐὰν ἀμφοῖν ἅμα τὴν αἴσθησίν τις λαμϐάνῃ· οἶνος γὰρ ἡδίων τοῦ ὀξυμέλιτος διὰ τὸ μεμῖχθαι μᾶλλον αὐτοῖς τὰ ὑπὸ τῆς φύσεως μιχθέντα ἢ ὑφ' ἡμῶν· ἔστι γὰρ καὶ ὁ οἶνος μικτὸς ἐξ ὀξέος καὶ γλυκέος χυμοῦ. Δηλοῦσι δὲ καὶ αἱ οἰνώδεις ῥοαὶ καλούμεναι. Ἡ μὲν οὖν ᾠδὴ καὶ ὁ αὐλὸς μίγνυνται αὐτοῖς δι' ὁμοιότητα (πνεύματι γὰρ ἄμφω γίνεται)· ὁ δὲ τῆς λύρας φθόγγος, ἐπειδὴ οὐ πνεύματι γίνεται, ἢ ἧττον αἰσθητὸν ἢ ὁ τῶν αὐλῶν, ἀμικτότερός ἐστι τῇ φωνῇ· ποιῶν δὲ διαφορὰν τῇ αἰ-

quidem consonantia posita in proportione sesquialtera est, diatessaron vero in epitrita; quum autem sesquialtera, aut epitrita tres numeros se invicem insequentes constituant, extremi nullam invicem proportionem habebunt: neque enim superparticulares, neque multiplices erunt. At diapason consonantia, quoniam dupla proportione consistit, hac geminata, quadruplam invicem proportionem extremi tenebunt, ita ut, quum consonantia ad sonos invicem bonam proportionem obtinentes pertineat, proportionemque soni habeant qui geminato diapason intervallo a se invicem distant, ii vero careant, qui bis diatessaron, aut bis diapente, idcirco soni quidem qui diapason geminato distant, consoni erunt, ceteri vero non erunt, ob eam quam reddidimus, causam.

42. Cur, si quis neten, quum pulsaverit, adprehendat, sola hypate subsonare videtur? An quod nete, ubi desinit elanguescitque, in hypaten transit? Indicium autem est, quod post hypaten neten canere licet: quum enim carminis ultima sit chorda, similitudo ex ea petitur. Quum autem echo quoque cantus quidam sit, eaque eamdem moveat vocem a qua proficiscitur, id est a nete desinente, quæ sane sono respondet hypates, merito ob similitudinem nete movere hypaten videtur: nete enim quo se moveat adprehensa, novimus; at hypaten ipsam ubi videmus inadprehensam et tamen ejus sonum percipimus, ipsam sonare credimus: quod in multis nobis adcidit, in quibus neque ratiocinatione, neque sensu ad amussim veritatem adsequi possumus. Ad hæc si, nete maxima cum intentione pulsata, adcidat ut jugum moveatur, nihil sane mirum fuerit; hoc autem moto nervos omnes una commoveri sonumque reddere aliquem rationi non repugnat. Sonus igitur netæ alienus a ceteris est, et desinens et incipiens; cum hypate vero, ubi desinit, idem est: qui si ejus propriæ motioni addatur, haudquaquam absurdum erit si universus sonus ab ea proficisci videatur. Amplior autem quam communis reliquorum nervorum sonus erit, quoniam illi quidem a nete quasi molliter impulsi sonarunt, nete autem quæ fidium omnium vehementissima est, sua tota potentia, ita ut secundaria ejus actio merito validior quam ceterarum sit: hinc vel ubi levi motu agitantur, (ipsa resonabit).

43. Cur lubentius cantilenam solitariam audimus, ubi ad tibiam quam ubi ad lyram cantatur? An quia omne suavius quod mistum cum suaviori est, unum efficit? Atqui tibia quam lyra suavior est, ita ut cantilena quoque mista cum tibia suavior sit quam si lyræ misceretur, quoniam quod mistum est, non misto est suavius, modo quis sensum amborum adcipiat simul: vinum enim aceto mulso suavius est, quoniam quæ natura miscuit, longe amplius invicem permista sunt quam quæ nos, vinum quippe etiam ex acido ac dulci sapore mistum est. Probari hoc idem potest vel malis punicis, quæ vinosa adpellamus. Ergo cantilena et tibia miscentur sibi mutuo ob similitudinem (spiritu enim utraque fiunt); sonus autem lyræ, quoniam non spiritu fit, aut minus sensibiliter quam tibiarum, minus voci admiscere se potest, atque quum ad sensum discri-

σθήσει ἧττον ἡδύνει, καθάπερ ἐπὶ τῶν χυμῶν εἴρηται. Ἔτι ὁ μὲν αὐλὸς πολλὰ τῷ αὑτοῦ ἤχῳ καὶ τῇ ὁμοιότητι συγκρύπτει τῶν τοῦ ᾠδοῦ ἁμαρτημάτων, οἱ δὲ τῆς λύρας φθόγγοι ὄντες ψιλοὶ καὶ ἀμικτότεροι τῇ φωνῇ, καθ' ἑαυτοὺς θεωρούμενοι καὶ ὄντες αὐτοῖς συμφανῆ ποιοῦσι τὴν τῆς ᾠδῆς ἁμαρτίαν, καθάπερ κανόνες ὄντες αὐτῶν· πολλῶν δ' ἐν τῇ ᾠδῇ ἁμαρτανομένων, τὸ κοινὸν ἐξ ἀμφοῖν ἀναγκαῖον χεῖρον γίνεσθαι.

44. Διὰ τί τῶν μὲν ἑπτὰ μέση καλεῖται, τῶν δ' ὀκτὼ οὐκ ἔστι μέσον; Ἢ ὅτι ἑπτάχορδοι ἦσαν αἱ ἁρμονίαι τὸ παλαιόν, τὰ δ' ἑπτὰ ἔχει μέσον; Ἔτι ἐπειδὴ τῶν μεταξὺ τῶν ἄκρων τὸ μέσον μόνον ἀρχή τίς ἐστιν (ἔστι γὰρ τῶν θάτερον τῶν ἄκρων νευόντων ἔν τινι διαστήματι ἀνὰ μέσον ὂν ἀρχή), τοῦτ' ἔσται μέσον. Ἐπεὶ δ' ἔσχατα [μέσον] ἐστὶν ἁρμονίας νεάτη καὶ ὑπάτη, τούτων δὲ ἀνὰ μέσον οἱ λοιποὶ φθόγγοι, ὧν ἡ μέση καλουμένη μόνη ἀρχή ἐστι θατέρου τετραχόρδου, δικαίως μέση καλεῖται· τῶν γὰρ μεταξύ τινων ἄκρων τὸ μέσον ἦν ἀρχὴ μόνον.

45. Διὰ τί οἱ πολλοὶ ᾄδοντες σώζουσι μᾶλλον τὸν ῥυθμὸν ἢ οἱ ὀλίγοι; Ἢ ὅτι μᾶλλον πρὸς ἕνα τε καὶ ἡγεμόνα βλέπουσι, καὶ βραδύτερον ἄρχονται, ὥστε ῥᾷον τοῦ αὐτοῦ τυγχάνουσιν; ἐν μὲν γὰρ τῷ τάχει πλείων γίνεται ἡ ἁμαρτία, συμϐαίνει δὲ τῷ ἡγεμόνι προσέχειν τοὺς πολλούς· ἰδιαζόμενος δ' οὐδεὶς ἂν αὐτῶν διαλάμψειεν ὑπεράρας τὸ πλῆθος· ἐν δὲ τοῖς ὀλίγοις μᾶλλον διαλάμπουσιν· διὸ καθ' αὑτοὺς ἐν αὑτοῖς μᾶλλον ἀγωνίζονται ἢ πρὸς τὸν ἡγεμόνα.

46. Διὰ τί ἐπὶ τὸ ὀξὺ ἀπᾴδουσιν οἱ πλεῖστοι; Ἢ ὅτι ῥᾷον ὀξὺ ᾆσαι ἢ βαρύ; Ἄδουσι γοῦν ὀξὺ μᾶλλον, καὶ ἐν ᾧ ᾄδουσιν, ἁμαρτάνουσιν.

47. Διὰ τί οἱ ἀρχαῖοι ἑπταχόρδους ποιοῦντες τὰς ἁρμονίας τὴν ὑπάτην, ἀλλ' οὐ τὴν νήτην κατέλιπον; Ἢ οὐ τὴν ὑπάτην, ἀλλὰ τὴν νῦν παραμέσην καλουμένην ἀφῄρουν καὶ τὸ τονιαῖον διάστημα, ἐχρῶντο δὲ τῇ ἐσχάτῃ μέσῃ τοῦ ἐπὶ τὸ ὀξὺ πυκνοῦ; διὸ καὶ μέσην αὐτὴν προσηγόρευσαν. Ἢ ὅτι ἦν τοῦ μὲν ἄνω τετραχόρδου τελευτή, τοῦ δὲ κάτω ἀρχή, καὶ μέσον εἶχεν λόγον τόνῳ τῶν ἄκρων;

48. Διὰ τί οἱ ἐν τραγῳδίᾳ χοροὶ οὔθ' ὑποδωριστί, οὔθ' ὑποφρυγιστὶ ᾄδουσιν; Ἢ ὅτι μέλος ἥκιστα ἔχουσιν αὗται αἱ ἁρμονίαι, οὗ δεῖ μάλιστα τῷ χορῷ; Ἦθος δ' ἔχει ἡ μὲν ὑποφρυγιστὶ πρακτικόν· διὸ καὶ ἔν τε τῷ Γηρυόνῃ ἡ ἔξοδος καὶ ἡ ἐξόπλισις ἐν ταύτῃ πεποίηται· ἡ δ' ὑποδωριστὶ μεγαλοπρεπὲς καὶ στάσιμον· διὸ καὶ κιθαρῳδικωτάτη ἐστὶ τῶν ἁρμονιῶν· ταῦτα δ' ἄμφω χορῷ μὲν ἀνάρμοστα, τοῖς δ' ἀπὸ σκηνῆς οἰκειότερα· ἐκεῖνοι μὲν γὰρ ἡρώων μιμηταί· οἱ δ' ἡγεμόνες τῶν ἀρχαίων μόνοι ἦσαν ἥρωες, οἱ δὲ λαοὶ ἄνθρωποι, ὧν ἐστιν ὁ χορός· διὸ καὶ ἁρμόζει αὐτῷ τὸ γοερὸν καὶ ἡσύχιον ἦθος καὶ μέλος· ἀνθρωπικὰ γάρ·

men pariat, minus demulcet, quomodo dictum de saporibus est. Adde quod tibia quidem sonitu suo cognatione que errores multos cantoris obcultat; soni vero lyræ quum nudi sint vocique admisceri minus possint, quippe quæ per se considerantur atque exsistunt, cantilenæ aberrationem nobis manifestam reddunt, perinde ac si ejus normæ essent; ubi vero multi in cantando errores committuntur, commune quod ex ambabus provenit, deterius fieri necesse est.

44. Cur nervum medium inter septem vocamus, quum inter octo nullum medium sit? An quod olim concentus nervis septem constabant, septem autem medium habent? Præterea quum eorum quæ inter extrema continentur, solum medium principium quoddam est (quod enim in medio situm est eorum quæ aliquo intervallo ad alterutrum vergunt extremum, principium est), medium erit quod principium est. Quum autem extrema concentus nete et hypate sint, hisque interjaceant reliqui soni, quorum medius nominatus solus principium alterius tetrachordi est, jure medius vocatur: eorum enim quæ quibusdam extremis interjacent, medium solummodo principium erat.

45. Cur melius multi cantando numerum servare possunt quam pauci? An quod multi magis unum ducemque respiciunt, tardiusque incipiunt, ita ut facilius idem adsequi possint? plus enim erroris solet committi in celeritate, adciditque ut in ducem multi animum advertant; segregans vero sese nemo eorum exsuperata multitudine clarere poterit; verum inter paucos facilius eminent: quamobrem inter eos secum invicem potius quam cum duce certant.

46. Cur in acutum plerique discrepant? An quod acutum facilius quam grave cantatur? Acutum igitur crebrius cantant, atque in eo quod cantant, errorem committunt.

47. Cur veteres quum nervis septem concentus disponerent, hypaten, non vero neten, reliquerunt? An non hypaten reliquerunt, sed eam quæ paramese nostra ætate vocatur, tonique intervallum tollebant, ultima vero densi acuto propioris pro media utebantur? quamobrem mediam quoque eam adpellarunt. An quod superioris quidem tetrachordi finis, principium vero erat inferioris, et mediam tono proportionem inter extrema tenebat?

48. Cur tragœdiarum chori neque subdorio, nec subphrygio modo canunt? An quod modulamine minime præditi sunt hi modi, quo choro inprimis opus est? Mores vero subphrygius obtinet activos: quamobrem in Geryone exitus et armatus eo modo conscripti sunt; subdorius vero magnificus atque statarius est: quocirca et omnium maxime modorum citharæ convenit; sed hi ambo choro quidem non congruunt, histrionibus vero familiariores sunt: etenim hi heroas imitantur; veterum autem soli duces erant heroes, sed populi homines erant, quibus chorus consistit: quapropter et choro competunt mores modulique flebiles et tranquilli, quippe qui humani sunt; hæc autem ceteri

ταῦτα δ' ἔχουσιν αἱ ἄλλαι ἁρμονίαι, ἥκιστα δ' αὐτῶν ἡ ὑποφρυγιστί· ἐνθουσιαστικὴ γὰρ καὶ βακχική. Κατὰ μὲν οὖν ταύτην πάσχομέν τι· παθητικοὶ δ' οἱ ἀσθενεῖς μᾶλλον τῶν δυνατῶν εἰσιν· διὸ καὶ αὕτη ἁρμόττει τοῖς χοροῖς· κατὰ δὲ τὴν ὑποδωριστὶ καὶ ὑποφρυγιστὶ πράττομεν, ὃ οὐκ οἰκεῖόν ἐστι χορῷ· ἔστι γὰρ ὁ χορὸς κηδευτὴς ἄπρακτος· εὔνοιαν γὰρ μόνον παρέχεται οἷς πάρεστιν.

modi præstant, atque inter eos minime subphrygius (phrygius?) : hic enim numinis adflatui atque orgiis convenit. Hoc igitur modo patimur aliquid; sunt autem imbecilli validis patibiliores : quamobrem iste quoque modus choris convenit; subdorio vero atque subphrygio agimus, quod choro proprium non est : est enim chorus curator otiosus, quippe qui benevolentiam duntaxat his præstat quibus adest.

49. Διὰ τί τῶν τὴν συμφωνίαν ποιούντων φθόγγων ἐν τῷ βαρυτέρῳ τὸ μαλακώτερον; Ἢ ὅτι τὸ μέλος τῇ μὲν αὐτοῦ φύσει μαλακόν ἐστι καὶ ἠρεμαῖον, τῇ δὲ τοῦ ῥυθμοῦ μίξει τραχὺ καὶ κινητικόν; Ἐπεὶ δ' ὁ μὲν βαρὺς φθόγγος μαλακὸς καὶ ἠρεμαῖός ἐστιν, ὁ δ' ὀξὺς κινητικός, καὶ τῶν ταὐτὸ μέλος ἐχόντων εἴη ἂν μαλακώτερος ὁ βαρύτερος ἐν ταὐτῷ μέλει μᾶλλον· ἦν γὰρ τὸ μέλος αὐτῷ μαλακόν.

49. Cur inter sonos qui harmoniam constituunt, graviores molliores sunt? An quod cantus sua quidem natura mollis est et quietus, sed admisti numeri ratione asper redditur et movendi vim adquirit? Quum igitur gravis quidem sonus mollis quietusque sit, acutus contra movendi facultate polleat, eorum quoque qui eamdem cantilenam habeat, mollior potius erit qui gravior eodem carmine continetur; ejus namque cantus mollis erat.

50. Διὰ τί ἴσων πίθων καὶ ὁμοίων ἐὰν μὲν ὁ ἕτερος κενὸς ᾖ, ὁ δ' ἕτερος εἰς τὸ ἥμισυ διάμεστος, διὰ πασῶν συμφωνεῖ ἡ ἠχώ; Ἢ ὅτι διπλασία γίνεται καὶ ἡ ἐκ τοῦ ἡμίσεως τῆς ἐκ τοῦ κενοῦ; τί γὰρ διαφέρει τοῦτο ἢ ἐπὶ τῶν συρίγγων; δοκεῖ γὰρ ἡ θάττων κίνησις ὀξυτέρα εἶναι, ἐν δὲ τοῖς μείζοσι βραδύτερον ὁ ἀὴρ ἀπαντᾷ, καὶ ἐν τοῖς διπλασίοις τοσούτῳ, καὶ ἐν τοῖς ἄλλοις ἀνάλογον. Συμφωνεῖ δὲ διὰ πασῶν καὶ ὁ διπλασίων ἀσκὸς πρὸς τὸν ἥμισυν.

50. Cur parium similiumque doliorum si alterum quidem inane, alterum vero ad dimidium plenum sit, echo diapason consonantiam refert? An quod echo quoque e semipleno proveniens duplum echus inanis exsistit? quid enim interest num id hic eveniat, an in fistulis? motus namque celerior acutior esse videtur; ampliora vero aer tardius ingreditur, ut duplis duplo, sic ceteris pro portione. Uter autem duplus per consonantiam quoque diapason cum dimidiato consonat.

ΤΜΗΜΑ Κ.

SECTIO XX.

ΟΣΑ ΠΕΡΙ ΘΑΜΝΟΥΣ ΚΑΙ ΛΑΧΑΝΩΔΗ.

QUÆ AD FRUTICES ET OLERACEA PERTINENT.

1. Διὰ τί τὸ ἁλυκὸν ὕδωρ τὰ μὲν σέλινα δέχεται, τὸ δὲ πράσον οὔ; Ἢ ὅτι τοῦ μὲν ἀσθενεῖς αἱ ῥίζαι, τοῦ δ' ἰσχυραί; τὸ δ' ἰσχυρότερον ἀπαθέστερον.

1. Cur aquam salsam apium quidem recipit, porrum vero non? An quod alterius quidem radices imbecillæ, alterius vero validæ sunt? adfectibus enim melius resistit quod validius est.

2. Διὰ τί λέγεται·

μίνθην ἐν πολέμῳ μήτ' ἔσθιε, μήτε φύτευε;

Ἢ ὅτι καταψύχει τὰ σώματα (δηλοῖ δ' ἡ τοῦ σπέρματος φθορά), τοῦτο δ' ὑπεναντίον πρὸς ἀνδρείαν καὶ θυμὸν ταὐτὸν ὂν τῷ γένει;

2. Cur dicunt :

Mentham belli tempore neque edito, nec serito?

An quia refrigerat corpora, ut corruptione constat seminis, id autem adversum est fortitudini atque animo, quum genere sit idem?

3. Διὰ τί ἔνια ἄνθος ἔχοντα ἄκαρπά ἐστιν, οἷον σίκυος καὶ κολόκυνθα καὶ ῥοά; Ἢ οὐκ ἄκαρπα, ἀλλὰ ταῦτα καρπός ἐστιν; Περικάρπιον γοῦν ἐστι τὸ ἀνθοῦν, ὁ δὲ σίκυος περικάρπιον.

3. Cur aliqua fructu carent, quum florem habeant, ut cucumis, cucurbita, malus punica? An fructu non carent, sed hæc ipsa fructus sunt? Fructus igitur involucrum est quod florem gerit; cucumis autem fructus involucrum est.

4. Διὰ τί τῶν φυομένων τὰ μὲν ἑψανά, τὰ δ' ὠμὰ βρωτά; Ἢ ὅσων οἱ χυμοὶ μὴ εὐθὺς ἐδώδιμοι, τούτων πυρωθέντων γλυκύτεροι γίνονται ὑπὸ τοῦ θερμοῦ, ὅσων δ' εὐθύς, καὶ ὠμὰ ἐδώδιμα;

4. Cur eorum quæ terra gignit, alia quidem cocta, alia vero cruda sunt cibo idonea? An quorumcumque succi esculenti non protinus sunt, eorum igni expositorum dulciores redduntur a calore; quorumcumque autem protinus, hæc etiam cruda edi possunt?

5. Διὰ τί τὰ μὲν ἑψανά, τὰ δ' ὀπτανά; Ἢ ὅτι τὰ μὲν ὑγρότερα οὐ τοσοῦτον, τὰ δὲ ξηρότερα οὐ μᾶλλον

5. Cur alia quidem elixare, alia vero assare oportet? An quod humidiora quidem non eatenus, sicciora vero non

ξηρανθῆναι δεῖ; ἑψόμενα δὲ πάντα ὑγρότερα καὶ μαλακώτερα· τὰ δ' ἧττον ὑγρὰ ἂν πυρωθῇ, γίνεται ξηρά.

amplius exsiccare oportet? elixa enim humidiora molliora que sunt omnia; quæ vero minus humida sunt, hæc igni exposita sicca evadunt.

6. Διὰ τί δὲ τὰ μὲν ἄβρωτά ἐστι, τὰ δὲ βρωτά; Ἢ διὰ τοὺς χυμούς; ὅσα γὰρ καὶ ὠμὰ ἀπέπτους ἔχει καὶ πυρούμενα μὴ μεταβάλλει, ἄβρωτα· ὅσων δὲ βρωτὸν μὲν ὁ χυμός, ἰσχυρότερος δέ, ταῦτα ἡδύσματά ἐστιν; τὰ γὰρ ἐν μικρῷ ἔχοντα πολλὴν δύναμιν τῶν βρωτῶν ἡδυντικὰ τῶν ἐν πολλῷ.

6. Cur porro alia quidem non esculenta sunt, alia vero esculenta? An causæ succi sunt? quæcumque enim et cruda ubi sunt, succum continent coctioni renitentem, et igni exposita non immutantur, cibo inepta sunt; quorumcumque autem succus esculentus quidem est, sed validior, hæc condimenta sunt? esculenta enim quæ exiguo corpore vim magnam obtinent, condire valent ea quæ in amplo.

7. Διὰ τίνα αἰτίαν τὰ μὲν μέχρι σπέρματος τῶν φυτῶν ζῇ, εἶτα ἐνεγκόντα αὑαίνεται, οἷον ἡ πόα καὶ τὰ καλούμενα λάχανα, τὰ δ' οὔ, ἀλλὰ πολλάκις φέρει, καὶ τῶν μέχρι σπέρματος ζώντων τὰ μὲν πολλὰ ἐπέτεια, τὸ δ' ἱπποσέλινον τῷ ὑστέρῳ ἔτει φέρει καρπόν, καὶ ἐνέγκαν ἐξαυαίνεται; Ἢ ἅπαντα μὲν μέχρι τούτου ἀκμάζει, ἕως ἂν κατὰ τὸ σπέρμα ἀκμάζῃ, ἐπεὶ καὶ οἱ ἄνθρωποι μέχρι τριάκοντα ἐτῶν ἐπιδιδόασιν, ὁτὲ μὲν τῷ πλήθει, ὁτὲ δὲ τῇ παχύτητι· ὅταν δὲ μηκέτι δύνηται φέρειν, ὥσπερ ἐκεῖ, αὑαίνεται καὶ καταγηράσκει· τὰ δὲ βραδέως καὶ κατὰ λόγον; Δι' ἣν μὲν οὖν αἰτίαν τὰ μὲν βραχύβια, τὰ δὲ μακρόβιά ἐστιν, ἄλλος ἔστω λόγος· ἐπεὶ δ' ἔστι πᾶσιν ὅρος ἡ τοῦ σπέρματος τελείωσις, ἀνάγκη τοῖς μὲν βραχυβίοις ἅπαξ, ἢ ὀλιγάκις ἐνεγκεῖν καρπόν, τοῖς δὲ μακροβίοις πολλάκις, ὥστε τὰ μὲν ἀσθενέστατα ἅπαξ ἐνέγκοι (διὸ ἀνάγκη αὑαίνεσθαι), καὶ τούτων τὰ μὲν δυνάμενα ἐνιαυτῷ ἐπέτεια εἶναι, τὰ δέ, ὥσπερ τὸ ἱπποσέλινον, τῷ ὑστέρῳ ἔτει, ὥσπερ τὰ δένδρα καὶ τὰ φυτά.

7. Quam ob causam stirpium aliæ quidem ad semen usque vivunt, deinde quum semen tulerint, exarescunt, ut gramen et quæ olera nominamus, aliæ vero non, sed sæpius ferunt, atque earum quoque quæ ad semen usque ferendum vivunt, pleræque quidem annuæ sunt, hipposelinum vero anno postero fructum fert, quumque tulerit, exarescit? An omnia quidem eatenus vigent, donec semine vigent, quum et homines ad annum trigesimum usque proficiunt, modo quidem copia, modo vero crassitudine; ubi autem semen ferre non amplius possunt, quemadmodum illic, obarescunt atque consenescunt; alia tandem tardius, idque pro portione? Verum quam ob causam aliis quidem longum vitæ spatium, aliis vero breve datum sit, ad alium relegetur tractatum; sed quum omnibus terminus sit perfectio seminis, quorum vita brevi quidem tempore continetur, hæc semel, aut rarenter, longæva vero sæpe fructificare necesse est, ita ut quæ imbecillissima sunt, semel proferant (eapropter exarescant necesse est), ac eorum ipsorum que uno anno proferre possunt, alia quidem annua sint, alia vero, ut hipposelinum, postero anno ferant, quemadmodum arbores et plantæ.

8. Διὰ τί σελίνου, ἐάν τις περιορύξας μέχρι κάτω πρὸς τὰς ῥίζας περιβάλλῃ τῶν καχρυδίων, εἶτα ἄνωθεν τὴν γῆν, καὶ οὕτως ἄρδῃ, παμμεγέθεις γίνονται αἱ ῥίζαι; Ἢ διότι τὸ καχρύδιον θερμὸν ὂν καὶ σομφὸν κατέχει μὲν σύνολκον τὴν τροφὴν καὶ οὐ προΐεται ἄνω, πέττει δὲ θερμὸν ὄν, ὥστε πολλὴν τὴν αὔξησιν γίνεσθαι;

8. Cur, si quis apium radice tenus circumfodiat, atque polentam undique radicibus adjiciat, deinde terram adaggeret atque sic irriget, radices pergrandes pullulant? An quod natura polentæ calida quidem et fungosa quum sit, pabulum corrasum detinet, nec sursum demittit : quum vero calida, concoquit, ita ut amplum fiat incrementum?

9. Διὰ τί, ἐάν τις τὰς κολοκύνθας εὐθὺς μικρὰς οὔσας κρύψῃ τῇ γῇ, ἢ τοὺς σικύους, μείζους γίνονται; Ἢ διότι τὰ πνεύματα καὶ ὁ ἥλιος ξηραίνοντα ἀφαιροῦνται τὴν αὔξησιν, καὶ τοὺς ὄγκους ἐλάττους μὲν ποιοῦσι πάντων, στιφροτέρους δέ, ὥσπερ καὶ τῶν δένδρων τά τ' ἐν προσηνέμοις καὶ εἱλώδεσι καὶ τὰ ἐν κοίλοις καὶ ἐφύδροις (τὰ μὲν γὰρ μεγάλα γίνονται καὶ σομφά, τὰ δὲ μικρὰ καὶ πυκνά)· ἐν δὲ τῇ γῇ κρυφθέντα ἐναντία πάσχοντα ἐναντίως ἀποβαίνει; Ὁμοίως δὲ καὶ τὰ εἰς ἀγγεῖα τιθέμενα, σίκυοι εἰς νάρθηκας κοίλους, ἢ καλυπτῆρας, καὶ ῥοιαὶ καὶ μῆλα εἰς χύτρας, τὰ μὲν μεγάλα, σομφὰ δέ, οἱ δὲ μικροὶ στερροὶ αὐξανόμενοι μὴ εἰς ἀντίτυπον. Αἰτία δ' ἡ τροφὴ πλείων γινομένη διὰ τὸ μήτ' ἀποπνεῖσθαι, μήτε ξηραίνεσθαι· τὸ γὰρ ἀποστέγον κωλύει ταῦτα πάσχειν.

9. Cur, si quis cucurbitas protinus parvulas condiderit sub terram, vel cucumeres, majores fiunt? An quod venti et sol exsiccando incrementum demunt, molemque omnium rerum minorem quidem, sed spissiorem reddunt, quemadmodum et arbores quæ loca vento solique exposita tenent, quæque in cavis manent et riguis (hæ enim magnæ fungosæque fiunt, illæ vero parvæ et spissæ); at vero terra obculta, quoniam contrario modo adficiuntur, contrario modo inde abeunt? Similiter et quæ vasis imponuntur, ut cucumeres in ferulas cavas, aut tegulas, et mala punica, aut quævis alia mala in ollas, ampla quidem redduntur, sed fungosa; parvi vero cucumeres solidi sunt, quia crescentes resistenti non innituntur. Causa autem est quod alimentum copiosius fit, quoniam flatu non aufertur, nec exarescit : id enim quod protegit, impedit quominus ita adficiantur.

10. Διὰ τί τα σπέρματα τῶν δριμέων φυτῶν δριμύτερά ἐστιν ἢ αἱ ῥίζαι καὶ τὰ φύλλα; Ἢ διότι ἐκ τοῦ σπέρματος γίνεται ἅπαντα, καὶ εἰς τὰ ἄλλα δίδοται μέρη ἐκ τούτου, οἱονεὶ ἐνυπάρχοντα, ὥς φασί τινες, καὶ οἱ χυμοὶ καὶ αἱ ὀσμαί, ἐπεὶ καὶ αἱ ὀσμαὶ ἴδιοι γίνονται ἅμα τοῖς σπέρμασιν ἅπασιν; Εἰ οὖν ἐκ τούτου καὶ τοῖς ἄλλοις ἡ δριμύτης ὑπάρχει, εὔλογον καὶ αὐτὸ ἐπάρχειν μάλιστα.

11. Διὰ τί αἱ ῥαφανῖδες αἱ λεπταὶ δριμύτεραι; Ἢ ὅτι αἱ μείζους διὰ τὸν χρόνον πεπεμμέναι μᾶλλον;

12. Διὰ τί ἡ κάππαρις οὐκ ἐθέλει ῥᾳδίως ἐν τοῖς ἐργασίμοις γίνεσθαι χωρίοις (πολλοὶ γὰρ πεπείρανται καὶ ῥίζας μεταφέροντες καὶ σπέρματα καταβάλλοντες· ἐνιαχοῦ γὰρ λυσιτελεῖ μᾶλλον τῶν ῥόδων), ἀλλὰ φύεται μάλιστα ἐπὶ τῶν τάφων, ὅτι ἀβατώτατος ὁ τόπος ἐστίν; Περὶ δὲ δὴ τούτου καὶ ὅσα ἄλλα τοιαῦτα, δεῖ λαβεῖν ὅτι οὐχ ἅπαντα ἐκ τῆς αὐτῆς ὕλης γίνεται, οὐδ' αὔξεται, ἀλλ' ἔνια ἐξ ἄλλων φθορᾶς καὶ ἐξ ἀρχῆς γίνεται καὶ αὐξάνεται, οἷον οἱ φθεῖρες καὶ αἱ τρίχες ἐν τῷ σώματι διαφθειρομένης τῆς τροφῆς, καὶ ἀεὶ τὸ χεῖρον ἔχοντος. Ὥσπερ οὖν καὶ τῶν ἐν σώματι ἔνια γίνεται ἐκ περιττώματος τροφῆς, τοῦτο δ' ἐστὶν ἀπεψία, καὶ οὗ μὴ ἐδύνατο κρατῆσαι ἡ φύσις, τὰ μὲν προχειρότατα εἰς κύστιν καὶ κοιλίαν ἀποκρίνεται, ἐξ ἐνίων δὲ ζῷα γίνεται (διὸ καὶ αὐξάνονται ταῦτα ἐν γήρᾳ καὶ νόσοις), οὕτως ἐν τῇ γῇ τὰ μὲν ἐκ πεπεμμένης τῆς τροφῆς γίνεται καὶ αὐξάνεται, τὰ δ' ἐκ περιττωμάτων καὶ ἐναντίως ἐχόντων. Ἡ δὲ γεωργία πέττει καὶ ἐνεργὸν ποιεῖ τὴν τροφήν· ἐξ ἧς συνίστανται οἱ ἥμεροι καρποί. Ἃ μὲν οὖν ἐκ τοιαύτης γίνεται ἡμερότητος, ἥμερα καλεῖται διὰ τὸ ἀπὸ τέχνης ὠφελεῖσθαι, ὥσπερ παιδευόμενα· ὅσα δὲ μὴ δύναται, ἢ καὶ ἐξ ἐναντίως ἔχοντος συνίσταται, ταῦτα ἄγριά ἐστι καὶ οὐκ ἐθέλει γίνεσθαι ἐν γεωργησίμῳ· ἡ γὰρ γεωργία φέρει αὐτὰ παιδεύουσα· ἐκ γὰρ φθορᾶς γίνεται· ὧν καὶ ἡ κάππαρίς ἐστιν.

13. Διὰ τί, ἐάν τις ῥαφανίδων, ὅταν μάλιστα ἀκμάζωσι τοῦ χειμῶνος, ἀποτεμὼν τὰ φύλλα περισάξῃ τὴν γῆν καὶ καταπατήσῃ ὥστ' ἀποστέγειν τὸ ὕδωρ, αὗται ἐν τῷ θέρει γίνονται ἄπλετοι τὸ πάχος; Ἢ ὅτι τοῦ μὲν μὴ φθείρεσθαι τὸ περισεσάχθαι αἴτιον, κωλῦον τὸ ὕδωρ σήπειν, ἡ δὲ τροφή, ἣν ἄνω ἀφίει εἰς τὸν βλαστόν, εἰσέρχεται εἰς αὐτήν, ὥστ' ἀνάγκη αὐτὴν μείζω γίνεσθαι, ἢ ἀφιέναι παραβλαστάνουσαν ἄλλας ῥίζας, ὥσπερ τὰ κρόμμυα; καὶ γὰρ ταῦτα, ἐὰν μή τις ἐκτίλῃ ἐπέτεια, ἀλλ' ἐάσῃ τὸν χειμῶνα, πολλαπλάσια γίνεται. Τὰ μὲν οὖν κρόμμυα τῶν παραβλαστανόντων ἐστίν, ἡ δὲ ῥάφανος οὔ, ὥστ' ἀνάγκη αὐτὴν γίνεσθαι παχεῖαν διὰ τὸ πᾶσαν λαμβάνειν τὴν τροφήν.

14. Διὰ τί, ἐάν τις σικύους, ἢ κολοκύνθας περὶ φρέαρ φυτεύσας, ὅταν ὡραῖοι ὦσι, καθεὶς εἰς τὸ φρέαρ ἀπο-

10. Cur plantarum acrium semina acriora sunt quam radices et folia? An quod e semine omnia oriuntur, ceterisque omnibus partibus ex eo, tamquam elementa quæ jam antea præsto erant, ut quidam aiunt, sapores et odores subpeditantur? nam odores proprii etiam apud omnes una cum seminibus proveniunt. Quodsi igitur acritudo ceteris quoque ex eo subpetit, ipsum etiam maxime hujusmodi esse ratio exigit.

11. Cur tenues radiculæ acriores sunt? An quod ampliores tempore magis concoctæ sunt?

12. Cur capparis locis provenire cultis haud facile solet (multi namque tentarunt, et radicibus translatis et seminibus sparsis : passim enim majus præstat lucrum quam rosæ), sed crescit præcipue in sepulcris, quod (ubi?) maxime invius est locus? Igitur de hoc ceterisque generis ejusdem sumere illud oportet, quod non omnia eadem ex materia consistunt, aut augentur, sed sunt quæ ex aliorum corruptione vel e principio consistant et augeantur, ut pediculi et pili, ubi alimentum in corpore corrumpitur, et quotiescumque pejus se habet. Ergo ut eorum quæ in corpore exstant, nonnulla ab excremento proveniunt alimenti, hoc autem cruditas est, et quod natura superare non potuit : quorum ea quidem quæ in promptu maxime sunt, in vesicam et alvum secernuntur, aliqua vero animalia producunt (unde etiam in senectute et morbis hæc augentur), sic in terra alia quidem ex concocto alimento et consistunt et augentur, alia vero ab excrementis iisque quæ contrariam obtinent conditionem. Cultura autem concoquit redditque efficax alimentum : e quo mansueti fructus consistunt. Quæ igitur ex hujuscemodi mansuetudine procreantur, hæc mansueta adpellantur, eo quod arte juvantur et quasi educantur; quæ autem cumque nequeunt, aut etiam ex contraria elementorum conditione prodeunt, hæc sylvestria sunt cultisque locis crescere non solent, quippe quum cultus plantas sustinet atque educat : hæc enim corruptione fiunt : quo e genere capparis quoque est.

13. Cur, si quis radicularum folia hyeme, quo tempore maxime vigent, absciderit terramque adaggerarit et conculcarit, ita ut aquam arceat, radiculæ per æstatem crassitudine mira proveniunt? An propterea quia ne corrumpantur quidem, causa adaggeratio est, quæ aquam putrefacere prohibet; alimentum vero, quod ad germen sursum transmittebat, radicem intrat, ita ut vel amplior fiat necesse sit, vel suo de latere radices alias mittat germinans modo ceparum? hæ enim multiplices fiunt, si quis quotannis non evellat, sed per hyemem relinquat. Cepæ itaque pertinent ad plantas quæ e latere germina mittunt; radicula vero non, ita ut necesse sit ipsam crassescere, quia omne recipit alimentum.

14. Cur, si quis cucumeres, aut cucurbitas apud puteum plantaverit, atque tempore opportuno in puteum demissos

στεγάσῃ, γίνονται δι' ἔτους χλωροί; Ἢ διότι ἥ τ' ἀπὸ τοῦ ὕδατος ἀτμὶς ψύχουσα κωλύει ξηραίνεσθαι καὶ παρέχει θάλλοντα, καὶ τὸ ἀποστέγειν τούτους καὶ τὰ πνεύματα τρέφει τὰ ηὐξημένα· τοῦ δὲ διαμένειν αἴτιον τὸ ἔχειν τροφὴν ἐωμένων τῶν ῥιζῶν; καὶ γὰρ ἐάν τις ἀφελὼν τὴν βλάστην, ὅταν καρποφορήσωσι, καὶ ἀποτεμὼν περισάξῃ καὶ καταπατήσῃ τὴν γῆν περὶ τὰς ῥίζας, πρωΐμους οἴσει σικύους, ὡς δυναμένων σώζεσθαι τῶν ῥιζῶν· οὐ γὰρ ἔσται σίκυος τῶν προετείων. Θᾶττον δ' αὐτοὶ τῶν σπειρομένων οἴσουσι καρπὸν διὰ τὸ πολὺ προϋπάρχειν τοῦ ἔργου τῇ φύσει τὰς ῥίζας, τοῖς δὲ σπειρομένοις δεῖν γίνεσθαι τοῦτο πρῶτον, ἐν ᾗ περισάξεις ἀλέαν ποιεῖν, ὥστε σώζεσθαι καὶ θᾶττον ἐνιέναι βλαστόν· διὸ καὶ ἐάν τις χειμῶνος φυτεύσῃ σπέρμα σικύου ἐν ταλαρίσκοις καὶ ἄρδηται θερμῷ καὶ εἰς τὸν ἥλιον ἐκφέρῃ καὶ παρὰ πυρὶ τιθῇ, πρώϊμοι σφόδρα ἔσονται, ἐὰν ὡς ἔχει σὺν τοῖς ταλάροις εἰς τὴν ἱκνουμένην ὥραν εἰς τὴν γῆν φυτεύσῃ.

15. Διὰ τί ἀρδεύουσιν ἕωθεν, ἢ νυκτός, ἢ δείλης; Πότερον ἵνα μὴ ὁ ἥλιος ἀναλώσῃ; Ἢ ὅτι, ἐὰν ᾖ θερμὸν τὸ ὕδωρ, διαφθείρει τὰ ἀρδόμενα;

16. Διὰ τί τὰ εὐώδη οὐρητικά, καὶ σπέρματα καὶ φυτά; Ἢ ὅτι θερμὰ καὶ εὔπεπτα, τὰ δὲ τοιαῦτα οὐρητικά; ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης, καὶ ἡ ὀσμὴ οὐ σωματώδης, ἐπεὶ καὶ τὰ μὴ εὐώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά, μᾶλλον μέντοι συντηκτικά. Θερμὰ δὲ τὰ εὐώδη σπέρματα, διότι ὅλως ἡ ὀδμὴ διὰ θερμότητά τινα γίνεται· ἀλλὰ τὰ δυσώδη ἄπεπτά ἐστιν. Δεῖ δὲ μὴ μόνον εἶναι θερμά, ἀλλὰ καὶ εὔπεπτα, εἰ ἔσται οὐρητικά, ὅπως συγκατιόντα λεπτύνῃ τὰ ὑγρά.

17. Διὰ τί θᾶττον ἐκκαυλεῖ τῶν λαχάνων τὰ ἐκ παλαιοτέρου σπέρματος, οἷον τριετοῦς, ἢ διετοῦς ἢ τὰ ἐκ τῶν προσφάτων; Ἢ ὅτι ὡς ἐπὶ τῶν ζῴων θᾶττον σπέρμα φέρει τὸ ἀκμάζον, οὕτω καὶ τῶν σπερμάτων τὰ μὲν λίαν παλαιὰ ἐξίκμασται τὴν δύναμιν, τὰ δ' ἀσθενέστερα διὰ τὸ ἔτι ἔχειν περίττωμα μὴ οἰκεῖον, τὰ δὲ μέσα τῷ χρόνῳ ἰσχυρότατα ἀπεληλυθότος τοῦ ὑγροῦ; Θᾶττον οὖν σπέρμα φέρει· τὸ δ' ἐκκαυλεῖν τοῦτό ἐστιν· ἐκ γὰρ τοῦ καυλοῦ τὸ σπέρμα.

18. Διὰ τί πήγανον κάλλιστον καὶ πλεῖστον γίνεται, ἐάν τις ἐκφυτεύσῃ εἰς συκῆν; ἐκφυτεύεται δὲ περὶ τὸν φλοιὸν καὶ περιπλάττεται πηλῷ. Ἢ ὅτι θερμότητος δέονται αἱ ῥίζαι τοῦ πηγάνου καὶ ἀλέας (διὸ καὶ τὴν τέφραν ἐάν τις περιβάλλῃ, ὀνίνανται), ἡ δὲ συκῆ θερμή ἐστιν; Δηλοῖ δὲ καὶ ὁ ὀπὸς πάντων δριμύτατος ὤν, καὶ ὁ πολὺς καπνός. Ἔχει οὖν τοιαύτην θερμότητα καὶ ἰκμάδα οἵαν καὶ ἡ τέφρα, ὥστ' εἰ ἐκείνην ὀνίνησιν, ἀναγκαῖον καὶ ἐν τῇ συκῇ μάλιστα εὐσθενεῖν, ὅσῳ ἡ μὲν τέφρα οὐκ ἐπιρρεῖ, τὸ δ' ἀπὸ τῆς συκῆς ἀεὶ ἐπιρρεῖ, οὐκ ἀναλισκομένου τοῦ ὑγροῦ τῇ συκῇ.

operuerit, virides per annum totum servabuntur? An quod vapor aquæ refrigerando efficit ne adsiccentur, servatque vegetos; tum protectio et spiritus (satis) alunt quæ jam adoleverunt; permanendi vero facultas ab eo pendet, quod relictis radicibus subpetit alimentum? nam si quis, ubi fructificarunt, germen abstulerit, eoque resecto terram adaggerarit conculcaritque circum radices, cucumeres feret præcoces, utpote quum radices valeant conservari : haud enim pertinebit cucumis ad plantas quæ annum prævertunt. Ferent autem isti fructum maturius quam qui seruntur, quoniam radices, bona pars scilicet laboris a natura exantlandi, jam antea præsto sunt, dum insitis eas primum enasci necesse est, quatenus terræ adaggeratio naturæ teporem inducit, ita ut radix et servari et germen immittere celerius queat : unde etiam fit ut, si quis hyeme cucumeris semen in qualis plantaverit eosque aqua irriget calida atque in apricum portet locum, collocetque apud ignem, præcoces admodum erunt, si eos versus tempus congruum una cum qualis nihilo immutato in terram plantaverit.

15. Cur mane noctuve, vel tempore pomeridiano irrigant? Utrum ne sol humorem absumat? An quod, si aqua calida sit, necat quæ irrigantur?

16. Cur odorata, tam semina quam stirpes, movent urinam? An quia calida sunt concoctuque facilia; hujusmodi autem res urinam cient? calor namque insitus cito adtenuat, nec corpulentia præditus est odor, quandoquidem et ea quæ non odorata sunt, ut allia, caloris sui ratione vim movendi urinam habent, vel potius colliquandi. Semina autem odorata calida sunt, quia in universum odor a calore aliquo provenit; at vero quæ male olent, concoctioni apta non sunt. Esse autem debent non solum calida, sed etiam concoctu facilia quæ sunt provocatura urinam, ut una descendendo humores adtenuent.

17. Cur ocius caulem gignunt olera quæ semine vetustiori, ut trimo, aut bimo, prodierint quam quæ novo? An quod sicut in animantium genere semen id celerius profert quod viget, ita etiam seminum quæ vetusta admodum sunt, vires exhaustæ sunt; recentissima vero imbecilliora propterea sunt, quod excrementum adhuc continent alienum, dum quæ mediam tenent ætatem, validissima sunt, quia humor abiit? Celerius igitur semen ferunt; id autem ipsum caulis generatio est, quippe quum semen ex caule proveniat.

18. Quam ob causam ruta insita in ficum pulcherrima plurimaque provenit? inseritur vero circa corticem, lutoque circumoblinitur. An quod rutæ radices fomentum teporemque desiderant (quapropter cinere quoque circumjecto juvantur), ficus autem calida est? Quod tum succus omnium acerrimus docet, tum fumus copiosus. Habet igitur calorem atque humorem talem qualem etiam cinis : quamobrem si ille juvet, in ficu quoque eatenus necessario maxime vigebit, quatenus cinis quidem non adfluit, fici vero emolumentum perpetuo adfluit, utpote quum in ficu humor non exhauriatur.

19. Διὰ τί ἔνια τῶν φυτῶν ἀεὶ κενὸν φέρει τὸν καυλόν; Ἢ ὧν ἀνάγκη ἄλλο φύειν;

20. Διὰ τί ἐν τῇ Ἀττικῇ οἱ μὲν ἄλλοι καρποὶ γλυκύτατοι γίνονται, τὸ δὲ θύμον δριμύτατον, καίτοι καὶ τοῦτο καρπός τίς ἐστιν; [Ἢ ὅτι ἀγρὸς ἐκεῖνος λεπτός τε καὶ ξηρός ἐστιν], ὥστ' οὐ πολὺ ὑγρὸν τὰ φυόμενα ἔχει; Ὅσα μὲν οὖν φύσει γλυκέα ἐστί, διὰ μετριότητα τοῦ ἐνυπάρχοντος ὑγροῦ, ὅταν ἀπάγῃ ὁ ἥλιος τὸ πλεῖστον, τὸ ὑπολειπόμενον ῥᾳδίως πέττεται· τὸ γὰρ πολὺ ἔργον πεπάνθαι, τὸ δὲ μέτριον ῥᾷον· ὥστε γίνονται οἱ φύσει γλυκεῖς γλυκύτεροι. Ἐν δὲ τοῖς φύσει ξηροῖς τε καὶ μὴ γλυκέσι καρποῖς λείπεται δι' ὀλιγότητα τὸ οἰκεῖον, τοῦτο δ' ἐστὶν ἥκιστα γλυκύ· ἀφαιρεῖται γὰρ ὁ ἥλιος τὸ γλυκύτατον καὶ κουφότατον· οὗτοι δ' οὐκ ἔχουσι περιττὸν ὑγρόν, ὥσπερ οἱ ἄλλοι καρποί.

21. Διὰ τί γλήχων καὶ τὰ λείρια καὶ τὰ κρόμμυα τὰ κρεμάμενα ὑπὸ τὰς τροπὰς ἀνθεῖ; Ἢ ἐνυπάρχει αὐτοῖς τροφὴ ἄπεπτος, ἣ τοῦ μὲν χειμῶνος οὐ πέττεται διὰ τὸ ψῦχος, ὑπὸ δὲ τὰς τροπὰς πεττομένης διὰ τὴν ὥραν ἡ αὔξησις γίνεται; Αὕτη δὲ διὰ τὸ μὴ ἔχειν ἐπίρρυσιν ταχὺ μαραίνεται· οὐ γάρ τινα ἔχουσα ἀρχήν, οὐδέ τινα ἐπίρρυσιν ἀποξηραίνεται, ὥσπερ Σκύθαις διὰ τὸ πολλὴν τὴν χιόνα γίνεσθαι συμβαίνει τὸν σῖτον μένειν καὶ ταχὺ ἀνατρέχειν.

22. Διὰ τί τὸ κρόμμυον μόνον οὕτω περιττῶς δάκνει τὼ ὀφθαλμώ (διὸ καὶ τοὔνομά φασι τοῦτ' ἔχειν αὐτό, ὡς τὴν κόρην ποιεῖν συμμύειν), ἡ δ' ὀρίγανος οὔ, οὐδ' ἄλλα δριμέα ὄντα; καὶ γὰρ τὸ ἀνάρρινον μᾶλλον δάκνον οὐ ποιεῖ ὁμοίως δακρύειν προσφερόμενον, τὸ δὲ προσφερόμενον καὶ κατατρωγόμενον. Ἢ ὅτι διαφοραὶ πολλαὶ ἀκολουθοῦσιν ἑκάστοις τῶν δριμέων, ἃ ποιεῖ τὴν ἰδίαν ἑκάστου δύναμιν; Τὸ μὲν οὖν ἀνάρρινον διὰ τὸ θερμότερον εἶναι ξηραντικώτερόν ἐστι τῆς γινομένης ὑπ' αὐτοῦ συντήξεως, ἐπεὶ ποιεῖ γε δάκρυον ἐσθίοντι· προσφερόμενον δ' οὔ, ὅτι οὐκ ἀπατμίζει ἀπ' αὐτοῦ λεπτόν τι· ξηρότερον γάρ ἐστι καὶ θερμότερον· ἡ δ' ὀρίγανος καὶ τὰ τοιαῦτα θερμὰ ξηρά ἐστιν ἠρέμα. Δεῖ δὲ τὸ μέλλον δάκρυον ποιήσειν δηκτικὸν καὶ ὑγρὸν εἶναι καὶ γλίσχρον· διὸ καὶ τὸ ἔλαιον ποιεῖ δακρύειν, ἀσθενῆ ἔχον δῆξιν· διὰ γλισχρότητα γὰρ καὶ λεπτότητα παραδῦνον ποιεῖ τὸν πόνον, καὶ τὴν σύντηξιν διὰ τὸν πόνον. Τὸ δὲ κρόμμυον τοιαύτην ἔχει τὴν δύναμιν ὥστε καὶ τὸ ὑγρὸν καὶ τὴν ἀτμίδα αὐτοῦ θερμὴν καὶ λεπτὴν καὶ γλίσχραν εἶναι· ὥστε προσφερόμενον μέν, διὰ τὸ τὴν ἀτμίδα τοιαύτην εἶναι καὶ συναφιέναι ὑγρότητα λεπτήν, ποιεῖ δακρύειν, ἐσθιομένου δὲ ἡ ἀναθυμίασις διιοῦσα... τὸ δὲ σκόροδον θερμὸν μὲν καὶ δριμύ ἐστι καὶ ὑγρότητα ἔχει, ἀλλ' οὐ γλίσχρον· διὸ οὐ ποιεῖ δακρύειν.

23. Διὰ τί τὰ μύρτα ἐν τῇ χειρὶ θλιβέντα γλυκύτερα ἡμῖν δοκεῖ εἶναι τῶν μὴ τεθλιμμένων; Ἢ καθάπερ καὶ αἱ ῥᾶγες τετρυγημέναι τῶν βοτρύων γλυκύτε-

19. Cur stirpium nonnullæ caulem semper inanem edunt? An eæ quibus necesse est aliud gignere?

20. Cur in Attica fructus ceteri quidem dulcissimi fiunt, thymum vero acerrimum, etiamsi id quoque fructus quidam sit? An quod ager ille tenuis siccusque est, ita ut non multum humoris contineant quæ in eo nascuntur? Ergo quæcumque dulcia sua sunt natura, in iis ob humoris contenti mediocritatem, quando sol partem aufert maximam, facile reliquum concoquitur: etenim multum concoquere negotium magnum est, mediocre vero facilius, ita ut fructus suapte natura dulces fiant dulciores. In fructibus vero naturaliter siccis et non dulcibus ob inopiam relinquitur proprius humor, qui nequaquam dulcis est: sol enim quantum dulcissimum est et levissimum, aufert; hi autem humore supervacuo carent, quem fructus ceteri obtinent.

21. Cur pulegium et lilia et cepæ suspensa florent sub solstitii tempus? An inest crudum in his alimentum, quod hyeme quidem concoqui ob frigus nequit, quo vero sub solstitium propter tempestatem concocto fit incrementum? Hoc autem, quippe adfluxu carens, brevi marcescit: quum enim nec initium, neque adfluxum habet, exsiccatur, quemadmodum adcidit apud Scythas ut frumentum [diu in terra] maneat propter copiam nivis celeriterque emergat.

22. Cur cepe sola tam eximie mordet oculos (unde nomen κρόμμυον quoque ipsi a Græcis impositum putant, a pupilla (κόρη) et connivendo (μύειν), quippe quæ pupillam connivere facit); origanum vero non, nec alia, quamquam acria sint? neque enim antirrhinum, quod mordacius est, admotum efficit æque ut lacrymæ profluant; at cepe et ubi admovetur, et ubi comeditur. An quod multiplex discrimen unicuique acri proprium est quod cuique peculiarem præstat virtutem? Antirrhinum ergo, quia calidius est, resiccare quod colliquat, amplius potest, quum comesum certe lacrymam ciet, admotum vero non, quia nullum tenuem mittit vaporem: est enim id et siccius et calidius; origanum vero celeraque id genus calida leniter sicca sunt. Quod lacrymas autem moturum est, mordax id esse debet et humidum et lentum: quamobrem oleum quoque lacrymas ciet, quamvis leniter mordeat: subiens enim suam ob lentitiam atque tenuitatem dolorem movet, ac proinde colliquationem efficit. At cepe vim ejusmodi habet, ut et humore et vapore sit calido, tenui et lento, ita ut admotum quidem, eo quod vapor ejusmodi est humorque una emittitur tenuis, lacrymas moveat; ubi vero editur, permeans exhalatio [idem facere potest]; allium tandem calidum quidem est et acre humoremque continet, sed non lentum: quapropter lacrymam non movet.

23. Quam ob causam myrta contusa in manu dulciora nobis esse videntur quam non contusa? An eodem modo quo et racemorum acini vindemiati dulciores sunt quam non vin-

ραί εἰσι τῶν ἀτρυγήτων; ὑπὸ γὰρ τοῦ γλεύκους ὄντος φύσει ἡδέος αἱ μὲν τετρυγημέναι ῥᾶγες ὥσπερ ἐοίκασιν ἡδυσμέναι (ἀνάπλεῳ γάρ εἰσι καὶ ἔξωθεν), αἱ δ' ἐπὶ τῶν βοτρύων ἀνήδυντοι. Ὁμοίως οὖν καὶ ἐπὶ τῶν μύρτων φύσει γλυκέων καὶ τὴν γλυκύτητα ἐχόντων ἐντός. Ὥσπερ αἱ ῥᾶγες οὖν, ὅταν θλιφθῇ, ἀναπίμπλαται ἀπὸ τῆς ἐντὸς γλυκύτητος καὶ ἔξωθεν διαφαίνεται γλυκύτερα ὄντα.

24. Διὰ τί τῶν τε μύρτων τὰ ἐλάττω ἀπυρηνότερά ἐστι, καὶ ἐν τοῖς φοίνιξι καὶ ἐπὶ τῶν βοτρύων,..... ἔνθα δ' αἱ μικραὶ ῥᾶγες οὐκ ἔχουσιν, ἢ ἐλάττους πυρῆνας; Ἢ διὰ τὸ ἀτελέστερα εἶναι οὐκ ἔχει ἀποκεκριμένον; τέλος γὰρ ὁ πυρὴν ἔχει τὸ σπέρμα. Διὰ τοῦτο δὲ καὶ ἐλάττους εἰσίν, ὡς ὄντα παραφυάδες καὶ ἀτελῆ. Καὶ ἧττον δὲ γλυκέα τῶν ἐχόντων πυρῆνας· ἀπεπτότερα γάρ ἐστιν, ἡ δὲ πέψις τελείωσίς ἐστιν.

25. Διὰ τί τῶν περικαρπίων τὰ μὲν πικρότερα τὰ πρὸς τὴν ῥίζαν ἔχει, οἷον σίκυοι, τὰ δὲ πρὸς τὸ ἄκρον τὸ ἄνω, οἷον αἱ βάλανοι; Ἢ ὅτι τῶν μὲν ταύτῃ ἄπεπτος ἡ τροφὴ διὰ τὸ ἐπιρρεῖν κατὰ τὴν ῥίζαν ἀεί· τὰ δὲ ξηρὰ φύσει ἐστίν, ὥστ' ἀπαγομένου τοῦ γλυκέος ἐκ τοῦ ἄκρου καὶ πεπεμμένου ἤδη ξηραίνεται, καὶ λείπεται τὸ πικρὸν ὥσπερ οἱ ἅλες; ξηραινόμενον δὲ μᾶλλον πικρὸν γίνεται, καθάπερ ἐλαῖαι καὶ βάλανοι παλαιούμεναι πικραὶ γίνονται.

26. Διὰ τί ἔνια βλαστάνει οὐκ ἐν τῇ γῇ ὄντα, ἀλλ' ἐκτετμημένα, τὰ δὲ κείμενα, οἷον οἱ τῶν κρίνων καυλοὶ καὶ σκόροδα καὶ κρόμμυα; Ἢ ὅτι ἔχουσι τροφὴν ἅπαντα ἐν αὐτοῖς, ἀλλ' οὐκ ἐν ἀφωρισμένῳ τόπῳ οὐθὲν φυτόν; Ἡ περιουσία οὖν ἐστι τῆς τροφῆς ἡ ποιοῦσα βλαστάνειν. Δῆλον δέ· καὶ γὰρ καὶ αἱ σκίλλαι καὶ οἱ βολβοὶ ταὐτὸ ποιοῦσιν. Αὔξεται δ' ἕκαστον οὐ τῷ ἔχειν, ἀλλ' ὅταν πεφθῇ καὶ διανεμηθῇ. Ἔχει μὲν οὖν καὶ ἔμπροσθεν, αὔξεται δέ, ὅταν ἡ ὥρα ἔλθῃ ἐν ᾗ τοῦτο γίνεται πεττούσης ὥρας, οἷον καὶ τὰ τῶν κροκοδείλων ᾠά· συνεχὲς δ' οὐκέτι, ὅτι οὐκ ἐπιρρεῖ ἄλλη τροφή.

27. Διὰ τί ποτε τὰ σκόροδα καὶ τὰ κρόμμυα ὅσῳ ἂν ξηρότερα φυτεύηται, τοσούτῳ βελτίω γίνεται, τὰ δὲ ἄλλα χείρω; Ἢ ὅτι πάντα τὰ τοιαῦτα μάλιστα ὑγρασίας ἐστὶ πλήρη; Εὔκρατα οὖν γίνεται τοῦτον τὸν τρόπον φυτευθέντα. Καὶ ὅτι ἧττον σήπεται, ὅταν ξηρανθέντα φυτευθῇ.

28. Διὰ τί ποτε τὰ σκόροδα καὶ τὰ κρόμμυα μόνα τῶν φυτῶν κείμενα βλαστάνει; Ἢ διότι ὑγρασίας ἐστὶ πλήρη καὶ τροφῆς; Ἡ περιουσία οὖν ἐστι τῆς τροφῆς ἡ ποιοῦσα βλαστάνειν. Δῆλον δέ· καὶ γὰρ αἱ σκίλλαι καὶ οἱ βολβοὶ ταὐτὸ ποιοῦσιν. Αὔξεται δέ, ὅταν ἡ ὥρα ἔλθῃ ἑκάστῳ.

29. Διὰ τί τὰ τῷ ψυχρῷ ὕδατι ἀρδόμενα γλυκύτερα ἢ τὰ τῷ θερμῷ; Πότερον ὅτι ἐγκατακλειόμενον τὸ θερ-

demiati? etenim musto, quod natura suave est, vindemiati quidem acini quasi conditi esse videntur, quippe qui vel extrinsecus eo turgent; at qui e racemis pendent, condimento carent. Eodem itaque modo in myrtis quoque fit, quippe quæ natura dulcia sunt, intusque suam dulcedinem continent. In modum igitur uvarum, ubi comprimuntur, tum intestina dulcedine replentur, tum parte exteriori ob penetrationem dulciora adparent.

24. Cur nucleo potius carent myrta minora, itemque in palmulis et uvis [illic quidem nullum adest os], hic vero uvarum acini, exigui ubi sunt, vinacea vel nulla continent, vel pauciora? An quia minus perfecta sunt, nihil habent quod a reliquo fructu separatum sit? finis enim nuclei semen est: quamobrem et minores sunt, utpote propagines a latere adnatæ atque imperfectæ. Minus quoque dulcia sunt quam quæ continent nucleos: sunt enim minus concocta; concoctio autem perfectio est.

25. Quam ob causam fructuum alii quidem partem radici proximam habent amariorem, ut cucumeres, alii vero extremitatem superiorem apici proximam, ut glandes? An quod apud illos quidem parte ista crudum exstat alimentum, quoniam semper per radicem adfluit: hi vero sicci suapte natura sunt, ita ut succo dulci concoctoque ab extremitate abacto jam siccetur atque relinquatur amarum modo salis? ubi autem amplius exsiccatur, amarum redditur, ut et olivæ glandesque inveterascentes efficiuntur amaræ.

26. Cur aliqua germinant non terra contenta, sed abscissa, alia vero recondita, ut caules liliorum, ut allia, ut cepæ? An quod omnes alimentum intra se continent, verum non in loco determinato ulla planta? Alimenti itaque abundantia id est quod germinare facit. Manifestumque est, quippe quum scillæ et bulbi idem faciunt. Crescit autem unaquæque, idque non eo quod in se continet alimentum, sed quando decoctum jam et digestum est. Continent igitur vel antehac alimentum, sed augentur tum duntaxat, quum tempestas advenerit, qua illud fit, concoquente scilicet ipsa tempestate, velut etiam ova crocodilorum; incrementum tamen continuare non licet, quoniam aliud non adfluit alimentum.

27. Cur tandem allia et cepæ quo sicciora seruntur, eo meliora evadunt, cetera autem deteriora? An quod omnia istiusmodi maxime plena humoris sunt? Itaque hoc modo plantata temperata fiunt. Adde quod minus putrent ubi siccata seruntur.

28. Cur tandem allia et cepæ solæ ex plantis reconditæ germinant? An quod humore alimentoque sunt refertæ? Copia igitur alimenti id est quod germinare facit, idque constat argumento tum squillarum, tum etiam bulborum, qui idem faciunt. Crescere autem quodque solet, quum tempus ei venerit.

29. Quam ob causam quæ aqua frigida irrigantur, dulciora quam quæ calida sunt? Utrum quod interclusum

μὸν ἁλμυρώτερον, ὥσπερ καὶ τὸ ἁλμυρώτερον θερμότερον, τὸ δὲ γλυκὺ ἐναντίον, ὥσπερ ψυχρόν· τροφὴ δὲ τοῖς λαχάνοις τὸ ὑγρόν, καὶ οἱ χυμοὶ ἐντεῦθεν;

calidum salsius est, quemadmodum et calidius quod salsius; dulce autem contrarium, quasi frigidum est; alimentum autem oleribus humor est, unde etiam sapores oriuntur?

30. Διὰ τί τὰ σκόροδα ὄζει μᾶλλον ἐγκαυλοῦντα ἢ νέα ὄντα; Ἢ ὅτι νέων μὲν ὄντων ἔτι πολὺ ὑγρὸν ἀλλότριον ἐνὸν ἀφαιρεῖται τὴν δύναμιν αὐτῶν· ὅταν δὲ πεπανθῇ, ἐκκεκριμένου ἤδη τούτου, τότε τὴν οἰκείαν ἔχει ὀδμήν, αὕτη δ' ἐστὶ φύσει δριμεῖα; Ὁμοίως δὲ καὶ οἱ ἄλλοι καρποὶ οἱ πρόσφατοι ὄντες ὑδαρέστεροι· διὸ καὶ τὰ κρόμμυα ἧττον δριμέα τὰ νεώτερα.

30. Cur allia ubi excaulescunt, plenius quam recentia olent? An quod recentia quidem dum sunt, copia humoris alieni quam continent, vim iis aufert; quum autem maturuerint, secreto jam humore illo, tum proprium odorem obtinent, qui scilicet naturaliter acer est? Similiter etiam ceteri fructus recentes magis aquosi sunt: quapropter et cepæ recentiores minus acres sunt.

31. Διὰ τί τῶν μυρρινῶν μὲν μὴ τεταριχευμένων τὰ μύρτα ἀπορρεῖ μᾶλλον τῶν φύλλων, ταριχευομένων δὲ τῷ φύκει τὰ μὲν φύλλα ἀπορρεῖ, τὰ δὲ μύρτα οὐκ ἀπορρεῖ; Ἢ ἀταριχεύτων μὲν ὄντων οὕτως ἔχει διὰ τὴν φύσιν; ὅταν γὰρ πεπανθῇ, ἀπορρεῖν πέφυκε τὰ μύρτα. Τοῦτο δ' οὐ συμβαίνει κειμένων, ἀλλὰ μόνον κωλύει ἡ ἰκμὰς τοῦ φύκους μεταβάλλειν τὸ ἐν τῷ μύρτῳ ὑγρόν. Τὰ δὲ φύλλα ἀποπίπτει τοὐναντίον αὐτῶν ξηραινομένων, τὸ δὲ φῦκος ξηραίνει ἁλμυρὸν ὄν. Οὐ ταὐτὸ οὖν συμβαίνει ἐπί τε τῆς μυρρίνης οὖσι καὶ κειμένοις τοῖς φύλλοις.

31. Cur fructus myrtorum quidem non conditarum magis quam folia defluunt, conditarum autem alga folia quidem defluunt, fructus vero non? An non conditis quidem ita evenit propter naturam? postquam enim maturuerint, fructus suapte natura decidunt. Hoc vero repositis non evenit, sed algæ vapor prohibet tantummodo ne humor fructus immutetur. Folia contra siccescentibus arboribus decidunt; alga namque, utpote salsa, exsiccat. Ergo non idem foliis accidit arbori adhærentibus et repositis.

32. Διὰ τί οἱ σίκυοι πέπονες ἄριστοι γίνονται ἐν τοῖς ἑλώδεσι πεδίοις, οὖσιν ἐνύγροις, οἷον περὶ Ὀρχομενὸν καὶ ἐν Αἰγύπτῳ; δοκεῖ δ' ἔνυδρος αὕτη ἡ χώρα εἶναι· ἔστι δὲ τὰ ἑλώδη ἔνυδρα· οἱ δὲ σίκυοι αὐτοὶ ὑγρότεροι· διὸ καὶ οἱ κηπαῖοι φαῦλοι εἰσίν. Πότερον ὅτι εἰς βάθος διὰ σκληρότητα τῆς γῆς ἀναγκάζονται φυτεύεσθαι; ἡ γὰρ πηλώδης καὶ πεδιὰς μάλιστα γίνεται σκληρά, οἱ δ' εἰς βάθος φυτευθέντες βελτίους. Ἢ διότι ξηρὰν δεῖ εἶναι τὴν γῆν διὰ τὸ αὐτὸ εἶναι ὑγρὸν φύσει; οὕτω γὰρ ἀντισπώμενον ἐπὶ τὸ μέσον ἥξει· ἡ δὲ ἑλωδεστέρα μέν, βαθεῖα δέ, τροφὴν ἴσχει, καὶ διὰ τὸ βάθος τῆς γῆς καὶ διὰ τὸν τόπον, καὶ οὐχ ὑπερβάλλουσαν διὰ τὸ ξηραίνεσθαι τὴν γῆν πάλιν.

32. Quam ob causam pepones optimi in palustribus fiunt campis, humidi quum sint, ut apud Orchomenum et in Ægypto? humida etenim hæc terra esse videtur: paludosa namque humida sunt; pepones vero ipsi humidiores sunt: quapropter et hortenses pravi sunt. Utrum quod ob terræ duritiem altius coguntur plantari? solum namque limosum ac planum maxime indurescit; qui autem altius insiti sunt, meliores sunt. An quod terram siccam esse oportet, quoniam planta ipsa natura humida est? ita enim retracta in medium veniet; solum vero aliquatenus palustre, sed profundum, alimentum continet, tum propter soli altitudinem, tum propter locum ipsum, neque nimium, quoniam solum rursus resiccatur.

33. Διὰ τί τὸ πήγανον δυσώδεις τοὺς ἱδρῶτας ποιεῖ, καὶ ἔνια τῶν μύρων; Ἢ ὅτι ὅσων ἐν τῇ ὀσμῇ βαρύτης ἔνι καὶ δριμύτης, ταῦτα κεραννύμενα ταῖς περιττωματικαῖς ὑγρότησι κακωδεστέραν ποιεῖ τὴν ὀσμήν;

33. Quam ob causam ruta et nonnulla unguenta sudores reddunt fœtidos? An quia quorumcumque in odore gravitas est atque acritudo, ea ubi superfluis admiscentur humoribus, graveolentiam augent?

34. Διὰ τί τὸ πήγανον βασκανίας φασὶ φάρμακον εἶναι; Ἢ διότι βασκαίνεσθαι δοκοῦσι λάβρως ἐσθίοντες, ἢ ὑφορώμενοί τινας δυσχερείας καὶ περὶ τὰ προσφερόμενα ὑπόπτως ἔχοντες; Ἐπιλέγουσι γοῦν, ὅταν τῆς αὐτῆς τραπέζης ἰδίᾳ τι προσφέρωνται, μεταδιδόντες, « ἵνα μὴ βασκάνῃς με. » Ἅπαντες οὖν μετὰ ταραχῆς τῶν βρωμάτων προσοίσονται τὸ διδόμενον ὑγρὸν ἢ σιτίον, ὑφ' ὧν ἢ καταλαμβανομένων ἢ ἀπεμουμένων μετεωρισθέντα τὰ σιτία συνεξέπεσε καὶ τὰ πνεύματα ὑπὸ τῶν ὑγρῶν πόνους καὶ στρόφους παρέχει. Τὸ πήγανον οὖν προεδεσθέν, θερμαντικὸν ὂν τῇ φύσει, ἠραίωσε τὸ δεχόμενον ἀγγεῖον τὰ σιτία καὶ τὸ ἄλλο σῶμα· διὸ ἔξωθεν τὸ ἐγκαταλαμβανόμενον πνεῦμα συμβαίνει.

34. Qua de causa rutam fascinationis remedium esse aiunt? An propterea quod tum effascinari se credunt, quum aut voraciter edunt, aut molestiam aliquam suspicantur, aut cibum habent suspectum quem capiunt? Addunt itaque quum de mensa eadem quid privatim sibi adsumunt tradentes: « ne me fascines. » Omnes ergo ciborum cum perturbatione sument qui iis datur, potum, vel cibum: quibus de causis quum detinentur, aut evomunt, alimenta fluitantia simul excidunt et flatus humoribus subditi dolores et tormina excitant. Igitur ruta præesitata quæ suapte natura calefacere valet, tum vas quod recipit cibos, tum reliquum corpus rarefacit: ex quo fit ut flatus interclusus exire possit.

35. Διὰ τί ἡ ὀρίγανος ἐμβαλλομένη τῷ γλεύκει γλυκὺν ποιεῖ τὸν οἶνον; ἐμβάλλονται δὲ δύο κοτύλαι εἰς τὸν ἀμφορέα. Ἢ ὅτι ἐξαίρει δι' ὧν ἡ αὐστηρότης γίνεται, τὸ ὑδατῶδες καὶ τὸ τρυγῶδες ἀναδεχομένη τῇ ξηρότητι εἰς αὑτήν; Σημεῖον δὲ ὅτι ἐκ τούτων τὸ αὐστηρόν· οἱ γὰρ οἶνοι ἧττον μαλακοί, ἐὰν ὕδωρ παραχεθῇ, καὶ ἐὰν ἐν τῇ τρυγὶ πλείω χρόνον ἐάσῃ τις. Καὶ ὅταν ποιῶσι γλυκύ, ἡλιῶσι τὰς σταφυλὰς πολὺν χρόνον, καὶ ὁ ἥλιος ἀφαιρεῖ τὸ ὑδατῶδες καὶ τὸ λοιπὸν συμπέττει. Ταὐτὸ δὲ τοῦτο ποιεῖ καὶ ἡ ὀρίγανος· ξηρὰ γὰρ καὶ θερμή, ὥστ' εἰκότως διαμένει.

35. Cur origanum musto injectum vinum dulce efficit? duæ autem in amphoram injiciuntur heminæ. An quoniam ea quæ austeritati ansam dant, tollit, quantum nempe in musto est aquosum et feculentum, id propter siccitatem in sese recipiens? Argumento est, austeritatem ab his pendere, quod vina, si iis aqua adfundatur, minus mollia fiunt, vel si diutius stare in fece sinantur. Præterea ubi passum conficiunt, uvas multum temporis soli exponunt, atque sol aufert aquosum et reliquum concoquit. Hoc autem idem facere vel origanum potest, quippe quod et siccum et calidum est: nec mirum igitur, si persistit.

32. Διὰ τί ἐπὶ κυνὶ νότος πνεῖ; Ἢ ὅτι ἐπὶ πᾶσι μὲν σημαίνει τοῖς ἄστροις δυομένοις ἢ ἐπιτέλλουσιν, οὐχ ἥκιστα δ' ἐπὶ τούτῳ; Δῆλον οὖν ὅτι πνεύματα μάλιστα ἐπὶ τούτῳ καὶ μετ' αὐτόν. Ἐπεὶ δὲ πνίγει, καὶ πνεύματα εἰκότως ἐπ' αὐτῷ τὰ θερμότατα κινεῖται· ὁ δὲ νότος θερμός ἐστιν. Ἐπεὶ δ' εἴθισται μάλιστα ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβάλλειν, πρὸ κυνὸς δ' οἱ πρόδρομοι πνέουσιν ὄντες βορέαι, εἰκότως μετὰ κύνα νότος πνεῖ, ἐπειδὴ ἐπισημαίνει μέν, ἐπιτέλλουσι δὲ τοῖς ἄστροις· τὸ δ' ἐπισημαίνειν ἐστὶ μεταβολὴν τοῦ ἀέρος ποιεῖν· μεταβάλλει δὲ πάντα εἰς τοὺς ἐναντίους, ἢ τοὺς ἐπὶ δεξιὰ ἀνέμους τὰ πνεύματα. Ἐπεὶ δὲ βορέας εἰς τοὺς ἐπιδεξίους μεταβάλλει, εἴη ἂν αὐτῷ λοιπὸν εἰς νότον μεταβάλλειν. Ἔστι δὲ καὶ ἡ μετὰ τὰς χειμερινὰς τροπὰς πεντεκαιδεκάτη νότιος, διὰ τὸ τὰς μὲν τροπὰς ἀρχήν τινα εἶναι, κινεῖν δὲ τὸν κατ' αὐτὴν μάλιστα ἀέρα τὸν ἥλιον, εἶναι δ' ἐν ταύταις ταῖς τροπαῖς πρὸς νότον. Καθάπερ οὖν καὶ τὰ ἀπ' ἀνατο-

32. Cur auster caniculæ tempore flat? An quia omnibus sideribus tum orientibus, tum obcidentibus signum datur, sed canicula præcipue? Manifestum itaque est flatus præcipue tum ejus ortu, tum post ortum fieri. Sed quum æstus tunc vigeant, ventos quoque calidissimos per id tempus moveri congruum est; auster autem calidus est. Quum autem ex contrariis in contraria maxime commutari soleat, atque ante ortum caniculæ præcursores flent, qui aquilones sunt, merito post caniculam auster spirat, quandoquidem signum datur quidem, sed sideribus orientibus; signum datum autem eo constat ut aeris mutationem faciat; mutantur vero flatus omnes in ventos vel adversos, vel a dextra sitos; sed quum aquilo transeat in dextros, nihil ei restat nisi ut in austros transeat. Quin etiam dies quintus decimus post solstitium hibernum austrinus est, eo quod bruma initium quoddam est, moveturque a sole is potissimum aer qui huic proximus est; sol autem his solstitiis ad austrum vergit. Ut igitur ubi regiones ortui proximæ

λῆς κινῶν ἀπηλιώτας ἀνέμους ἤγειρεν, οὕτω καὶ τὰ ἀπὸ μεσημβρίας κινῶν νότους ἐγείρει· οὐκ εὐθὺ δ' ἀπὸ τροπῶν ποιεῖ τοῦτο διὰ τὸ βραχυτάτας ποιεῖσθαι τὰς μεταστάσεις τότε, ἀλλ' ἐν τῇ πεντεκαιδεκάτῃ διὰ τὸ τὸν χρόνον τοῦτον συμμέτρως ἔχειν τῇ κατὰ τὴν μετάστασιν πρώτῃ φαντασίᾳ· ὅλου γάρ ἐστι μέρος εὐσημότατον ὁ εἰρημένος χρόνος.

movet, flatus excitat subsolanos, ita ubi regiones meridiei proximas movet, austros evocat; nec tamen statim a solstitio id facit, quoniam brevissimas tunc agit distantias, sed quintodecimo die, quia tempus id respondet primæ discessus sensioni : totius enim id tempus pars admodum conspicua est.

33. Διὰ τί ὁ ζέφυρος πρὸς τὴν δείλην πνεῖ, πρωῒ δ' οὔ; Ἢ αἴτιος μέν ἐστιν ὡς ἐπὶ τὸ πολὺ τῶν πνευμάτων ὁ ἥλιος ἀνατέλλων καὶ δύνων; ὅταν γὰρ ὑγρὸν ὄντα τὸν ἀέρα διαθερμαίνων πέττῃ καὶ διακρίνῃ, εἰς πνεῦμα διακρίνει· ἐὰν δ' ᾖ πνευματώδης ὁ ἀήρ, ἔτι μᾶλλον ἐκπνευματοῦται ὑπὸ τοῦ ἡλίου. Ὅταν μὲν οὖν ἐπ' ἀνατολῇ ᾖ ὁ ἥλιος, πόρρω ἐστὶ τοῦ ζεφύρου· ἀπὸ γὰρ δυσμῶν πνεῖ· ὅταν δὲ περὶ τὸ δύνειν ἤδη, τότε διακεκριμένον ἐστὶ τὸ πνεῦμα τελέως· ἀπὸ δὲ μέσου ἡμέρας καὶ πρὸς τὴν δείλην συμμετρότατα ἔχει πρὸς τὸ διαθερμᾶναι καὶ διακρῖναι. Διὰ ταῦτα δὲ καὶ ὁ ἀπηλιώτης πρωῒ ἄρχεται πνεῖν· τοῦ γὰρ ὑπὲρ γῆς ἀέρος τῆς νυκτὸς ἐξυγραινομένου καὶ τῇ γῇ πλησιάσαντος διὰ βάρος, ἕωθεν διακρίνων αὐτὸν ὁ ἥλιος τὸν καθ' αὑτὸν κινεῖ πρῶτον, τὸ δ' ἀπὸ τοῦ ἡλίου πνεῦμα ἀνατέλλοντος ἐντεῦθεν ἀπηλιώτης καλεῖται.

33. Cur favonius horis postmeridianis spirat, non vero mane? An sol magna ex parte vel oriens, vel obcidens, auctor flatuum est? ubi enim aerem humidum percalefaciendo concoquit atque discernit, in flatum illum extenuat; quodsi vero flatuosus sit aer, magis etiam a sole convertitur in flatum. Quando igitur sol in exortu est, procul a favonio abest : hic enim ab obcasu flat; ubi vero jam in eo est ut obcidat, tunc penitus discretus est flatus; inde a meridie tandem ac versus tempus postmeridianum versatur in conditione exacte media, quod ad aerem tepefaciendum discernendumque adtinet. Subsolanus quoque ob eam rem mane spirare incipit : quum enim aer qui supra terram est, noctu permadidus fit ac solo sui ponderis ratione adpropinquat, sol mane eum discernens proximum sibi excitat primum; qui autem a sole oriente spirat, ventus hinc subsolanus adpellatur.

34. Διὰ τί αἰρομένου τοῦ ἡλίου καὶ αὐξάνεται καὶ πίπτει τὰ πνεύματα; Ἢ ὅτι τὸ πνεῦμά ἐστιν ἤτοι τοῦ ἀέρος, ἢ τοῦ ἀναχθέντος ὑγροῦ κίνησις, αὕτη δ' ὅταν μὲν ἐλάττων ᾖ, ταχὺ καταναλίσκεται ὑπὸ τοῦ ἡλίου, ὥστ' οὐ γίνεται πνεῦμα· ὅταν δὲ πλείων, κινεῖται μᾶλλον τοῦ ἡλίου ἀνατείλαντος; ὁ γὰρ ἥλιος ἀρχὴ τῶν κινήσεών ἐστιν.

34. Cur sole se adtollente flatus et augentur et sternuntur? An quia flatus vel aeris, vel evecti humoris motus est; hicce autem, ubi minor est, compendio a sole consumitur, ita ut flatus nullus exsistat; ubi vero copiosior, sole orto amplius movetur? sol enim principium motuum est.

35. Διὰ τί ὁ ζέφυρος τῆς δείλης πνεῖ; Ἢ ἅπαντα τὰ πνεύματα τοῦ ἡλίου διαχέοντος τὸ ὑγρὸν γίνεται; πρότερον γὰρ συνεστηκός, ὅταν ἡ τοῦ θερμοῦ δύναμις πλησιάζῃ, ἐξάπτει· ὁ δὲ ζέφυρος ἀφ' ἑσπέρας πνεῖ. Εἰκότως οὖν τῆς δείλης γίνεται· τότε γὰρ ὁ ἥλιος εἰς τὸν τόπον αὐτοῦ ἀφικνεῖται. Καὶ ὁ βορέας καὶ ὁ νότος διὰ τοῦτο πλειστάκις πνέουσιν, ὅτι τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου κρατούμενον κατ' εὐθυωρίαν ἥκιστα δύναται διαμένειν, ἀλλὰ μᾶλλον ἐκ τοῦ πλαγίου. Ὁ μὲν οὖν νότος καὶ βορέας ἐκ τῶν ἐφ' ἑκάτερα τόπων τῆς τοῦ ἡλίου φορᾶς πνέουσιν, οἱ δ' ἄλλοι μᾶλλον ἐκ τοῦ κατ' ἀντικρύ.

35. Cur favonius horis postmeridianis spirat? An quod flatus omnes sole humorem diffundente fiunt? humor enim qui antehac concretus erat, incendit vis caloris adpropinquans; favonius autem de obcasu spirat. Merito igitur postmeridiano tempore oritur : tunc enim sol ejus ad locum adcedit. Aquilo autem et auster ideo sæpissime spirant, quia contrarium ubi a suo contrario vincitur, e directo minime edurare potest, sed a latere potius. Auster igitur et aquilo e locis ab utroque latere cursus solis sitis spirant, ceteri vero potius ex adverso.

36. Πότερον τὸ πνεῦμα ἀπὸ πηγῆς τινος φέρεται ὥσπερ τὸ ὕδωρ, καὶ ταύτης οὐκ ἔστιν ἀνωτέρω αὐτὸ ἐνεχθῆναι, ἢ οὔ; Καὶ πότερον ἀφ' ἑνὸς σημείου, ἢ ἀπὸ πλείονος τόπου; Ἔνια μὲν οὖν ἐστιν ὅμοια ἃ καὶ ἐπὶ τῶν ὑδάτων φαίνεται συμβαίνειν· τό τε γὰρ ὕδωρ, ὅταν εἰς τὸ κάταντες φέρηται, θᾶττον ῥεῖ ἢ ὅταν ἐν τῷ ἐπιπέδῳ καὶ ὁμαλῷ λιμνάζῃ· ὁμοίως δὲ καὶ τὰ πνεύματα· ἐπὶ μὲν γὰρ τοῖς ἄκροις καὶ τοῖς ὑψηλοῖς ἀεὶ ἐν κινήσει ὁ ἀήρ, ἐν δὲ τοῖς κοίλοις ἠρεμεῖ πολλάκις καὶ ἄπνοια γίνεται. Ἔτι ἐπὶ τοῖς σφόδρα ὑψηλοῖς ὄρεσιν

36. Utrum flatus fonte quodam emergit, quemadmodum aqua, supra quem fontem efferri nequit, an non? Et utrum uno ex puncto, an ex loco profluit ampliori? Sunt certe nonnulla iis similia quæ etiam in aquis adcidere videmus, quippe quum aqua, ubi ad declivia fertur, ocius fluat quam ubi in planis atque æqualibus stagnat : hoc enim et flatus faciunt : nam in locis editis atque excelsis aer adsidue movetur, in cavis e contrario sæpe quiescit ventorumque obtinet silentium. Ad hæc super excelsissimis montibus flatus

οὐ γίνεται τὰ πνεύματα, οἷον ἐπὶ τῷ Ἄθῳ καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. Σημεῖον δέ· ἃ γὰρ ἂν καταλείπωσιν οἱ τῷ προτέρῳ ἔτει θύοντες, εὑρίσκεσθαί φασι διαμένοντα τῷ ὑστέρῳ. Δῆλον οὖν ὅτι ὥσπερ ἀπὸ πηγῆς τινος καὶ ἡ τοῦ πνεύματος φορὰ γίνεται. Εἰς τὸ ἄνω οὖν οὐκέτι δύναται διικνεῖσθαι. Διὰ τοῦτο οὖν ἐπὶ τοῖς ὑψηλοῖς τοῦτο συμβαίνει. Ὁμοίως δ' ἂν καὶ ἐπὶ τοῦ ὕδατος εἴη· οὔτε γὰρ ὕδωρ λάβρον, οὔτε πνεῦμα ἐξαίσιον ἐν τοῖς ὑψηλοῖς φαίνεται γίνεσθαι.

nulli excitantur, ut super Atho ac reliquis generis ejusdem. Indicium est, quod quæ reliquerint qui anno superiori sacrificarant, posteriori persistentia reperiri aiunt. Constat igitur flatus quoque motum veluti ex fonte quodam fieri. Sursum igitur nequaquam pergere possunt. Hinc igitur locis excelsis illud adcidit. Quod idem evenire etiam aquæ putaverim : nec enim aqua vehemens, nec flatus immanis locis excelsis obcurrere videtur.

37. Διὰ τί ποτε τοῦ μὲν νότου πνέοντος ἡ θάλαττα κυανέα γίνεται, τοῦ δὲ βορέου ζοφώδης; Ἢ ὅτι ὁ βορέας ἧττον τὴν θάλατταν ταράττει, τὸ δ' ἀταρακτότερον ἅπαν μέλαν φαίνεται;

37. Cur tandem austro quidem spirante cœruleum mare fit, aquilone vero caliginosum? An propterea quod aquilo minus mare turbat, omne autem quod tranquillius est, atrum esse videtur?

38. Διὰ τί οἱ νότοι μικρὰ μὲν πνέοντες οὐ ποιοῦσιν ἐπίνεψιν, μεγάλοι δὲ γενόμενοι ἐπινεφοῦσιν; Ἢ διότι μικροὶ μὲν πνέοντες οὐ δύνανται πολλὰ νέφη ποιεῖν (ὀλίγον οὖν τόπον κατίσχουσιν)· ὅταν δὲ μεγάλοι γίνωνται, πολλὰ ἀπωθοῦσιν; διὸ καὶ δοκοῦσι μᾶλλον ἐπινεφεῖν.

38. Quam ob causam austri, ubi leniter quidem spirant, obnubilationem non faciunt, magni vero facti obnubilant? An quoniam lenes quidem spirando frequentiam nubium efficere nequeunt (parvum sane spatium obcupant); at vero ubi magni fiunt, multas depellunt? quapropter et amplius obnubilare videntur.

39. Διὰ τί ὁ μὲν βορέας ἀρχόμενος μέγας, λήγων δὲ μικρός, ὁ δὲ νότος ἀρχόμενος μὲν μικρός, λήγων δὲ μέγας; Ἢ ὅτι ὁ μὲν βορέας ἐγγὺς ἡμῶν, ὁ δὲ νότος πόρρω; Ὁ μὲν οὖν ὅταν ἄρξηται, εὐθὺς παρ' ἡμῖν, τοῦ δέ, ἅτε διὰ πολλοῦ χρόνου, ἡ ἀρχὴ διασκεδάννυται, καὶ πρὸς ἡμᾶς μικρὸν ἐξικνεῖται αὐτῆς τὸ πρῶτον· τῆς δὲ τελευτῆς τοῦ μὲν αἰσθανόμεθα, τοῦ δ' ὅλως οὐκ αἰσθανόμεθα· ὥστ' εἰκότως ὁ μὲν ἀσθενὴς παυόμενος (ἀσθενὴς γὰρ ἡ τελευτὴ πάντων), ὁ δ' οὔ· τῆς γὰρ τελευτῆς οὐκέτι αἰσθανόμεθα αὐτοῦ.

39. Cur aquilo quidem ut magnus incipit, ita parvus desistit; auster contra, ut parvus incipit, ita magnus cessat? An quia nobis aquilo quidem vicinus est, auster vero longe abest? Alter igitur quam primum exortus est, statim nos obcupat; alterius vero, quippe post longa temporis intervalla adcedentis, principium dispergitur, atque exigua ad nos prima ejus pars devenit, finemque illius quidem sentimus, hujus vero minime, ita ut merito imbecillus sit cessans (omnium namque finis imbecillus est); at hicce non : finem enim istius nequaquam sentimus.

40. Διὰ τί οὗ μὲν κόλποι εἰσί, τροπαῖαι γίνονται, οὗ δ' ἀναπεπταμένα πελάγη, οὐ γίνονται; Ἢ διότι εἰς μὲν τοὺς κόλπους ῥέον οὐ διασπᾶται τὸ πνεῦμα μᾶλλον, ἀλλ' ἀθρόον ἐπὶ πολὺ φέρεται, ἐν δὲ τοῖς ἀναπεπταμένοις ἐξ ἀρχῆς θ' αἱ ἀπογέαι εὐθὺς διασπῶνται μᾶλλον, καὶ ὅταν ῥέωσι, ταὐτὸ πάσχουσι διὰ τὸ πολλαχῇ ἐξεῖναι ὁρμῆσαι; ἔστι γὰρ ἡ τροπαία ἀπόγεος ἀνάκλασις.

40. Cur, ubi sinus quidem adsunt, tropæi fiunt; ubi vero aperta maria sunt, non fiunt? An quoniam flatus in sinus quidem influens, non distrahitur, sed confertus diu fertur; at in apertis inde a principio terrestres tum protinus magis distrahuntur, tum, ubi profluunt, hanc eamdem rem patiuntur, quoniam multas in partes ruere licet? tropæus enim reflexus terrestris est.

41. Διὰ τί λέγεται·

ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο;

Ἢ διότι ὁ μὲν βορέας διὰ τὸ ὑποικεῖν ἡμᾶς αὐτῷ καὶ εἶναι τὴν οἴκησιν πρὸς ἄρκτον, εὐθὺς μέγα πνεῖ; ἅμα γὰρ ἄρχεται καὶ πάρεστιν· διὸ παυόμενος ἡδὺ πνεῖ· τότε γὰρ ἀσθενὴς πνεῖ· ὁ δὲ νότος διὰ τὸ πόρρωθεν ὕστερον μείζων ἀφικνεῖται.

41. Cur dici solet :

Quum cessat boreas, quumque auster surgere cœpit?

An quoniam boreas quidem, quod nos sub eo habitamus, domiciliumque nostrum vergit ad septemtriones, intente protinus flat? statim enim, simulac ortus est, adest : quapropter suaviter flat desinens : tunc enim debilis flat; auster vero, quia e longinquo venit, post intentior advenit.

42. Διὰ τί ἐν τοῖς νοτίοις βαρύτερον ἔχουσι καὶ ἀδυνατώτερον οἱ ἄνθρωποι; Ἢ διότι ἐξ ὀλίγου πολὺ ὑγρὸν γίνεται, διατηκόμενον διὰ τὴν ἀλέαν, καὶ ἐκ πνεύματος κούφου ὑγρὸν βαρύ; εἶθ' ἡ δύναμις ἀτονεῖ.

42. Cur spirantibus austris homines gravius invalidiusque sese habent? An propterea quod multus ex pauco redundat humor, dum ab æstu liquatur, itemque humor gravis levi ex spiritu? deinde vires debilitantur.

43. Διὰ τί ἐν τοῖς βορείοις βρωτικώτεροι ἢ ἐν τοῖς νοτίοις; Ἢ διότι ψυχρότερα τὰ βόρεια;

43. Cur spirantibus aquilonibus edaciores sumus quam austris? An propterea quod aquiloni flatus frigidiores sunt?

44. Διὰ τί ὁ νότος οὐ πνεῖ κατ' αὐτὴν τὴν Αἴγυπτον τὰ πρὸς θάλατταν, οὐδ' ὅσον ἡμέρας δρόμον καὶ νυκτός, τὰ δ' ὑπὲρ Μέμφεως καὶ ἀποσχόντι δρόμον ἡμέρας καὶ νυκτὸς λαμπρός, καὶ πρὸς ἑσπέραν οὐ πνεῖ, ὅσον δύο ἡμερῶν καὶ νυκτῶν δρόμον, τὰ δὲ πρὸς ἕω λίβες πνέουσιν; Ἢ διότι κοίλη τὰ κάτω ἡ Αἴγυπτός ἐστιν· διὸ ὑπερπίπτει αὐτῆς, ἄνω δὲ καὶ πόρρω ὑψηλότεροι οἱ τόποι;

44. Cur auster in ipsius Ægypti partibus ad mare sitis non flat, ne spatium quidem quod itineri respondit diei ac noctis, super Memphim vero, vel si discesseris iter diei ac noctis, splendidus spirat; nec vero obcasum versus per spatium quod itineri duûm dierum totidemque noctium respondet; ortum autem versus africi flant? An quoniam terra Ægyptus cava secundum partes suas inferiores est: quapropter et eam superlabitur; supra vero ac procul eminentiores sunt loci?

45. Διὰ τί ὁ νότος ἀρχόμενος μὲν μικρός ἐστι, λήγων δὲ μείζων γίνεται, ὁ δὲ βορέας ἀνάπαλιν; διὸ καὶ ἡ παροιμία λέγει εὖ πλεῖν

ἀρχομένου τε νότου καὶ λήγοντος βορέαο.

Ἢ διότι πρὸς ἄρκτον μᾶλλον ἢ πρὸς μεσημβρίαν οἰκοῦμεν, πνεῖ δ' ὁ μὲν βορέας ἀπὸ τῆς ἄρκτου, ὁ δὲ νότος ἀπὸ τῆς μεσημβρίας; Εἰκότως οὖν ὁ μὲν ἀρχόμενος εὐθὺς σφοδρὸς πρόσκειται τοῖς πλησίον τόποις μᾶλλον, καὶ μετὰ ταῦτα μεταλλάττει τὸ σφοδρὸν πρὸς ἐκείνους· ὁ δὲ νότος τοὐναντίον ἀρχόμενος μὲν τοῖς πρὸς μεσημβρίαν οἰκοῦσιν ἔγκειται, ἐπειδὰν δὲ παραλλάξῃ, τοῖς πρὸς ἄρκτον λαμπρὸς καταπνεῖ.

45. Cur auster quidem parvus oritur, augetur vero desistens, aquilo autem contra? unde et proverbium navigationi prodesse refert,

quum cessat boreas, quumque auster surgere cœpit.

An quod ad septemtriones potius quam ad meridiem habitamus, aquilo autem a septemtrionibus spirat, auster vero a meridie? Merito igitur hic quidem statim, simulac ortus est, vehemens propioribus sibi locis potius incumbit, ac deinde suam vehementiam in illos transfert; auster vero e contrario homines versus meridiem incolentes inter initia quidem urget, ubi vero præteriit, strenue septemtrionalium regionum incolas adflat.

46. Διὰ τί λέγεται·

εἰ δ' ὁ νότος βορέαν προκαλέσσεται, αὐτίκα χειμών;

Ἢ διότι ὁ νότος τοιοῦτός ἐστιν οἷος νεφέλας καὶ ὕδωρ πολὺ συναίρειν; Ὅταν οὖν τοιαύτης τῆς καταστάσεως οὔσης ἐπιπνεύσῃ ὁ βορέας, πολλῆς αὐτῷ ὕλης ὑπαρχούσης πήγνυσι καὶ χειμῶνα ποιεῖ· διὸ λέγεται·

εἰ βορρᾶς πηλὸν καταλήψεται, αὐτίκα χειμών·

ὁ δὲ πηλός, καὶ ὅλως τὰ ὕδατα, ὑπὸ τοῦ νότου ἢ μάλιστα, ἢ πλειστάκις γίνεται.

46. Cur dici solet :

Fit glacialis hyems, boream si duxerit auster?

An quod auster talis est ut nubes et aquam multam elevare possit? Ubi igitur boreas tali tempestatis conditioni supervenerit, quum multa ei subsit materies, congelat hyememque efficit : unde dici solet :

Offendente lutum borea, mox terra gelascit :

lutum enim, atque in universum aqua, ab austro vel maxime, vel sæpissime fit.

47. Διὰ τί ἐπὶ μὲν τῷ νότῳ ταχὺς ὁ βορέας, ἐπὶ δὲ τούτῳ ὁ νότος οὐ ταχὺς ἐπιπίπτει; Ἢ ὅτι τῷ μὲν ἐγγύθεν, τῷ δὲ πόρρωθεν ἡ ἄφιξις; ἡ γὰρ οἴκησις πρὸς βορέαν ἡμῶν.

47. Cur post austrum quidem cito aquilo, post aquilonem vero non cito supervenit auster? An quoniam illi quidem ex propinquo, huic vero ex longinquo veniendum est? sedes enim nostra aquilonem versus posita est.

48. Διὰ τί τὰ πνεύματα ψυχρά ἐστιν, ὄντα ἀπὸ τῆς τοῦ θερμοῦ συγκινήσεως; Ἢ οὐ πάντως ἡ ὑπὸ τοῦ θερμοῦ κίνησις θερμὴ γίνεται, ἐὰν μὴ τρόπον τινὰ γίνηται, ἀλλ' ἐὰν μὲν ἀθρόως ἐμπίπτῃ, καίει αὐτὸ τὸ ἀφιὲν θέρμῃ· ἐὰν δὲ διὰ στενοῦ καὶ κατὰ μικρόν, αὐτὴ μὲν θερμή, ὁ δ' ὑπὸ τούτου κινούμενος ἀήρ, οἷος ἂν ποτε τυγχάνῃ προϋπάρχων, τοιαύτην καὶ τὴν κίνησιν ἀπετέλεσεν, ὥσπερ καὶ ἐπὶ τοῦ σώματος; φασὶ γὰρ ἐκ τοῦ αὐτοῦ θερμὸν καὶ ψυχρὸν ἡμᾶς πνεῖν, τοῦτο δ' οὐχ ἀληθές, ἀλλὰ τὸ μὲν ἐξιὸν θερμὸν ἀεί. Σημεῖον δὲ τὸ ἐγγὺς προσαγαγόντι τοιοῦτον φαίνεσθαι· διαφέρει δ' ἡ ἔκπτωσις αὐτοῦ· ἐὰν μὲν γὰρ διὰ πολλοῦ ἀφῶμεν χανόντες, θερμὸν φαίνεται διὰ τὸ αὐτοῦ αἰσθάνεσθαι, ἐὰν δὲ διὰ στενοῦ, σφοδρότερον γινόμενον ὠθεῖ τὸν πλησίον ἀέρα, κἀκεῖνος τὸν ἐχόμενον· ψυχροῦ δ' ὄντος τοῦ ἀέρος καὶ ἡ κίνησις αὐτοῦ ψυχρὰ γίνεται. Μήποτε δὲ καὶ ἐπὶ τῶν πνευμάτων τὸ αὐτὸ συμβαίνει, καὶ διὰ στενοῦ ἡ πρώτη κίνησις, εἶτ' ἐκεῖνον μὲν διήνεγκεν, ἕτερος δ' ἀὴρ ἐπιρρεῖ· διὸ καὶ τοῦ μὲν θέρους θερμά,

48. Cur flatus frigidi sunt, etiamsi caloris commotione oriantur? An non semper motio a calore profecta calida fit, nisi certo quodam modo fiat; verum si confertim quidem inciderit, ipsum quod emittitur, calore suo urit; sin per angustum et paulatim, ipsa quidem calida est, sed aer qui ab ea movetur, qualiscumque tandem antehac fuerit, talem quoque efficit motum, quomodo etiam circa corpus nostrum fit? ex eodem enim modo calidum, modo frigidum nos efflare inquiunt; sed id verum non est : nam quod exit quidem, semper calidum est. Cujus rei indicium est, quod tale propius admoventi videtur; sed differt exeundi modus : nam si post longas quidem intercapedines hiante ore emittimus, calidum idcirco videtur, quoniam ipsum percipimus; sin vero per angustum vehementius factum aerem sibi proximum impellit, atque ille insequentem, quum aer scilicet frigidus sit, motio quoque ejus frigida fit. Fortassis etiam circa flatus idem hoc evenit, atque per angustum prima fit motio, deinde illum quidem aerem pertulit, alius vero aer adfluit : quapropter et æstate quidem ca-

τοῦ δὲ χειμῶνος ψυχρὰ τὰ πνεύματα, ὅτι ἐν ἑκατέρῳ τοιοῦτος ὁ ἀὴρ ὁ προϋπάρχων, ἐπεὶ ὅτι γ' οὔτ' αὐτὸς ὑφ' ἑαυτοῦ κινούμενος ὁ ἀήρ, οὔθ' ὑπὸ τοῦ θερμοῦ κρατούμενος, φέρεται ταύτην τὴν φοράν, δῆλον οὐ μόνον τούτῳ ὅτι θερμαίνει τὰ πνεύματα πλείονος τοῦ θερμοῦ ἐνόντος, ἀλλὰ καὶ ἄνω ἐφέρετο· τὸ γὰρ πῦρ τοιοῦτον, τὸ δὲ ψυχρὸν κάτω πέφυκε φέρεσθαι· τὰ δὲ πνεύματα πλάγια εἰκότως· ἐπεὶ γὰρ τὸ μὲν ἄνω, τὸ δὲ κάτω βιάζεται, καὶ οὐδέτερον κρατεῖ, μένειν δ' οὐχ οἷόν τε, λοξὴν τὴν φορὰν εἰκότως γίνεσθαι.

lidi, hyeme vero frigidi sunt flatus, quia in utraque tempestate hujusmodi est aer qui jam antehac suberat : nec enim a se ipso aerem moveri, neque a calore victum eo motu ferri constat, non solum eo quod, ubi calor amplior inest, flatus calfaciunt, verum præterea sursum ferrentur : ignis enim hujusmodi est, frigidum contra suapte natura deorsum fertur; at flatus merito in latus se vertunt : quum enim alterum quidem sursum, alterum vero deorsum cogat, et neutrum alterum superet, nec fieri possit ut loco maneat, merito obliquum fit iter.

49. Διὰ τί οἱ νότοι ἐν τῇ Λιβύῃ ψυχροί, ὥσπερ παρ' ἡμῖν οἱ βορέαι; Ἢ πρῶτον μὲν διὰ τὸ ἐγγυτέρω εἶναι ἡμῖν τε κἀκείνοις τὰς ἀρχὰς τῶν πνευμάτων; εἰ γάρ, ὥσπερ εἴπομεν, διὰ στενοῦ γίνεται τὰ πνεύματα, τοῖς ἐγγυτέρω ψυχρότερα ἔσται διὰ τὴν σφοδρότητα τῆς κινήσεως· εἰς γὰρ τὸ πόρρω προϊούσης διαχεῖται· διὸ καὶ παρ' ἡμῖν οἱ βορέαι ψυχροί, ὅτι ἐγγυτέρω καὶ παντελῶς πρὸς τῇ ἄρκτῳ οἰκοῦμεν.

49. Cur austri frigidi in Africa sunt, ut apud nos aquilones? An primum quidem quia cum nobis, tum illis ventorum origines propiores sunt? nam si, ut diximus, flatus per angustias transeunt, propioribus frigidiores obcurrent propter motus vehementiam : motu enim procedente in longinquum diffunditur : qua de causa etiam aquilones frigidi apud nos sunt, quia colimus propius, atque prorsus juxta septemtriones.

50. Διὰ τί οἱ νότοι οἱ ξηροὶ καὶ μὴ ὑδατώδεις πυρετώδεις; Ἢ ὅτι ὑγρότητα θερμὴν ἀλλοτρίαν ἐμποιοῦσι τοῖς σώμασιν; εἰσὶ γὰρ ὑγροὶ καὶ θερμοὶ φύσει, τοῦτο δ' ἐστὶ πυρετῶδες· ὁ γὰρ πυρετὸς ὑπ' ἀμφοτέρων τούτων ἐστὶν ὑπερβολῆς. Ὅταν μὲν οὖν ὑπὸ τοῦ ἡλίου ἄνευ ὕδατος πνέωσι, ταύτην τὴν τάξιν, ὅταν δ' ἅμα τῷ ὕδατι, τὸ ὕδωρ καταψύχει.

50. Cur austri sicci et aquæ expertes febres infligunt? An quoniam humorem calidum alienum corporibus induunt? sunt enim natura humidi et calidi; id autem febriculosum est : febris enim horum utrorumque consistit exsuperantia. Quando igitur vi solis sine aqua spirant, ad hunc ordinem pertinent; at ubi una veniunt cum aqua, hæc ipsa refrigerat.

51. Διὰ τί οἱ ἐτησίαι ταύτην δὴ τὴν ὥραν ἀεὶ καὶ τοσοῦτοι πνέουσι, καὶ διὰ τί ληγούσης τῆς ἡμέρας λήγουσι καὶ τῆς νυκτὸς οὐ πνέουσιν; Ἢ τοῦτο μὲν διὰ τὸ τὴν χιόνα τηκομένην παύεσθαι ὑπὸ τοῦ ἡλίου πρὸς ἑσπέραν καὶ τὴν νύκτα; Ὅλως δὲ πνέουσιν, ὅταν ὁ ἥλιος κρατεῖν καὶ λύειν ἄρξηται τὸν πρὸς βορέαν πάγον. Ἀρχομένου μὲν οὖν οἱ πρόδρομοι, ἤδη δὲ λυομένου οἱ ἐτησίαι.

51. Cur flatus anniversarii hac quidem tempestate tantaque vi flant semper, et cur desinente die desinunt, noctuque non spirant? An hoc quidem, quoniam nix liquefieri cessat a sole sub vesperam noctemque? Omnino autem tunc flant, ubi sol vincere atque resolvere glaciem ad aquilonem positam cœpit. Ubi igitur incipit, præcursores spirant, ubi vero jam resolvitur, anniversarii.

52. Διὰ τί ὁ ζέφυρος λειότατός τε τῶν ἀνέμων καὶ ψυχρός, καὶ δύο ὥρας πνεῖ μάλιστα, ἔαρ τε καὶ μετόπωρον, καὶ πρὸς ἑσπέραν τῆς ἡμέρας, καὶ ἐπὶ τὴν γῆν μάλιστα; Ἢ ψυχρὸς μὲν διὰ τὸ πνεῖν ἀπὸ τῆς θαλάττης καὶ πεδίων ἀναπεπταμένων; Ἧττον μὲν οὖν ψυχρὸς τοῦ βορέου διὰ τὸ ἀφ' ὕδατος πνευματουμένου, καὶ μὴ χιόνος πνεῖν, ψυχρὸς δὲ διὰ τὸ μετὰ χειμῶνα, ἄρτι τοῦ ἡλίου κρατοῦντος, πνεῖν, καὶ μετοπώρου, ὅτι οὐκέτι κρατεῖ ὁ ἥλιος· οὐ γὰρ ὥσπερ ἐν γῇ ὑπομένει τὴν εἵλην, ἀλλὰ πλανᾶται διὰ τὸ ἐφ' ὑγροῦ βεβηκέναι. Καὶ ὁμαλὸς διὰ τὸ αὐτό· οὐ γὰρ ἀπὸ ὀρέων πνεῖ, οὐδὲ βίᾳ τηκομένου, ἀλλὰ ῥᾳδίως ὥσπερ δι' αὐλῶνος ῥέων· τὰ μὲν γὰρ πρὸς βορέαν καὶ νότον ὀρεινά· πρὸς ἑσπέραν δ' οὔτ' ὄρος, οὔτε γῆ ἐστιν, ἀλλὰ τὸ Ἀτλαντικὸν πέλαγος, ὥστ' ἐπὶ τῆς γῆς φέρεται. Καὶ πρὸς ἑσπέραν δὲ τῆς ἡμέρας πνεῖ διὰ τὸν τόπον· τότε γὰρ ὁ ἥλιος πλησιάζει τῷ τόπῳ. Καὶ τῆς νυκτὸς παύεται διὰ τὸ ἐκλείπειν τὴν τοῦ ἡλίου κίνησιν.

52. Cur favonius ventorum omnium lævissimus itemque frigidus est, duabusque tempestatibus maxime spirat, vere ac autumno, idque sub vesperam, ac terram versus potissimum? An frigidus quidem est, quia ex mari campisque apertis spirat? Minus itaque frigidus quam aquilo est, quoniam ab aqua quæ in spiritum convertitur, non vero a nive spirat; frigidus tamen est, quia vel post hyemem, quum nuper sol vincere cœpit, vel autumno, quia nempe tunc non amplius vincit, spirat : haud enim ut per terram calore suo subsistit, sed vagatur quoniam humori innititur. Æquabilis quoque eadem de causa est : non enim ex montibus, neque a nive per vim tabescente, sed expedite tamquam per convallem fluit : regiones enim ad aquilonem ac ad austrum vergentes montosæ sunt; obcasum versus autem nullus mons, nulla terra est, sed mare Atlanticum, ita ut super terra feratur. Sub vesperam autem loci ratione flat : tunc enim sol ad ejus locum adcedit. Noctu tandem quiescit, quoniam solis motio deficit.

53. Διὰ τί, ὅταν ὁ εὖρος πνεῖ, μείζω φαίνεται τὰ πάντα; Ἢ ὅτι ζοφωδέστατον τὸν ἀέρα ποιεῖ;

53. Cur euro spirante omnia majora adparent? An quoniam eo flatu aer caliginosissimus redditur?

54. Διὰ τί τὸν μὲν χειμῶνα πρωῒ ἀπὸ τῆς ἕω τὰ πνεύματα πνεῖ, τὸ δὲ θέρος δείλης καὶ ἀπὸ δυσμῶν ἡλίου; Ἢ ὅτι ἃ ἡμῖν συμβαίνει τοῦ θέρους, ταῦτα τοῦ χειμῶνος τοῖς τὸ ἐναντίον τῆς γῆς ἡμισφαίριον οἰκοῦσιν, ἡμῖν δὲ τοῦ χειμῶνος πρωῒ καὶ ἀφ' ἕω τὰ πνεύματα πνεῖ διὰ τὸ τὸν ἀέρα κάθυγρον ἐν τῇ νυκτὶ διακρίνεσθαι καὶ κινεῖσθαι τὸ πρωῒ ὑπὸ τοῦ ἡλίου, καὶ πρῶτον τὸν ἔγγιστα τοῦ ἡλίου; Ποιεῖ δὲ τοῦτο ὁ ἥλιος καὶ πρὸ ἀνατολῆς· διὸ αὖραι οὐχ ἧττον πρὸ ἀνατολῆς πνέουσιν. Ἐπειδὴ οὖν καὶ ἐφ' ἑαυτὸν ἕλκει ὁ ἥλιος τὰ ὑγρὰ καὶ κινεῖ πρὸ ἀνατολῆς τοῦ χειμῶνος ὑγρὸν ὄντα τὸν παρ' ἡμῖν ἀέρα, δῆλον ὡς καὶ ἐφ' ἑαυτὸν ἂν ἕλκοι, ὢν ἐν τῷ κάτω ἡμισφαιρίῳ. Καὶ δείλη ἐκείνοις ὃ ἡμῖν ἐστιν ὄρθρος, ὥστε συμβαίνοι ἂν τὸν ὑπὸ τοῦ ἡλίου πρὸ ἀνατολῆς παρ' ἡμῶν ἐφ' ἑαυτὸν ἑλκόμενον ἀέρα, τοῦτον τοῖς κάτω γενέσθαι ζέφυρον καὶ δείλης πνεῖν· ὃ δ' ἐν τῷ παρ' ἡμῖν χειμῶνι, τῆς ἕω ἐκείνοις συμβαίνει, ὃ δ' ἐν τῷ θέρει, τῆς δείλης ἡμῖν· ὅτε γὰρ παρ' ἡμῖν θέρος, ἐκεῖ χειμών ἐστι, καὶ ἡ ἡμετέρα δείλη ἐκείνοις ὄρθρος, καθ' ἣν ἐκείνοις μὲν αὔρας ἐξ ἑῴας συμβαίνει πνεῖν, ἡμῖν δὲ ζεφύρους διὰ ταὐτὰ τοῖς προειρημένοις. Τοῦ δὲ θέρους καὶ ἑῷαι μὲν οὐ πνέουσιν, ὅτι εἰς ξηρότερον ἔτι τὸν παρ' ἡμῖν ἀέρα ὁ ἥλιος ἀνατέλλει διὰ τὸ ὀλίγον χρόνον αὐτοῦ ἀπογεγονέναι· ζέφυροι δ' οὐ πνέουσι δείλης τοῦ χειμῶνος, ὅτι οὐδ' ἐν τῷ κάτω ἡμισφαιρίῳ ἑῷοι ταύτην τὴν ὥραν διὰ τὰ προειρημένα, ὅθεν ὁ ἥλιος ἐφ' ἑαυτὸν ἕλκων τὰ ὑγρὰ τὸν παρ' ἡμῖν ζέφυρον ποιεῖ.

54. Cur hyeme quidem flatus de ortu spirant mane, æstate vero post meridiem et de obcasu? An quod flatus qui nobis æstate eveniunt, hyeme his spirant qui obpositum terræ hemisphærium tenent; nobis autem hyeme mane atque de ortu venti flant, quod præhumidus noctu aer discernitur moveturque mane a sole, atque is primus qui proximus soli est? Hoc autem etiam ante suum exortum facit sol: quapropter auræ non minus ante solis exortum spirant. Ergo quum sol etiam humores ad se adtrahat, moveatque ante suum ortum aera, qui per hyemem humidus apud nos est, constat eum tunc quoque adtracturum esse, ubi inferius hemisphærium obcupat. Quod tempus autem illis est pomeridianum, idem nobis antelucanum est: eveniet ergo ut aer quem ante ortum apud nos ad sese trahit sol, favonius inferis sit, spiretque horis pomeridianis: quod autem hyeme nostra adcidit, id illis mane evenit; quod vero (illis) æstate, id nobis tempore pomeridiano: quando enim apud nos æstas est, apud illos est hyema, nostrumque tempus pomeridianum illis antelucanum est: quo illis quidem auras exortivas, nobis vero favonios spirare evenit, propter eamdem rationem ac quæ supra exposuimus. Æstate vero exortivi quidem flatus non spirant, eo quod sol ad aera sedis nostræ sicciorem adhuc oritur, quia parum temporis inde abfuit; favonii vero post meridiem nulli per hyemem spirant, quoniam nec inferiori in hemisphærio ob eam quam supra diximus causam, venti exortivi ea tempestate flant, unde sol humores ad se adtrahens nostrum efficit favonium.

55. Διὰ τί ὁ ζέφυρος εὐδιεινὸς καὶ ἥδιστος δοκεῖ εἶναι τῶν ἀνέμων; Ἢ ὅτι ἐν μεθορίῳ ἐστὶ τῶν θερμῶν καὶ ψυχρῶν πνευμάτων, γειτνιῶν δ' ἀμφοῖν τῆς δυνάμεως αὐτῶν κοινωνεῖ; διὸ εὔκρατός ἐστιν. Ὁ δ' ἀπηλιώτης ἧττον κοινωνεῖ, ὢν ἐν τῷ μέσῳ τῶν αὐτῶν· ἀπηλιώτης μὲν γὰρ πνέων τὰ πρὸς νότον πνεύματα κινεῖ (ἐνταῦθα γὰρ ἡ μετάστασις αὐτοῦ ἐστιν), κινῶν δ' οὐ μίγνυται αὐτοῖς· ὁ δὲ ζέφυρος καὶ κινεῖται ὑπὸ τῶν νότων καὶ πνέων κινεῖ τὰ βόρεια· τελευτᾷ γὰρ ἐνταῦθα ἡ περίοδος τῶν πνευμάτων· διὸ τῶν μὲν τὴν τελευτήν, τῶν δὲ τὴν ἀρχὴν ἔχων ἐν ἑαυτῷ δικαίως ἡδύς ἐστι καὶ δοκεῖ εἶναι.

55. Cur favonius serenus atque gratissimus ventorum esse videtur? An quia in confinio calidorum et frigidorum flatuum situs est, vicinusque ambobus quum sit, particeps facultatis eorum evadit, temperatusque proinde est? Subsolanus autem, quamvis in confinio eorumdem positus sit, minorem tamen communionem cum iis init: movet enim subsolanus, ubi spirat, flatus austrum versus sitos (eo namque transfertur), sed etiamsi moveat, non miscetur illis; at vero favonius et movetur ab austris, et spirans movet aquilonares: hic enim cessat ventorum circuitus: quapropter quum alterorum quidem finem, alterorum vero initium intra se contineat, jure suavis et est et esse videtur.

56. Διὰ τί ἄλλοις ἄλλοι τῶν ἀνέμων ὑέτιοι, οἷον ἐν μὲν τῇ Ἀττικῇ καὶ ταῖς νήσοις ὁ Ἑλλησποντίας, ἐν Ἑλλησπόντῳ δ' ὁ βορέας καὶ ἐν Κυρήνῃ, περὶ Λέσβον δὲ νότος; Ἢ ὅπου ἂν ἄθροισις νεφῶν, ἐνταῦθα ὕδωρ; ἐνταῦθα γὰρ πύκνωσις ἀθροίζεται, ὅπου ἂν προκαθίζεσθαι ἔχῃ· διὸ καὶ ἐν τοῖς ὄρεσι μᾶλλον ὕει ἢ ὅπου ἂν τὸ πλῆθος ὑπεξάγειν δύνηται· περικαταλαμβανόμενον γὰρ πυκνοῦται, δεῖ δὲ τοῦτο γενέσθαι. Καὶ ἐν ταῖς εὐδίαις μᾶλλον ὕει. Ἐν Ἑλλησπόντῳ μὲν οὖν ἄνωθεν ὁ βορέας πολλὰ συνωθεῖ νέφη, πρὸς δὲ τὴν Ἀττικὴν

56. Cur venti alii aliis imbrem adferunt, verbi causa Atticæ quidem insulisque hellespontias, Hellesponto vero atque Cyrenæ aquilo, Lesbo tandem auster? An ubicumque adcumulatio nubium fuerit, ibi aqua? condensatio enim adcumulatur, ubicumque antea considere possunt nubes: quapropter in montibus quoque magis pluit quam ubicumque cumulum subducere potest ventus: circumsepta enim condensatur nubes: id quod fieri debet. Per tranquillitatem quoque magis pluit. Ergo apud Hellespontum quidem aquilo multas desuper nubes compellit; ad Atticam vero

καὶ τὰς νήσους ὁ Ἑλλησποντίας, ὥσπερ ὕλην ἔχων· καὶ γὰρ περιίσταται τὰ πολλὰ ἐκ τοῦ βορέου. Περὶ δὲ Λέσβον ὁ εὖρος καὶ ὁ νότος ἐκ τοῦ πελάγους φέροντες πολλὰ νέφη προσβάλλει τῇ χώρᾳ· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν ἄλλων·

insulasque hellespontias, quasi nactus materiam: plerumque enim ab aquilone in eum fit transitus. Circa Lesbum tandem eurus atque auster multas nubes ferentes ad terram adpellunt ex alto, atque eodem modo circa ceteros evenit.

57. Διὰ τί λέγεται·

μή ποτ' ἀπ' ἠπείρου δείσῃς νέφος, ἀλλ' ἀπὸ πόντου
χειμῶνος, θέρεος δὲ ἀπ' ἠπείροιο μελαίνης;

Ἢ διότι τοῦ μὲν χειμῶνος ἡ θάλαττα θερμοτέρα, ὥστ' εἴ τι συνέστη, δῆλον ὅτι ἀπ' ἀρχῆς ἰσχυρᾶς συνέστηκεν (ἐλύθη γὰρ ἂν διὰ τὸ ἀλεεινὸν εἶναι τὸν τόπον)· τοῦ δὲ θέρους ἡ μὲν θάλαττα ψυχρά, καὶ τὰ πόντια πνεύματα, ἡ δὲ γῆ θερμή, ὥστ' εἴ τι ἀπὸ τῆς γῆς φέρεται, διὰ μείζονος ἀρχῆς συνέστη; διελύθη γὰρ ἄν, εἰ ἀσθενὲς ἦν.

57. Cur dici solet:

Ne umquam de continente nubem metuas, sed de mari
Hyeme; æstate vero de continente nigra?

An quoniam per hyemem quidem mare calidius est, ita ut si quid in eo constiterit, id ab initio constitisse valido certum sit (alioquin enim dissolutum esset, quia locus tepidus est); at per æstatem mare quidem frigidum est, itemque flatus maritimi; terra e contrario calida, ita ut si quid de terra feratur, primordio id constiterit ampliori? nam si imbecillum esset, dissolutum fuisset.

58. Διὰ τί ἐν τῇ Ἀρκαδίᾳ ὑψηλῇ οὔσῃ τὰ μὲν πνεύματα οὐθὲν ψυχρότερα τῶν παρὰ τοῖς ἄλλοις, ὅταν δὲ νηνεμία ᾖ καὶ ἐπινέφελα, ψυχρά, ὥσπερ ἐν τοῖς ὁμαλέσι τοῖς ἑλώδεσιν; Ἢ ὅτι καὶ ἡ Ἀρκαδία ὁμοία γίνεται τοῖς ἑλώδεσιν; οὐ γὰρ ἔχει ἐξόδους τοῖς ὕδασιν εἰς θάλατταν· διὸ καὶ βάραθρα πολλὰ αὐτόθι ἐστίν. Ὅταν μὲν οὖν ᾖ ἄνεμος, ἀπορριπίζει τὴν ἐκ τῆς γῆς ἀναθυμίασιν, οὖσαν ψυχράν· αὐτὰ δὲ τὰ πνεύματα οὐ ψυχρὰ διὰ τὸ ἀπὸ τῆς θαλάττης προσβάλλειν· ἐν δὲ ταῖς νηνεμίαις ἀνιοῦσα ἡ ἀτμὶς ἀπὸ τοῦ ἐμμένοντος ὕδατος ποιεῖ τὸ ψῦχος.

58. Cur apud Arcadiam, qui locus excelsus est, flatus quidem nihilo frigidiores sunt quam apud reliquos, ubi vero flatus silent cœlumque nubilum est, frigus obtinet perinde atque in locis planis ac palustribus? An quoniam et Arcadia similis locis palustribus fit? aquarum enim in mare exitus non habet: quapropter et barathra ibi multa reperiuntur. Ubi igitur ventus spirat, exhalationem ex terra provenientem quæ frigida est, eventilat; flatus autem ipsi frigidi propterea non sunt, quia e mari adpellunt; spiritu vero silente, vapor de aqua stagnante exsurgens frigus facit.

59. Διὰ τί, ἂν ἕωθεν πνεῖν ἄρξηται, διημερεύει μᾶλλον; Ἢ διότι ἀρχομένου τοῦ ἡλίου σφοδροτάτη ἡ φορά; διὸ ἐκτείνεται τοιαύτη οὖσα· σημεῖον δ' ὅτι ἰσχυρὰ ἡ σύστασις.

59. Cur, si ventus mane inceperit flare, edurat amplius? An quoniam sole oriente impetus fit vehementissimus? idcirco protrahitur, quoniam hujusmodi est: probat enim hoc concrementum validum esse.

60. Διὰ τί βορέας τὴν ἡμέραν μὲν λαμπρός, τὴν δὲ νύκτα πίπτει; Ἢ διότι γίνεται ἀπὸ πεπηγότος ὑετοῦ, ὅταν ἀναθυμιᾶται διὰ τὸν ἥλιον· πίπτει δὲ νυκτός, ὅτι οὐχ ἡ αὐτὴ γένεσις, ἀλλὰ τοὐναντίον ποιεῖ; τὰς γὰρ νύκτας ἐκπνεῖ, τὰς δ' ἡμέρας ἧττον.

60. Cur aquilo interdiu quidem strenuus est, noctu vero sternitur? An quod ex imbre gignitur congelato, ubi propter solem exhalatur; sternitur autem noctu, quia non eadem ejus obtinet generatio, sed contrarium facit? noctu enim exspirat aquilo, interdiu vero minus.

61. Διὰ τί τὰ ἀράχνια τὰ πολλὰ ὅταν φέρηται, πνεύματός ἐστι σημεῖα; Πότερον ὅτι ἐργάζεται ὁ ἀράχνης ἐν ταῖς εὐδίαις, φέρεται δὲ διὰ τὸ ψυχόμενον τὸν ἀέρα συνιέναι πρὸς τὴν γῆν, τὸ δὲ ψύχεσθαι ἀρχὴ χειμῶνος; Σημεῖον οὖν ἡ φορὰ τῶν ἀραχνίων. Ἢ ὅτι μετὰ τὰ ὕδατα καὶ τοὺς χειμῶνας γίνεται τῶν ἀραχνίων ἀθρόα ἡ φορά, ἐν ταῖς εὐδίαις ἐργαζομένων, διὰ τὸ ἐν τῷ χειμῶνι μὴ φαίνεσθαι; δύσριγον γὰρ τόδε. Καὶ φερόμενοι ὑπὸ τοῦ πνεύματος πολὺ ἐκπηνίζονται· μετὰ δὲ τὰ ὕδατα εἴωθε πνεύματα γίνεσθαι ὡς τὰ πολλά.

61. Cur flatus indicium est, ubi multa feruntur aranea? Utrum quod aranea suo fungitur opere ubi cœlum serenum est; feruntur autem, quoniam refrigescens aer in terram cogitur; refrigeratio vero hyemis primordium est? Itaque indicium est araneorum casus. An quod post imbres atque hyemes araneorum confertus obtinet casus (opus enim suum araneæ tunc exsequuntur, ubi cœlum serenum est), quia per hyemem non adparent? alsiosum enim est animal hoc. A flatu quoque si transferantur aranea, extricantur multum; post imbres autem flatus magna ex parte oriri solent.

62. Διὰ τί οἱ βορέαι μεγάλοι τοῦ χειμῶνος ἐν τοῖς ψυχροῖς τόποις ἐπινέφελοι, ἔξω δ' αἴθριοι; Ἢ ὅτι ἅμα ψυχροί εἰσι καὶ μεγάλοι, ἐγγὺς δὲ μᾶλλον ψυχροί, ὥστε φθάνουσι πηγνύντες πρὶν ἀπῶσαι τὰ νέφη· ὅταν δὲ

62. Cur locis frigidis aquilones vehementes hyeme obnubilant, extra horum fines vero sereni sunt? An quia simul frigidi et vehementes sunt, e propinquo tamen frigidiores, ita ut prius nubes congelent quam abigant; congelatæ

παγῇ, μένουσι διὰ βάρος· ἔξω δὲ τῷ μεγέθει ἐργάζονται μᾶλλον ἢ τῷ ψυχρῷ;

autem propter pondus suum manent nubes; extra vero vehementia potius quam frigore agunt?

ΤΜΗΜΑ ΚΖ.

ΟΣΑ ΠΕΡΙ ΦΟΒΟΝ ΚΑΙ ΑΝΔΡΕΙΑΝ.

SECTIO XXVII.

QUÆ AD METUM ET FORTITUDINEM PERTINENT.

1. Διὰ τί οἱ φοβούμενοι τρέμουσιν; Ἢ διὰ τὴν κατάψυξιν; ἐκλείπει γὰρ τὸ θερμὸν καὶ συστέλλεται· διὸ καὶ αἱ κοιλίαι λύονται τοῖς πολλοῖς.

1. Cur tremunt metuentes? An propter refrigerationem? deficit enim calor atque contrahitur: quapropter alvus quoque plerisque solvitur.

2. Διὰ τί οὖν καὶ διψῶσιν ἔνιοι, καθάπερ οἱ μέλλοντες κολάζεσθαι; οὐ γὰρ ἔδει καταψυχομένων. Ἢ οὐκ ἐν ταὐτῷ τόπῳ ἡ κατάψυξις καὶ ἡ θερμότης, ἀλλ' ἡ μὲν ἐν τῷ ἐπιπολῆς, ἔνθεν ἐκλείπει τὸ θερμόν, ἡ δ' ἐν τῷ ἐντός, ὥστ' ἐκθερμαίνει; Σημεῖον δὲ καὶ τὸ λύεσθαι τὰς κοιλίας. Ἀναξηραινομένου δὴ τοῦ κυρίου τόπου τὸ δίψος. Ὅμοιον δ' ἔοικεν ὥσπερ τοῖς ἠπιαλοῦσιν, οἳ ἅμα τῷ ῥιγοῦν διψῶσιν· οὐδὲ γὰρ ὁ αὐτὸς οὐδ' ἐκεῖ τόπος ψύχεται καὶ θερμαίνεται.

2. Cur itaque et metuentes nonnulli sitiunt, ut qui castigationem subituri sunt? non enim deberent, quippe quum refrigerantur. An non eodem loco fit refrigeratio et calor, sed refrigeratio quidem in superficie, unde calor deficit, calor vero in partibus internis, ita ut percalefaciat? Cujus rei indicium alvi quoque solutio est. Sitis igitur fit ubi locus principalis siccatur. Eventum autem simile esse videtur ei quod epialo adfectis adcidit, qui simul et rigent et sitiunt: nec enim ibi quoque idem locus inalgescit et concalescit.

3. Διὰ τί ἐν μὲν τοῖς θυμοῖς εἰς τὸ ἐντὸς ἀθροιζομένου τοῦ θερμοῦ διάθερμοι καὶ θαρραλέοι, ἐν δὲ τοῖς φόβοις ἀνάπαλιν; Ἢ οὐκ εἰς τὸν αὐτὸν τόπον, ἀλλὰ τοῖς μὲν ὀργιζομένοις περὶ τὴν καρδίαν (διὸ καὶ θαρρητικοὶ καὶ ἐν ἐρυθήματι καὶ πνεύματος πλήρεις, ἄνω τῆς φορᾶς οὔσης), τοῖς δὲ φοβουμένοις κάτω συμφευγόντων τοῦ αἵματος καὶ τοῦ θερμοῦ (διὸ καὶ ἡ λύσις τῶν κοιλιῶν), ἐπεὶ καὶ ἡ τῆς καρδίας πήδησις οὐχ ὁμοία, ἀλλὰ τοῖς μὲν ὡς ἂν διὰ τὴν ἔκλειψιν πυκνὴ καὶ νυγματώδης, τοῖς δ' ὡς ἂν ἀθροιζομένου πλείονος θερμοῦ; διὸ καὶ τὸ ἀναζεῖν καὶ τὸ ὀρίνεσθαι τὸν θυμὸν καὶ ταράττεσθαι, καὶ ὅσα τοιαῦτα λέγουσιν οὐ κακῶς, ἀλλ' οἰκείως. Ἆρ' οὖν καὶ διὰ τοῦτο τὸ δίψος, ἐπεὶ τό γε ξηρὸν πτύειν καὶ ὁ σαυσαρισμὸς καὶ τὰ τοιαῦτα γίνεται διὰ τὴν ἀναφορὰν τοῦ πνεύματος ἅμα καὶ θερμοῦ; Καὶ τὸ δίψος δὲ δῆλον ὡς ἐκθερμαινομένου τοῦ σώματος. Πῶς οὖν ὁ αὐτὸς τόπος ἀναξηραίνεται ἀμφοῖν, ᾧ διψῶμεν, καὶ τῷ φοβουμένῳ καὶ τῷ ὀργιζομένῳ; ὁ δὲ φόβος ὅτι διψητικόν, καὶ οἱ ἐν ταῖς τροπαῖς δηλοῦσιν· οὐδαμοῦ γὰρ οὕτω διψῶσιν. Καὶ οἱ ἀγωνιῶντες δὲ σφόδρα· διὸ καὶ διακλύζονται καὶ ἐπιρροφοῦσι, καθάπερ Παρμένων ὁ ὑποκριτής. Ἢ τούτοις μὲν οὐκ ἔστι δίψος, ἀλλὰ ξηρότης πεφευγότος τοῦ αἵματος, ὅθεν καὶ ὠχροί; Σημεῖον δὲ τὸ μὴ πίνειν πολύ, ἀλλὰ καὶ βροχθίσαι· οἱ δ' ἐν ταῖς τροπαῖς μετὰ πόνου· διὸ διψῶσι καὶ οἱ μέλλοντες κολάζεσθαι. Καὶ οὐθὲν ἄτοπον· ἐν δὲ τοῖς πολεμικοῖς ἔνιοι καὶ τῶν ἀνδρείων, ὅταν διασκευασθῶσι, καὶ τρέμουσιν οὐκ ἐξεστηκότες, ἀλλὰ θαρροῦντες· ὧν εἰώθασι μαστιγοῦν τὸ σῶμα πλατεῖ νάρθηκι· εἰ δὲ μή, ταῖς χερσὶν ἀναθερμανθέντες. Ἔοικε δὴ διὰ τὴν ὀξύτητα καὶ τὴν φορὰν τοῦ θερμοῦ ἀνωμαλία τις εἶναι περὶ τὸ σῶμα ταραχώδης.

3. Cur irati quidem, calore introrsum collecto, percalidi et audaces sunt, metuentes vero e contrario? An non eumdem in locum, sed irascentibus quidem circa cor, (quapropter et audaces rubicundique ac spiritu pleni sunt, quia impetus superiora petit), metuentibus vero sanguis et calor deorsum confugiunt (unde etiam alvi solutio), quum et cordis palpitatio non eadem sit, sed his quidem, utpote ex caloris inopia orta, frequens ac pungens; illis vero qualis a majori caloris adcumulatione fieri solet? quamobrem et effervescere animo, excitarique ac perturbari, ceteraque id genus facere non inepte, sed adcommodate dicuntur. Numquid igitur sitis quoque eadem de causa evenit, quum et sicca exscreatio et linguæ hæsitantia et reliqua hujusmodi spiritus ab impetu pendeant, quo una cum calore sursum rapitur? Sitim quoque percalescente corpore nasci certum est. Quomodo itaque pars eadem corporis, ea nempe qua sitimus, resiccatur utrisque, cum metuenti, tum irascenti? metum enim sitim posse adferre constat militum fugatorum argumento: numquam enim alias tam graviter sitiunt. Itemque qui trepidant, admodum sitiunt: quapropter et os colluunt et deinceps nonnihil supersorbent, ut Parmeno histrio. An hosce quidem non sitis, sed siccitas propter sanguinis fugam tenet, unde etiam pallescunt? Indicium vero est, quod non multum ebibunt, sed sorbent tantummodo; at qui se in fugam verterunt, laborant: quapropter sitiunt et quibus castigationes instant. Nec mirum quidquam id est: fit enim in re bellica, ut nonnulli etiam viri fortes instructa acie obtremiscant, non perterriti, sed fidentes: quorum etiam corpora verberare lata ferula solent, vel alioquin manibus calefactis. Videtur sane inæqualitas quædam tumultuaria eorum corporibus inesse propter contentionem et impetum caloris.

4. Διὰ τί οἱ ἀνδρεῖοι ὡς ἐπὶ τὸ πολὺ φίλοινοι; Ἢ ὅτι οἱ ἀνδρεῖοι θερμοί, ἡ δὲ θερμότης περὶ τὰ στήθη; ἐνταῦθα γὰρ καὶ ὁ φόβος φαίνεται, γινόμενος κατάψυξίς τις· ὥστε περὶ τὴν καρδίαν ἧττον μὲν μένει, τοῖς δὲ πηδᾷ ψυχομένη. Ὅσοι οὖν τὸν πνεύμονα ἔχουσιν ἔναιμον, θερμὸν ἔχουσι τοῦτον ὥσπερ οἰνωμένοι, ὥστ' οὐ ψύχει ἡ φαντασία τοῦ δεινοῦ· οἱ δὲ τοιοῦτοι καὶ φιλοπόται· ἥ τε γὰρ τοῦ ποτοῦ ἐπιθυμία διὰ τὴν τούτου τοῦ μορίου θερμότητά ἐστιν (εἴρηται δὲ περὶ αὐτοῦ ἐν ἄλλοις) καὶ τοῦ παυστικοῦ ἡ ἐπιθυμία. Ὁ δ' οἶνος θερμὸς μὲν τὴν φύσιν, παύει δὲ τὴν δίψαν μᾶλλον τοῦ ὕδατος, καὶ μάλιστα τῶν αὐτῶν, δι' ἣν αἰτίαν, εἴρηται ἐν ἄλλοις· διὸ καὶ οἱ ἐν τῇ περιπνευμονίᾳ, καὶ οἱ μαινόμενοι ἀμφότεροι ἐπιθυμοῦσιν οἴνου, καίτοι τῶν μὲν διὰ τὴν θερμασίαν θερμὸς ὁ πνεύμων, τῶν δὲ διὰ τὴν ταραχήν. Ἐπεὶ οὖν οἱ αὐτοὶ ὡς ἐπὶ τὸ πολὺ τῷ γένει διψητικοὶ καὶ ἀνδρεῖοι, οἴνου δ' οἱ διψητικοὶ ἐπιθυμητικοί, οἱ δὲ τοιοῦτοι φιλοπόται, ἀναγκαῖον ὡς ἐπὶ τὸ πολὺ παρακολουθεῖν ἀλλήλοις τὰς φύσεις· διὸ καὶ οἱ οἰνωμένοι ἀνδρειότεροι τῶν μή.

4. Cur fortes magna ex parte vinosi sunt? An quia fortes calidi sunt, calor autem circa pectus residet? ibidem enim metum quoque qui refrigeratio quædam est, effici cernimus, ita ut si vincat quidem, circa cor persistat calor, timidis vero refrigescens saliat. Ergo qui sanguinolentum habent pulmonem, iis calidum est hoc membrum modo vinolentorum, ita ut rei terribilis imago eos non refrigeret; at qui ita se habent, et bibaces sunt: nam et bibendi cupiditas membri hujus calore oritur (de qua re alio loco diximus), et cupido rei sedantis est. Vinum autem, etsi natura revera calidum est, sitim tamen melius quam aqua sedat, maximeque apud eosdem homines: quam ob causam, dictum alias est: ex quo et qui pulmonis inflammatione, aut insania laborant, vinum adpetunt utrique, quamquam illis quidem propter fervorem, his vero ex perturbatione pulmo calidus sit. Quum igitur magna ex parte ejusdem generis homines siticulosi ac fortes sint, vini autem avidi sunt qui siticulosi, talesque bibaces, naturas hasce plerumque alteram insequi alteram necesse est: unde etiam vinolenti quam sobrii fortiores sunt.

5. Διὰ τί μάλιστα τὴν ἀνδρείαν τιμῶσιν αἱ πόλεις, οὐ βελτίστην οὖσαν τῶν ἀρετῶν; Ἢ ὅτι διατελοῦσιν ἢ πολεμοῦντες, ἢ πολεμούμενοι, αὕτη δ' ἐν ἀμφοῖν χρησιμωτάτη ἐστίν; τιμῶσι δ' οὐ τὰ βέλτιστα, ἀλλὰ τὰ αὑτοῖς βέλτιστα.

5. Cur fortitudinem maximo honore prosequuntur respublicæ, quæ tamen virtutum optima non est? An quia semper vel ipsæ bellum aliis inferunt, vel ab aliis bello petuntur, hæc autem virtus perutilis in utroque casu est? honorant enim non quæ optima sunt, sed quæ optima sibi.

6. Διὰ τί οἱ φοβούμενοι μάλιστα τρέμουσι τὴν φωνήν, καὶ τὰς χεῖρας, καὶ τὸ κάτω χεῖλος; Ἢ διότι ἔκλειψίς ἐστι τὸ πάθος θερμοῦ ἐκ τῶν ἄνω τόπων; διὸ καὶ ὠχριῶσιν. Διὰ μὲν οὖν τὸ ἐκ τοῦ στήθους ἡ φωνὴ τρέμει, ψυχομένου ᾧ κινεῖται. Ὁμοίως δὲ καὶ αἱ χεῖρες· ἐκ τοῦ στήθους γὰρ ἤρτηνται. Τὸ δὲ κάτω χεῖλος, ἀλλ' οὐ τὸ ἄνωθεν, κάτω κρέμαται, ᾗ ῥέπει· τὸ δὲ κάτωθεν ἄνω παρὰ φύσιν, ἀλλ' ὑπὸ τοῦ θερμοῦ ἄνω ἠρεμεῖ· οὗ ὑφαιρουμένου διὰ τὸ ψύχεσθαι τρέμει. Καὶ ἐν τοῖς θυμοῖς δὲ διὰ τὸ αὐτὸ ἀποκρεμάννυται τὸ χεῖλος (δῆλον δ' ἐπὶ τῶν παιδίων)· συνθεῖ γὰρ εἰς τὴν καρδίαν τὸ θερμόν.

6. Cur voce inprimis, et manibus, et labro inferiori tremunt metuentes? An quoniam hæcce adfectio caloris defectus ex locis superioribus est? ex quo et pallent. Quod igitur calor pectus deserit, vox tremit, refrigerato eo quod vocem movet. Idem quoque manibus evenit, utpote quæ ex pectore pendent. Inferius tamen labium, sed non superius, deorsum pendet, illuc nempe quo vergit: positura enim quæ inferne sursum tendit, contra naturam est; sed caloris beneficio supra quiescit: qui si subducatur, propter refrigerationem tremit. Et vero in ira labrum eadem de causa pendet (id autem in pueris patet): calor etenim ad cor concurrit.

7. Διὰ τί οἱ φοβούμενοι τρέμουσι, καὶ μάλιστα τὴν φωνήν, καὶ τοῦ σώματος τὰς χεῖρας καὶ τὸ κάτω χεῖλος; Ἢ διότι ἐκ τούτου τοῦ τόπου ἐκλείπει τὸ θερμὸν ἐν ᾧ ἡ φωνή, τὸ δὲ χεῖλος καὶ τὰς χεῖρας, ὅτι εὐκινητότατα καὶ ἥκιστα ἔναιμα; Καὶ προΐενται μὲν τὴν χολήν, συσπῶσι δὲ τὰ αἰδοῖα, προΐενται μὲν διὰ τὸ συντήκειν τὸ καταβαῖνον θερμόν, ἀνασπῶσι δέ, ὅτι ἔξωθεν φόβος· εἰς τοὐναντίον οὖν ἡ φυγή.

7. Cur metuentes tremunt, maximeque voce, et quod ad corpus adtinet, manibus et labro inferiori? An quia calor ex eo loco deficit, in quo vox posita est; labro vero et manibus, quoniam partes istæ mobilissimæ sunt minimeque sanguinolentæ? Bilem quoque iidem dejiciunt, testiculosque contrahunt, atque dejiciunt quidem, quia calor descendens liquefacit; retrahunt vero, quia metus extrinsecus advenit: in obpositam itaque partem fit fuga.

8. Διὰ τί οἱ φοβούμενοι καὶ διψῶσι καὶ ῥιγῶσι, ταῦτα δ' ἐναντία τὰ πάθη; Ἢ ῥιγοῦσι μὲν ψυχόμενοι, διψῶσι δὲ θερμαινόμενοι, διότι ἐν τῷ φοβεῖσθαι τὸ θερμὸν ἐκλείπει καὶ τὸ ὑγρὸν ἐκ τῶν ἄνω τόπων; Δηλοῖ δὲ τὸ χρῶμα καὶ αἱ κοιλίαι· τὸ μὲν γὰρ πρόσωπον ὠχρόν, αἱ δὲ κοιλίαι ἐνίοτε λύονται. Διὰ μὲν οὖν τὸ

8. Cur metuentes et sitiunt et rigent, quæ quidem adfectiones adversæ inter se sunt? An rigent quidem refrigescentes, sitiunt vero calescentes, quia calor et humor in metuendo superiora deserunt loca? Id autem colore alvoque constat: facies enim pallet, alvus vero interdum

ἐκλείπειν τὸ θερμὸν ἐκ τῶν ἄνωθεν τὸ ῥῖγος γίνεται, διὰ δὲ τὸ ὑγρὸν ἡ δίψα.

solvitur. Ergo quod calor locis superioribus deficit, rigor oritur; quod vero humor, sitis.

9. Διὰ τί τοῦ τε φόβου λύπης τινὸς ὄντος καὶ τῆς ἀλγηδόνος, οἱ μὲν ἀλγοῦντες ἀναβοῶσιν, οἱ δὲ φοβούμενοι σιωπῶσιν; Ἢ οἱ μὲν ἀλγοῦντες κατέχουσι τὸ πνεῦμα (διὸ ἀθρόον ἐξιὸν μετὰ φωνῆς ἐξέρχεται), τῶν δὲ φοβουμένων κατέψυκται τὸ σῶμα καὶ τὸ θερμὸν κάτω ἐνήνεκται, ὃ ποιεῖ πνεύματα; Ἧ οὖν ἐνήνεκται μάλιστα, ἐνταῦθα καὶ ποιεῖ αὐτά· διὸ καὶ ἀποψοφοῦσιν οἱ φοβούμενοι· ἡ δὲ φωνή ἐστι φορὰ πνεύματος ἄνω πως καὶ διά τινων γινομένη. Τοῦ δὲ τοὺς ἀλγοῦντας κατέχειν τὸ πνεῦμα αἴτιον, ὅτι ταῖς ἐνυπαρχούσαις ἡμῖν βοηθείαις φύσει εὐθὺς πάντες παθόντες ἄνευ λογισμοῦ χρώμεθα, καθάπερ καὶ τὰ ἄλλα ζῷα· τὰ μὲν γὰρ κέρασι, τὰ δ' ὀδοῦσι, τὰ δ' ὄνυξιν ἀμύνεται· πρὸς δὲ τὰ ἀλγήματα πάντα, ἢ τὰ πλεῖστα βοηθεῖ ἡ θερμότης· ὃ ποιεῖ ὁ κατέχων τὸ πνεῦμα· θερμαίνει γὰρ καὶ ἐκπέττει τὸ ἄλγημα, συστέλλων ἐντὸς τὸ θερμὸν τῷ πνεύματι.

9. Quam ob causam, quum et metus et dolor quædam sint ægritudo, qui dolent quidem, clamant, qui vero metuunt, silent? An qui dolent quidem, spiritum retinent (quapropter is confertus erumpens cum sono exit); metuentium vero corpus refrigeratum est calorque deorsum vectus: id quod flatus gignit? Quo igitur hic potissimum se contulerit, ibidem et flatus gignit: quapropter et pedunt metuentes; vox autem spiritus sursum versus elatio est quæ certo quodam modo et certis quibusdam partibus absolvitur. Causa vero cur dolentes spiritum retineant, est quod inditis a natura nobis præsidiis, aliquo detrimento adfecti, sine ulla cogitatione confestim utimur omnes, ut etiam ceteræ animantes: aliæ namque cornibus, aliæ vero dentibus, aliæ tandem unguibus repugnant; atqui dolores vel omnes, vel plurimos calor adjuvat: id quod facit qui spiritum cohibet: calfacit enim et percoquit dolorem contracto introrsus per spiritum calore.

10. Διὰ τί τοῖς φοβουμένοις αἱ κοιλίαι λύονται καὶ οὐρητιῶσιν; Ἢ τὸ θερμὸν τὸ ἐν ἡμῖν ἐστιν ὥσπερ ζῷον; Τοῦτ' οὖν φεύγει ὅ τι ἂν φοβηθῇ. Ἔξωθεν οὖν γινομένων τῶν θ' ὑπὸ τῆς ἀγωνίας φόβων καὶ τῶν τοιούτων, καὶ ἐκ τῶν ἄνωθεν εἰς τὰ κάτω καὶ ἐκ τῶν ἐπιπολῆς εἰς τὰ ἐντός, ἐκθερμαινόμενοι δ' οἱ περὶ τὴν κοιλίαν τόποι καὶ τὴν κύστιν διαλύονται, καὶ ποιοῦσιν αὐτὰς εὐτρεπεῖς· καὶ γὰρ τὰ ἄνηθα καὶ τὰ ἀψίνθια καὶ ὅσα οὐρητικά, θερμαντικά. Ὁμοίως δὲ καὶ τὰ πρὸς τὴν κοιλίαν φάρμακα τὰ κάτω θερμαντικά, καὶ τὰ μὲν τῶν εἰσενεχθέντων μόνων λυτικά, τὰ δὲ καὶ ἑτέραν σύντηξιν ποιεῖ, οἷον τὸ σκόροδον εἰς τὸ οὖρον. Τὸ αὐτὸ δὲ τοῖς τοιούτοις ἡ ἐκ τῶν ἐπιπολῆς θερμασία εἰς τούτους τοὺς τόπους συνιοῦσα δρᾷ.

10. Cur metuentibus alvus solvitur micturiuntque ipsi? An calor nobis insitus quasi animans est? Hicce ergo rem quamcumque timuerit, defugit. Quod quum extrinsecus tum a trepidatione ortus metus, tum ceteri hujus generis metus invadunt, idque superne deorsum, et a superficie ad partes, internas, alvi, inquam, vesicæque regiones, utpote penitus concalescentes, dissolvuntur hasque partes turbatu faciles reddunt: nam et anethum et absinthium, et quæcumque urinam movent, calefacere valent. Eodem modo et medicamenta quæ alvo adhibentur ac deorsum agunt, calorifica sunt, et partim quidem eorum ingesta tantummodo solvere valent, partim vero et aliam colliquationem gignunt, ut allium versus urinam. Idem autem quod hujusmodi medicamenta, calor quoque efficit qui de superficie ad hæc loca coit.

11. Διὰ τί οἱ φοβούμενοι συσπῶσι τὰ αἰδοῖα; εἰκὸς γὰρ ἦν τοὐναντίον, τοῦ θερμοῦ εἰς τοῦτον τὸν τόπον ἀθροιζομένου τῶν φοβουμένων, ἀνίεσθαι αὐτά. Ἢ οἱ φοβούμενοι σχεδὸν ἅπαντες ὥσπερ ῥιγοῦντές εἰσιν; Ἐκλελοιπότος οὖν ἐκ τῶν ἐπιπολῆς τοῦ θερμοῦ συσπῶσιν· διὸ καὶ βομβυλιάζουσιν οἱ δεινῶς δεδιότες. Δοκεῖ δὲ συσπᾶν τὸ ἐπιπολῆς καὶ τὸ δέρμα τῶν ῥιγούντων, ἅτε τοῦ θερμοῦ ἐκκεκριμένου· διὸ καὶ φρίττουσιν. Συσπᾶται δὲ καὶ ἡ ὀσχέα τοῦ αἰδοίου ἄνω, καὶ συνεφέλκονται καὶ οἱ ὄρχεις αὐτοῖς συστελλομένων. Θᾶττον δὲ φαίνεται ἐπὶ τῶν ἀφροδισίων· ὁ γὰρ φόβος ἐκκρίνει, καὶ πολλοῖς τῶν ἀγωνιώντων καὶ τῶν περιφόβων συγκινεῖ ἡ τῆς γονῆς πρόεσις.

11. Cur metuentes pudenda contrahunt? e contrario enim, ut remitterentur, congruum erat, quum calor metuentium in eum locum se colligat. An metuentes omnes fere similes rigentibus sunt? Quum igitur calor superficiem deseruit, contrahunt: quamobrem ventris quoque murmur citatur iis quos timor vehemens detinet. Superficies autem rigentium et cutis videntur contrahere, utpote excreto calore: ex quo et horrent. Scrotum quoque pudendi sursum convellitur, atque una cum eo apud metuentes, dum stringuntur, testiculi quoque adtrahuntur: quod citius in re venerea patet: metus enim excernit, multosque trepidantes, aut perterritos genituræ commovet emissio.

ΤΜΗΜΑ ΚΗ.

SECTIO XXVIII.

ΟΣΑ ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΝ ΚΑΙ ΑΚΟΛΑΣΙΑΝ, ΚΑΙ ΕΓΚΡΑΤΕΙΑΝ ΚΑΙ ΑΚΡΑΣΙΑΝ.

QUÆ AD CONTINENTIAM ET INCONTINENTIAM, AD TEMPERANTIAM ET INTEMPERANTIAM PERTINENT.

1. Διὰ τί ἔνιοι κάμνουσιν, ὅταν ἐθισθέντες ἀκολάστως ζῆν μὴ ἀκολάστως διαιτῶνται, οἷον Διονύσιος ὁ τύραννος, ἐπεὶ ἐν τῇ πολιορκίᾳ ἐπαύσατο πίνων ὀλίγον τινὰ χρόνον, εὐθὺς ἐφθισίασεν, ἕως πάλιν εἰς τὴν μέθην μετέβαλεν; Ἢ μέγα μέν τι καὶ τὸ ἔθος ἐστὶν ἑκάστοις; φύσις γὰρ ἤδη γίνεται. Καθάπερ ἂν ἰχθὺς ἐν ἀέρι, ἢ ἄνθρωπος ἐν ὕδατι διατελῶν φαύλως ἂν ἴσχοι, οὕτω καὶ οἱ τὰ ἔθη μεταβάλλοντες χαλεπῶς ἀπαλλάττουσιν, καὶ τὸ πάλιν εἰς τὰ εἰωθότα ἐλθεῖν σωτηρία γίνεται αὐτοῖς ὥσπερ εἰς φύσεως κατάστασιν. Ἔτι δὲ καὶ συντηκτικοὶ γίνονται, εἰωθότες τροφῇ χρῆσθαι δαψιλεῖ τῇ ἰδίᾳ· μὴ λαμβάνοντες γὰρ τὴν εἰωθυῖαν ὥσπερ ὅλως μὴ λαμβάνοντες διατίθενται. Οὐ μὴν ἀλλὰ καὶ τὰ περιττώματα τροφῇ μεμιγμένα πολλῇ ἀφανίζεται, αὐτὰ δὲ ἐπιπολάζει μόνα ὄντα, καὶ φέρεται εἰς ὄμματα ἢ πνεύμονα· προσενεγκαμένοις δὲ τροφὴν κατακεραννύμενα ὑδαρῆ γίνεται καὶ ἀβλαβῆ· γίνεται δὲ τοῖς ἀκολάστως ζῶσι πλείω τὰ περιττώματα ἄχρι τινὸς λήξασι τοῦ εἰωθότος βίου, διὰ τὸ πολλὴν ἀκατεργώριστον ἐν αὐτοῖς ὕλην ὑπάρχειν ἐκ τοῦ προτέρου βίου, ἧς τηκομένης ὑπὸ τοῦ συμφύτου θερμοῦ, καθάπερ χιόνος πολλῆς, ῥεύματα ἀδρὰ συμβαίνει γίνεσθαι.

1. Cur aliqui ægrotant, ubi incontinenter vivere adsueti victus ratione utuntur non incontinenti, ut Dionysius tyrannus, quum per obsidionem aliquantum temporis a potatione destitisset, tabe protinus laboravit, donec ad ebriositatem rediit? An consuetudo res magna cuique est? jam enim natura fit. Ut piscis in aere, aut homo in aqua degens male haberet, ita et qui morem mutant solitum, difficulter inde se expediunt, atque salus iis fit, si ad solita rursus redeant, perinde quasi suæ naturæ statum resumpsissent. Tabescunt item qui alimento copioso, idque peculiari, uti solebant: quod enim cibo solito non vescuntur, perinde adficiuntur ac si nullum penitus capiant. Quin etiam residua copioso mista alimento evanescunt; ipsa autem sola ubi manent, emergunt, feruntur que in oculos, aut in pulmonem; cibo vero ingesto temperantur, aquosaque et innoxia redduntur; augentur autem residua apud incontinenter viventes, ubi aliquantisper a solita victus ratione destiterint, eo quod multa iis inest materia indigesta a priori victus ratione proveniens, qua tabescente a calore insito, modo nivis copiosæ, evenit ut fluxiones spissæ fiant.

2. Διὰ τί κατὰ δύο μόνας αἰσθήσεις ἀκρατεῖς λέγομεν, οἷον ἁφὴν καὶ γεῦσιν; Ἢ διὰ τὰς ἀπὸ τούτων γινομένας ἡδονὰς ἡμῖν καὶ τοῖς ἄλλοις ζῴοις; Ἅτε οὖν κοιναὶ οὖσαι ἀτιμόταταί εἰσι· διὸ καὶ μάλιστα, ἢ μόναι ἐπονείδιστοί εἰσιν· ὥστε τὸν ὑπὸ τούτων ἡττώμενον ψέγομεν καὶ ἀκρατῆ καὶ ἀκόλαστον εἶναί φαμεν, διὰ τὸ ὑπὸ τῶν χειρίστων ἡδονῶν ἡττᾶσθαι.

2. Cur duorum tantummodo sensuum ratione homines incontinentes vocamus, id est tactus et gustus? An propter voluptates, quæ pariter nobis ac ceteris animantibus per hosce sensus eveniunt? Quippe igitur communes, et vilissimæ sunt: quapropter et maxime, aut solæ probro sunt, ita ut hominem eis victum vituperemus, et intemperantem atque incontinentem adpellemus, quoniam a turpissimis voluptatibus vincitur.

3. Διὰ τί ἀκρατεῖς λέγονται κατὰ τὰς ἐπιθυμίας μόνον, οὔσης τῆς ἀκρασίας καὶ περὶ τὴν ὀργήν; Ἢ ὅτι ἀκρατὴς μέν ἐστιν ὁ παρὰ τὸν λόγον τι πράττων καὶ ἀκρασία ἡ παρὰ τὸν λόγον ἀγωγή, εἰσὶ δ' αἱ μὲν ἐπιθυμίαι, ὡς ἐπίπαν εἰπεῖν, παρὰ τὸν λόγον, αἱ δ' ὀργαὶ μετὰ λόγου, οὐχ ὡς κελεύσαντος τοῦ λόγου, ἀλλ' ὡς δηλώσαντος τὸν προπηλακισμόν, ἢ τὴν αἰτίαν;

3. Cur homines incontinentes ratione tantum cupidinum dicimus, quum etiam in irascendo incontinentia insit? An quia incontinens quidem est qui præter rationem aliquid agit, et incontinentia est adsuetudo præter rationem; sunt autem cupidines quidem, ut in universum dicamus, præter rationem, iræ vero cum ratione, non tamen ita ut ratio jubeat, sed ut injuriam causamve (contumeliamve?) significet?

4. Διὰ τί τὴν μὲν ἐγκράτειαν καὶ σωφροσύνην ἐπὶ τῶν νέων καὶ πλουσίων μάλιστα ἐξετάζομεν, τὴν δὲ δικαιοσύνην ἐπὶ τῶν πενήτων; Ἢ ὅτι οὗ μάλιστα δεῖταί τις, εἰ τούτου ἀπέχεται, μᾶλλον θαυμάζοιτ' ἂν ἢ τῶν ἐναντίων; Ὁ μὲν οὖν πένης εὐπορίας δεῖται, ὁ δὲ νέος καὶ πλούσιος ἀπολαύσεως.

4. Cur continentiam quidem et temperantiam in juvenibus atque ditibus maxime probamus, justitiam vero in pauperibus? An quia, si quis re abstineat cujus maxime indiget, magis admirationi erit quam si a rebus contrariis? Pauper igitur facultatibus indiget, juvenis vero et dives voluptate.

5. Διὰ τί ἧττον ἀνέχονται διψῶντες ἢ πεινῶντες; Πότερον ὅτι λυπηρότερον; Σημεῖον δὲ τοῦ λυπηροτέρου, ὅτι ἥδιον τὸ διψῶντα πιεῖν ἢ πεινῶντα φαγεῖν· τὸ δ' ἐναντίον τῷ ἡδεῖ λυπηρότερον. Ἢ διότι μᾶλλον δεῖται τὸ θερμὸν τοῦ ὑγροῦ ἢ τὸ ξηρὸν ᾧ ζῶμεν; Ἢ ὅτι δυοῖν ἡ δίψα ἐπιθυμία, ποτοῦ καὶ τροφῆς, ἡ δὲ πεῖνα ἑνὸς μόνου, τροφῆς;

5. Cur minus sitim quam famem toleramus? Utrum quia sitis res magis molesta est? Hujus autem majoris molestiæ indicium est, quod suavius sitiens bibit quam esuriens edit; molestius autem quod suavi adversum est. An quia calor quo vivimus, humidum magis quam siccum desiderat? An quia sitis rerum duarum cupido est, potus inquam et cibi, fames vero unius tantummodo, nimirum cibi?

6. Διὰ τί ἧττον καρτεροῦμεν διψῶντες ἢ πεινῶντες; Ἢ διότι λυπούμεθα μᾶλλον; Σημεῖον δὲ τῆς λύπης ἡ ἡδονὴ σφοδροτέρα. Εἶτα ὁ μὲν διψῶν δυοῖν ἐνδεής, τροφῆς τε καὶ καταψύξεως (ἄμφω γὰρ ἔχει τὸ ποτόν), ὁ δὲ πεινῶν θατέρου μόνον.

6. Cur minus sitire quam famem ferre perseveramus? An quia ægrius ferimus? Hujus autem ægritudinis indicium est voluptas vehementior. Tum etiam qui sitit quidem, res duas desiderat, cibum nempe atque refrigerationem (ambo enim potus præstat); qui esurit vero, alteram tantum.

7. Διὰ τί οἱ κατὰ τὴν τῆς ἁφῆς ἢ γεύσεως ἡδονήν, οὗ ἂν ὑπερβάλλωσιν, ἀκρατεῖς λέγονται (οἵ τε γὰρ περὶ τὰ ἀφροδίσια ἀκόλαστοι, οἵ τε περὶ τὰς τῆς τροφῆς ἀπολαύσεις· τῶν δὲ κατὰ τὴν τροφὴν ἀπ' ἐνίων μὲν ἐν τῇ γλώττῃ τὸ ἡδύ, ἀπ' ἐνίων δ' ἐν τῷ λάρυγγι· διὸ καὶ Φιλόξενος γεράνου φάρυγγα εὔχετο ἔχειν) οἱ δὲ κατὰ τὴν ὄψιν καὶ τὴν ἀκοὴν οὐκέτι; Ἢ διὰ τὸ τὰς ἀπὸ τούτων γινομένας ἡδονὰς κοινὰς εἶναι ἡμῖν καὶ τοῖς ἄλλοις ζῴοις; Ἅτε οὖν οὖσαι κοιναί, ἀτιμόταταί εἰσι καὶ μάλιστα, ἢ μόναι ἐπονείδιστοι, ὥστε τὸν ὑπὸ τούτων ἡττώμενον ψέγομεν καὶ ἀκρατῆ καὶ ἀκόλαστον λέγομεν διὰ τὸ ὑπὸ τῶν χειρίστων ἡδονῶν ἡττᾶσθαι. Οὐσῶν δὲ τῶν αἰσθήσεων πέντε, τά τ' ἄλλα ζῷα ἀπὸ δύο μόνων τῶν προειρημένων ἥδεται, κατὰ δὲ τὰς ἄλλας ἢ ὅλως οὐχ ἥδεται, ἢ κατὰ συμβεβηκὸς τοῦτο πάσχει· ὁρῶν μὲν γὰρ ὁ ὁρῶν, ἢ καὶ ὀσφραινόμενος, χαίρει ὅτι ἀπολαύει, καὶ ὅταν πληρωθῇ, οὐδὲ τὰ τοιαῦτα ἡδέα αὐτῷ, ὥσπερ οὐδ' ἡμῖν ἡ τοῦ ταρίχου ὀδμή, ὅταν ἅδην ἔχωμεν τοῦ φαγεῖν· ὅταν δ' ἐνδεεῖς ὦμεν, ἡδέα· ἡ δὲ τοῦ ῥόδου ἀεὶ ἡδεῖα.

7. Cur qui quod ad voluptatem tactus aut gustus adtinet, modum prætergressi fuerint, ejus rei quo modum excesserunt, intemperantes vocantur (nam et qui circa rem veneream incontinentes sunt, et qui circa luxum ciborum, intemperantes vocantur; rerum vero ad cibos pertinentium partim quidem in lingua, partim vero in gutture residet suavitas : unde et Philoxenus gruis gulam precabatur habere); at vero qui visus, vel auditus ratione modum excesserunt, non item? An quoniam voluptates a sensibus hisce provenientes communes nobis cum ceteris animantibus sunt? Ergo ut communes, vilissimæ sunt, atque vel maxime vel solæ probrosæ, ita ut hominem his victum reprehendamus, et incontinentem intemperantemque adpellemus, quod a turpissimis voluptatibus vincitur. Sed quum sensus quinque sint, cetera quidem animalia a duobus tantum, quæ modo dixi, voluptatem petunt, ceteris vel nihil omnino delectantur, vel per adcidens ita adficiuntur : qui enim videt, dum videt, vel etiam olfacit, gaudet, quia fruitur; ubi vero repletus est, hujusmodi res ei non amplius suaves sunt, quemadmodum ne nobis quidem salsamenti odor, ubi esu satiati sumus; ubi vero indigemus, suavis est; sed rosæ odor semper suavis est.

8. Διὰ τί ἧττον κατέχουσι τὸν γέλωτα παρόντων τῶν γνωρίμων; Ἢ ὅταν σφόδρα ἐξηρτημένον ᾖ τι, εὐκίνητόν ἐστιν, ἡ δ' εὔνοια εἰπεῖν μᾶλλον γελοῖον, ὥστε κινεῖ;

8. Cur minus risum retinent præsentibus amicis? An ubi aliquid arctissime conjunctum est, tunc facile movetur; benevolentia autem, ut ita dicam, risum potius excitare valet, ita ut moveat?

ΤΜΗΜΑ ΚΘ.

SECTIO XXIX.

ΟΣΑ ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΝ ΚΑΙ ΑΔΙΚΙΑΝ.

QUÆ AD JUSTITIAM AC INJUSTITIAM PERTINENT.

1. Διὰ τί μείζονος ὄντος ἀδικήματος, ἐάν τις βλάπτῃ εἰς τὸ μεῖζον ἀγαθόν, τῆς δὲ τιμῆς οὔσης μείζονος ἀγαθοῦ, ἡ τῶν χρημάτων ἀδικία μᾶλλον δοκεῖ, καὶ οἱ ἄδικοι μᾶλλον εἶναι δοκοῦσι περὶ τὰ χρήματα; Ἢ διότι αἱροῦνται τὰ χρήματα μᾶλλον τῆς τιμῆς, καὶ πᾶσίν ἐστι κοινότατον, ἡ δὲ τιμὴ ὀλίγοις, καὶ ὀλιγάκις συμβαίνει ἡ χρῆσις αὐτῆς;

1. Quam ob causam, quum eo major sit injuria quo quis majus in bonum noxam inflixerit, honorque majus sit bonum, injuria pecuniaria frequentior esse videtur injustique potius re pecuniaria occupari videntur? An quia pecuniam honori anteponunt, omnibusque communis est maxime; honor autem paucis, raroque incidit ejus usus?

2. Διὰ τί παρακαταθήκην δεινότερον ἀποστερεῖν ἢ δάνειον; Ἢ ὅτι αἰσχρὸν ἀδικεῖν φίλον; Ὁ μὲν οὖν τὴν παρακαταθήκην ἀποστερῶν φίλον ἀδικεῖ· οὐδεὶς γὰρ

2. Cur depositum fraudare gravius est quam mutuum? An quod amico injuriam facere turpe est? Depositum igitur qui fraudat, amico injuriam facit : nemo enim quidquam

παρακατατίθεται μὴ πιστεύων· οὗ δὲ τὸ χρέος, οὐ φίλος· οὐ γὰρ δανείζει, ἐὰν ᾖ φίλος, ἀλλὰ δίδωσιν. Ἢ ὅτι μεῖζον τὸ ἀδίκημα; πρὸς γὰρ τῇ ζημίᾳ καὶ τὴν πίστιν παραβαίνει, δι' ἥν, εἰ καὶ μηδὲν ἕτερον, δεῖ ἀπέχεσθαι τοῦ ἀδικεῖν. Ἔτι τὸ μὴ τοῖς ἴσοις ἀμύνεσθαι φαῦλον· ὁ μὲν οὖν ἔδωκεν ὡς φίλῳ, ὁ δ' ἀπεστέρησεν ὡς ἐχθρόν· ὁ δὲ δανείζων οὐχ ὡς φίλος ἔδωκεν. Ἔτι τῶν μὲν ἡ δόσις φυλακῆς καὶ ἀποδόσεως χάριν, τῶν δὲ καὶ ὠφελείας· ἧττον δ' ἀγανακτοῦμεν ἀποβάλλοντες, εἰ κέρδος θηρεύομεν, οἷον οἱ ἁλιεῖς τὰ δελέατα· προφανὴς γὰρ ὁ κίνδυνος. Ἔτι παρακατατίθενται μὲν ὡς ἐπὶ τὸ πολὺ οἱ ἐπιβουλευόμενοι καὶ ἀτυχοῦντες, δανείζουσι δ' οἱ εὐποροῦντες· δεινότερον δ' ἐστὶ τὸν ἀτυχοῦντα ἢ τὸν εὐτυχοῦντα ἀδικεῖν.

deponit nisi confidens; at is cui debetur, amicus non est : non enim mutuum dat, sed donat quis, si amicus est. An quia major injuria? præter damnum enim fides violatur : id quod causa est, siquid aliud, cur abstinere oporteat ab injuria. Ad hæc non par pari reddere vitio datur : alter igitur credidit tamquam amico, alter vero fraudat tamquam inimicum; at qui mutuum dedit, non dedit ut amicus. Præterea depositi quidem datio custodiendi reddendique gratia fit; mutui vero etiam lucri; minus autem ægre ferimus jacturam, si quæstum venemur, ut piscatores escæ jacturam : periculum enim manifestum erat. Adde etiam quod plerumque deponunt qui insidiis petuntur fortunaque laborant adversa; mutuo vero dant opulenti; gravius autem est injuriam infortunato quam fortunato intulisse.

3. Διὰ τί ἐνίοις δικαστηρίοις τοῖς γένεσι μᾶλλον ἢ ταῖς διαθήκαις ψηφιοῦνται; Ἢ ὅτι γένους μὲν οὐκ ἔστι καταψεύσασθαι, ἀλλὰ τὸ ὂν ἀποφαίνειν· διαθῆκαι δὲ πολλαὶ ψευδεῖς ἤδη ἐξηλέγχθησαν οὖσαι;

3. Quamobrem in foris nonnullis gentis potius quam testamenti ratione sententia fertur? An propterea quod de gente quidem ementiri non licet, sed vera fateri necesse est; testamenta autem multa jam falsa esse redarguerunt?

4. Διὰ τί ἡ πενία παρὰ τοῖς χρηστοῖς τῶν ἀνθρώπων μᾶλλον ἢ παρὰ τοῖς φαύλοις ἐστίν; Ἢ διὰ τὸ ὑπὸ πάντων μισεῖσθαι καὶ ἐξελαύνεσθαι πρὸς τοὺς ἐπιεικεῖς καταφεύγει, οἰομένη μάλιστα παρὰ τούτοις σωτηρίας τυχεῖν καὶ διαμεῖναι· εἰ δὲ πρὸς πονηροὺς ἔλθοι, οὐκ ἂν διαμεῖναι ἐν τῇ αὐτῇ δυνάμει αὐτούς, ἀλλ' ἢ κλέπτειν, ἢ ληΐζεσθαι, ὧν γινομένων οὐκ ἂν ἔτι εἶναι αὐτὴν παρ' αὐτοῖς; Ἢ ὅτι τοὺς ἐπιεικεῖς οἴεται τῶν ἀνθρώπων ἄριστα ἂν αὐτῇ χρῆσθαι, καὶ ἥκιστα ἂν ὑβρισθῆναι ὑπ' αὐτῶν; Καθάπερ οὖν τὰς τῶν χρημάτων παρακαταθήκας πρὸς τοὺς ἐπιεικεῖς τιθέμεθα, οὕτω καὶ αὐτὴ ὑπὲρ αὑτῆς διατάττεται. Ἢ ὅτι θήλεια οὖσα ἀπορωτέρα ἐστίν, ὥστε τῶν ἐπιεικῶν δεῖται; Ἢ ὅτι αὐτὴ κακὸν οὖσα πρὸς τὸ κακὸν οὐκ ἂν ἔλθοι; εἰ γὰρ τὸ κακὸν ἕλοιτο, παντάπασιν ἂν δυσίατον εἴη.

4. Cur paupertas apud homines bonos potius esse quam apud pravos solet? An quia ab omnibus odio habetur atque expellitur, ad probos perfugit, rata maxime apud eos salutem adsequi ac permanere se posse; e contrario, si pravos adiisset, numquam eos in eadem fortuna perstituros, sed vel furta, vel latrocinia patraturos esse : quibus factis fore ut non amplius apud illos esset? An quia probos optime se usuros, minimeque sibi contumeliam illaturos esse existimat? Itaque ut nos pecuniarum deposita probis credimus, sic etiam hæc de se ipsa statuit. An quia, utpote femina, aliquatenus inops consilii est, ita ut probis opus habeat? An quoniam quum ipsa malum sit, numquam mala adibit? nam si malum elegisset, omnino irremediabile foret.

5. Διὰ τί οὐχ ὁμοίως αἱ ἀδικίαι μείζους περὶ τὰ ῥήματα καὶ τὰ ἄλλα, οἷον ὁ μικρὸν εἰπὼν οὐκ ἂν καὶ τὸ ἀπόρρητον εἴποι, ἀλλ' ὁ ἕνα προδοὺς καὶ πόλιν, ὥσπερ ὁ ὀβολὸν ἀποστερήσας καὶ τάλαντον; Ἢ ὅτι ἀπὸ μείζονος ἀδικίας ἔνια ἐλάττω ἐστὶ δι' ἀδυναμίαν.

5. Cur non eodem modo injuriæ quæ verba ceteraque res spectant, aliæ aliis majores sunt, verbi causa, qui leve aliquid dixit, nefandum non item dicet, dum qui unum prodidit, vel rempublicam prodet, sicut qui obolum abstulit, etiam talentum auferet? An quia nonnulla, etiamsi a majori proveniant injustitia, minora tamen sunt propter impotentiam?

6. Διὰ τί παρακαταθήκην αἰσχρὸν ἀποστερῆσαι μικρὰν ἢ πολὺ δανεισάμενον; Ἢ ὅτι ὁ τὴν παρακαταθήκην ἀποστερῶν τὸν ὑπολαβόντα εἶναι αὐτὸν ἐπιεικῆ ἐξαπατᾷ; Ἢ ὅτι ὁ τοῦτο κἂν ἐκεῖνο ποιήσειεν;

6. Cur depositum parvum fraudare turpius est quam mutuum magnum? An quoniam qui depositum fraudat, hominem decipit a quo probus ipse existimatur? An quoniam qui hoc facit, illud etiam faceret?

7. Διὰ τί ἄνθρωπος μάλιστα παιδείας μετέχων ζῴων ἁπάντων ἀδικώτατόν ἐστιν; Ἢ ὅτι πλείστου λογισμοῦ κεκοινώνηκεν; Μάλιστα οὖν τὰς ἡδονὰς καὶ τὴν εὐδαιμονίαν ἐξήτακεν· ταῦτα δ' ἄνευ ἀδικίας οὐκ ἔστιν.

7. Cur homo, etiamsi omnium animalium maxime educationis particeps sit, omnium tamen injustissimus est? An quia rationis plurimæ particeps est? Voluptates igitur et felicitatem maxime rimatus est; hæc autem sine injuria rimari non licet.

8. Διὰ τί ὁ πλοῦτος ὡς ἐπὶ τὸ πολὺ παρὰ τοῖς φαύλοις μᾶλλον ἢ τοῖς ἐπιεικέσιν ἐστίν; Ἢ διότι τυφλὸς ὢν τὴν διάνοιαν οὐ δύναται κρίνειν, οὐδ' αἱρεῖσθαι τὸ βέλτιστον;

8. Cur opulentia magna ex parte apud pravos potius quam apud probos invenitur? An quia fortuna, cæca quum sit, mentem discernere atque eligere optimum non potest

9. Διὰ τί δικαιότερον εἶναι νενόμισται τοῖς τετελευτηκόσιν ἢ τοῖς ζῶσιν ἐπαμύνειν; Ἢ ὅτι οἱ μὲν ζῶντες δύναιντ' ἂν αὐτοῖς ἐπαρκέσαι, ὁ δὲ τετελευτηκὼς οὐκέτι;

10. Διὰ τί ὑγιαίνοντι μὲν ὁ συνὼν οὐδὲν ὑγιέστερος γίνεται, οὐδ' ἰσχυρῷ, ἢ καλῷ εἰς τὰς ἕξεις ἐπιδίδωσιν οὐθέν, δικαίῳ δὲ καὶ σώφρονι καὶ ἀγαθῷ; Ἢ διότι τὰ μὲν ἀμίμητα, τὰ δὲ μιμητὰ τῇ ψυχῇ· ἀγαθὸς δὲ τῇ ψυχῇ, ὑγιὴς δὲ τῷ σώματι; Ἐθίζεται οὖν χαίρειν ὀρθῶς καὶ λυπεῖσθαι· ὁ δ' ὑγιεῖ συνὼν οὐκέτι· οὐ γὰρ ἐν τῷ τισι χαίρειν, ἢ μὴ ὁ ὑγιής· οὐθὲν γὰρ τούτων ποιεῖ ὑγίειαν.

11. Διὰ τί δεινότερον γυναῖκα ἀποκτεῖναι ἢ ἄνδρα, καίτοι βέλτιον τὸ ἄρρεν τοῦ θήλεος φύσει; Ἢ διότι ἀσθενέστερον, ὥστ' ἐλάττω ἀδικεῖ; Ἢ ὅτι οὐ νεανικὸν τὸ ἰσχυρίζεσθαι πρὸς τὸ πολὺ ἧττον;

12. Διὰ τί ποτε τῷ φεύγοντι ἐν τῷ δικαστηρίῳ τὴν δεξιὰν στάσιν διδόασιν; Ἢ διότι ἐπανισοῦν βούλονται; Πλεονεκτοῦντος οὖν τοῦ διώκοντος τὴν στάσιν τῷ φεύγοντι διδόασιν. Εἶθ' ὡς ἐπὶ τὸ πολὺ οἱ φεύγοντες παραφυλάττονται· ἐπιδέξια δ' ἡ φυλακὴ γίνεται, ἐὰν ὁ φεύγων ἔχῃ τὴν ἐν δεξιᾷ στάσιν.

13. Διὰ τί ποτε, ὅταν τῷ φεύγοντι καὶ τῷ διώκοντι φαίνωνται αἱ ψῆφοι ἴσαι, ὁ φεύγων νικᾷ; Ἢ ὅτι ὁ μὲν φεύγων ἐν τῷ ἀγῶνι μόνον ἀκήκοεν αὐτοῦ πρὸς ἃ δεῖ αὐτὸν ἀπηγορεῖσθαι καὶ τοὺς μάρτυρας παρασχέσθαι πρὸς τὰ κατηγορημένα ἔχεσθαι, εἴ τι μέλλουσιν ὠφεληθῆναι, οὐ ῥᾴδιον δὲ τὸ μαντεύσασθαί τινα ὧν δεῖ αὐτὸν παρασκευάσασθαι ἢ μάρτυρας ἢ ἄλλο τεκμήριον ὅτι οὐθὲν ἀδικεῖ· τῷ δὲ διώκοντι ἔστιν ὅπως βούλεται, καὶ πρὸ τοῦ τὴν δίκην κλητεύσασθαι, ἐνστήσασθαι τὸ πρᾶγμα, καὶ ἤδη κεκληκότα, πλασάμενον ὅ τι βούλεται πιθανόν, κατηγορεῖν αὐτοῦ; Ὁρῶν δὴ κατὰ πάντα ταῦτα ἐλαττούμενον ὁ νομοθέτης τὸν φεύγοντα, προσέθετο τῷ φεύγοντι ὅ τι ἂν οἱ δικασταὶ ἀμφιδοξήσωσιν. Ἀλλὰ μὴν καὶ τοῦτ' ἄν τις ἴδοι· ἐν γὰρ τοῖς φόβοις ὄντες πολλὰ παραλιμπάνουσιν ὧν αὐτοὺς ἔδει εἰπεῖν, ἢ πρᾶξαι, οἱ δὲ φεύγοντες ἀεὶ ἐν μείζοσι κινδύνοις ὡς ἐπὶ τὸ πολὺ τυγχάνουσιν ὄντες, ὥστ' εἰ παραλιμπάνουσιν ὧν δεῖ αὐτούς, εἴπερ ἐξισοῦνται τοῖς δικαίοις, δῆλον ὅτι εἰ μὴ παρελίμπανον, ἐκράτουν ἄν. Ἔτι δ' ἕκαστος ἡμῶν μᾶλλον ἂν προέλοιτο τοῦ ἀδικοῦντος ἀποψηφίσασθαι ὡς οὐκ ἀδικεῖ ἢ τοῦ μὴ ἀδικοῦντος καταψηφίσασθαι ὡς ἀδικεῖ, οἷον εἴ τις φεύγει δουλείας ἢ ἀνδροφονίας· τούτων γὰρ ἑκάστου ὄντων, ἃ κατηγορεῖ αὐτῶν, μᾶλλον ἂν ἀποψηφίσασθαι ἑλοίμεθα ἢ μὴ ὄντων καταψηφίσασθαι· ἔστι γάρ, ὅταν τις ἀμφιδοξῇ, τὰ ἐλάττω τῶν ἁμαρτημάτων αἱρετέον· δεινὸν γὰρ καὶ τὸ τοῦ δούλου ὡς ἐλεύθερός ἐστι καταγνῶναι, πολὺ δὲ δεινότερον, ὅταν τις τοῦ ἐλευθέρου ὡς δούλου καταψηφίσηται. Ἔτι δ' ἐὰν ὁ μὲν τύχῃ ἐγκαλῶν, ὁ δ' ἀμφισβητῶν ὑπὲρ ὁτουοῦν, οὐκ εὐθὺς οἰόμεθα δεῖν

9. Cur justius habetur vita functis opem ferre quam vivis? An quia vivi quidem sibi ipsi subcurrere possent, defunctus vero non amplius?

10. Quam ob causam qui cum sano quidem versatus fuerit, nihilo redditur sanior, neque qui cum robusto, aut pulchro, quidquam habitu suo proficit, qui cum justo autem et temperato et bono, proficit? An quoniam alia quidem imitari non possumus, alia vero animo imitamur; est autem quisque bonus virtute animi, sanus vero corporis? Adsuescit igitur recte lætari ac contristari; qui vero cum sano conversatur, non item: haud enim sanus eo sanus est quod lætatur quibusdam rebus, vel non lætatur, quandoquidem nihil ex his rebus sanitatem creat.

11. Cur mulierem interfecisse iniquius est quam virum, quamquam naturæ ratione mas femina præstantior est? An quia femina imbecillior est minusque proinde injuriam facit? An quia strenuum facinus non est, si contendatur adversus id quod longe infirmius est?

12. Quam ob causam tandem reo dexter apud judicem locus datur? An quia compensare volunt? Quum igitur meliores partes fert adcusator, reo locus conceditur. Tum etiam rei magna ex parte sibi cavent; cautio autem dextre fit, si locum dextrum teneat reus.

13. Cur tandem, si subfragia pari numero adcusatori et reo adpareant, reus vincit? An quia reus quidem, ubi agitur causa, tunc primum ea audit ab adcusatore contra quæ sese defendere testesque adhibere debet, ut hæreant crimina illata, siquid inde emolumentum capere velint rei; facile autem nemini est divinare res quarum testes præstare debet aut aliud argumentum se nullam injuriam intulisse; at vero adcusator, vel antequam in jus vocetur, rem disponere potest, prout sibi libitum fuerit, et ubi jam adcessivit, fictis quæcumque voluerit, criminibus verisimilibus, reo inferre; Quum igitur legislator omnibus hisce minui partes rei videret, tribuit ei quodcumque ambigunt judices. Verum enimvero hoc quoque animadvertere licet: quos metus tenet, multa omittunt eorum quæ vel dictu, vel factu sibi necessaria erant; atqui rei plerumque in majori versantur periculo semper, ita ut, si omittant quibus opus habent, constet eos, dummodo æque valeant utrique causæ instrumenta, victuros fuisse, si nihil omisissent. Ad hæc nostrum unusquisque nocentem mallit liberare tamquam innocentem quam innocentem condemnare tamquam nocentem, ut si de adsertione libertatis aut homicidio agitur: quodsi enim omnia crimina quæ reis infert adcusator, vera essent, mallemus absolvere quam condemnare, si falsa essent, quippe quum ambigente aliquo, errores leviores præferendi sunt: nam etsi grave etiam sit liberum adseruisse qui servus est, longe tamen gravius est, si quis liberum servitutis condemnet. Item si alter quidem invehat crimen, alter vero litiget de quacumque tandem re

ἀποδοῦναι τῷ ἐγκαλοῦντι, ἀλλὰ νέμεσθαι τὸν κεκτημένον, ἕως ἂν κριθῇ. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν πλειόνων, ὅταν ἰσάζῃ τὸ πλῆθος τῶν τε φασκόντων ἀδικεῖν καὶ τῶν μὴ ὁμολογούντων, ὥσπερ ὅτε ἐξ ἀρχῆς ὁ μὲν ἐνεκάλει, ὁ δ' ἀπηρνεῖτο, οὐκ οἰόμεθα δεῖν τὸν νομοθέτην προστιθέναι τῷ ἐγκαλοῦντι, ἀλλὰ τὸν φεύγοντα κύριον εἶναι, ἕως ἂν ὑπεροχήν τινα ἔχῃ ὁ ἀδικῶν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν κριτῶν, ἐπειδὴ οὐδεμίαν ὑπεροχὴν ἰσασθεισῶν τῶν ψήφων, κατὰ χώραν εἴασεν ὁ νομοθέτης ἔχειν. Ἔτι δὲ τῶν μὲν ἀξιολόγων ἁμαρτημάτων μεγάλαι καὶ αἱ κολάσεις εἰσίν, ὥστ' ἀδίκως μὲν καταψηφισαμένοις καὶ μὴ γνοῦσιν οὐκ ἔστιν ἐπανορθοῦσθαι καιρὸν λαβόντας· ἀπολύσασι δὲ παρὰ τὸ προσῆκον, εἰ μὲν οὕτως εὐλαβῶς ὥστε μηθὲν ἔτι ποτὲ ἁμαρτεῖν, τί ἂν καὶ μέγα ἡμαρτηκότες οἱ κριταὶ εἴησαν, τοιοῦτον ἄνθρωπον ἀπολύσαντες θανάτου; Εἰ δέ τι ἐξ ὑστέρου ἁμαρτάνοι, δι' ἀμφότερα ἂν αὐτὸν κολάζεσθαι ἀξιοῖ. Ἢ ὅτι ἀδικωτέρου μέν ἐστιν ἀνδρὸς ταῦτα ἀδικεῖν ἃ ἧττον εἰκός ἐστιν ἀδίκως ἐγκαλεῖσθαι; τὸ μὲν γὰρ ἀδικεῖν καὶ δι' ὀργὴν καὶ διὰ φόβον καὶ δι' ἐπιθυμίαν καὶ δι' ἄλλα πολλὰ γίνεται, καὶ οὐ μόνον ἐκ προνοίας· τὸ δ' ἀδίκως ἐγκαλεῖν ὡς τὸ πολὺ ἐκ προνοίας ἐστίν· ὥστ' ἐπεὶ ἴσαι αἱ ψῆφοι γεγόνασι, τὸ δ' ἀδίκως τὸν ἐγκαλοῦντα ἐγκαλεῖν καὶ τὸν φεύγοντα ἀδικεῖν, φαύλου κριθέντος τοῦ ἀδίκως ἐγκαλοῦντος τὸ νικᾶν τῷ φεύγοντι ὁ νομοθέτης ἀπένειμεν. Ἔτι δὲ καὶ αὐτοὶ οὕτως ἔχομεν πρὸς τοὺς θεράποντας, ὥσθ' ὅταν ὑποπτεύσωμέν τι αὐτοὺς ἡμαρτηκέναι καὶ μηθὲν ἀκριβὲς ἔχωμεν, ἀλλ' ὅμως αὐτοὺς ὑπολαμβάνωμεν πεπραχέναι, οὐκ εὐθὺς ἐπὶ τὸ κολάζειν ἐρχόμεθα, καὶ ἐὰν μηθὲν μᾶλλον δυνώμεθα ἐξετάσαι, ἀφίεμεν ταύτης τῆς αἰτίας. Ἔτι μείζω μὲν ἀδικεῖ ὁ ἐκ προνοίας ἀδικῶν ἢ ὁ μὴ ἐκ προνοίας. Ὁ μὲν δὴ συκοφαντῶν ἀεὶ ἐκ προνοίας ἀδικεῖ, ὁ δ' ἕτερόν τι ἀδικῶν τὰ μὲν δι' ἀνάγκην, τὰ δὲ δι' ἄγνοιαν, τὰ δ' ὅπως ἔτυχεν ἀδικεῖν αὐτῷ συμπίπτει. Ὅταν δ' ἴσαι γένωνται αἱ ψῆφοι, ὁ μὲν διώκων κέκριται ὑπὸ τῶν ἡμίσεων ἐκ προνοίας ἀδικεῖν, ὁ δὲ φεύγων ὑπὸ τῶν λοιπῶν αὖ ἀδικεῖν μέν, οὐ μέντοι γε ἐκ προνοίας, ὥστ' ἐπεὶ ἀδικεῖν μείζω κέκριται ὁ διώκων τοῦ φεύγοντος, εἰκότως ὁ νομοθέτης νικᾶν ἔκρινε τὸν τὰ ἐλάττω ἀδικοῦντα. Ἔτι δ' ἀεὶ μὲν ἀδικώτερός ἐστιν ὁ μὴ οἰόμενος λανθάνειν ὃν ἀδικεῖ καὶ ὅμως ἀδικῶν ἢ ὁ οἰόμενος λανθάνειν· ὁ μὲν γὰρ ἀδίκως τινὶ ἐγκαλῶν οὐκ οἴεται λανθάνειν τοῦτον ὃν συκοφαντεῖ, οἱ δ' ἄλλο τι ἀδικοῦντες ὡς ἐπὶ τὸ πολὺ οἰόμενοι λανθάνειν ὃν ἀδικοῦσιν ἐπιχειροῦσιν ἀδικεῖν, ὥστ' ἀδικώτεροι ἂν κρίνοιντο οἱ διώκοντες ἢ οἱ φεύγοντες.

14. Διὰ τί ποτε, ἐὰν μέν τις ἐκ βαλανείου κλέψῃ, ἢ ἐκ παλαίστρας, ἢ ἐξ ἀγορᾶς, ἢ τῶν τοιούτων τινός, θανάτῳ ζημιοῦται, ἐὰν δέ τις ἐξ οἰκίας, διπλοῦν τῆς ἀξίας τοῦ κλέμματος ἀποτίνει; Ἢ ὅτι ἐν μὲν ταῖς οἰκίαις φυλάξαι ὁπωσοῦν ἔστιν (καὶ γὰρ ὁ τοῖχος ἰσχυρός, καὶ κλεὶς ἔστι, καὶ οἰκέταις τοῖς ἐν τῇ οἰκίᾳ πᾶσιν

non, protinus rem criminanti restituendam esse censemus sed possidenti tenendam, donec judicatum sit. Eodem modo etiam si plures adsint, ubi par est numerus eorum qui adserunt injuriam numero eorum qui non fatentur, pariter ac ubi primo alter quidem criminabatur, alter vero infitias ibat, legislatorem non criminanti favere debere opinamur, sed reum jubere dominum rei esse tantisper dum aliquatenus superior evadat qui injuriam infert. Idem quoque de judicibus arbitrandum est, quum, si par sit numerus subfragiorum, nullam prærogativam loci ergo habere sivit legislator. Magnis item delictis magna subplicia statuta sunt, ita ut si injusta sententia condemnarint, recognoverint, nec errorem, data obcasione corrigere nequeant; sed si contra quam fas erat liberarint, si hoc ita caute quidem fecerint ut nihil umquam postea delinquat, reus, quid magni, quæso, erraverint judices, hominem ejusmodi a morte liberantes? Si vero posthac etiam aliquid deliquerit, propter utrumque delictum mulctandum esse præcipiet judex. An quia viri quidem est iniquioris injustum esse erga delicta quæ inique crimini adsignari minus probabile est? injuria enim propter iram, propter metum, propter cupidinem ac propter multas alias causas infligitur, non tantum consulto; adcusatio autem injusta consulto plerumque fit, ita ut, ubi par est numerus subfragiorum, adcusatorem injuste criminatum esse et reum deliquisse adfirmantium, quum improbus habeatur qui injuste adcusat, victoriam legislator reo impertiat. Item nos etiam ipsi cum servis ita agimus, ut ubi eos deliquisse aliquid suspicamur, nec aliquid certi habemus, sed tamen commisisse existimamus, non protinus ad plectendum veniamus, atque si nihil amplius explorare possimus, hac culpa eos absolvimus. Item graviorem quidem facit injuriam qui consulto, quam qui non consulto injuriatur. Atqui calumniator semper consulto injuriatur; qui vero aliud quid injuste facit, alias quidem per necessitatem, alias vero per imprudentiam injuriam infert; alias tandem, prout fors tulerit, evenit ei ut injurietur. Ubi autem pares sententiæ sunt, adcusator quidem consulto injuriam fecisse dimidio judicatur sententiarum, reus vero fecisse quidem injuriam reliquo sententiarum dimidio adseritur, non tamen consulto, ita ut, quum graviorem adcusator quam reus fecisse injuriam judicetur, merito legislator eum vincere decreverit qui injuriam fecerit leviorem. Adde etiam quod semper injustior quidem est qui se latiturum non esse putat eum cui injuriam infert, et tamen facit injuriam, quam qui se latere posse existimat; atqui qui injuste crimen cuiquam objicit, eum quem calumniatur se latiturum esse non arbitratur; qui vero aliam quamdam injuriam faciunt, latituros sese plerumque eum existimant cui injuriam infligere conantur, ita ut judicari injustiores adcusatores debeant quam rei.

14. Cur tandem, si quis ex balneo quidem furatus est, aut ex palæstra, aut ex foro, aut ex aliquo ejusmodi loco, morte mulctatur; si quis vero ex domo privata, furti pretium duplum rependit? An quia in domibus quidem custodire quocumque tandem modo licet (nam et paries firmus, et clavis est, et servis domesticis curæ est omnibus ut

ἐπιμελές ἐστιν ὅπως σώζηται τὰ ἐνόντα)· ἐν δὲ τῷ βαλανείῳ καὶ ἐν τοῖς οὕτω κοινοῖς οὖσιν ὥσπερ τὸ βαλανεῖον ῥᾴδιον τῷ βουλομένῳ κακουργεῖν; οὐδὲν γὰρ ἰσχυρὸν ἔχουσι πρὸς τὴν φυλακὴν οἱ τιθέντες ἀλλ' ἢ τὸ αὐτῶν ὄμμα, ὥστ' ἂν μόνον τις παραβλέψῃ, ἐπὶ τῷ κλέπτοντι ἤδη γίνεται· διὸ ὁ νομοθέτης οὐχ ἱκανοὺς ὄντας ἡγησάμενος εἶναι φύλακας, τὸν νόμον αὐτοῖς ἐπέστησεν ἀπειλοῦντα σφοδρῶς ὡς οὐ βιωσομένοις ἐάν τι σφετερίζωνται τῶν ἀλλοτρίων. Ἔτι δ' εἰς μὲν τὴν οἰκίαν ἐπὶ τῷ κεκτημένῳ ἐστὶν ὅν τινα ἂν βούληται εἰσδέχεσθαι, καὶ ᾧ μὴ πιστεύει εἰσφέρεσθαι· τῷ δ' ἐν τῷ βαλανείῳ θεμένῳ τι οὐκ ἔξεστιν οὐθένα κωλῦσαι οὔτ' εἰσιέναι, οὔτ' εἰσελθόντα μὴ παρὰ κλέπτην τὸ αὑτοῦ ἱμάτιον θέσθαι ἀποδύντα ἄν· ἀλλ' ὡς οὐ βούλεται, ἐν τῷ αὐτῷ ἥ τε τοῦ κλέπτου ἐσθὴς καὶ ἡ τοῦ μέλλοντος ἀπολλύναι ἀναμεμιγμέναι κεῖνται· διὸ ὁ νομοθέτης τῷ μὲν ἑκόντι εἰσδεξαμένῳ τὸν κλέπτην καὶ αὐτῷ ἡμαρτηκότι οὐ λίαν μεγάλαις τιμωρίαις βεβοήθηκεν, τοῖς δ' ἐξ ἀνάγκης κοινωνοῦσι τῆς εἰς τὸ βαλανεῖον εἰσόδου καὶ τῆς ἀναμίξεως μεγάλας τιμωρίας φανερός ἐστι καθιστὰς τοῖς κλέπτουσιν. Ἔτι δ' οἱ μὲν ἐν τοῖς οὕτω κοινοῖς οὖσι τῷ βουλομένῳ εἰσιέναι κλέπτοντες καταφανεῖς ἅπασι γίνονται ὅτι φανεροί εἰσιν, ὥστε περιγενόμενοι οὐδὲ χαρισμοῦ ἔτι χάριν ἐπιεικεῖς εἶναι δοκεῖν βούλονται, ὡς μάτην αὐτοῖς ὂν πρὸς τοὺς γνόντας πλάττεσθαι ὅτι ἐπιεικεῖς εἰσιν· καταφανῶς οὖν ἤδη πονηροὶ διατελοῦσιν ὄντες· οἱ δ' ἑνὶ μόνῳ φανεροὶ γενόμενοι πρὸς τοὺς ἄλλους ἐπιχειροῦσι πείθειν, ἀποτίσαντές τι, ὅπως μὴ καταφανεῖς αὐτοὺς ποιήσῃ· διὸ οὐ παντελῶς ἂν εἶεν πονηροὶ διὰ τέλους, ἀνθ' ὧν ὁ νομοθέτης ἐλάττω αὐτοῖς τὰ ἐπιζήμια ἐποίησεν. Ἔτι δὲ τῶν ἁμαρτιῶν μάλιστα αἰσχύνουσι τὴν πόλιν αἱ ἐν τοῖς κοινοτάτοις συλλόγοις τε καὶ συνόδοις γινόμεναι, ὥσπερ καὶ τιμὴν φέρουσι πολὺ μάλιστα αἱ ἐν τῷ κοινῷ εὐταξίαι· καταφανεῖς γὰρ μάλιστα διὰ τῶν τοιούτων καὶ αὐτοῖς καὶ τοῖς ἄλλοις. Συμβαίνει οὖν οὐ μόνον ἰδίᾳ τὸν ἀπολέσαντα βλάπτεσθαι ἐκ τῶν τοιούτων τινός, ἀλλὰ καὶ πρὸς τὴν πόλιν λοιδορίας γίνεσθαι· διὸ καὶ τὸν κλέψαντα ταῖς μείζοσι ζημίαις ἐκόλασε τῶν ἐξ οἰκίας τινὸς ἀφελομένων. Ἔτι δὲ καὶ ὁ ἐξ οἰκίας τινὸς ἀπολέσας ἐν τοιούτῳ τόπῳ τυγχάνει ὤν, ὅθεν ῥᾴδιον μήτε παθόντα, μήτε χλευασθέντα ὑπό τινων, οἴκοι ὄντα τὸ ἀτύχημα φέρειν· τῷ δ' ἥ τε ἀποχώρησις ἐργώδης γεγυμνωμένῳ. Προσέτι δὲ χλευάζεσθαι ὑπό τινων ὑπάρχει τοῖς πολλοῖς, ὃ πολὺ δυσχερέστερόν ἐστι τῆς ἀπωλείας· διὸ καὶ ὁ νομοθέτης μείζους αὐτοῖς ζημίας ἐνέγραψεν. Ἔτι δὲ παραπλήσια τούτοις πολλὰ φαίνονται νενομοθετηκότες, οἷον καὶ ἐὰν μέν τις ἄρχοντα κακῶς εἴπῃ, μεγάλα τὰ ἐπιτίμια, ἐὰν δέ τις ἰδιώτην, οὐθέν. Καὶ καλῶς· οἴεται γὰρ τότε οὐ μόνον εἰς τὸν ἄρχοντα ἐξαμαρτάνειν τὸν κακηγοροῦντα, ἀλλὰ καὶ εἰς τὴν πόλιν ὑβρίζειν. Τὸν αὐτὸν δὲ τρόπον καὶ τὸν ἐν τῷ λιμένι κλέπτοντα οὐ μόνον τὸν ἰδιώτην βλάπτειν, ἀλλὰ καὶ τὴν

serventur quæ insunt); at in balneis ceterisque locis æque communibus ac balneum facilis ei qui vult, facinoris perpetratio est? nil enim ad custodiam validum qui sua posuerunt, habent præter oculos suos, ita ut si modo adspectum diverterit quis, in rem est furi: quamobrem legislator ratus non sufficientes adesse custodes, legem adhibuit iis minitantem acerrime, vitam futuram nemini qui alienas res sibi vindicarit. Item in domum quidem penes dominum est, quemcumque velit, recipere, et cui non confidat ad introducendum; at ei qui in balneis quidquam posuit, prohibere neminem licet nec ingredi, nec ingressum vestem suam exutam non deponere prope furem, sed quomodo non vult, eodem in loco furis et amissuri vestimenta promiscue jacent: quapropter legislator ei quidem qui sua sponte furem suam in domum exceperit ipseque erraverit, non magnis admodum subpliciis consuluit; in gratiam vero eorum qui communem balnearum aditum conversationemque habeant necesse est, subplicia furibus magna statuit manifesto. Item ii quidem qui in locis quorum aditus patet cuicumque velit, furtum committunt, omnibus manifesti fiunt, quia conspicui sunt, ita ut vitæ servati ne commodi quidem gratia probi esse videri velint, utpote quum incassum iis est si se probos apud eos ementiantur qui rem norunt: jam ergo palam improbi esse perstant; at qui uni tantum palam fuerint, ceteris persuadere conantur, data pœna aliqua, ne eos prodat: quocirca hi non omnino per totam vitam pravi erunt: quorum vice legislator iis pœnas leviores perscripsit. Item ea potissimum delicta dedecus reipublicæ adferunt quæ in conventibus collegiisque maxime publicis committuntur, quemadmodum et honorem ferunt longe maximum quæ integre publice aguntur: hujusmodi enim actibus et sibi et ceteris conspicui sunt maxime. Evenit igitur ut ex aliquo ejusmodi actu non solum privatim qui suum amisit, detrimento adficiatur, verum etiam in rempublicam maledicta prodantur: quapropter et pœnis gravioribus castigavit hunc furem legislator quam qui privatis quibusdam ex ædibus furati sunt. Item qui ex domo rem suam amiserit, in ejusmodi versatur loco, unde facile ei est nihil passo, nec irriso ab aliquibus, domi manentem suum perferre casum; illi vero discessus laboriosus est, quippe nudo. Præterea plerisque evenit ut irrideantur a quibusdam: quod longe molestius quam rei jactura est: qua de causa et pœnas legislator his statuit graviores. Quin etiam complura his similia legislatores statuerunt manifesto, exempli gratia si quis magistratui quidem maledixerit, graves pœnas, si vero privato, nihil. Idque recte quidem: tunc enim non tantum in magistratum deliquisse qui maledixit, opinatur, sed in rempublicam etiam contumeliose egisse. Pari autem ratione et qui in portu furatus est, non solum privatim obfendisse, verum etiam reipublicæ de-

πόλιν αἰσχύνειν. Ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις, οὗ κοινῇ που συνερχόμεθα.

decus advexisse statuit. Eodem quoque modo vel ceteris in locis, in quibus publice usquam convenimus.

15. Διὰ τί ἐν τοῖς δικαστηρίοις ἐὰν ἴσαι γένωνται ψῆφοι τοῖς ἀντιδίκοις, ὁ φεύγων νικᾷ; Ἢ ὅτι ὁ φεύγων ὑπὸ τοῦ διώκοντος οὐθὲν πέπονθεν, ἀλλ' ἐν τοῖς ἴσοις αὐτῷ ἤδη ἔμελλε νικᾶν;

15. Cur si in foro sententiæ pares adversariis fiant, reus vincit? An quod reus nullo ab adcusatore detrimento adfectus est, sed dummodo eadem utatur conditione, jam victor evadet?

16. Διὰ τί ἐπὶ μὲν κλοπῇ θάνατος ἡ ζημία, ἐπὶ δὲ ὕβρει, μείζονι οὔσῃ ἀδικίᾳ, τίμησις τί χρὴ παθεῖν, ἢ ἀποτῖσαι; Ἢ διότι τὸ μὲν ὑβρίζειν ἀνθρώπινόν ἐστι πάθος, καὶ πάντες πλέον, ἢ ἔλαττον αὐτοῦ μετέχουσι, τὸ δὲ κλέπτειν οὐ τῶν ἀναγκαίων; Καὶ ὅτι ὁ κλέπτειν ἐπιχειρῶν καὶ ὑβρίζειν ἂν προέλοιτο.

16. Cur super furto quidem pœna capitalis statuta est; super insolentia vero, quæ gravior injuria est, æstimatio quid patiendum, aut quantum solvendum sit? An propterea quod insolentia quidem humana quædam adfectio est, omnesque plus minusve ejus participes sunt; at furtum non ad res necessarias pertinet? Adde quod qui furari conatur, etiam insolens esse mallet.

ΤΜΗΜΑ Λ.

ΟΣΑ ΠΕΡΙ ΦΡΟΝΗΣΙΝ ΚΑΙ ΝΟΥΝ ΚΑΙ ΣΟΦΙΑΝ.

SECTIO XXX.

QUÆ AD PRUDENTIAM ET MENTEM ET SAPIENTIAM PERTINENT.

1. Διὰ τί πάντες ὅσοι περιττοὶ γεγόνασιν ἄνδρες ἢ κατὰ φιλοσοφίαν, ἢ πολιτικήν, ἢ ποίησιν, ἢ τέχνας φαίνονται μελαγχολικοὶ ὄντες, καὶ οἱ μὲν οὕτως ὥστε καὶ λαμβάνεσθαι τοῖς ἀπὸ μελαίνης χολῆς ἀρρωστήμασιν, οἷον λέγεται τῶν θ' ἡρωϊκῶν τὰ περὶ τὸν Ἡρακλέα; καὶ γὰρ ἐκεῖνος ἔοικε γενέσθαι ταύτης τῆς φύσεως· διὸ καὶ τὰ ἀρρωστήματα τῶν ἐπιληπτικῶν ἀπ' ἐκείνου προσηγόρευον οἱ ἀρχαῖοι ἱερὰν νόσον. Καὶ ἡ περὶ τοὺς παῖδας ἔκστασις καὶ ἡ πρὸ τῆς ἀφανίσεως ἐν Οἴτῃ τῶν ἑλκῶν ἔκφυσις γενομένη τοῦτο δηλοῖ· καὶ γὰρ τοῦτο γίνεται πολλοῖς ἀπὸ μελαίνης χολῆς. Συνέβη δὲ καὶ Λυσάνδρῳ τῷ Λάκωνι πρὸ τῆς τελευτῆς γενέσθαι τὰ ἕλκη ταῦτα. Ἔτι δὲ τὰ περὶ Αἴαντα καὶ Βελλεροφόντην, ὧν ὁ μὲν ἐκστατικὸς ἐγένετο παντελῶς, ὁ δὲ τὰς ἐρημίας ἐδίωκεν· διὸ οὕτως ἐποίησεν Ὅμηρος (Ἰλ. ζ, 200–202)·

Αὐτὰρ ἐπεὶ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν,
ἤτοι ὁ κὰπ πεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο,
ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων·

Καὶ ἄλλοι δὲ πολλοὶ τῶν ἡρώων ὁμοιοπαθεῖς φαίνονται τούτοις· τῶν δ' ὕστερον Ἐμπεδοκλῆς καὶ Πλάτων καὶ Σωκράτης καὶ ἕτεροι συχνοὶ τῶν γνωρίμων· ἔτι δὲ τῶν περὶ τὴν ποίησιν οἱ πλεῖστοι· πολλοῖς μὲν γὰρ τῶν τοιούτων γίνεται νοσήματα ἀπὸ τῆς τοιαύτης κράσεως τῷ σώματι, τοῖς δ' ἡ φύσις δήλη ῥέπουσα πρὸς τὰ πάθη. Πάντες δ' οὖν, ὡς εἰπεῖν ἁπλῶς, εἰσί, καθάπερ ἐλέχθη, τοιοῦτοι τὴν φύσιν. Δεῖ δὴ λαβεῖν τὴν αἰτίαν πρῶτον ἐπὶ παραδείγματος προχειρισαμένους· ὁ γὰρ οἶνος ὁ πολὺς μάλιστα φαίνεται παρασκευάζειν τοιούτους οἵους λέγομεν τοὺς μελαγχολικοὺς εἶναι, καὶ πλεῖστα ἤθη ποιεῖν πινόμενος, οἷον ὀργίλους, φιλανθρώπους, ἐλεήμονας, ἰταμούς, ἀλλ' οὐχὶ τὸ μέλι οὐδὲ τὸ γάλα, οὐδὲ τὸ ὕδωρ.

1. Cur viros, qui claruerunt vel in studiis philosophiæ, vel in republica administranda, vel in carmine pangendo, vel in artibus exercendis, melancholicos omnes fuisse videmus, et alios quidem ita ut etiam morbis ab atra bile oriundis infestarentur, sicut inter heroas de Hercule fertur? hic enim ea fuisse natura videtur: unde et comitialium adcessiones ab illo prisci sacrum nominabant morbum. Furor etiam quo erga pueros ardebat, et eruptio ulcerum, quæ ei in Œta, antequam e medio hominum tolleretur, adcidit, idem hoc probant: id enim multis quoque ab atra bile evenit. Et Lysandro Lacedæmonio ante obitum genus id ulcerum fuisse evenit. Adde Ajacem et Bellerophontem, quorum alter quidem penitus furiosus est factus, alter vero loca sectabatur deserta: unde sic cecinit Homerus:

Ast hic quando etiam gravior dis omnibus, errat
campo in Aleïo et absque alio trans avia rura,
ipse suum cor edens, hominum vestigia vitans.

Quin etiam alios multos ex heroum ordine morbis iisdem laborasse comperimus; inter recentiores vero Empedoclem, Platonem, Socratem, et alios complures insignes, itemque poetas plerosque: nam multis id genus hominibus morbi ab ejusmodi temperamento corpori infliguntur; aliorum vero natura in hos adfectus manifesto vergit. Quid multa igitur? omnes, ut dictum jam est, natura hujusmodi præditi sunt. Ergo causa primum proposito exemplo deprehendenda est: vinum enim immodicum tales maxime homines reddere videtur, quales melancholicos esse adfirmamus, moresque pervarios condere, potui adhibitus, ut iracundos, humanos, misericordes, alacres, quorum nihil nec mel, nec lac, nec aqua, nec ejusmodi aliquid aliud efficit.

οὐδ' ἄλλο τῶν τοιούτων οὐδέν. Ἴδοι δ' ἄν τις ὅτι παντοδαποὺς ἀπεργάζεται, θεωρῶν ὡς μεταβάλλει τοὺς πίνοντας ἐκ προσαγωγῆς· παραλαβὼν γὰρ ἀπεψυγμένους ἐν τῷ νήφειν καὶ σιωπηλοὺς μικρῷ μὲν πλείων ποθεὶς λαλιστέρους ποιεῖ, ἔτι δὲ πλείων ῥητορικοὺς καὶ θαρραλέους, προϊόντας δὲ πρὸς τὸ πράττειν ἰταμούς, ἔτι δὲ μᾶλλον πινόμενος ὑβριστάς, ἔπειτα μανικούς, λίαν δὲ πολὺς ἐκλύει καὶ ποιεῖ μωρούς, ὥσπερ τοὺς ἐκ παίδων ἐπιλήπτους, ἢ καὶ ἐχομένους τοῖς μελαγχολικοῖς ἄγαν. Ὥσπερ οὖν ὁ εἷς ἄνθρωπος μεταβάλλει τὸ ἦθος πίνων καὶ χρώμενος τῷ οἴνῳ ποσῷ τινι, οὕτω καθ' ἕκαστον τὸ ἦθός εἰσί τινες ἄνθρωποι· οἷος γὰρ οὗτος μεθύων νῦν ἐστιν, ἄλλος τις τοιοῦτος φύσει ἐστίν, ὁ μὲν λάλος, ὁ δὲ κεκινημένος, ὁ δ' ἀρίδακρυς· ποιεῖ γάρ τινας καὶ τοιούτους· διὸ καὶ Ὅμηρος ἐποίησεν ('Οδ. τ, 122?)·

καί μέ φησι δακρυπλώειν βεβαρημένον οἴνῳ·

καὶ γὰρ ἐλεήμονές ποτε γίνονται καὶ ἄγριοι καὶ σιωπηλοί· ἔνιοι γὰρ αὖ ἀποσιωπῶσι, καὶ μάλιστα τῶν μελαγχολικῶν ὅσοι ἐκστατικοί. Ποιεῖ δὲ καὶ φιλητικοὺς ὁ οἶνος· σημεῖον δὲ ὅτι προάγεται ὁ πίνων καὶ τῷ στόματι φιλεῖν, οὓς νήφων οὐδ' ἂν εἷς φιλήσειεν ἢ διὰ τὸ εἶδος, ἢ διὰ τὴν ἡλικίαν. Ὁ μὲν οὖν οἶνος οὐ πολὺν χρόνον ποιεῖ περιττόν, ἀλλ' ὀλίγον, ἡ δὲ φύσις ἀεί, ἕως τις ἂν ᾖ· οἱ μὲν γὰρ θρασεῖς, οἱ δὲ σιωπηλοί, οἱ δ' ἐλεήμονες, οἱ δὲ δειλοὶ γίνονται φύσει· ὥστε δῆλον ὅτι διὰ τὸ αὐτὸ ποιεῖ ὅ τ' οἶνος καὶ ἡ φύσις ἑκάστου τὸ ἦθος· πάντα γὰρ κατεργάζεται τῇ θερμότητι ταμιευόμενα. Ὅ τε δὴ χυμὸς καὶ ἡ κρᾶσις ἡ τῆς μελαίνης χολῆς πνευματικά ἐστιν· διὸ καὶ τὰ πνευματώδη πάθη καὶ τὰ ὑποχονδριακὰ μελαγχολικὰ οἱ ἰατροί φασιν εἶναι, καὶ ὁ οἶνος δὲ πνευματώδης τὴν δύναμιν· διὸ δή ἐστι τὴν φύσιν ὅμοια ὅ τ' οἶνος καὶ ἡ κρᾶσις. Δηλοῖ δ' ὅτι πνευματώδης ὁ οἶνός ἐστιν ὁ ἀφρός· τὸ μὲν γὰρ ἔλαιον θερμὸν ὂν οὐ ποιεῖ ἀφρόν, ὁ δ' οἶνος πολύν, καὶ μᾶλλον ὁ μέλας τοῦ λευκοῦ, ὅτι θερμότερος καὶ σωματωδέστερος. Καὶ διὰ τοῦτο ὅ τ' οἶνος ἀφροδισιαστικοὺς ἀπεργάζεται, καὶ ὀρθῶς Διόνυσος καὶ Ἀφροδίτη λέγονται μετ' ἀλλήλων εἶναι, καὶ οἱ μελαγχολικοὶ οἱ πλεῖστοι λάγνοι εἰσίν· ὅ τε γὰρ ἀφροδισιασμὸς πνευματώδης. Σημεῖον δὲ τὸ αἰδοῖον, ὡς ἐκ μικροῦ ταχεῖαν ποιεῖται τὴν αὔξησιν διὰ τὸ ἐμφυσᾶσθαι. Καὶ ἔτι πρὶν δύνασθαι προΐεσθαι σπέρμα, γίνεταί τις ἡδονὴ ἐπὶ παισὶν οὖσιν, ὅταν ἐγγὺς ὄντες τοῦ ἡβᾶν ξύωνται τὰ αἰδοῖα δι' ἀκολασίαν· γίνεται δὲ δῆλον διὰ τὸ πνεῦμα διεξιέναι διὰ τῶν πόρων, δι' ὧν ὕστερον τὸ ὑγρὸν φέρεται, ἥ τ' ἔκχυσις τοῦ σπέρματος ἐν ταῖς ὁμιλίαις καὶ ἡ ῥῖψις ὑπὸ τοῦ πνεύματος ὠθοῦντος φανερὸν γίνεσθαι· ὥστε καὶ τῶν ἐδεσμάτων καὶ ποτῶν εὐλόγως ταῦτ' ἐστὶν ἀφροδισιαστικά, ὅσα πνευματώδη τὸν περὶ τὰ αἰδοῖα ποιεῖ τόπον· διὸ καὶ ὁ μέλας οἶνος οὐδενὸς ἧττον τοιούτους ἀπεργάζεται, οἷοι καὶ οἱ μελαγχολικοί, πνευματώδεις.

Intelligere autem licebit id varios reddere homines, si quis animadvertat, ut paulatim bibentes immutet : ubi enim vinum frigentes perque sobrietatem tacere solitos adcepit, paulo liberaliori quidem poculo sumptus loquaciores eos reddit; tum largiori potu eloquentes ac audaces; posthac vero ad agendum alacres; majori adhuc copia bibitum contumeliosos, deinde furiosos; permagna tandem enervat fatuosque reddit in modum eorum qui inde a pueritia morbo laborant comitiali, aut qui vitiis ab atra bile oriundis admodum detinentur. Igitur ut homo unicus bibens et certa quadam vini mensura utens mores immutat, ita etiam sunt qui singulis morum generibus respondeant, homines aliqui : qualis enim iste vinolentus nunc est, talis alius quidam suapte natura est, hic quidem loquax, ille vero commotus, alius tandem in lacrymas proclivis : nam tales vinum quoque nonnullos reddit : unde et Homerus cecinit :

me victum Baccho lacrymas effundere dicunt :

quippe misericordes interdum redduntur, alias efferi, alias taciturni : sunt enim qui rursus taceant, et maxime melancholicorum qui mente alienantur. Quin etiam ad amandum proclives reddit vinum : indicio est, quod sæpe qui potat, vel ad osculandum eos adducitur quibus nemo sobrius dare osculum velit, vel propter speciem, vel propter ætatem. Vinum itaque non per longum tempus insignes reddit, sed per breve; natura vero semper quousque vivit quis : alii namque audaces, alii taciturni, aliis misericordes, alii ignavi suapte natura fiunt, ita ut eamdem esse causam constet, cur tum vinum, tum natura uniuscujusque mores fingat : omnia namque elaborant, dum calore dispensantur. Succus igitur et temperamentum atræ bilis flatuosa sunt : quocirca et adfectus flatuosos præcordiorumque morbos atræ bili medici tribuunt; sed vinum quoque facultate sua flatuosum est : quamobrem sane similem et vinum sortitur naturam et temperamentum. Constat autem vinum flatuosum esse e spuma : oleum enim, quamvis calidum, nihil spumat; vinum vero large, ampliusque nigrum quam album, quia calidius et corpulentius est. Hinc quoque fit ut in venerem proclives reddat vinum meritoque Bacchus et Venus se invicem comitari dicantur et melancholici plerique libidinosi sint : concubitus enim et flatuosus est. Cujus indicium penis est, quippe qui cito ex parva in molem augescit insignem propter inflationem. Atque præterea priusquam semen projicere queant, oritur voluptas quædam, pueri dum sunt, ubi jam pubi propinqui incontinentiæ ergo pudendum fricant : fit hoc nimirum, quia flatus per meatus transit, per quos postea humor fertur; et seminis quoque in concumbendo effusionem projectionemque a spiritu impellente fieri perspicuum est, ita ut inter esculenta quoque ac potulenta merito ea libidinem moveant, quæ regionem circa genitalia flatu implent : ex quo fit etiam ut vinum nigrum ante quodvis aliud tales reddat, quales et melancholici sunt.

Δῆλοι δ' εἰσὶν ἐπ' ἐνίων· σκληφροὶ γὰρ οἱ πλείους τῶν μελαγχολικῶν, καὶ αἱ φλέβες ἐξέχουσιν· τούτου δ' αἴτιον οὐ τὸ τοῦ αἵματος πλῆθος, ἀλλὰ τοῦ πνεύματος. Διότι δ' οὐδὲ πάντες οἱ μελαγχολικοὶ σκληφροί, οὐδὲ μέλανες, ἀλλ' οἱ μᾶλλον κατακώχιμοι, ἄλλος λόγος· περὶ οὗ δ' ἐξ ἀρχῆς προειλόμεθα διεξελθεῖν, ὅτι ἐν τῇ φύσει εὐθὺς ὁ τοιοῦτος χυμὸς ὁ μελαγχολικὸς κεράννυται· θερμοῦ γὰρ καὶ ψυχροῦ κρᾶσίς ἐστιν· ἐκ τούτων γὰρ τῶν δυοῖν ἡ φύσις συνέστηκεν· διὸ καὶ ἡ μέλαινα χολὴ καὶ θερμότατον καὶ ψυχρότατον γίνεται· τὸ γὰρ αὐτὸ πάσχειν πέφυκε ταῦτ' ἄμφω, οἷον καὶ τὸ ὕδωρ ὂν ψυχρόν, ὅμως ἐὰν ἱκανῶς θερμανθῇ, οἷον τὸ ζέον, τῆς φλογὸς αὐτῆς θερμότερόν ἐστι, καὶ λίθος καὶ σίδηρος διάπυρα γενόμενα μᾶλλον θερμὰ γίνεται ἄνθρακος, ψυχρὰ ὄντα φύσει. Εἴρηται δὲ σαφέστερον περὶ τούτων ἐν τοῖς περὶ πυρός. Καὶ ἡ χολὴ δ' ἡ μέλαινα φύσει ψυχρὰ καὶ οὐκ ἐπιπολαίως οὖσα, ὅταν μὲν οὕτως ἔχῃ ὡς εἴρηται, ἐὰν ὑπερβάλλῃ ἐν τῷ σώματι, ἀποπληξίας, ἢ νάρκας, ἢ ἀθυμίας ποιεῖ, ἢ φόβους· ἐὰν δ' ὑπερθερμανθῇ, τὰς μετ' ᾠδῆς εὐθυμίας καὶ ἐκστάσεις καὶ ἐκζέσεις ἑλκῶν καὶ ἄλλα τοιαῦτα. Τοῖς μὲν οὖν πολλοῖς ἀπὸ τῆς καθ' ἡμέραν τροφῆς ἐγγινομένη οὐδὲν τὸ ἦθος ποιεῖ διαφόρους, ἀλλὰ μόνον νόσημά τι μελαγχολικὸν ἀπειργάσατο· ὅσοις δ' ἐν τῇ φύσει συνέστη κρᾶσις τοιαύτη, εὐθὺς οὗτοι τὰ ἤθη γίνονται παντοδαποί, ἄλλος κατ' ἄλλην κρᾶσιν, οἷον ὅσοις μὲν πολλὴ καὶ ψυχρὰ ἐνυπάρχει, νωθροὶ καὶ μωροί, ὅσοις δὲ λίαν πολλὴ καὶ θερμή, μανικοὶ καὶ εὐφυεῖς καὶ ἐρωτικοὶ καὶ εὐκίνητοι πρὸς τοὺς θυμοὺς καὶ τὰς ἐπιθυμίας, ἔνιοι δὲ καὶ λάλοι μᾶλλον. Πολλοὶ δὲ καὶ διὰ τὸ ἐγγὺς εἶναι τοῦ νοεροῦ τόπου τὴν θερμότητα ταύτην νοσήμασιν ἁλίσκονται μανικοῖς, ἢ ἐνθουσιαστικοῖς, ὅθεν Σίβυλλαι καὶ Βάκιδες καὶ οἱ ἔνθεοι γίνονται πάντες, ὅταν μὴ νοσήματι γένωνται, ἀλλὰ φυσικῇ κράσει. Μαρακὸς δ' ὁ Συρακούσιος καὶ ἀμείνων ἦν ποιητής, ὅτ' ἐκσταίη. Ὅσοις δ' ἂν ἐπανθῇ τὴν ἄγαν θερμότητα πρὸς τὸ μέσον, οὗτοι μελαγχολικοὶ μέν εἰσι, φρονιμώτεροι δέ, καὶ ἧττον μὲν ἔκτοποι, πρὸς πολλὰ δὲ διαφέροντες τῶν ἄλλων, οἱ μὲν πρὸς παιδείαν, οἱ δὲ πρὸς τέχνας, οἱ δὲ πρὸς πολιτείαν. Πολλὴν δὲ καὶ εἰς τοὺς κινδύνους ποιεῖ διαφορὰν ἡ τοιαύτη ἕξις τοῦ ἐνίοτε ἀνωμάλους εἶναι μὲν τοῖς φόβοις πολλοὺς τῶν ἀνδρῶν· ὡς γὰρ ἂν τύχωσι τὸ σῶμα ἔχοντες πρὸς τὴν τοιαύτην κρᾶσιν, διαφέρουσιν αὐτοὶ αὑτῶν· ἡ δὲ μελαγχολικὴ κρᾶσις, ὥσπερ καὶ ἐν ταῖς νόσοις ἀνωμάλους ποιεῖ, οὕτω καὶ αὐτὴ ἀνώμαλός ἐστιν· ὁτὲ μὲν γὰρ ψυχρά ἐστιν ὥσπερ ὕδωρ, ὁτὲ δὲ θερμή· ὥστε φοβερόν τι ὅταν εἰσαγγελθῇ, ἐὰν μὲν ψυχροτέρας οὔσης τῆς κράσεως τύχῃ, δειλὸν ποιεῖ· προωδοπεποίηκε γὰρ τῷ φόβῳ, καὶ ὁ φόβος καταψύχει (δηλοῦσι δ' οἱ περίφοβοι· τρέμουσι γάρ)· ἐὰν δὲ μᾶλλον θερμή, εἰς τὸ μέτριον κατέστησεν ὁ φόβος, καὶ ἐν αὐτῷ καὶ ἀπαθῆ. Ὁμοίως δὲ καὶ πρὸς τὰς καθ' ἡμέραν ἀθυμίας· πολλάκις γὰρ οὕτως ἔχομεν

flatulentos nimirum. Id quod in nonnullis patescit : melancholici enim magna ex parte macilenti sunt venæque turgent : cujus causa est non sanguinis, sed flatus copia. Sed cur non omnes melancholici nec macilenti, nec nigri sint, sed ii tantum qui amplius detinentur, alius sermo est; nunc de eo quod principio pertractandum elegimus, [dicendum est] : humorem nempe hujusmodi melancholicum protinus naturæ admisceri, quippe qui e calido et frigido conflatus est : nam ex hisce duobus natura constitit : quamobrem atra etiam bilis et calidissima et frigidissima fit : eadem namque res isthæc ambo suapte natura patitur, ut etiam aqua, tametsi frigida sit, tamen, si satis concalfacta fuerit, velut quæ fervet, calidior quam flamma ipsa fit, itemque lapis et ferrum ubi incanduerunt, carbone calidiora evadunt, etiamsi natura frigida sint. Sed de his dictum planius est ubi de igni loquebamur. Atra autem bilis, quæ natura frigida est, idque non superficie tenus, quando ita quidem sese habet ut dictum jam est, si modum in corpore excedat, morbos adtonitos, aut torpores, aut animæ dejectiones, aut timores parit; sin vero admodum incaluerit, hilaritates cum cantu et mentis alienationes et ulcerum eruptiones et alia hujusmodi. Plerisque igitur e victu quotidiano redundans mores varios nequaquam conciliat, sed morbum quemdam melancholicum tantummodo creat; at quorumcumque in natura tale temperamentum constiterit, mox hi multifarios adsciscunt mores, alius pro alio temperamento, exempli gratia quibuscumque quidem multa et frigida inest, hi torpidi fiunt et fatui; quibuscumque vero permulta et calida, ii furiosi, ingenui, in amorem proclives, et ira cupidineque facile permoventur; nonnulli etiam loquaces potius fiunt. Multi etiam propterea quod ille calor sedi mentis vicinus est, morbis capiuntur furiosis, vel qui numinis inflatui tribuuntur : unde Sibyllæ et Bacides et omnes numinis adflatu perciti oriuntur, ubi non morbo, sed naturali temperamento tales facti sunt. Maracus autem, civis Syracusanus, vel poeta præstantior erat, quotiescumque mente alienabatur. At quibuscumque propter vehementem calorem medium versus effloruerit, ii melancholici quidem sunt, sed prudentiores et insoliti quidem minus, sed multis in rebus ceteris præstantiores, alii quidem in studiis literarum, alii vero in artibus, alii tandem in republica administranda. Magnum etiam ad subeunda pericula discrimen hujusmodi habitus adfert, quatenus multi viri interdum metu inæqualiter permoventur : prout enim forte hujusmodi temperamenti ratione se habuerit corpus eorum, a se ipsi differunt : temperamentum enim melancholicum quemadmodum in morbis inæquales reddit, ita et ipsum inæquabile est, quippe quod alias quidem frigidum in modum aquæ, alias vero calidum est, ita ut ubi formidolosum quidquam denuntiatum est, si temperamentum forte frigidius habuerit, ignavum reddit : jam enim metui aditum patefecit, et metus refrigerat, ut ex iis constat qui metu perculsi sunt : tremunt enim; sed si calidum potius est, metus ad mediocritatem reducit, atque ipsius metus tempore intrepidum reddit. Similiter se habet etiam, quod ad quotidianas animæ dejectiones adtinet : sæpenumero enim ita dispositi sumus ut

ὥστε λυπεῖσθαι, ἐφ' ὅτῳ δέ, οὐκ ἂν ἔχοιμεν εἰπεῖν· ὁτὲ δ' εὐθύμως, ἐφ' ᾧ δ', οὐ δῆλον. Τὰ δὴ τοιαῦτα πάθη καὶ τὰ παλαιὰ λεχθέντα κατὰ μέν τι μικρὸν πᾶσι γίνεται· πᾶσι γὰρ μέμικταί τι τῆς δυνάμεως· ὅσοις δ' εἰς βάθος, οὗτοι δ' ἤδη ποιοί τινές εἰσι τὰ ἤθη· ὥσπερ γὰρ τὸ εἶδος ἕτεροι γίνονται οὐ τῷ πρόσωπον ἔχειν, ἀλλὰ τῷ ποιόν τι τὸ πρόσωπον, οἱ μὲν καλόν, οἱ δ' αἰσχρόν, οἱ δὲ μηθὲν ἔχοντες περιττόν, οὗτοι δὲ μέσοι τὴν φύσιν, οὕτω καὶ οἱ μὲν μικρὰ μετέχοντες τῆς τοιαύτης κράσεως μέσοι εἰσίν, οἱ δὲ πλήθους ἤδη ἀνόμοιοι τοῖς πολλοῖς· ἐὰν μὲν γὰρ σφόδρα κατακορὴς ᾖ ἡ ἕξις, μελαγχολικοί εἰσι λίαν· ἐὰν δέ πως κραθῶσι, περιττοί. Ῥέπουσι δ', ἂν ἀμελῶσιν, ἐπὶ τὰ μελαγχολικὰ νοσήματα, ἄλλοι περὶ ἄλλο μέρος τοῦ σώματος, καὶ τοῖς μὲν ἐπιληπτικὰ ἀποσημαίνει, τοῖς δ' ἀποπληκτικά, ἄλλοις δ' ἀθυμίαι ἰσχυραί, ἢ φόβοι, τοῖς δὲ θάρρη λίαν, οἷον καὶ Ἀρχελάῳ συνέβαινε τῷ Μακεδονίας βασιλεῖ. Αἴτιον δὲ τῆς τοιαύτης δυνάμεως ἡ κρᾶσις, ὅπως ἂν ἔχῃ ψύξεώς τε καὶ θερμότητος· ψυχροτέρα μὲν γὰρ οὖσα τοῦ καιροῦ δυσθυμίας ποιεῖ ἀλόγους· διὸ αἵ τ' ἀγχόναι μάλιστα τοῖς νέοις, ἐνίοτε δὲ καὶ πρεσβυτέροις. Πολλοὶ δὲ καὶ μετὰ τὰς μέθας διαφθείρουσιν ἑαυτούς. Ἔνιοι δὲ τῶν μελαγχολικῶν ἐκ τῶν πότων ἀθύμως διάγουσιν· σβέννυσι γὰρ ἡ τοῦ οἴνου θερμότης τὴν φυσικὴν θερμότητα. Τὸ δὲ θερμὸν τὸ περὶ τὸν τόπον ᾧ φρονοῦμεν καὶ ἐλπίζομεν, ποιεῖ εὐθύμους, καὶ διὰ τοῦτο πρὸς τὸ πίνειν εἰς μέθην πάντες ἔχουσι προθύμως, ὅτι πάντας ὁ οἶνος ὁ πολὺς εὐέλπιδας ποιεῖ, καθάπερ ἡ νεότης τοὺς παῖδας· τὸ μὲν γὰρ γῆρας δύσελπί ἐστιν, ἡ δὲ νεότης ἐλπίδος πλήρης. Εἰσὶ δέ τινες ὀλίγοι οὓς πίνοντας δυσθυμίαι λαμβάνουσι, διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣν καὶ μετὰ τοὺς πότους ἐνίους. Ὅσοις μὲν οὖν μαραινομένου τοῦ θερμοῦ αἱ ἀθυμίαι γίνονται, μᾶλλον ἀπάγχονται· διὸ καὶ οἱ νέοι ἢ καὶ οἱ πρεσβῦται μᾶλλον ἀπάγχονται· τὸ μὲν γὰρ γῆρας μαραίνει τὸ θερμόν, τῶν δὲ τὸ πάθος φυσικὸν ὂν καὶ αὐτὸ τὸ μαραινόμενον θερμόν· ὅσοις δὲ σβεννυμένου, ἐξαίφνης οἱ πλεῖστοι διαχρῶνται ἑαυτούς, ὥστε θαυμάζειν πάντας διὰ τὸ μηθὲν ποιῆσαι σημεῖον πρότερον. Ψυχροτέρα μὲν οὖν γινομένη ἡ κρᾶσις ἡ ἀπὸ τῆς μελαίνης χολῆς, ὥσπερ εἴρηται, ποιεῖ ἀθυμίας παντοδαπάς, θερμοτέρα δ' οὖσα εὐθυμίας· διὸ καὶ οἱ μὲν παῖδες εὐθυμότεροι, οἱ δὲ γέροντες δυσθυμότεροι· οἱ μὲν γὰρ θερμοί, οἱ δὲ ψυχροί· τὸ γὰρ γῆρας κατάψυξίς τις. Συμβαίνει δὲ σβέννυσθαι ἐξαίφνης ὑπό τε τῶν ἐκτὸς αἰτιῶν, ὡς καὶ παρὰ φύσιν τὰ πυρωθέντα, οἷον ἄνθρακα ὕδατος ἐπιχυθέντος· διὸ καὶ ἐκ μέθης ἔνιοι ἑαυτοὺς διαχρῶνται· ἡ γὰρ ἀπὸ τοῦ οἴνου θερμότης ἐπείσακτός ἐστιν, ἧς σβεννυμένης συμβαίνει τὸ πάθος. Καὶ μετὰ τὰ ἀφροδίσια οἱ πλεῖστοι ἀθυμότεροι γίνονται, ὅσοι δὲ περίττωμα πολὺ προΐενται μετὰ τοῦ σπέρματος, οὗτοι εὐθυμότεροι· κουφίζονται γὰρ περιττώματός τε καὶ πνεύματος καὶ θερμοῦ ὑπερβολῆς· ἐκεῖνοι δ' ἀθυμότεροι πολ-

ὑγρόν, ὥσθ' ὅταν διαλυθῇ ὑπὸ τῆς θερμότητος, ἣ γίνεται αἰσχυνομένοις, συνέρχεται εἰς ταῦτα; Ἢ διότι ἐπὶ τοῖς κροτάφοις ἐπίκεινται, εἰς οὓς τὸ ὑγρὸν ἀθροίζεται μάλιστα; αἰσχυνομένων δ' εἰς τὸ πρόσωπον ἔρχεται ἡ ὑγρότης· διὸ καὶ ἐρυθριῶσιν. Τοῦ δὲ προσώπου ἥκιστα βάθος ἔχει τὰ ὦτα, καὶ φύσει θερμότατα καὶ εὔχροα, ἐὰν μὴ ἀπηρτημένα πόρρωθεν ᾖ τῷ ψύχει· διὸ καὶ εὐχρούστατον τῶν ἐν τῷ προσώπῳ μορίων· ὥσθ' ὅταν σκεδασθῇ ἡ θερμότης, μάλιστα ἐπιπολῆς οὖσα ἐν τούτοις ποιεῖ ἐρυθριᾶν.

2. Διὰ τί τὰ ὦτα ἐν τῇ θαλάττῃ ῥήγνυται τοῖς κολυμβῶσιν; Πότερον διὰ τὸ κατέχειν τὸ πνεῦμα πληρούμενον βιάζεται; Ἢ εἰ τοῦτ' αἴτιον, ἔδει καὶ ἐν τῷ ἀέρι; Ἢ ὅτι μὴ ὑπεῖκον διακόπτεται θᾶττον, καὶ ἀπὸ σκληροτέρου ἢ μαλακοῦ; Τὸ οὖν πεφυσημένον ἧττον ὑπείκει· τὰ δ' ὦτα, ὥσπερ εἴρηται, ὑπὸ τοῦ κατέχεσθαι τὸ πνεῦμα ἐμφυσᾶται, ὥστε τὸ ὕδωρ, σκληρότερον ὂν τοῦ ἀέρος, προσπῖπτον διακόπτει.

3. Διὰ τί οἱ κολυμβηταὶ σπόγγους περὶ τὰ ὦτα καταδοῦνται; Ἢ ἵνα ἡ θάλαττα βίᾳ ἰοῦσα μὴ ῥηγνύῃ τὰ ὦτα; οὕτω μὲν γὰρ οὐ γίνεται, ὥσπερ ἀφῃρημένων, πλήρη.

4. Διὰ τί ὁ ἐν τοῖς ὠσὶ ῥύπος πικρός ἐστιν; Ἢ διότι ἱδρώς ἐστι σαπρός; Ἔστιν οὖν ἁλμυρὸν σαπρόν· τὸ δὲ σαπρὸν ἁλμυρὸν πικρόν.

5. Διὰ τί οἱ σπογγεῖς διατέμνονται τὰ ὦτα καὶ τοὺς μυκτῆρας; Ἢ ὅπως εὐπνούστεροι ὦσιν; ταύτῃ γὰρ ἐξιέναι δοκεῖ τὸ πνεῦμα. Ἀνατέμνουσι δὲ καὶ τὸν τόπον καὶ πρὸς εὔπνοιαν· πονεῖν γὰρ δή φασι μᾶλλον αὐτοὺς ἐν τῇ δυσπνοίᾳ, τῷ μὴ δύνασθαι προΐεσθαι θύραζε· ὅταν δ' ὥσπερ ἐξεράσωσι, κουφίζονται. Ἄτοπον οὖν εἰ μὴ δύνανται τυγχάνειν ἀναπνοῆς καταψύξεως χάριν, ἀλλ' ἔοικε τοῦτο ἀναγκαιότερον εἶναι. Ἢ εὐλόγως ὁ πόνος πλείων κατέχουσιν, ὀγκουμένων καὶ διατεινομένων; φαίνεται δὲ καὶ αὐτόματός τις εἶναι φορὰ τοῦ πνεύματος ἔξω· εἰ δὲ καὶ εἴσω, σκεπτέον. Ἔοικε δέ· ὁμοίως γὰρ ἀναπνοὴν ποιοῦσι τοῖς κολυμβηταῖς λέβητα καταφέντες· οὐ πίμπλαται γὰρ οὗτος τοῦ ὕδατος, ἀλλὰ τηρεῖ τὸν ἀέρα· μετὰ βίας γὰρ ἡ κάθεσις· ὀρθὸν γὰρ ὁτιοῦν παρεγκλιθὲν εἰσρεῖ.

6. Διὰ τί ἔνιοι τὰ ὦτα σκαλεύοντες βήττουσιν; Ἢ ὅτι ἐπὶ τοῦ αὐτοῦ πόρου τῷ πνεύμονι καὶ τῇ ἀρτηρίᾳ ἡ ἀκοή; Σημεῖον δέ, ὅτι ἀναπηροῦνται καὶ γίνονται ἐνεοί. Θερμαινομένου οὖν τῇ τρίψει συντήκεται ἐπὶ τὴν ἀρτηρίαν ἀπὸ τοῦ πόρου κάτωθεν ὑγρόν· ὃ ποιεῖ τὴν βῆχα.

7. Διὰ τί τὸ ἀριστερὸν οὖς θᾶττον συμφύεται ὡς ἐπὶ τὸ πολύ, ὅταν τρυπηθῇ; διὸ καὶ αἱ γυναῖκες τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ καλοῦσι τῶν ὤτων. Ἢ ὅτι τὰ ἀριστερὰ ὑγρὰ καὶ θερμὰ μᾶλλον, συμφύεται δὲ τὰ

adire solet, ita ut quum calore per pudorem orto resolutus fuerit, statim se in aures colligat? An quia temporibus impositæ sunt, in quibus maxime humor adcumulatur? apud pudibundos enim humor faciem petit: quapropter et erubescunt. Aures vero omnium faciei partium minimam habent profunditatem, naturaque calidissimæ sunt et coloratæ (fuissent), nisi longe frigoris ergo distarent: ideo et hæc particula omnium faciei particularum coloris est optimi, ita ut quum dispersus fuerit calor, quum maxime superficiem tenet in iis, ruborem excitat.

2. Cur urinantibus aures, dum intra mare sunt, rumpuntur? Utrum retento spiritu repletæ auri vis infertur? An si hoc causa fuisset, idem vel in aere fieri deberet? An quia quod non cedit, disrumpitur ocius, idque a re duriori quam a molli facilius? Quod itaque inflatum est, minus cedit; aures vero, ut dictum jam est, spiritu retento inflantur, ita ut aqua, quæ aere durior est, incidens dilaceret.

3. Cur urinantes spongias adligant auribus? An ne mare per vim obcurrens aures rumpat? haud enim ita implentur, ut exemptis spongiis.

4. Cur sordes aurium amaræ? An quia putridus sudor sunt? Sunt igitur salsedo putrida; salsedo autem putrida amara est.

5 Cur spongiarii suas dissecant aures et nares? An ut spiritui magis pervii sint? hac enim exire videtur spiritus. Dissecant autem hunc locum et ut facilior fiat respiratio, laborare quippe per difficultatem spirandi eo se dicunt magis quod foras emittere halitum non possunt; levantur vero hoc quasi evomito. Mirum igitur si inspirationem quæ refrigerationis gratia fit, adsequi nequeant; sed hoc magis necessarium esse videtur. An merito plus in retinendo laboris est, quum extumescant distendanturque? videtur enim spiritus aliquatenus et sponte foras ferri; an vero et introrsum, considerandum est. Videtur tamen: eodem enim modo lebete demisso respirationem urinatoribus conciliant: haud enim aqua lebes impletur, sed aera servat: per vim enim demittitur: unaquæque enim res ad perpendiculum posita simulac inclinatur, influit aqua.

6. Cur nonnulli, ubi scalpunt aures, tussiunt? An quia auditus eidem foramini cum pulmone et aspera arteria impositus est? Indicium autem est, quod mutilantur et obmutescunt. Dum itaque meatus perfricando incalescit, humoris aliquid ex eo deorsum in arteriam colliquatur: id quod tussim movet.

7. Cur sinistra auris ocius magna ex parte, ubi perforata est, coalescit? quocirca et mulieres alteram quidem aurem marem vocant, alteram vero feminam. An quia partes sinistræ humidiores calidioresque sunt? quæ enim hujusmodi sunt, coalescunt facillime: unde in plantis etiam viridibus fit coalescentia, et ulcera juniorum magis coalescunt quam seniorum. Probant autem hæc, partes sinistras humidiores esse, atque in universum magis effeminatas.

τοιαῦτα μάλιστα; διὸ καὶ ἐν φυτοῖς τοῖς χλωροῖς ἡ σύμφυσις, καὶ τὰ τῶν νέων δὲ ἕλκη μᾶλλον συμφύεται ἢ τὰ τῶν πρεσβυτέρων. Σημεῖον δὲ ὅτι ὑγρὰ μᾶλλον καὶ ὅλως θηλυκώτερα τὰ ἀριστερά.

8. Διὰ τί τοῖς μὲν αἰσχυνομένοις ἄκρα τὰ ὦτα ἐπιφοινίσσεται, τοῖς δ' ὀργιζομένοις οἱ ὀφθαλμοί; Ἢ ὅτι ἡ μὲν αἰδὼς ἐν ὀφθαλμοῖς κατάψυξίς τις μετὰ φόβου, ὥστ' εἰκότως ἀπολείπει τὸ θερμὸν τοὺς ὀφθαλμούς, χωριζόμενον δ' εἰς τὸν δεκτικώτατον φέρεται τόπον· τοιοῦτος δ' ὁ ἐν τοῖς ἄκροις τῶν ὤτων· (ὁ γὰρ ἄλλος ὀστώδης)· ὀργιζομένοις δ' ἐπανέρχεται τὸ θερμόν, μάλιστα δὲ γίνεται φανερὸν ἐν τοῖς ὀφθαλμοῖς διὰ τὴν χρόαν οὖσαν λευκήν;

9. Διὰ τί ὁ ἦχος ὁ ἐν τοῖς ὠσίν, ἐάν τις ψοφήσῃ, παύεται; Ἢ ὅτι ὁ μείζων ψόφος τὸν ἐλάττω ἐκκρούεται;

10. Διὰ τί, ἐὰν εἰς τὸ οὖς ὕδωρ ἐγχυθῇ, ἔλαιον προσεγχέονται, οὐ δυναμένου τοῦ ἐνόντος ὑγροῦ ἐξελθεῖν δι' ἄλλου ὑγροῦ; Πότερον διὰ τὸ ἐπιπολῆς γίνεσθαι τὸ ἔλαιον τοῦ ὕδατος, καὶ διὰ γλισχρότητα αὐτοῦ ἔχεσθαι τὸ ὕδωρ ἐξιόντος τοῦ ἐλαίου, ἵνα συνεξίῃ τὸ ὕδωρ; Ἢ ἵνα ὀλισθηροῦ τοῦ ὠτὸς γενομένου ἐξέλθῃ τὸ ὕδωρ; τὸ γὰρ ἔλαιον λεῖον ὂν ποιεῖ ὀλισθαίνειν.

11. Διὰ τί ἧττον ὦτα ῥήγνυται τοῖς κολυμβῶσιν, ἐὰν προεγχέωσιν εἰς τὰ ὦτα ἔλαιον; Ἢ τοῦ μὲν ῥήγνυσθαι τὰ ὦτα εἴρηται πρότερον ἡ αἰτία, τὸ δ' ἔλαιον ἐγχυθὲν εἰς τὰ ὦτα τὴν ὕστερον θάλατταν ἀπολισθαίνειν ποιεῖ, καθάπερ ἐπὶ τῶν ἔξω τοῦ σώματος συμβαίνει τοῖς ἀληλιμμένοις, ὀλισθαίνουσα δὲ πληγὴν οὐ ποιεῖ εἰς τὸ ἐντὸς τοῦ ὠτός; διόπερ οὐ ῥήγνυσιν.

12. Διὰ τί τῶν ὤτων ἀναίμων ὄντων μάλιστα οἱ αἰσχυνόμενοι ἐρυθριῶσιν; Ἢ ἕκαστον εἰς τὸ κενὸν ἑκάστου μάλιστα φέρεται; Δοκεῖ δὴ τοῦ αἰσχυνομένου ἄνω θερμὸν φέρεσθαι τὸ αἷμα. Εἰς οὖν τὸ κενώτατον ἐρυθριᾶν ποιεῖ. Τὸ δ' αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν γνάθων. Ἔτι δὲ καὶ ὅτι λεπτότατον τὸ δέρμα τὸ περιτεταμένον· μάλιστα δὴ φαίνεται δι' αὐτά.

13. Διὰ τί οὐδεὶς χασμώμενος τὸ οὖς σκαλεύει; Ἢ ὅτι ὅτε χασμᾶται, ἐμφυσᾶται καὶ ἡ μῆνιγξ, δι' ἧς ἀκούει; Σημεῖον δέ· ἥκιστα γὰρ ἀκούουσι χασμώμενοι· τὸ γὰρ πνεῦμα, ὥσπερ καὶ κατὰ τὸ στόμα, καὶ εἰς τὰ ὦτα ἐντὸς πορευόμενον, ἐξωθεῖται τὸν ὑμένα καὶ κωλύει τὸν ψόφον εἰσιέναι. Ἐὰν οὖν οὕτως ἔχοντος ἅψηται τῆς ἀκοῆς ὡς σκαλεύειν, μάλιστ' ἂν βλάψειεν· πρὸς ἀντιπῖπτον γὰρ ἡ πληγὴ γίνεται, καὶ οὐ πρὸς ὑπεῖκον τὸ τοῦ πνεύματος. Τὸ δὲ δέρμα καὶ τὴν μήνιγγα ἀφεστάναι τῶν στερεῶν δῆλον, ὥστε πόνον μάλιστα οὕτω ποιεῖ, καὶ τραυματίζοι ἄν.

8. Quam ob causam pudefactis quidem aures summæ rubescunt, iratis vero oculi? An quia pudor quidem in oculis refrigeratio quædam cum timore est, ita ut calor jure oculos deserat; sese sejungens enim locum sui capacissimum petit, qualis summarum aurium regio est (reliqua namque aurium regio ossibus scatet); apud irascentes contra calor superiora repetit, sed maxime manifestus fit in oculis propter album eorum colorem?

9. Cur aurium sonitus adcito strepitu cessat? An quia minorem strepitum amplior expellit?

10. Cur, si aqua in aurem infusa fuerit, oleum superinfundunt, etiamsi humor qui jam inest, alius humoris vi exire non possit? Utrum ut, quoniam oleum superficiei aquæ innatat, eique aqua præ lentore adhæret, exeunte oleo aqua simul exeat? An ut lubrica facta aure aqua exeat? oleum enim, utpote læve, lapsui ansam dat.

11. Cur minus aures urinantibus rumpuntur, si oleum antea infundant? An ratio quidem cur rumpantur aures, ante exposita est; oleum vero in aures infusum facit ut mare postea superveniens delabatur, quomodo in partibus corporis exterioribus apud unguento delibutos fit; labens autem ictum parti interiori auris non infligit? quapropter non disrumpit.

12. Quam ob causam aures, quum exsangues sint, pudore erubescunt maxime? An res quæque in uniuscujusque spatium inane maxime fertur? Videtur itaque apud pudibundum sanguis calidus sursum ferri. In inanissimo igitur loco ruborem excitat: quod idem in genis usu venit. Adde quod tenuissima est cutis, quæ auri circumtenditur: maxime igitur per eas translucet.

13. Cur nemo oscitans aurem scalpit? An quia membrana, per quam audit, etiam inflatur, ubi oscitat? Indicium autem est quod minime audiunt oscitantes: spiritus enim ut in os, ita etiam in aures introrsum devectus membranam expellit, ac prohibet quominus sonus ingrediatur. Quodsi igitur hac rerum conditione auditum scalpendo tangat quis, maximam noxam inferet: ictus enim renitenti infligitur, non vero cedenti, spiritui nimirum. Cutem autem et membranam a solidis partibus discessisse certum est, ita ut dolorem sic maxime pariat, atque vel vulnus infligere possit.

ΤΜΗΜΑ ΑΓ.

ΟΣΑ ΠΕΡΙ ΜΥΚΤΗΡΑ.

1. Διὰ τί ὁ πταρμὸς λυγμὸν μὲν παύει, ἐρυγμὸν δ' οὐ παύει; Ἢ διότι οὐ τοῦ αὐτοῦ τόπου τὸ πάθος ἑκάτερον, ἀλλ' ὁ μὲν ἐρυγμὸς κοιλίας, ὁ δὲ λυγμὸς τοῦ περὶ τὸν πνεύμονα κατάψυξις καὶ ἀπεψία πνεύματος καὶ ὑγροῦ; κοινωνοῦσι δ' οἱ περὶ τὸν ἐγκέφαλον τόποι τῷ πνεύμονι, οἷον τοῖς ὠσίν. Φανερὸν δέ· ἅμα γὰρ ἐνεοὶ καὶ κωφοὶ γίνονται, καὶ αἱ νόσοι ἀντιπεριίστανται αἱ τοῦ ὠτὸς εἰς τὰ τοῦ πνεύμονος πάθη· ἐνίοις δὲ σκαλεύουσι τὸ οὖς βῆχες ἐγγίνονται. Τὸ δὲ περὶ τὸν πταρνύμενον τόπον εἶναι τῆς ῥινὸς κοινωνίαν τῷ πνεύμονι δηλοῖ ἡ ἀναπνοὴ κοινὴ οὖσα, ὥστε πτάρνυται μὲν θερμαινομένου αὐτοῦ, τῷ δὲ συμπάσχειν ὁ κάτω τόπος, ἐν ᾧ ἐστιν ὁ λυγμός. Ἡ δὲ θερμασία πέττει· διὸ ὄξος τε παύει λυγμὸν καὶ ἀπνευστία, ἐὰν ἠρεμαία ᾖ ἡ λύγξ· ἐκθερμαίνει γὰρ τὸ πνεῦμα κατεχόμενον· ὥστε καὶ ἐν τῷ πταρμῷ ἡ ἀντικατάσχεσις γενομένη τοῦ πνεύματος τοῦτο ποιεῖ, καὶ οἰκείως ἡ ἔκπνευσις γίνεται καὶ ἐκ τοῦ ἄνω τόπου· ἀδύνατον γὰρ πτάρειν μὴ ἐκπνέοντα. Ἡ οὖν ὁρμὴ ῥήγνυσι τὸ ἐγκατειλημμένον πνεῦμα, ὃ ποιεῖ τὸν λυγμόν.

2. Διὰ τί, ἐάν τις μέλλων πτάρνυσθαι τρίψῃ τὸν ὀφθαλμόν, ἧττον πτάρνυται; Ἢ διότι τὸ ποιοῦν τὸν πταρμὸν θερμότης τίς ἐστιν, ἡ δὲ τρῖψις θερμότητα ποιεῖ, ἢ διὰ τὸ πλησίον εἶναι τῶν ὀφθαλμῶν τὸν τόπον ᾧ πτάρνυται, ἀφανίζει τὴν ἑτέραν, ὥσπερ τὸ ἔλαττον πῦρ ὑπὸ τοῦ πλείονος μαραινόμενον;

3. Διὰ τί δὶς πτάρνυται ὡς ἐπὶ τὸ πολύ, καὶ οὐχ ἅπαξ, ἢ πλεονάκις; Ἢ διότι δύο εἰσὶ μυκτῆρες; Καθ' ἕτερον οὖν διέσχισται τὸ φλέβιον, δι' οὗ πνεῦμα ῥεῖ.

4. Διὰ τί πρὸς τὸν ἥλιον βλέψαντες πτάρνυνται μᾶλλον; Ἢ διότι κινεῖ θερμαίνων; Καθάπερ οὖν πτεροῖς θιγγάνοντες· ἀμφότεροι γὰρ τὸ αὐτὸ ποιοῦσιν· τῇ γὰρ κινήσει θερμαίνοντες ἐκ τοῦ ὑγροῦ θᾶττον πνεῦμα ποιοῦσιν, τούτου δ' ἡ ἔξοδος πταρμός.

5. Διὰ τί λύγγα παύει πταρμὸς καὶ πνεύματος ἐπίσχεσις καὶ ὄξος; Ἢ ὅτι ὁ μὲν πταρμός, διότι ἀντιπερίστασίς ἐστι τοῦ κάτω πνεύματος, ὥσπερ αἱ ἄνω φαρμακεῖαι πρὸς τὴν κάτω κοιλίαν; Ἡ δ' ἀπνευστία τὰς ἀσθενεῖς λύγγας, ὅτι ἡ μικρὰ ὁρμὴ τοῦ πνεύματος ἡ ἀνιοῦσα, ὥσπερ περὶ τὴν βῆχα, ἐάν τις κατάσχῃ, παύεται, οὕτω καὶ ἐνταῦθα καὶ κατέσπασε καὶ κατέπνιξε καὶ συναπεβιάσατο. Τὸ δ' ὄξος παύει, ὅτι τὸ περιεστὸς ὑγρὸν καὶ κωλῦον ἀπερυγεῖν ἐπνευμάτωσε τῇ θερμασίᾳ· ἔστι γὰρ ἐρυγμὸς μέν, ὅταν πνευματωθῇ τὸ ἐν τῇ ἄνω κοιλίᾳ ὑγρὸν καὶ πεφθῇ, ἡ δὲ λύγξ, ὅταν ὑφ' ὑγροῦ κατέχηται πνεῦμα περιττὸν περὶ τὸν πνευ-

SECTIO XXXIII.

QUÆ AD NARES PERTINENT.

1. Cur sternutamentum singultum quidem sedat, ructum vero non sedat? An quia non partis ejusdem utraque adfectio est, sed ructus quidem ventriculi, singultus vero refrigeratio loci circa pulmonem cruditasque spiritus atque humoris est? regionibus enim cerebro vicinis cum pulmone communio est, exempli gratia cum auribus. Constat autem: simul enim et surdi et muti fiunt, et morbi aurium in pulmonis adfectus transeunt, nonnullisque tusses superveniunt scalpentibus aurem. Inter locum autem narium sternutando dicatum et pulmonem communionem intercedere respiratio docet, quæ communis utrique est, ita ut hoc calfacto sternuamus; adfectum autem hunc participans calefit etiam inferior, qui singultus est sedes. Calor vero concoquit: quamobrem acetum etiam retentioque spiritus finem imponunt, si singultus levis sit: spiritus enim retentus percalfacit, ita ut etiam inter sternutandum spiritus retentio in loco opposito idem efficiat, et convenienter quoque exspiratio fit, idque superiori de loco, quippe quum fieri nequeat ut quis sternutet, nisi exspiret. Impetus itaque spiritum interclusum dispellit, qui singultum ciet.

2. Cur si quis sternutaturus oculum perfricaverit, minus sternutat? An propterea quod sternutamentum a quodam excitatur calore, fricatio autem calorem ciet: qui calor, quoniam locus quo sternutamus, oculis propinquus est, alterum calorem tollit, quemadmodum minor ignis ab ampliori emarcescit?

3. Cur bis sternuere magna ex parte solemus, non vero semel, aut sæpius? An quia duæ adsunt nares? Per utramque itaque narem venula diffissa est, per quam spiritus manat.

4. Quam ob causam, quum solem adspexerint, sternutant frequentius? An quia sol calfaciens movet? Perinde igitur fit atque iis qui nares penna sollicitant: idem enim utrique faciunt, quippe qui per motum calfacientes ocius spiritum ex humore faciunt; hujus autem exitus sternutatio est.

5. Cur singultus sternutamento finitur et retentione spiritus et aceto? An quia sternutamentum quidem, quum spiritus inferioris translatio sit, agit quemadmodum medicina sursum purgans in ventrem inferiorem? Respirationis vero cessatio leves tollit singultus, eo quod exiguus spirandi impetus superiora petens, eodem modo quo tussis, si quis retineat, desistit, sic etiam hic detrahit et strangulat ac secum deorsum cogit. Acetum tandem idcirco sedat, quia humorem circumstantem ac prohibentem eructationem in spiritum calore suo convertit: fit enim ructus quidem, ubi superioris ventris humor in spiritum conversus atque concoctus fuerit; singultus vero, ubi spiritus superfluus ab humore circa locum spiritui

ματικὸν τοπον· τοῦτο γὰρ ὁρμῶν καὶ μὴ δυνάμενον διακόψαι σπασμὸν ποιεῖ, ὁ δὲ σπασμὸς οὗτος καλεῖται λύγξ, καὶ διὰ τοῦτο ῥιγώσαντας λὺγξ λαμβάνει, ὅτι τὸ ψῦχος τὸ ὑγρὸν ποιεῖ συνιστὰν ἐκ τοῦ πνεύματος ἔτι· περιλαμβανόμενον δὲ τὸ ἄλλο πηδᾷ, οὗ ἡ κίνησις λυγμός ἐστιν.

6. Διὰ τί ἐνίοις ὕδωρ ψυχρὸν προσχέομεν [καὶ] πρὸς τὸ πρόσωπον, ἡνίκα αἷμα ῥεῖ ἐκ τῶν μυκτήρων; Ἢ ἀντιπεριίσταται εἴσω τὸ θερμόν; Ἂν οὖν ἐπιπολῆς τύχῃ αἷμα, ἐξυγραίνει μᾶλλον.

7. Διὰ τί τὸν μὲν πταρμὸν θεὸν ἡγούμεθα εἶναι, τὴν δὲ βῆχα, ἢ τὴν κόρυζαν οὔ; Ἢ διότι ἐκ τοῦ θειοτάτου τῶν περὶ ἡμᾶς, τῆς κεφαλῆς, ὅθεν ὁ λογισμός ἐστι, γίνεται; Ἢ ὅτι τὰ μὲν ἄλλα ἀπὸ νοσούντων γίνεται, τοῦτο δ' οὔ;

8. Διὰ τί τρίψαντες τὸν ὀφθαλμὸν παυόμεθα τῶν πταρμῶν; Ἢ ὅτι ἀνάπνοια ταύτῃ γίνεται τῷ ὑγρῷ; δακρύει γὰρ ὁ ὀφθαλμὸς μετὰ τρῖψιν, ὁ δὲ πταρμὸς διὰ πλῆθος ὑγρότητος. Ἢ ὅτι τὸ ἔλαττον θερμὸν φθείρεται ὑπὸ τοῦ πλείονος, ὁ δ' ὀφθαλμὸς τριφθεὶς πλείω λαμβάνει θερμότητα τῆς ἐν τῇ ῥινί; Διὰ ταῦτα δὲ ἐάν τις αὐτὴν τὴν ῥῖνα τρίψῃ, παύεται ὁ πταρμός.

9. Διὰ τί τῶν μὲν ἄλλων πνευμάτων αἱ ἔξοδοι, οἷον φύσης καὶ ἐρυγμοῦ, οὐχ ἱεραί, ἡ δὲ τοῦ πταρμοῦ ἱερά; Πότερον ὅτι τριῶν τόπων ὄντων, κεφαλῆς καὶ θώρακος καὶ τῆς κάτω κοιλίας, ἡ κεφαλὴ θειότατον, ἔστι δὲ φῦσα μὲν ἀπὸ τῆς κάτω κοιλίας πνεῦμα, ἐρυγμὸς δὲ τῆς ἄνω, ὁ δὲ πταρμὸς τῆς κεφαλῆς; Διὰ τὸ ἱερώτατον οὖν εἶναι τὸν τόπον καὶ τὸ πνεῦμα τὸ ἐντεῦθεν ὡς ἱερὸν προσκυνοῦσιν. Ἢ ὅτι ἅπαντα τὰ πνεύματα σημαίνει τοὺς εἰρημένους τόπους βέλτιον ἔχειν ὡς ἐπὶ τὸ πολύ· μὴ διαχωρούντων γὰρ κουφίζει τὸ πνεῦμα διεξιόν· ὥστε καὶ ὁ πταρμὸς τὸν περὶ τὴν κεφαλὴν τόπον, ὅτι ὑγιαίνει καὶ δύναται πέττειν; ὅταν γὰρ κρατήσῃ ἡ ἐν τῇ κεφαλῇ θερμότης τὴν ὑγρότητα, τὸ πνεῦμα τότε γίνεται πταρμός· διὸ καὶ τοὺς ἐκθνήσκοντας κινοῦσι πταρμικῷ, ὡς ἐὰν μὴ τούτῳ δύνωνται πάσχειν, ἀσώτους ὄντας· ὥσθ' ὡς σημεῖον ὑγείας τοῦ ἀρίστου καὶ ἱερωτάτου τόπου προσκυνοῦσιν ὡς ἱερόν, καὶ φήμην ἀγαθὴν ποιοῦνται.

10. Διὰ τί ἄνθρωπος πτάρνυται μάλιστα τῶν ἄλλων ζῴων; Πότερον ὅτι τοὺς πόρους εὐρεῖς ἔχει, δι' ὧν τὸ πνεῦμα καὶ ἡ ῥύμη εἰσέρχεται; τούτοις γὰρ πληρουμένοις πνεύματος πτάρνυται. Ὅτι δ' εὐρεῖς, σημεῖον ὅτι ἥκιστα ὀσφραντικὸν τῶν ζῴων· ἀκριβέστεροι δ' οἱ λεπτοὶ πόροι. Εἰ οὖν εἰς μὲν τοὺς εὐρεῖς πλεῖον καὶ πλεονάκις εἰσέρχεται τὸ ὑγρόν, οὗ πνευματουμένου ὁ πταρμὸς γίνεται, τοιούτους δὲ μάλιστα τῶν ζῴων οἱ ἄνθρωποι ἔχουσι, πλειστάκις ἂν πτάρνυντο εἰκότως, ὅσοις ἐλάχιστοι οἱ μυκτῆρες, ὥστε τὸ θερμανθὲν ὑγρὸν

deputatum retinetur: hic enim irruens, nec disscindere valens, convulsionem adfert, quæ convulsio adpellatur singultus; inde etiam fit ut singultus post rigorem oriatur, quia frigus ex eo quod adhuc spiritus erat, cogendo humorem facit; reliquus vero spiritus interclusus exsilit: cujus commotio singultus est.

6. Cur aquam nonnullis frigidam in faciem infundimus, ubi e naribus sanguis effluit? An calor intus circumobsistitur? Quodsi igitur in superficie adfuerit sanguis, eum reddit liquidiorem.

7. Cur sternutamentum quidem pro numine habemus, non vero tussem, neque gravedinem? An quia de capite membrorum præcipue nostrorum divino, unde cogitatio est, fit? An quia ceteri quidem adfectus ab ægrotis proveniunt, hic vero non?

8. Cur oculo perfricato sternutare desistimus? An quia humor hac respirat? lacrymam enim oculus post frictionem emittit; sternutamentum autem humoris copia excitatur. An quia minor calor deletur ab ampliori, oculus autem perfricatus plus caloris sibi adsciscit quam qui in naso aderat? Hinc etiam fit ut, si nasum quis perfricet ipsum, sternutamentum desistat.

9. Cur ceteri quidem spirituum exitus, ut flatus ventris, ut ructus, sacri non sunt, sternutamentum vero sacrum est? Utrum quoniam, quum tres sint loci, caput, pectus et venter inferior, caput maxime divinus est, estque flatus quidem spiritus ab inferiori ventre qui provenit, ructus vero qui a superiori, sternutamentum tandem qui e capite? Quia igitur locus sacerrimus est, spiritum quoque hinc exeuntem ut sacrum venerantur. An quia spiritus omnes partes quas modo dixi, plerumque melius sese habere significant? ubi enim alvus constipata est, flatus levat, ita ut sternutamentum quoque capitis locum bene valere posseque concoquere indicio sit? ubi enim capitis calor humorem vicerit, tunc spiritus in sternutamentum convertitur: quamobrem etiam qui animo linquuntur, sternutatorio excitant, tamquam si, ubi hoc adfici nequeunt, spes nulla salutis sit. Perinde igitur quasi bonæ indicium valetudinis partis optimæ atque sacerrimæ sternutamentum, tamquam sacrum, venerantur atque pro bono habent omine.

10. Cur homo reliquorum maxime animantium sternutat? Utrum quia meatus obtinet latos, per quos spiritus ac impetus intrant? his enim spiritu impletis sternuit. Amplos autem esse eo probatur, quod omnium minime animantium homo olfactu valet, meatus quippe angusti exquisitiores sunt. Quodsi igitur amplos quidem meatus plus humoris ac sæpius subeat, quo in spiritum converso sternutamentum fit, talesque homines maxime animantium habent, merito sæpissime sternutabunt, quibus nares brevissimæ, ita ut

ταχὺ ἐξιέναι δύναται πνεῦμα γενόμενον, ἐν δὲ τοῖς ἄλλοις διὰ μῆκος καταψύχεται πρότερον.

11. Διὰ τί οἱ μὲν ἀπὸ μέσων νυκτῶν ἄχρι μέσης ἡμέρας οὐκ ἀγαθοὶ πταρμοί, οἱ δ' ἀπὸ μέσης ἡμέρας ἄχρι μέσων νυκτῶν; Ἢ ὅτι ὁ μὲν πταρμὸς μᾶλλον δοκεῖ ἐπισχεῖν τοὺς ἀρχομένους καὶ ἐν τῇ ἀρχῇ; διὸ ὅταν μέλλωσιν ἀρχομένοις συμβῆναι, μάλιστα ἀποτρεπόμεθα τοῦ πράττειν. Ἡ μὲν οὖν ἠὼς καὶ τὸ ἀπὸ μέσων νυκτῶν οἷον ἀρχή τις· διὸ εὐλαβούμεθα πτάρειν, μὴ κωλύσωμεν ὡρμημένον· πρὸς δείλης δὲ καὶ ἐπὶ μέσας νύκτας οἷον τελευτή τις καὶ ἐναντίον ἐκείνῳ, ὥστ' ἐν τῷ ἐναντίῳ ταὐτὸν αἱρετέον.

12. Διὰ τί οἱ πρεσβῦται χαλεπῶς πτάρνυνται; Πότερον οἱ πόροι συμπεπτώκασι δι' ὧν τὸ πνεῦμα; Ἢ ὅτι αἴρειν τὰ ἄνω οὐκέτι δυνάμενοι ῥᾳδίως, εἶτα βίᾳ ἀφιᾶσι κάτω;

13. Διὰ τί, ἐάν τις ἀπνευστιάζῃ, ἡ λὺγξ παύεται; Ἢ διότι ἡ μὲν ὑπὸ καταψύξεως γίνεται (διὸ καὶ οἱ φοβούμενοι καὶ οἱ ῥιγοῦντες λύζουσιν), κατεχόμενον δὲ τὸ πνεῦμα ἐκθερμαίνει τὸν ἐντὸς τόπον;

14. Διὰ τί οἱ κωφοὶ ἐκ τῶν μυκτήρων διαλέγονται ὡς ἐπὶ τὸ πολύ; Ἢ ὅτι ὁ πνεύμων ἐστὶ τούτοις πεπονηκώς; τοῦτο γάρ ἐστιν ἡ κωφότης, πλήρωσις τοῦ τόπου τοῦ πνευμονικοῦ. Οὔκουν ῥᾳδίως ἡ φωνὴ φέρεται, ἀλλ' ὥσπερ τὸ πνεῦμα τῶν πνευστιώντων, ἢ ἀσθμαινόντων δι' ἀδυναμίαν ἀθρόον, οὕτως ἐκείνοις ἡ φωνή. Βιάζεται οὖν καὶ διὰ τῶν μυκτήρων· βιαζομένη δὲ τῇ τρίψει ποιεῖ τὸν ἦχον· ἔστι γὰρ ἡ διὰ τῶν ῥινῶν διάλεκτος γινομένη, ὅταν τὸ ἄνω τῆς ῥινὸς εἰς τὸν οὐρανόν, ᾗ συντέτρηται, κοῖλον γένηται· ὥσπερ κώδων γὰρ ὑπηχεῖ, τοῦ κάτωθεν στενοῦ ὄντος.

15. Διὰ τί μόνον ὁ πταρμὸς ἡμῖν καθεύδουσιν οὐ γίνεται, ἀλλ' ὡς εἰπεῖν, ἅπαντα ἐγρηγορόσιν; Ἢ ὅτι ὁ μὲν πταρμὸς γίνεται καὶ ὑπὸ θερμοῦ τινος κινήσαντος τὸν τόπον τοῦτον ἀφ' οὗ γίνεται; διὸ καὶ ἀνακύπτομεν πρὸς τὸν ἥλιον, ὅταν βουλώμεθα πτάρειν. Ὅτι καθευδόντων ἡμῶν ἀντιπεριίσταται τὸ θερμὸν ἐντός· διὸ καὶ γίνεται τὰ κάτω θερμὰ τῶν καθευδόντων, καὶ τὸ πνεῦμα τὸ πολὺ αἴτιόν ἐστι τοῦ ἐξονειρώττειν ἡμᾶς. Εἰκότως οὖν οὐ πταρνύμεθα· ἀπαλλαγέντος γὰρ τοῦ θερμοῦ τοῦ ἐκ τῆς κεφαλῆς, ὃ κινεῖν πέφυκε τὸ ἐνταῦθα ὑγρόν, οὗ ἐξαερουμένου γίνεται ὁ πταρμός, καὶ τὸ συμβαῖνον πάθος εἰκὸς μὴ γίνεσθαι. Ἀποψοφοῦσι δὲ μᾶλλον ἢ πτάρνυνται, καὶ ἐρεύγονται καθεύδοντες ἢ ἐγρηγορότες, ὅτι ἐκθερμαινομένου τοῦ περὶ τὴν κοιλίαν τόπου ἐν τοῖς ὕπνοις μᾶλλον ἐκπνευματοῦσθαι συμβαίνει τὰ περὶ αὐτὴν ὑγρά, πνευματούμενα δ' εἰς τοὺς ἔγγιστα τόπους φέρεσθαι· ἐνταῦθα γὰρ καὶ συναπωθεῖται ὑπὸ τοῦ ἐν τῷ ὕπνῳ γινομένου πνεύματος· καθεκτικώτερος γάρ ἐστιν ἢ προετικώτερος ὁ καθεύδων τοῦ πνεύματος· διὸ καὶ συστέλλει τὸ θερμὸν ἐντός· ὁ δὲ κατέχων τὸ πνεῦμα

humor concalfactus celerius exire conversus in spiritum possit; in ceteris vero præ longitudine narium antea refrigeretur.

11. Cur sternutamenta, quæ de media quidem nocte ad meridiem usque fiunt, infausta sunt, quæ vero de meridie ad noctem mediam, fausta? An quia eos quidem sternutamentum potius inhibere videtur qui inchoant atque in principio sunt? quapropter quando inchoantibus nobis adcidere debent, ab agendo inprimis amovemur. Aurora itaque et tempus a media inde nocte quasi initium quoddam sunt : quapropter sternutare veremur, ne inceptum inhibeamus; tempus vero post meridiem atque ad mediam usque noctem veluti finis quidam est, temporique illi contrarium, ita ut in contraria rerum conditione idem optandum sit.

12. Cur senes laboriose sternutant? Utrum apud eos meatus quos spiritus permeat, conciderunt? An quia senes partes superiores non amplius facile elevare possunt, ac deinceps per vim deorsum emittunt?

13. Cur si spiritum quis retineat, singultus desistit? An quia hic quidem a refrigeratione fit (quamobrem et qui timent, et qui rigent, singultiunt); spiritus vero retentus locum percalfacit internum?

14. Cur surdi e naribus magna ex parte loquuntur? An quia pulmo eorum laborat? surditas enim id ipsum est, repletio nimirum regionis pulmonariæ. Vox itaque expedita non fertur, sed quemadmodum spiritus anhelantium, vel ægre respirantium propter imbecillitatem confertim emittitur, sic apud illos vox. Vi itaque et nares permeare cogitur; coacta autem per adtritum sonum efficit : sermo enim per nares emittitur, ubi pars naris superior, qua in palatum pervia est, excavata fuerit : resonat namque tintinnabuli instar, quia pars inferior angusta est.

15. Cur sternutamentum solum nobis dormientibus non fit, sed, prope dixerim, omnia, dum vigilamus? An quia sternutamentum quidem etiam a calore fit quodam, qui partem eam commovit qua efficitur? hinc et faciem soli objicimus, ubi sternuere volumus. [An] quia dormientibus nobis calor intus circumobsistitur? quamobrem et dormientium partes inferiores incalescunt, spiritusque copia causa est cur genituram sponte emittamus. Merito igitur non sternutamus : ubi enim calor e capite discessit, qui ejus loci humorem suapte natura movet, quo in aera converso sternutamentum obtinet, adfectionem quoque inde provenientem non obvenire rationi consentaneum est. Dormientes autem magis quam vigilantes pedunt ac eructant potius quam sternutant, quia, quum ventris regio in somnis calefit, adcidit ut humores circa eum magis in aerem convertantur, atque in aerem conversi loca proxima adeant. eo namque simul et a spiritu qui per somnum gignitur, compelluntur : spiritum enim potius retinere quam emittere solet qui dormit : quapropter et intus calorem contrahit; at qui spiritum retinet, eum ipsum deorsum pellit :

ὠθεῖ κάτω αὐτό· παρὰ φύσιν γάρ ἐστι τῷ πνεύματι ἡ κάτω φορά· διὸ καὶ χαλεπόν ἐστι κατέχειν τὸ πνεῦμα. Τὸ δ' αὐτὸ αἴτιον καὶ τοῦ καθεύδειν ἡμῖν ἐστιν· οὔσης γὰρ τῆς ἐγρηγόρσεως κινήσεως, ταύτης δ' ἐν τοῖς αἰσθητηρίοις ἡμῶν γινομένης μάλιστα ἐν τῷ ἐγρηγορέναι ἡμᾶς, δῆλον ὡς καὶ ἠρεμούντων ἡμῶν καθεύδοιμεν ἄν· ἐπεὶ δὲ τὸ μὲν πῦρ κινητικόν ἐστι τῶν ἐν ἡμῖν μορίων, τοῦτο δ' ἐν τῷ ὕπνῳ ἐντὸς περιίσταται, λιπὸν τὸν περὶ τὴν κεφαλὴν τόπον οὗ ἐστι τὸ αἰσθητήριον, ἠρεμοίη ἂν μάλιστα ἡμῶν τότε τὰ αἰσθητήρια· ὃ εἴη ἂν αἴτιον τοῦ καθεύδειν.

16. Διὰ τί πτάραντες καὶ οὐρήσαντες φρίττουσιν; Ἢ ὅτι κενοῦνται αἱ φλέβες ἀμφοτέροις τούτοις τοῦ πρότερον ἐνυπάρχοντος ἀέρος θερμοῦ, κενωθέντων δὲ ἄλλος ἀὴρ ἔξωθεν εἰσέρχεται ψυχρότερος τοῦ προϋπάρχοντος ἐν ταῖς φλεψίν, τοιοῦτος δ' εἰσιὼν ποιεῖ φρίττειν;

17. Διὰ τί τοὺς λυγμοὺς οἱ πταρμοὶ παύουσιν; Ἢ ὅτι ὁ λυγμὸς οὐχ ὥσπερ οἱ ἐρυγμοὶ ἀπὸ τῆς τὰ σιτία δεχομένης κοιλίας ἐστίν, ἀλλ' ἀπὸ τοῦ πνεύματος; συμβαίνει δὲ μάλιστα ἀπὸ καταψύξεως ἐκ ῥίγους καὶ λύπης καὶ φαρμακείας τῆς ἄνω μάλιστα γίνεσθαι· θερμὸς γὰρ ὢν φύσει ὁ τόπος, ὅταν καταψυχθῇ, οὐ προσίεται τὸ πνεῦμα πᾶν, ἀλλ' ὥσπερ πομφόλυγας ποιεῖ· διὸ καὶ τὸ πνεῦμα κατασχοῦσι παύεται (ἐκθερμαίνεται γὰρ ὁ τόπος), καὶ τὸ ὄξος, θερμαντικὸν ὄν, προσφερόμενον. Τοῦ δὴ θερμοῦ συμβαίνοντος ἀπὸ θερμασίας καὶ τοῦ ἐγκεφάλου, τῶν ἄνω τόπων εἰς τὸν πνεύμονα συντετρημένων, θερμοῦ τοῦ πνεύμονος ὄντος, ἥ τε πρὸ τοῦ πταρμοῦ κατοχὴ καὶ ἡ ἄνωθεν κατάκρουσις λύει τὸ πάθος.

18. Διὰ τί οἱ οὐλότριχες, καὶ οἷς ἐπέστραπται τὸ τρίχιον, ὡς ἐπὶ τὸ πολὺ σιμότεροι; Ἢ εἴπερ ἡ οὐλότης ἐν παχύτητι, ἡ δὲ παχύτης μετὰ σκληρότητος, σκληρὸν δ' ὂν τὸ αἷμα θερμόν, ἡ δὲ θερμότης οὐ ποιεῖ περίττωσιν, τὸ δ' ὀστοῦν ἐκ περιττώματος, ὁ δὲ χόνδρος ὀστοῦν, εὐλόγως ἂν ἔκλειψις εἴη τοῦ μορίου· Σημεῖον δὲ τὸ τὰ παιδία πάντα εἶναι σιμά.

praeter naturam enim spiritus inferiora petit : unde fit etiam ut difficile sit spiritum retinere. Quin etiam cur dormiamus, hæc eadem causa est : quum enim vigilia motus sit, isque membra nostra sentiendi officio adcommodata magis dum vigilamus, exerceat, constat nos dormituros etiam esse, dum quiescimus. Quum vero ignis quidem membra nostra movere possit, hicce autem per somnum intus circumsistitur, relicta capitis regione, ad quam sensuum instrumenta pertinent, tunc maxime nostra sensuum instrumenta quiescent : quæ quidem res causa erit dormiendi.

16. Quam ob causam, ubi sternutarunt, aut minxerunt, horrent? An quia utraque hac re venæ aeris calidi inanes redduntur, quem ante continebant; inanes autem aer extrinsecus alius subit illo frigidior, qui ante in venis aderat; talis autem subiens aer facit ut horreamus?

17. Cur singultibus sternutamenta finem imponunt? An propterea quod singultus non quemadmodum ructus, a ventre qui ciborum conceptaculum est, sed a pulmone proficiscitur? adcidit enim ut maxime a refrigeratione quæ rigori, aut dolori, aut ventris purgationi, idque inprimis superioris, debetur, proveniat : quum enim locus ille calidus sua natura sit, ubi refrigeratus est, omnem spiritum non admittit, sed quasi bullas excitat : quamobrem cum retento spiritu singultus finitur (sic enim pars ista percalescit), tum aceto adsumpto, quoniam acetum calfacere valet. Quum itaque calor et a calefaciendo et a cerebro proveniat, locique superiores foraminibus pervia in pulmonem qui ipse calidus est, sint, efficitur ut retentio spiritus, quæ sternutationi antecedit, et depulsio quæ a partibus superioribus fit, adfectum solvant.

18. Cur crispi et quibus capillus intortus est, magna ex parte simiores sunt? An si crispitudo a crassitudine pendet, crassitudo autem non sine duritia constat, et durus sanguis calidus est, calorque residua non gignit, os vero e residuis, cartilagoque os est, merito deminutio partis consequetur? Indicium autem est, quod infantes omnes simi sunt

ΤΜΗΜΑ ΛΔ.

ΟΣΑ ΠΕΡΙ ΤΟ ΣΤΟΜΑ ΚΑΙ ΤΑ ΕΝ ΑΥΤΩ.

1. Διὰ τί οἱ μανοὺς ἔχοντες τοὺς ὀδόντας οὐ μακρόβιοι; Ἢ ὅτι τὰ μακρόβια πλείους ἔχουσιν, οἷον τὰ ἄρσενα τῶν θηλειῶν, ἄνδρες γυναικῶν, πρόβατα προβάτων; Οἱ οὖν ἀραιώδοντες ὥσπερ ἂν ἐλάττονας ἔχουσιν ὀδόντας ἐοίκασιν.

2. Διὰ τί οἱ ὀδόντες ἰσχυρότεροι τῶν σαρκῶν ὄντες ὅμως τοῦ ψυχροῦ αἰσθάνονται μᾶλλον; Ἢ ὅτι ἐπὶ τοὺς

SECTIO XXXIV.

QUÆ AD OS ET AD EA QUÆ IN EO SUNT PERTINENT.

1. Cur qui raris dentibus sunt, vivaces non sunt? An quia vivacia pluribus dentibus prædita sunt ut mares feminis, viri mulieribus atque oves ovibus? Qui itaque raris dentibus sunt, pauciores habentibus aliquatenus similes sunt.

2. Cur dentes, qui robustiores quam caro sunt, frigus tamen amplius sentiunt? An quia meatibus infixi, quo-

πόρους προσπεφύκασιν, ἐν οἷς ὀλίγον ὂν τὸ θερμὸν ταχὺ ὑπὸ τοῦ ψυχροῦ κρατούμενον ποιεῖ τὴν ἀλγηδόνα;

quorum exiguus calor celeriter a frigore vincitur movetque dolorem.

3. Διὰ τί τοῦ ψυχροῦ μᾶλλον αἰσθάνονται οἱ ὀδόντες ἢ τοῦ θερμοῦ, ἡ δὲ σὰρξ τοὐναντίον; Πότερον ὅτι ἡ μὲν σὰρξ τοῦ μέσου καὶ εὔκρατος, οἱ δ' ὀδόντες ψυχροί, ὥστε τοῦ ἐναντίου μᾶλλον αἰσθητικοί; Ἢ διότι λεπτῶν πόρων εἰσίν, ἐν οἷς μικρὸν τὸ θερμόν, ὥστε ταχὺ πάσχουσιν ὑπὸ τοῦ ἐναντίου, ἡ δὲ σὰρξ θερμόν, ὥστ' οὐδὲν πάσχει ὑπὸ τοῦ ψυχροῦ, τοῦ δὲ θερμοῦ ταχὺ αἰσθάνεται; ὥσπερ γὰρ πῦρ ἐπὶ πυρὶ γίνεται.

3. Cur dentes frigidum amplius quam calidum sentiunt, caro vero e contrario? Utrum propterea quod caro quidem mediocri bonoque temperamento prædita est, dentes vero frigidi sunt, ita ut contrarium sentiant plenius? An quoniam meatus habent angustos, quibus calor inditus exiguus est, ita ut a contrario cito adficiantur; caro vero calida est, ita ut nullo modo adficiatur a frigido calidumque compendio sentiat? fit enim quasi igni ignis superadditus.

4. Διὰ τί ἡ γλῶττα σημαντικὸν πολλῶν; καὶ γὰρ τῶν πυρετῶν ἐν τοῖς ὀξέσι νοσήμασι, καὶ ἐὰν χάλαζαι ἐνῶσιν, καὶ τῶν ποικίλων προβάτων ποικίλαι. Ἢ ὅτι ὑγρότητος δεκτικόν, καὶ ἐπὶ τῷ πνεύμονι ἐπίκειται, οὗ ἡ ἀρχὴ ἐπὶ τῶν πυρετῶν; Πολύχροα δὲ πάντα διὰ τὴν πολύχροιαν τῶν ὑγρῶν· βάπτεται δὲ πρῶτον δι' οὗ πρῶτον ἠθεῖται· ἡ δὲ γλῶττα τοιοῦτον. Αἵ τε χάλαζαι διὰ τὸ σομφὴν εἶναι συλλέγονται· ἔστι γὰρ ἡ χάλαζα οἱονεὶ ἴονθος ἄπεπτος ἐν τοῖς ἐντός.

4. Cur lingua rerum index multarum est? nam et febrium signum dat in morbis acutis, et grandinum, si quæ insunt, et pecoris versicoloris varia est. An quia humoris capax est, et super pulmone posita, unde febrium principium ducitur? Versicolora autem omnia sunt propter humorum varios colores; inficitur tamen iis primum per quod primum colantur; lingua autem hujusmodi est. Grandines vero lingua propterea contrahit, quod spongiosa est, quippe quum grando veluti varus crudus in partibus interioribus est.

5. Διὰ τί ἡ γλῶττα γλυκεῖα μὲν οὐ γίνεται, πικρὰ δὲ καὶ ἁλμυρὰ καὶ ὀξεῖα; Ἢ ὅτι διαφθοραὶ ταῦτ' ἐστί, τῆς δὲ φύσεως οὐκ αἰσθάνεται;

5. Cur lingua dulcis quidem non fit, amara vero salsa et acida fit? An quod corruptiones isthæc sunt; naturam vero non sentit?

6. Διὰ τί, ὅσας ἂν χρόας ἔχῃ τὸ δέρμα, τοσαύτας ἔχει καὶ ἡ γλῶττα; Πότερον ὅτι ἓν μέρος ἐστὶν ὥσπερ ἄλλο τι τῶν ἔξωθεν, ἀλλ' ἐντὸς περιείληπται; διὰ δὲ τὸ λεπτὸν εἶναι ταύτῃ τὸ δέρμα καὶ ἡ μικρὰ ποικιλία ἐμφαίνεται. Ἢ διότι τὸ ὕδωρ ἐστὶν ὃ ποιεῖ μεταβάλλειν τὰς χρόας, ἡ δὲ γλῶττα μάλιστα πάσχει ὑπὸ τοῦ πόματος;

6. Cur totidem coloribus lingua variat quot cutis? Utrum quia membrum quoddam est cuivis alii parti externæ æquiparandum, quamquam intus concluditur? verum quia tenuis hac parte cutis est, vel exigua in ea varietas deprehendi potest. An quia aqua id est, quod facit ut colores mutentur; lingua autem a potione maxime adficitur?

7. Διὰ τί ἐκ τοῦ στόματος καὶ θερμὸν καὶ ψυχρὸν πνέουσιν; φυσῶσι μὲν γὰρ ψυχρόν, ἀάζουσι δὲ θερμόν. Σημεῖον δὲ ὅτι θερμαίνει, ἐὰν πλησίον προσάγῃ τις τὴν χεῖρα τοῦ στόματος. Ἢ ἀμφοτέρως ὁ ἀὴρ κινούμενος ψυχρός, ὁ δὲ φυσῶν κινεῖ τὸν ἀέρα οὐκ ἀθρόως, ἀλλὰ διὰ στενοῦ τοῦ στόματος; Ὀλίγον οὖν ἐκπνέων πολὺν κινεῖ τὸν θύραθεν, ἐν ᾧ τὸ θερμὸν ὂν τὸ ἐκ τοῦ στόματος οὐ φαίνεται δι' ὀλιγότητα· ὁ δ' ἀάζων ἀθρόον ἐκπνεῖ· διὸ θερμόν· ἔστι γὰρ φυσασμοῦ τῷ διαφέρειν τῇ συστροφῇ· ὁ δ' ἀασμὸς ἀθρόου ἔκπνευσις.

7. Cur halitum ex ore tum calidum, tum frigidum reddimus, quippe qui frigidum quidem efflamus, calidum vero halamus? Indicio autem est quod, si manus ori propius admoveatur, calefacit. An utroque modo aer commotus calidus est; verum qui efflat, non confertim aera movet, sed per ostium angustum? Parum igitur efflans multum externum aerem movet, in quo calor ex ore profectus ob exiguitatem delitescit? at qui halat, confertum, atque eam ob rem calidum, efflat aerem: pertinet enim ad efflationem, quippe qui stipatione tantummodo ab ea differat: halatio namque conferti aeris efflatio est.

8. Διὰ τί, ἐὰν σφόδρα καὶ ἀθρόον ἐκπνεύσωσιν, ἀδυνατοῦσι πάλιν ἐκπνεῦσαι; Ὁμοίως δ' ἔχει καὶ ἐπὶ τοῦ ἀναπνεῦσαι· ἀδυνατοῦσι γὰρ δὶς ἐφεξῆς ποιεῖν αὐτό. Ἢ ὅτι τὸ μὲν δίωσίς τίς ἐστι, τὸ δὲ συναγωγὴ τόπου, ἃ ἄχρι τινὸς ἐστι δυνατὰ γίνεσθαι; Φανερὸν οὖν ὅτι ἐναλλὰξ ἀνάγκη ἄμφω γίνεσθαι, καὶ ἀδύνατον δὶς ἐφεξῆς.

8. Cur, si vehementer confertimque exspirarunt, iterum exspirare nequeunt? quod idem in inspirando etiam adcidit: bis enim deinceps id facere nequeunt. An quoniam alterum quidem transpulsio quædam, alterum vero contractio loci est: quæ aliquo usque tantummodo fieri possunt? Constat igitur necessario ambo hæc vicissim fieri debere, bis vero deinceps non posse.

9. Διὰ τί ἑτέρου τόπου ὄντος ᾗ τὰ σῖτα καὶ τὸ ποτὸν διεξέρχεται καὶ ᾗ ἀναπνέομεν, ἐὰν μείζω ψωμὸν καταπίωμεν, πνιγόμεθα; Οὐδὲν δὴ ἄτοπον· οὐ γὰρ μόνον ἐάν τι ἐμπέσῃ εἰς τὸν τόπον τοῦτον, ἀλλὰ κἂν ἔτι φραχθῇ, οὕτω μᾶλλον πνιγόμεθα· ταῦτα δὲ παράλληλά ἐστι, καθ' ὅ τε τὰ σιτία δεχόμεθα καὶ καθ' ὃ ἀναπνέομεν. Ὅταν οὖν ἐμπέσῃ μείζων ψωμός, καὶ ἡ ἀναπνοὴ συμφράττει, ὥστε μὴ εἶναι τῷ πνεύματι ἔξοδον.

9. Quam ob causam, quum alius locus sit qua cibi potusque transeunt, alius qua spiramus, ubi grandiorem bolum devoravimus, strangulamur? Haudquaquam sane absurdum est: non modo enim si aliquid in hunc locum inciderit, verum etiam si obstructus fuerit, æque, imo magis strangulamur; ubivis autem æque a se invicem distant, quo cibum recipimus, et quo respiramus. Quodsi igitur justo amplius frustum inciderit, aer inspiratus auget angustiam, ita ut spiritui exitus denegetur.

10. Διὰ τί, ὅσοι τὴν διὰ χειρὸς τομὴν ἔχουσι δι' ὅλης, μακροβιώτατοι; Ἢ διότι τὰ ἄναρθρα βραχύβια καὶ ἀσθενῆ; Σημεῖον δὲ τῆς μὲν ἀσθενείας τὰ νέα, τῆς δὲ βραχυβιότητος τὰ ἔνυγρα. Δῆλον ἄρα ὅτι τὰ ἠρθρωμένα τοὐναντίον· τοιαῦτα δέ, ὧν καὶ τὰ φύσει ἄναρθρα μάλιστα ἤρθρωται· τῆς δὲ χειρὸς τὸ ἔσω ἀναρθρότατον.

10. Cur qui manus cæsuram per totam habent pertinentem, longævissimi sunt? An quia brevis ætatis imbecillaque sunt quæ articulis carent? Imbecillitatis autem indicium est juventus; vitæ vero brevis aquatilia. Constat igitur articulata contra sese habere; hujusmodi autem illa sunt, apud quæ partes suapte natura articulis carentes maxime articulatæ nihilominus sunt; manus autem pars interior articulo maxime caret.

11. Διὰ τί ἐν τῷ μακρὸν ἀναπνεῖν ἑλκόντων μὲν εἴσω τὸ πνεῦμα συμπίπτει ἡ κοιλία, ἐκπνεόντων δὲ πληροῦται; πιθανὸν δ' ἐστὶ τοὐναντίον συμβαίνειν. Ἢ ὅτι τῶν μὲν ἀναπνεόντων συμπιεζουμένη ταῖς πλευραῖς κάτω, καθάπερ αἱ φῦσαι, προογκεῖν φαίνεται;

11. Quam ob causam, ubi longam facimus respirationem, venter introrsum quidem spiritum trahentibus concidit, exspirantibus vero repletur? veri enim simile est ut contra eveniat. An quia inspirantibus quidem venter costis deorsum compressus follium instar prominere videtur?

12. Διὰ τί ἀναπνέομεν; Ἢ καθάπερ τὸ ὑγρὸν εἰς πνεῦμα διαλύεται, οὕτω καὶ τὸ πνεῦμα εἰς τὸ πῦρ; Τὸ τῆς φύσεως οὖν θερμὸν ὅταν τὸ πολὺ τοῦ πνεύματος πῦρ ποιήσῃ, ἀλγηδόνα ἐμποιεῖ, τοῖς δὲ πόροις καὶ ὄγκον· διόπερ ἐξωθοῦμεν τὸ πῦρ μετὰ τοῦ πνεύματος. Ὅταν δ' ἐξέλθῃ τὸ πνεῦμα καὶ τὸ πῦρ, συμπιπτόντων τῶν πόρων καὶ καταψυχομένων ἀλγηδόνες γίνονται. Ἕλκομεν οὖν τὸ πνεῦμα πάλιν. Εἶτα ἀνοίξαντες τοῦ πνεύματος τοὺς πόρους καὶ βοηθήσαντες, πάλιν γίνεται τὸ πῦρ, καὶ πάλιν ἀλγοῦντες ἐκπέμπομεν, καὶ διὰ τέλους τοῦτο πράττομεν, καθάπερ καὶ σκαρδαμύσσομεν κατὰ τὸ καταψύχεσθαι τὸ περὶ τὸν ὀφθαλμὸν σῶμα καὶ ξηραίνεσθαι. Καὶ βαδίζομεν οὖν προσέχοντες τῇ βαδίσει τὸν νοῦν, κυβερνωμένης δὲ τῆς διανοίας αὐτοῖς. Τοῦτον οὖν τὸν τρόπον καὶ τὰ περὶ τὴν ἀναπνοὴν ποιοῦμεν· μηχανώμενοι γὰρ τὸν ἀέρα ἕλκειν ἀναπνέομεν, καὶ πάλιν ἕλκομεν.

12. Quam ob causam respiramus? An quemadmodum humor dissolvitur in spiritum, sic et spiritus in ignem? Calor itaque naturalis ubi maximam spiritus partem in ignem convertit, dolorem movet, atque meatus etiam tumefacit: quamobrem ignem una cum spiritu expellimus: quibus profectis, meatibus concidentibus atque refrigescentibus, dolores excitantur. Rursum igitur spiritum trahimus. Deinde postquam apertis spiritus meatibus, opem tulimus, ignis iterum gignitur, atque iterum præ dolore spiritum reddimus, idque perpetuo facimus, sicuti etiam nictamur, ut corpus oculi [vicissim] refrigeremus et adsiccemus. Ambulamus etiam, ingressui nostro animum non adtendentes, sed ita ut mens ipsis gubernetur. Hunc ergo in modum spirandi quoque munus exsequimur: aerem enim trahere molientes inspiramus, atque rursum adtrahimus.

ΤΜΗΜΑ ΛΕ.

SECTIO XXXV.

ΟΣΑ ΠΕΡΙ ΤΑ ΥΠΟ ΤΗΝ ΑΦΗΝ.

QUÆ AD TACTUM PERTINENT.

1. Διὰ τί μᾶλλον φρίττομεν ἑτέρου θιγόντος πως ἢ αὐτοὶ ἡμῶν; Ἢ ὅτι αἰσθητικωτέρα ἡ ἀφὴ τοῦ ἀλλοτρίου ἢ ἡ τοῦ οἰκείου; τὸ γὰρ συμφυὲς ἀναίσθητον. Καὶ φοβερώτερον τὸ λάθρα καὶ ἐξαπιναίως γινόμενον, ὁ δὲ φόβος κατάψυξις· ἡ δ' ἀλλοτρία ἀφὴ πρὸς τὴν οἰκείαν ἄμφω ταῦτα ἔχει. Καὶ ὅλως δὲ παθητικὸν ἕκαστον πέφυκεν ἢ μᾶλλον, ἢ μόνον ὑπ' ἄλλου ἢ ὑφ' αὑτοῦ, οἷον καὶ ἐπὶ τοῦ γαργαλίζεσθαι συμβαίνει.

1. Cur inhorrescimus magis, ubi alius certo quodam modo nos tangit, quam ubi nosmet ipsi? An quia tactus rem melius alienam quam propriam sentit? quod enim cognatum est, id sensum effugit. Quin etiam quod clanculum atque subito fit, terribilius est; metus enim refrigeratio quædam est; at vero tactus alienus, si cum proprio conferatur, utrumque hoc habet. Denique unumquodque ab alio vel unice, vel magis quam a se ipso suapte natura adficitur, quemadmodum etiam in titillando adcidit.

2. Διὰ τί γαργαλίζονται τὰς μασχάλας καὶ τὰ ἐντὸς τῶν ποδῶν; Ἢ διὰ τὴν λεπτότητα τοῦ δέρματος; Καὶ ὧν ἀσυνήθης ἡ ἀφή, οἷον τούτων καὶ τοῦ ὠτός.

2. Cur in alis et pedum parte interiori titillantur? An propter cutis tenuitatem? Præterea titillamur partibus quarum tactus insolens est, ut cum harum, tum auris.

3. Διὰ τί φρίττουσιν οὐχ ἐπὶ τοῖς αὐτοῖς πάντες; Ἢ ὅτι οὐδ' ἐπὶ τοῖς αὐτοῖς πάντες ἡδόμεθα, ὥσπερ οὐδὲ λυπούμεθα ἐπὶ τοῖς αὐτοῖς πάντες; Ὁμοίως δὴ οὐ φρίττομεν ἐπὶ τοῖς αὐτοῖς· ἔστι γὰρ ἡ αὐτὴ κατάψυξίς τις· διὸ οἱ μὲν τοῦ ἱματίου δακνομένου φρίττουσιν, οἱ δὲ πρίονος ἀκονουμένου ἢ ἑλκομένου, οἱ δὲ κισήρεως τεμνομένης, οἱ δ' ὄνου λίθον ἀλοῦντος.

3. Cur non iisdem rebus inhorrescunt omnes? An quia nec iisdem omnes delectamur, quemadmodum nec easdem ægre ferimus omnes? Eodem itaque modo nec iisdem omnes inhorrescimus: idem enim horror est, refrigeratio nempe quædam: eapropter alii quidem ubi vestis mordetur, inhorrescunt, alii vero, ubi serra vel acuitur, vel trahitur, alii porro, ubi pumex secatur, alii tandem, ubi superior molæ lapis inferiorem adterit.

4. Διὰ τί τοῦ μὲν θέρους ὄντος θερμοῦ, τοῦ δὲ χειμῶνος ψυχροῦ, τὰ σώματα θιγγανόντων ψυχεινότερά ἐστι τοῦ θέρους ἢ τοῦ χειμῶνος; Πότερον ὅτι ὁ ἱδρὼς καὶ ἡ ἴδισις καταψύχει τὰ σώματα, τοῦτο δ' ἐν μὲν τῷ θέρει γίνεται, ἐν δὲ τῷ χειμῶνι οὔ; Ἢ ὅτι ἀντιπεριίσταται ἐναντίως τὸ ψυχρὸν καὶ τὸ θερμὸν τῇ ὥρᾳ, καὶ ἔσω φεύγει ἐν τῷ θέρει (διὸ καὶ ἱδρῶτα ἀνίησιν), ἐν δὲ τῷ χειμῶνι ἀποστέγει τὸ ψῦχος καὶ ἀτμίζει τὸ σῶμα ὥσπερ ἡ γῆ;

4. Quam ob causam, quum æstas quidem calida, hyems vero frigida sit, corpora tactu frigidiora per æstatem sunt quam per hyemem? Utrum quoniam a sudore et transpiratione refrigerantur corpora; hoc autem æstate quidem fit, hyeme vero non? An quia in contrarium tempestati tum frigus, tum calor circumobsistitur, intusque per æstatem calor refugit: quapropter et sudorem emittit; per hyemem vero frigus arcet, et corpus perinde quasi terra vaporem emittit?

5. Διὰ τί φρίττουσιν αἱ τρίχες ἐν τῷ δέρματι; Ἢ ὅταν σπάσωσι τὸ δέρμα, εἰκότως ἐξανέστησαν; συσπῶσι δὲ καὶ ὑπὸ ῥίγους καὶ ὑπ' ἄλλων παθῶν.

5. Quare pili in cute inhorrescunt? An merito, ubi cutem contraxerint, exsurgunt? contrahunt enim tum propter rigorem, tum propter alias adfectiones.

6. Διὰ τί αὐτὸς αὑτὸν οὐθεὶς γαργαλίζει; Ἢ ὅτι καὶ ὑπ' ἄλλου ἧττον, ἐὰν προαίσθηται, μᾶλλον δ', ἂν μὴ ὁρᾷ· ὥσθ' ἥκιστα γαργαλισθήσεται, ὅταν μὴ λανθάνῃ τοῦτο πάσχων; ἔστι δ' ὁ γέλως παρακοπή τις καὶ ἀπάτη· διὸ καὶ τυπτόμενοι εἰς τὰς φρένας γελῶσιν· οὐ γὰρ ὁ τυχὼν τόπος ἐστὶν ᾧ γελῶσιν. Τὸ δὲ λαθραῖον ἀπατητικόν· διὰ τοῦτο καὶ γίνεται ὁ γέλως καὶ οὐ γίνεται ὑπ' αὐτοῦ.

6. Cur nemo se ipse titillat? An quia ab alio quoque minus titillatur, si rem præsentit, magis vero, si non videt, ita ut minime titilletur, ubi non ignorat se hoc pati? risus namque fraus quædam et deceptio est: quapropter et qui septo transverso vulnerantur, rident: haud enim locus quilibet est quo ridemus. Clandestinum autem omne fraudulentum est: qua de causa modo fit risus a titillatione, modo vero non fit.

7. Διὰ τί ποτε τὰ χείλη μάλιστα γαργαλιζόμεθα; Ἢ διότι δεῖ τὸ γαργαλιζόμενον μὴ πρόσω τοῦ αἰσθητικοῦ εἶναι, ἔστι δὲ τὰ χείλη περὶ τὸν τόπον τοῦτον μάλιστα; Διὰ τοῦτο δὲ γαργαλίζεται τὰ χείλη τῶν περὶ τὴν κεφαλὴν τόπων, ἅ ἐστιν εὔσαρκα. Εὐκινητότατα οὖν μάλιστά ἐστιν.

7. Cur tandem labris maxime titillamur? An quia membrum quod titillatur, non longe a sentiendi sede abesse debet, labra autem circa eum maxime locum posita sunt? Eapropter autem omnium maxime locorum capitis titillantur, quæ carne multa prædita sunt. Mobilissima igitur præcipue sunt.

8. Διὰ τί, ἐάν τις τὸν περὶ τὰς μασχάλας τόπον κνήσῃ, ἐκγελῶσιν, ἐὰν δέ τινα ἄλλον, οὔ; Ἢ διὰ τί πτερῷ τὰς ῥῖνας κνήσαντες πτάρνυνται; Ἢ τόποι εἰσὶ τῶν φλεβίων, ὧν καταψυχομένων, ἢ τοὐναντίον πασχόντων ὑγραίνονται; Ἢ εἰς πνεῦμα ἐκ τοῦ ὑγροῦ διαλύεται, ὥσπερ ἐὰν τὰς ἐπὶ τοῦ τραχήλου πιέσῃ τις φλέβας, καθεύδουσιν. Ἡ μὲν ἡδονὴ θερμασία τίς ἐστιν· τοῦτο δέ, ὅταν πλέον τὸ πνεῦμα ἐγγένηται, ἀθρόον ἔξω ἀφίεμεν. Ὡσαύτως καὶ ἐπὶ πταρμῷ τῷ πτερῷ διαθερμάναντες καὶ κινήσαντες διελύσαμεν εἰς πνεῦμα· πλέονος δὲ γενομένου ἐξεώσαμεν.

8. Cur, si quis regionem alarum scalpat, in risum effunduntur, si quam aliam vero, non? vel quænam ratio est cur naribus penna scalptis sternutent? An loca quædam venularum exstant, quibus vel refrigeratis, vel contra adfectis venulæ ipsæ humectantur? An in spiritum ex humore fit dissolutio, quemadmodum dormiunt si venas cervicis premat quis. Voluptas quidem concalfactio quædam est: eapropter autem spiritum, ubi plus adest, confertum foras mittimus. Eodem modo quoque in sternutando penna calefacientes et moventes humorem in spiritum dissolvimus; ubi vero plus adest, expellimus.

9. Διὰ τί μετὰ τὰ σιτία φρίττομεν πολλάκις; Ἢ ὅτι ψυχρὰ εἰσπορευόμενα ἀπὸ πρώτης κρατεῖ μᾶλλον τοῦ φυσικοῦ θερμοῦ ἢ κρατεῖται;

9. Cur sæpenumero ingesto cibo inhorrescimus? An quod frigida primo introitu vincunt magis naturalem calorem quam vincuntur?

10. Διὰ τί τὸ περιαγόμενον ἐναλλὰξ τοῖς δακτύλοις δύο φαίνεται; Ἢ διότι δυσὶν αἰσθητηρίοις ἁπτόμεθα; τοῖς γὰρ ἐντὸς τῶν δακτύλων, κατὰ φύσιν ἔχοντες τὴν χεῖρα, ἀμφοτέροις οὐ δυνατὸν εἰπεῖν.

10. Quam ob causam quod digitis alternantibus circumagitur, duo esse videtur? An quia duplici sentiendi instrumento tangimus? ambobus enim digitorum partibus interioribus simul nuntiare non possumus, dum manus conditionem obtinet naturalem.

ΤΜΗΜΑ Λϛ.

ΟΣΑ ΠΕΡΙ ΠΡΟΣΩΠΟΝ.

SECTIO XXXVI.

QUÆ AD FACIEM PERTINENT.

1. Διὰ τί τοῦ προσώπου τὰς εἰκόνας ποιοῦνται; Πότερον ὅτι τοῦτο δηλοῖ ποῖοί τινες; Ἢ ὅτι μάλιστα γινώσκεται;

1. Cur faciei effigies faciunt? Utrum quod, qualesnam simus, ea indicat? An quod ea præcipue adgnoscitur?

2. Διὰ τί τὸ πρόσωπον ἱδίουσι μάλιστα, ἀσαρκότατον ὄν; Ἢ διότι εὔιδρωτα μὲν ὅσα ὕφυγρα καὶ ἀραιά, ἡ δὲ κεφαλὴ τοιαύτη; ὑγρότητα γὰρ οἰκείαν ἔχει πλείστην. Δηλοῦσι δ' αἱ φλέβες τείνουσαι ἐντεῦθεν, καὶ οἱ κατάρροι γινόμενοι ἐξ αὐτῆς, καὶ ὁ ἐγκέφαλος ὑγρός, καὶ οἱ πόροι πολλοί· σημεῖον δ' αἱ τρίχες, ὅτι πολλοὶ πόροι εἰσὶ περαίνοντες ἔξω. Οὔκουν ἐκ τῶν κάτω ὁ ἱδρώς, ἀλλ' ἐκ τῆς κεφαλῆς γίνεται· διὸ ἱδίουσι καὶ πρῶτον μάλιστα τὸ μέτωπον· ὑπόκειται γὰρ τὸ πρῶτον· τὸ δ' ὑγρὸν κάτω ῥεῖ, ἀλλ' οὐκ ἄνω.

2. Cur facie maxime sudant, etiamsi carnis expertissima sit? An quia in sudorem proclivia sunt quæcumque humidiuscula ac rara sunt, caput autem hujusmodi est? plurimum enim continet humorem proprium. Argumento sunt venæ inde tendentes et destillationes quæ ex eo originem petunt, cerebrique humiditas et meatus multi; probant autem capilli multos adesse meatus foras pertinentes. Sudor igitur non ex partibus inferioribus, sed ex capite oritur: hinc et maxime fronte primum sudant: prima enim subjecta est, humorque deorsum, non vero sursum fluit.

3. Διὰ τί ἐν τῷ προσώπῳ μάλιστα οἱ ἴονθοι; Ἢ διότι μανὸς ὁ τόπος καὶ ὑγρότητα ἔχει; Σημεῖον δ' ἥ τε τῶν τριχῶν ἔκφυσις καὶ ἡ τῶν αἰσθήσεων δύναμις· ὁ δ' ἴονθος ὥσπερ ἐξάνθημα ὑγρότητός τινος ἀπέπτου.

3. Cur in facie maxime oriuntur vari? An quia locus rarus est humoremque continet? Argumento autem sunt et pilorum eruptio et sentiendi potentia: varus enim quasi humoris cujusdam crudi efflorescentia est.

ΤΜΗΜΑ ΛΖ.

ΟΣΑ ΠΕΡΙ ΟΛΟΝ ΤΟ ΣΩΜΑ.

SECTIO XXXVII.

QUÆ AD TOTUM CORPUS PERTINENT.

1. Διὰ τί ἀεὶ τοῦ σώματος ῥέοντος, καὶ τῆς ἀποῤῥοῆς γινομένης ἐκ τῶν περιττωμάτων, οὐ κουφίζεται τὸ σῶμα, ἐὰν μὴ ἰδίῃ; Ἢ διότι ἐλάττων ἡ ἔκκρισις γίνεται; ὅταν γὰρ ἐξ ὑγροῦ μεταβάλλῃ εἰς ἀέρα, πλέον γίνεται ἐξ ἐλάττονος· τὸ γὰρ διακρινόμενον πλέον, ὥστ' ἐν πλείονι χρόνῳ ἡ ἔκκρισις.

1. Quam ob causam, quum corpus semper fluat, defluxusque ab excrementis proficiscatur, non levatur corpus, nisi sudet? An quia minus excernitur? ubi enim ex humore in aerem fit transitus, plus oritur ex minori: plus namque est quod percolatur, ita ut ampliori tempore excernatur.

2. Διὰ τί δὲ τοῦτο; Ἢ διότι δι' ἐλαττόνων πόρων ἡ ἔξοδός ἐστιν; τὸ γὰρ γλίσχρον καὶ τὸ κολλῶδες μετὰ μὲν τοῦ ὑγροῦ ἐκκρίνεται διὰ τὴν κατάμιξιν, μετὰ δὲ τοῦ πνεύματος ἀδυνατεῖ· μάλιστα δὲ τοῦτ' ἐστὶ τὸ λυποῦν· διὸ καὶ οἱ ἔμετοι τῶν ἱδρώτων κουφίζουσι μᾶλλον, ὅτι συνεξάγουσι τοῦτο, ἅτε παχύτεροι καὶ σωματωδέστεροι ὄντες. Ἢ καὶ ὅτι τῇ μὲν σαρκὶ πόῤῥω οὗτος ὁ τόπος, ἐν ᾧ τὸ γλίσχρον καὶ κολλῶδες, ὥστ' ἔργον μεταστῆσαι, τῇ δὲ κοιλίᾳ ἐγγύς; ἢ γὰρ ἐν ταύτῃ γίνεται, ἢ πλησίον· διὸ καὶ δυσεξάγωγος ἄλλως.

2. Sed cur ita fit? An quia per minores meatus fit exitus? quod enim lentum ac glutinosum est, cum humore quidem excernitur propter admistionem, cum spiritu vero nequit; id autem maxime est quod molestat: hinc et vomitus magis quam sudores levant, quoniam id una educunt, quippe qui crassiores corpulentioresque sunt. An etiam quia a carne quidem remotus est locus qui humorem lentum glutinosumque continet, ita ut nonnisi cum labore transferatur; ventri vero propior? aut enim in eo fit, aut prope: hinc et alio modo difficulter educitur.

3. Διὰ τί αἱ τρίψεις σαρκοῦσιν; Ἢ ὅτι αὐξητικώτατον τῶν ἐν τῷ σώματι τὸ θερμόν ἐστιν; τοῦ μὲν γὰρ ἐνυπάρχοντος μείζους οἱ ὄγκοι γίνονται διὰ τὸ ἀεὶ αὐτὸ ἐν κινήσει εἶναι καὶ εἰς τὸ ἄνω φέρεσθαι καὶ πνευματοῦν τὰ ἐν ἡμῖν ὑγρά, ὃ ἐν τῇ τρίψει γίνεται· ἐκλεί-

3. Cur carnem implent frictiones? An quia eorum quæ in corpore continentur, maxime augendi facultate præstat calor? eorum enim quæ jam antea aderant, moles augetur, quia semper ipse in motu est sursumque fertur ac in spiritum convertit humores qui nobis continentur: id quod

πoντος δὲ φθίνει καὶ ἐλαττοῦται τὸ σῶμα. Ἢ ὅτι ὀγκοτέρα τῆς τροφῆς γίνεται ἡ σὰρξ διὰ τὴν θερμασίαν (ἅπαν γὰρ τὸ θερμὸν ἐπισπαστικὸν τοῦ ὑγροῦ ἐστιν, ἡ δ' εἰς τὴν σάρκα διαδιδομένη τροφὴ ὑγρά ἐστι), καὶ ἐπιδέχεται τὴν τροφὴν μᾶλλον διὰ τὴν ἀραίωσιν; ἀραιοτέρα γὰρ γινομένη μᾶλλον δύναται δέχεσθαι ὥσπερ σπογγιά, ἡ δὲ τρῖψις εὔπνουν καὶ ἀραιὰν ποιεῖ τὴν σάρκα καὶ κωλύει συστάσεις γίνεσθαι κατὰ τὸ σῶμα. Τούτου δὲ μὴ ὄντος οὐδὲ συντήξεις γίνονται· αἱ γὰρ ἀτροφίαι καὶ αἱ συντήξεις ἐκ τῶν ἀθροισθέντων εἰσίν· εὐπνούστερα δὲ καὶ ἀραιότερα καὶ ὁμαλέστερα γινόμενα εἰκὸς μᾶλλον ὀγκοῦσθαι· τῆς τε γὰρ τροφῆς δεκτικώτερα καὶ τῶν ἐκκρίσεων προετικώτερα γίνεται. Ὅτι οὐ δεῖ πυκνοῦν τὴν σάρκα πρὸς ὑγίειαν, ἀλλ' ἀραιοῦν· ὥσπερ γὰρ πόλις ὑγιεινή ἐστι καὶ τόπος (διὸ καὶ ἡ θάλαττα ὑγιεινή), οὕτω καὶ σῶμα τὸ εὔπνουν μᾶλλον ὑγιεινόν ἐστι τοῦ ἐναντίως ἔχοντος· δεῖ γὰρ ἢ μὴ ὑπάρχειν μηδέν, ἢ τούτου ὡς τάχιστα ἀπαλλάττεσθαι, καὶ δεῖ οὕτως ἔχειν τὸ σῶμα ὥστε λαμβάνον εὐθὺς ἐκκρίνειν τὴν περίττωσιν, καὶ εἶναι ἐν κινήσει ἀεὶ καὶ μηδέποτε ἠρεμεῖν· τὸ μὲν γὰρ μένον σήπεται, ὥσπερ καὶ ὕδωρ τὸ μὴ κινούμενον· σηπόμενον δὲ νόσον ποιεῖ· τὸ δ' ἐκκρινόμενον πρὸ τοῦ διαφθαρῆναι χωρίζεται. Τοῦτο οὖν πυκνουμένης μὲν τῆς σαρκὸς οὐ γίνεται (ὡσπερεὶ γὰρ ἐμφράττονται οἱ πόροι), ἀραιουμένης δὲ συμβαίνει· διὸ καὶ οὐ δεῖ ἐν τῷ ἡλίῳ γυμνὸν βαδίζειν (συνίσταται γὰρ ἡ σὰρξ καὶ κομιδῇ ἀποσαρκοῦται· τὸ μὲν γὰρ ἐντὸς ὑγρὸν διαμένει, τὸ δ' ἐπιπολῆς ἀπαλλάττεται ἐξατμιζόμενον, ὥσπερ καὶ τὰ κρέα τὰ ὀπτὰ τῶν ἑφθῶν μᾶλλον τὰ ἐντὸς ὑγρά ἐστιν), οὐδὲ τὰ στήθη γυμνὰ ἔχοντα βαδίζειν ἐν ἡλίῳ (ἀπὸ γὰρ τῶν ἄριστα ᾠκοδομημένων τοῦ σώματος ὁ ἥλιος φέρει ὃ ἥκιστα δεῖται ἀφαιρέσεως), ἀλλὰ μᾶλλον τὰ ἐντὸς ξηραντέον. Ἐκεῖθεν μὲν οὖν διὰ τὸ πόρρω εἶναι, ἐὰν μὴ μετὰ πόνου, οὐκ ἔστιν ἱδρῶτα ἄγειν· ἀπὸ τούτων δὲ διὰ τὸ πρόχειρα εἶναι ῥᾴδιον ἀναλῶσαι τὸ ὑγρόν.

17. Quamobrem oscitati, vel multa urina emissa, inhorrescimus? Quoniam calidi spiritus pars aliqua concurrit. Consequenter igitur e transitu leviter refrigeramur.

18. Cur in vitiligine alba, aut alpho, sanguis punctus non obedit? Quia e superficiei meatibus recessit, vel difflatus est calor.

19. Quamobrem mulieres post conceptum pica laborant? Quia ad res præter naturam pertinet conceptio, nervosumque est viscus; oris autem ventriculi adfectus est pica, quemadmodum ciborum adpetitus ac fastidium.

20. Quamobrem quartanæ diuturniores sunt quam reliquæ febrium species? Quia terrenum corporis concrementum occupat, grave autem est terrenum: unde tardæ sunt quartanæ.

21. Quamobrem ambustis partibus articulis vicinis, cicatrix ulceribus non obducitur, idque apud nonnullos observatur? Quia abundat materia in articulis. Dum igitur huc defertur materies, acre quid oritur ac desiccat. An quia articulorum extremum cartilago est? Delabens igitur cicatrix non hæret.

22. Quamobrem aqua pluvia levis est, etiamsi e mari rapiatur, quod grave est? Dicendum, eam a spiritu correptam et exercitatam adtenuari atque vi aeris ambientis levem fieri; leve autem superiora petens effunditur, ubi magna copia collectum est.

23. Cur frigidum inimicum est ossibus, dentibus, nervis? Quia hæc omnia ad terrenam pertinent coagmentationem, frigidum autem est terrenum. Superaddita igitur refrigeratio noxam iis infert.

24. Quamobrem nix, etiamsi frigida sit, urit? Propter immodicam densitatem: densa enim est nix; extrema autem paria sunt, sive calida, seu frigida.

25. Quamobrem phrenitici parvum quidem pulsum habent, lethargici vero magnum? Quia illi quidem rarefacto spiritu qui cerebri membranis continetur, delirant, hi vero spissato gravantur.

26. Cur, quum febres sudore solvuntur, cardiaci per halitum dissipantur? Quia apud illos quidem difflantur morborum causæ, apud hos vero dissolvitur coagmentum.

27. Cur hyeme potius famem sentimus ac cibum concoquimus? Quia, dum corpus extra densatur, calor ad fundum includitur; a calore autem coquitur alimentum.

28. Cur qui frequentius coeunt, interdum sanguinem excernunt? Quia vacuata substantia seminali, nullus humor sanguino promptius se obfert.

29. Cur mel ulceribus quidem acre est, gustu vero dulce? Quia ulceribus, utpote desiccatis, mellis incidit tenuitas, acre au-

μέλιτος προσπίπτει λεπτότης, δριμὺ δὲ τὸ λεπτόν· ἡ δὲ γεῦσις ὑγρὰ οὖσα τῆς ἐν τῷ μέλιτι λειότητος ἀντιλαμβάνεται.

tem est quod tenue; gustus vero quum humidus sit, mollis percipit lævitatem.

λ'. Διὰ τί τὰ νεῦρα νυσσόμενα μὲν φλεγμονὰς ἐπιφέρει, κοπτόμενα δ' οὐκέτι; Ὅτι τὸ μὲν πνεῦμα διὰ τῶν στενῶν πόρων ἀνωμάλως τῇ διαιρέσει προσπῖπτον ἀποστρέφεται καὶ εἰς αὐτὸ πιλοῦται, ἐπὶ δὲ τῆς τελείας διακοπῆς διαπνεῖ.

30. Quamobrem nervi puncti quidem inflammationes adferunt, contusi vero non amplius? Quia spiritus per angustos meatus inæqualiter incisuræ incidens deflectitur et in se ipse colligitur; in perfecta vero scissione difflatur.

λα'. Διὰ τί οἱ πρὸ τῆς σημασίας ἱδρῶτες χαλεποί; Ὅτι οἱ μὲν μετὰ τῆς σημασίας γίνονται κατ' ἄνεσιν, οἱ δὲ πρὸ τῶν σημασιῶν κατ' ἔκθλιψιν.

31. Cur sudores adcessionem præcedentes graves? Quia sudores adcessionem comitantes quidem relaxatione fiunt, qui vero eam præcedunt, per expressionem.

λβ'. Διὰ τί οἱ νήστεις δυσώδες ἔχουσι τὸ στόμα; Ὅτι τῆς ἐν τῷ στομάχῳ δριμύτητος μὴ κατακιρναμένης νεαρᾷ τροφῇ ἡ ἀναθυμίασις ἀηδὴς γίνεται.

32. Cur jejuni fœtidum habent os? Quoniam, ubi acrimonia os ventriculi obcupans non remiscetur cibo recenti, exhalatio fit gravis.

λγ'. Διὰ τί ἐν ταῖς καρδίαις οὐδὲν γίνεται πάθος; Ὅτι διὰ τὴν κυριότητα αὐτῆς φθάνει τοῦ πάθους ὁ κίνδυνος.

33. Quamobrem in corde nullus consistit morbus? Quia propter magnum ejus momentum periculum morbum antevertit.

λδ'. Διὰ τί ἐν τοῖς αἰγιαλοῖς σκάψαντες γλυκὺ εὑρίσκομεν ὕδωρ; Ὅτι παχὺ τὸ τῆς θαλάττης ὕδωρ, ἐκ πολλῶν συνεστός. Τὸ λεπτομερὲς οὖν αὐτῆς διὰ τῆς γῆς παρεισδύνει· γλυκὺ δὲ τὸ λεπτόν, ὥσπερ παχὺ τὸ ἁλμυρόν.

34. Quamobrem in littore fodientes dulcem reperimus aquam? Quia crassa est aqua marina, quippe e multis constans. Itaque subtiles ejus partes per tellurem subeunt; dulce autem est tenue, quemadmodum crassum salsum.

λε'. Διὰ τί τὰ πυρίκαυτα δυσκατούλωτά ἐστιν; Ὅτι πάντες ἀθρόως ἀφανίζονται οἱ πόροι καὶ πάσχουσιν ὅμοιον τῇ νεκρώσει, δυσέκληπτος δ' ἡ ἀποκεκλεισμένη κατ' αὐτὰ ὕλη.

35. Cur igne ambustis difficulter cicatrix inducitur? Quia meatus omnes simul evanescunt et morti aliquid simile patiuntur, difficulterque educitur materies iis inclusa.

ς'. Διὰ τί οἱ πρεσβῦται φίλοινοι; Ὅτι χρόνῳ κατεψυγμένοι χρείαν ἔχουσι τοῦ θερμοῦ, θερμαντικὸς δ' ὁ οἶνος.

36. Quamobrem vinosi sunt senes? Quoniam ætate refrigerati calore opus habent; calefacere autem valet vinum.

λζ'. Διὰ τί μᾶλλον τὰ δεξιὰ τῶν ἀριστερῶν εὐσαρκότερα; Ὅτι μᾶλλον αὐτῶν κινουμένων καὶ αἱ ὗλαι συνεπιδιδόασιν.

37. Quamobrem dextra sinistris carnosiora? Quia, quum magis moveantur, materiæ quoque simul augentur.

λη'. Διὰ τί ἐπὶ τῶν ἀριστερῶν ὤμων τὰ φορτία φέρομεν; Ὅτι τῶν ἀριστερῶν δυσκινήτων ὄντων πλείων ἡ ἐπιμονὴ τῆς ὕλης, ἐπὶ δὲ τῶν εὐκινητοτέρων ἐλάττων.

38. Quamobrem onera gerimus in humero sinistro? Quia, quum sinistra difficulter moveantur, melius fulcitur materies, in partibus vero mobilioribus minus.

Λοιπὸν τοίνυν περὶ τῶν κοινῶν συμπτωμάτων διελθεῖν καιρός, κοινὰ δὲ συμπτώματα λέγομεν ὅσα πάσαις ὡς ἐπὶ τὸ πολὺ συμβαίνει ταῖς ἡλικίαις, οἷον περὶ ἰλίγγων καὶ πταρμῶν καὶ χάσμης, ἔτι δὲ λυγμοῦ καὶ σκοτοδινήσεως καὶ ἐρυγμῶν τε καὶ τῶν τοιούτων ἁπάντων, αὐτά τε διὰ τί γίνεται, καὶ πῶς διατεθέντων τῶν σωμάτων, καὶ διὰ τί τούτων ἔνια μέν ἐστιν ἀλλήλων λύσις, ἔνια δ' οὔ, καὶ ποίοις ἐργωδῶς γίνεται, μετὰ δὲ ταῦτα περί τε φαλακρῶν καὶ μαδίσεως τριχῶν, καὶ ὅλως διὰ τί αὔξονται καὶ φθείρονται τρίχες καὶ ὄνυχες, καὶ κατὰ ποίους καιρούς, καὶ διὰ τί μέλαιναι καὶ πυρραὶ καὶ λευκαὶ γίνονται τρίχες, πρὸς δὲ τούτοις περί τε φωνῆς καὶ τῶν περὶ φωνὴν συμπτωμάτων, οἷον διὰ τί ὀξεῖαι καὶ βαρεῖαι γίνονται, καὶ πῶς ἀπορρήγνυνται, καὶ διὰ τί ἔνιοι διὰ τῶν ῥινῶν φθέγγονται, καὶ πάλιν περὶ ἀκοῆς καὶ ὀσμῆς καὶ γέλωτος, εἶτα περὶ ναυτίας, καὶ διὰ τί οἱ μὲν τοῦτο πάσχουσιν, οἱ δ' οὔ, καὶ ποῖοι μάλιστα.

Ceterum jam tempus est ut de adcidentibus communibus disseramus; adcidentia autem communia vocamus quæcumque omnibus ætatibus vulgo eveniunt, ut de vertiginibus, de sternutationibus, de oscitatione, insuper de singultu, de obfuscatione, de ructibus omnibusque hujusmodi, quamobrem ipsa fiant, et qua corporis conditione, et quamobrem alia quidem ab aliis liberent, alia vero non, ac quibusnam moleste eveniant, post hæc de calvis et pilorum defluvio, et in universum quamobrem augeantur et pereant pili et ungues, et quibus obcasionibus, tum quare nigri rufique et albi fiant pili, præterea de voce ejusque adcidentibus, e. g. quamobrem acuta et gravis reddatur, et quomodo abrumpatur, et quare nonnulli per nares loquantur, atque porro de auditu et olfactu et risu, deinde de nausea, et quare alii quidem hoc patiantur, alii vero non, et quinam maxime.

λθ'. Διὰ τί κάτω μὲν βλέποντες ἰλιγγιῶμεν ἀφ' ὑψηλοῦ, ἄνω δ' οὔ; Ἢ ὅτι ὁ μὲν ἴλιγγός ἐστι κινουμένου τοῦ ἄκρου τῆς ὄψεως, οἷον τοῦ ἐν τῷ ἐγκεφάλῳ· ἰλιγγιῶμεν γὰρ ὅταν παρατρέχωσι πολλοί, ἂν τὴν ὄψιν ἐφ' ἕκαστον ἐπιβάλωμεν, ὑπὸ τῶν παρατρεχόντων κινουμένης τῆς ὄψεως. Ὄντος δὲ τοιούτου τοῦ ἰλιγγιᾶν, ὅταν κάτω βλέπωμεν, ἐὰν μὲν ἀπὸ βραχέος, οὐχ ἰλιγγιῶμεν, διὰ τὸ ἐπερείδεσθαι τὴν ὄψιν· ἐὰν δ' ὑψόθεν φερομένη κάτω ἡ ὄψις πρὶν ἀπερείσασθαι κινῆται, καὶ τὸ ἄκρον ἐκεῖνο κινεῖται· ἄνω δ' ὅταν βλέπωμεν, ποῦ ὀισθήσεται ἰοῦσά τε φέρεται; Εἰκότως οὖν κάτω βλέπουσι γίνεται ἴλιγγος.

39. Quare ab alto deorsum quidem spectantes vertigine adficimur, sursum vero non? An quia vertigo fit, ubi intuitus extremum movetur, verbi gratia quod intra cerebrum est: vertigine enim adficimur, quando prætereunt multi, dummodo unicuique intuitum injiciamus, quippe quum intuitus a prætereuntibus movetur. Quum autem vertigo hujusmodi res sit, quando deorsum spectamus, parvo quidem intercedente intervallo, vertiginem non sentimus, quia intuitus fulcitur; si vero ex alto inferiora petens intuitus, antequam fulcimentum inveniat, moveatur, extremum hoc itidem movetur; sursum vero ubi spectamus, quo abibit profectusque fertur? Merito igitur deorsum spectantibus evenit vertigo.

μ'. Διὰ τί μόνον ἡμῖν ὁ πταρμὸς τῆς νυκτός, ὡς ἐπὶ τὸ πολύ, οὐ γίνεται, τὰ δ' ἄλλα, ὡς εἰπεῖν, ἅπαντα ἃ καὶ τῆς ἡμέρας, καὶ τῆς νυκτός; Ἢ ὅτι ὁ μὲν πταρμὸς γίνεται ὑπὸ θερμοῦ τινος κινήσαντος τὸν τόπον τοῦτον ἀφ' οὗ γίνεται; διὸ καὶ ἀνακύπτομεν πρὸς τὸν ἥλιον ὅταν βουλώμεθα πταρῆναι· καθευδόντων δ' ἡμῶν ἀντιπερισπᾶται τὸ θερμόν· διὸ καὶ γίνεται τὰ κάτω θερμὰ τῶν καθευδόντων καὶ τὸ πνεῦμα πολύ. Εἰκότως οὖν οὐ πταρνύμεθα· ἀπαλλαγέντος γὰρ τοῦ θερμοῦ ἐκ τῆς κεφαλῆς, ὃ κινεῖν πέφυκε τὸ ἐνταῦθα ὑγρόν, οὗ ἐξωθουμένου πέφυκεν ὁ πταρμὸς γίνεσθαι, καὶ τὸ συμβαῖνον πάθος εἰκὸς οὐ γίνεσθαι.

40. Quamobrem sola sternutatio nobis plerumque noctu non evenit, reliqua vero, ut ita dicam, omnia quæ interdiu, et noctu? An quia sternutatio fit a calore quodam movente locum illum qui ei ansam dat? hinc etiam caput ad solem erigimus, ubi sternutare volumus; dormientibus vero nobis undique retrahitur calor: propterea et partes inferiores incalescunt nobis dormientibus et spiritus copia augetur. Merito igitur non sternutamus: ubi enim e capite abierit calor, qui naturaliter movet humorem ibi obvium, cujus expulsio sternutationem producere solet, nil mirum, adfectum consequentem etiam non fieri.

μα'. Διὰ τί τρίψαντες τὸν ὀφθαλμὸν παυόμεθα τῶν πταρμῶν; Ἢ ὅτι ἡ ἀναπνοὴ ταύτῃ γίνεται τῷ ὑγρῷ; δακρύει γὰρ ὁ ὀφθαλμὸς μετὰ τὴν τρίψιν, ὁ δὲ πταρμὸς ἐκ πλήθους ὑγρότητος. Ἢ ὅτι τὸ ἔλαττον θερμὸν φθείρεται ὑπὸ τοῦ πλείονος, ὁ δ' ὀφθαλμὸς τριφθεὶς πλείω λαμβάνει θερμότητα τῆς ἐν τῇ ῥινί; Διὰ τοῦτο δὲ καί, ἥν τις τὴν αὐτοῦ ῥῖνα τρίψῃ, παύεται ὁ πταρμός.

41. Quamobrem fricato oculo sternutationibus finem imponimus? An quia exhalationem ibi reperit humor? lacrymatur enim oculus post frictionem, sternutatio autem ab humoris copia provenit. An quia minor calor a majore deletur, oculusque fricatus majorem capit calorem quam qui in naribus aderat? Propterea et, si quis nares suas fricet, cessat sternutatio.

μβ'. Διὰ τί ἰλιγγιῶσιν εἰς ταὐτὸ βλέποντες, κἂν κύκλον κινούμενον ἴδωσιν; ἄτοπον γάρ τι τὴν ἠρεμίαν τῇ κινήσει ταὐτὸ ποιεῖν ἐναντία ὄντα. Ἢ ὅτι διίστησι καὶ ἡ στάσις τὰ τῷ κινεῖσθαι σωζόμενα; τῆς ὄψεως γὰρ στάσης τοῦ ἑνὸς μορίου καὶ τὰ ἄλλα συνεχῆ ἐν τῷ ἐγκεφάλῳ ἵσταται· ὁ δὲ κυκλεύων, ὥσπερ καὶ Ἡράκλειτός φησι, κἂν μεταταράττῃ, ἵσταται. Τοῦτο δὴ δεῖ νοῆσαι πάσχοντα καὶ τὰ ἐν τῇ κεφαλῇ χωρίς· τὰ μὲν γὰρ καὶ ἠθροισμένα εἰς ταὐτὸ τὰ βαρέα ποιεῖ τὸν ἴλιγγον. Ἡ μὲν οὖν ἠρεμία διὰ τοῦτο ποιεῖ ἴλιγγον· ἡ δὲ δίνησις τὰ βαρέα καὶ τὰ κοῦφα διίστησι, τὰ μὲν βαρέα εἰς τὸ μέσον, τὰ δὲ κοῦφα ἐπὶ τὸ ἔσχατον, δέον ἅμα τούτου τὸ εἶναι. Διὰ τοῦτο καὶ τὸ κύπτειν ἰλίγγους ποιεῖ· χωρίζεται γὰρ τὰ μὲν βαρέα κάτω, τὰ δ' ἐλαφρὰ ἄνω· φανερὰν δ' ἐκ τούτων οὐδεμίαν κίνησιν τὰ ἐν τῇ κεφαλῇ κινεῖται.

42. Quamobrem vertigine adficimur eamdem rem intuentes, itemque circulum ubi moveri videmus? absurdum enim est quietem idem efficere ac motus, quum contraria sint. An quoniam quies disjicit quæ motu servantur? intuitu enim unius partis stante reliquæ ei continuæ in cerebro stant; nam qui in orbem vertitur, uti et Heraclitus dicit, etiamsi locum mutet, stat. Opinari sane oportet, hoc idem quoque seorsum pati quæ capiti insunt: quæ enim in eumdem locum colliguntur, gravia nempe, vertiginem efficiunt. Quies igitur hanc ob causam vertiginem adfert; gyrus vero gravia et levia disjicit, gravia quidem ad medium, levia vero ad extremum, quum ambo deberent conjuncta esse. Propterea reclinatio etiam vertigines creat: secedunt enim gravia quidem deorsum, levia vero sursum; propter hæc autem nullum motum manifestum faciunt quæ capiti insunt.

μγ'. Διὰ τί ἰλιγγιῶσι καὶ δι' ἔνδειαν καὶ διὰ πλησμονήν; Ἢ ὅτι δι' ἔνδειαν μὲν σύντηξις γίνεται εἰς τὰ κενά, διὰ πλήρωσιν δὲ περιττώσεως ὑπερβολὴ εἰς τοὺς πλήρεις πόρους, ταῦτα δ' ἀμφότερα βαρύνει καὶ ἐφίστησι τὰς περιόδους, τοῦτο δ' ἐστὶν ἴλιγγος;

43. Quamobrem vertigine adficiuntur tum propter defectum, tum propter plenitudinem? An quia propter defectum colliquatio fit ad loca vacua, propter repletionem vero excrementorum redundantia ad meatus plenos, hæc autem ambo gravant et circuitus sistunt, idque vertigo est?

μδ'. Διὰ τί τὸ σκορδινᾶσθαι ἡδύ; Ἢ ὅτι ἐξ ὕπνου πνεῦμα τῇ διατήξει καὶ τῇ κινήσει ποιούμενον ἰὸν ὁμαλῶς διὰ τῶν ἄρθρων ἡδονὴν ποιεῖ; Ὅτι δὲ πνεῦμα ποιεῖ, δῆλον· χασμὴν γὰρ ἅμα ποιεῖ.

44. Quamobrem pandiculatio jucunda? An quia spiritus quem colliquatione et motu creat somnus, æquabiliter articulos percurrens voluptatem facit? Quod autem spiritus eam efficit, manifestum est : simul enim oscitationem adfert.

με'. Διὰ τί ὁ πταρμὸς λυγμὸν μὲν παύει, ἐρευγμὸν δ' οὐ παύει; Ἢ διότι οὐ τοῦ αὐτοῦ τόπου γε ἑκάτερον τὸ πάθος, ἀλλ' ὁ μὲν ἐρευγμὸς κοιλίας, ὁ δὲ λυγμὸς τοῦ περὶ τὸν πνεύμονα κατάψυξις καὶ ἀπεψία πνεύματος καὶ ὑγροῦ, κοινωνοῦσι δ' οἱ περὶ τὸν ἐγκέφαλον τόποι τῷ πνεύμονι, οἷον τοῖς τε ὠσίν; φανερὸν δὲ τῷ ἅμα [ἐνεοὶ] εἶναι οἳ καὶ κωφοὶ γίνονται. Καὶ αἱ νόσοι ἀντιπεριίστανται αἱ τοῦ ὠτὸς εἰς τὰ τοῦ πνεύματος πάθη. Ἐνίοις δὲ σκαλεύουσι τὸ οὖς βῆχες γίνονται. Τὸ δὲ περὶ τὸν πταρνύμενον τῆς ῥινὸς τόπον δηλοῖ ἡ ἀναπνοὴ κοινὴ οὖσα, ὥστε πτάρνυται μὲν θερμαινομένου, ταὐτὸ δὲ συμπάσχει ὁ κάτω τόπος. Ἡ δὲ θερμασία πέττει· διὸ ὄξος μὲν παύει λυγμὸν καὶ ἀπνευστισμοί, ἐὰν ἠρεμαία ἡ λὺξ ᾖ· ἐκθερμαίνει γὰρ τὸ πνεῦμα τὸ κατεχόμενον, ὥστε καὶ ἐν τῷ πταρμῷ ἥ τε κατάσχεσις γινομένη τοῦ πνεύματος τοῦτο ποιεῖ, καὶ τότε ἀθρόως ἔκπνευσις γίνεται καὶ τοῦ κάτω τόπου· ἀδύνατον γὰρ πταρῆναι [μὴ] ἐκπνέοντα. Ἡ οὖν ὁρμὴ ῥηγνύει τὸ ἐγκατειλημμένον πνεῦμα ὃ ποιεῖ τὸν λυγμόν.

45. Cur sternutatio singultui quidem finem imponit, ructui vero non? An quia non ad eumdem locum pertinet uterque adfectus, sed ructus ad ventriculum, dum singultus spiritus humorisque qui circa pulmonem sunt, refrigeratio ac cruditas est; commune autem aliquid habent cum pulmone loca circa cerebrum, verbi gratia cum auribus? Constat eo quod simul muti sunt qui surdi nascuntur. Morbi quoque auris vicissim transformantur in pulmonis adfectus, nonnullisque, ubi aurem scalpunt, tussis evenit. Quod de narium loco sternutationi destinato diximus, probat respiratio quæ utrique communis est, ita ut sternutatio fiat hoc loco incalescente, ejusdemque adfectus particeps fiat locus inferior. Calor autem concoquit : propterea acetum et spiritus retentio singultui finem imponunt, si placidus sit singultus : excalefacit enim spiritus retentus, ita ut spiritus retentio quæ sternutando evenit, idem quoque faciat, atque tum subito fit exspiratio, etiam ex inferiori loco : fieri enim nequit sternutatio nisi exspirando. Impetus igitur rumpit spiritum inclusum qui singultum efficit.

μς'. Διὰ τί χασμησαμένου τινὸς ἀντιχασμῶνται, καὶ ὅταν οὐροῦντα ἴδωσιν, οὐροῦσι, καὶ μάλιστα τὰ ὑποζύγια; Ἢ διὰ τὴν μνήμην; ὅταν γὰρ μνησθῇ, κινεῖται τοῦτο τὸ μέρος. Τοῖς μὲν οὖν ἀνθρώποις διὰ τὸ εὐαισθητότερον εἶναι ἰδοῦσιν εὐθὺς συμβαίνει ἀναμιμνήσκεσθαι, τοῖς δ' ὑποζυγίοις οὐχ αὔταρκες τὸ ἰδεῖν, ἀλλὰ προσδέονται καὶ ἄλλης αἰσθήσεως· διὸ καὶ ὀσφρηθέντα, ὅτι εὐκινητοτέρα αὕτη ἡ αἴσθησις ἄνευ λόγου. Καὶ διὰ τοῦτο εἰς τὸν τόπον ἅπαντα οὐρεῖ, ὅπῃ τὰ πρῶτα οὐρήσει· τότε γὰρ μάλιστα κινοῦνται ὅταν ὀσφρανθῶσιν· ὀσφραίνονται δ' ὅταν πλησιάσωσιν.

46. Quamobrem oscitante aliquo vicissim oscitantur, et ubi mingentem vident, mingunt, atque inprimis jumenta? An propter memoriam? ubi enim meminerint, movetur hæc pars. Hominibus igitur, quia exquisitius sentiunt, simulac viderint, obcurrit memoria; jumentis vero non subficit visus, sed alio insuper sensu indigent : hinc et primum olfaciunt, quia facilius movetur hicce sensus sine ratione. Atque hanc ob causam in eumdem locum mingunt omnia, quo prima minxere : tunc enim inprimis moventur, quum olfecerint; olfaciunt autem postquam adierint.

μζ'. Διὰ τί πτάρνυνται μᾶλλον πρὸς τὸν ἥλιον βλέποντες καὶ κινοῦντες κάρφει τοὺς μυκτῆρας; Ἢ ὅτι ὁ ἥλιος θερμαίνει καὶ τὸ κάρφος τῇ κινήσει, θερμαινομένου δὲ τοῦ ὑγροῦ πνεῦμα γινόμενον ἐκπίπτει θᾶττον; οὐ γὰρ δύναται ὁ ἴσος τόπος πλείω γινόμενον τὸν ὄγκον στέγειν, ἡ δ' ἔκπτωσις πταρμὸς καλεῖται.

47. Quamobrem sternutamus potius solem adspicientes ac festuca nares moventes? An quia sol calefacit, itemque festuca motu suo; calefacto autem humore, spiritus qui gignitur, citius excidit? æqualis enim locus capere nequit molem auctam; eruptio autem sternutatio vocatur.

μη'. Διὰ τί ἐν τῷ χειμῶνι ἔλαττον οἱ ἄνεμοι ἀναπνέουσιν; Ἢ ὅτι ἐν μὲν τῷ θέρει ὁ ἀναπνεόμενος ἀὴρ διὰ τὴν ἀλέαν οὐχ ἱκανῶς καταψύχει, εἶτα πάλιν δεῖται τοῦ καταψύχοντος (διὸ ἀναπνεῖ ταχύ. Τοῦτο δ' αἴτιον καὶ τοῦ περὶ τὰς τελευτὰς ἀναπνεῖν ταχύ· διὰ γὰρ τὴν ἀδυναμίαν τῆς ὁλκῆς τοῦτο γίνεται· ὀλίγος γὰρ ἑλκυσθεὶς οὐ διαψύχει, ὀλίγος δ' εἰσέρχεται δι' ἀσθένειαν τῆς σπάσεως)· ἐν δὲ τῷ χειμῶνι τοὐναντίον; ἡ γὰρ ὥρα συγκαταψύχει.

48. Quamobrem hyeme minus reflant venti? An quia æstate quidem aer reflatus propter æstum non satis refrigeratur, dein rursus refrigerio indiget (propterea reflat cito. Hoc idem causa est, cur circa finem reflent cito : propter tractus enim debilitatem hoc fit : nam quum parum aeris adtrahitur, non penitus refrigerat; parum autem intrat propter tractus debilitatem); hyeme vero contrarium obtinet? tempestas enim simul refrigerat.

μθ'. Διὰ τί ἀνισταμένοις ἴλιγγος μᾶλλον γίνεται ἢ καθέζουσιν; Ἢ διότι ἠρεμοῦσιν αὐτοῖς τὸ ὑγρὸν συνίσταται ἐν τῇ κεφαλῇ πλέον, κινουμένοις δὲ γίνεται δῆλον καὶ ποιεῖ τὸν ἴλιγγον εἰς ἓν μόριον ἀθρόον ἀποκλίναν (διὸ καὶ τὰ ὠμὰ οὐ δύναται κινεῖσθαι, ἀλλὰ καταπίπτει)· κινουμένων δὲ τὸ ὑγρὸν ὁμοίως ἔχει; Ἀνίστανται μὲν οὖν ἠρεμήσαντες ὅτε οὕτω διάκεινται· καθέζουσι δὲ ἐν κινήσει γενόμενοι ὅτε ὁμαλῶς ἔχει τὸ ὑγρὸν καὶ ἐσκέδασται.

49. Quare surgentibus potius fit vertigo quam sedentibus? An quoniam quiescentibus illis plus humoris colligitur in capite, isque per motum manifestatur atque vertiginem efficit, subito ad unam partem se convertens (propterea et cruda moveri nequeunt, sed decidunt); dum vero movemur, humor eodem modo se habet? Surgunt itaque post quietem, ubi ita se habent; sedent vero motu peracto, quando æquabiliter se habet humor ac dispersus est.

ν'. Διὰ τί τῶν μὲν ἄλλων πνευμάτων αἱ διέξοδοι οὐχ ἱεραί, οἷον φύσης καὶ ἐρευγμοῦ, ἡ δὲ τοῦ πταρμοῦ μόνη; Πότερον ὅτι τριῶν ὄντων τόπων, κεφαλῆς καὶ θώρακος καὶ τῆς κάτω κολίας, ἡ κεφαλὴ θειότατον, ἔστι [δὲ] φῦσα μὲν ἀπὸ τῆς κάτω κοιλίας πνεῦμα, ἐρευγμὸς δὲ τῆς ἄνω, ὁ δὲ πταρμὸς τῆς κεφαλῆς; Διὰ γοῦν τὸ ἱερώτατον εἶναι τόπον καὶ τὸ πνεῦμα τὸ ἐντεῦθεν ὡς ἱερὸν προσκυνοῦσιν. Ἢ ὅτι τὰ πνεύματα σημαίνει τοὺς εἰρημένους τόπους βέλτιον ἔχειν, ὡς ἐπὶ τὸ πολὺ μὴ διαχωρούντων; κουφίζει γὰρ πνεῦμα διεξιόν, ὥστε καὶ ὁ πταρμός, τὸν περὶ τὴν κεφαλὴν τόπον, ὅτι πνεῖ καὶ δύναται πέττειν· ὅταν γὰρ κρατήσῃ ἡ ἐν τῇ κεφαλῇ θερμότης τὴν ὑγρότητα, τὸ πνεῦμα τότε γίνεται πταρμός· διὸ καὶ τοὺς ἐκθνήσκοντας κρίνουσι πταρμικῷ, ὡς ἂν μὴ τοῦτο δύνωνται πάσχειν, σώους εἶναι, ὥστε [ὡς] σημεῖον ὑπὲρ τοῦ ἀρίστου τόπου καὶ ἱερωτάτου προσκυνοῦσιν ὡς ἱερόν, καὶ φήμην ἀγαθὴν ποιοῦνται.

50. Quamobrem, quum reliqui spiritus transitus sacri non sint, veluti flatus et ructus, sternutamentum solum sacrum est? Utrum quia, quum tres adsint loci, caput, pectus et venter inferior, caput maxime divinum est; atqui flatus quidem spiritus est ab inferiori ventre profectus, ructus vero a superiori, sternutamentumque a capite? Quia igitur locus sacerrimus est, spiritum quoque inde profectum ut sacrum venerantur. An quia spiritus plerumque significant dictos hosce locos melius sese habere ac si non transirent? levat enim spiritus transiens : quapropter et sternutamentum significat, capitis locum flare et concoquere posse : ubi enim vicerit capitis calor humorem, tunc spiritus fit sternutamentum : hinc et qui animo linquuntur, medicamento sternutatorio discernunt, nullam spem salutis iis esse judicantes, si ita adfici nequeant : ut signum igitur de optimo ac sacerrimo loco, tamquam sacrum venerantur sternutamentum bonumque omen habent.

να'. Διὰ τί ὁ ἄνθρωπος μᾶλλον πτάρνυται τῶν ἀλόγων ζῴων; Πότερον ὅτι τοὺς πόρους εὐρεῖς ἔχει δι' ὧν τὸ πνεῦμα καὶ ἡ ῥύμη εἰσέρχεται; τούτοις γὰρ πληρουμένοις πνεύματος πτάρνυται. Ὅτι δ' εὐρεῖς, σημεῖον ὅτι ἥκιστα ὀσφραντικὸν τῶν ἄλλων ζῴων· ἀκριβέστεροι δ' οἱ λεπτόποροι. Εἰ μὲν [οὖν εἰς] τοὺς εὐρεῖς πλέον καὶ πλεονάκις εἰσέρχεται τὸ ὑγρόν, οὗ πνευματουμένου πταρμὸς γίνεται, τοιούτους δὲ μάλιστα τῶν ζῴων οἱ ἄνθρωποι ἔχουσι, πλειστάκις ἂν πτάρνυντο εἰκότως. Ἢ ὅτι ἐλάχιστοι οἱ μυκτῆρες, ὥστε θερμανθὲν ὑγρὸν ταχὺ ἐξιέναι δύνασθαι πνεῦμα γενόμενον, ἐν δὲ τοῖς ἄλλοις διὰ τὸ μῆκος καταψύχεται πρότερον;

51. Quamobrem homo magis sternutat quam animalia ratione carentia? Utrum quia amplos habet meatus per quos spiritus et impetus ingrediuntur? his namque spiritu repletis sternuit. Horum autem meatuum latitudo eo probatur quod inter omnia alia animalia minime olfactu valet : exquisitiores enim sunt qui subtiles habent meatus. Quodsi igitur amplos meatus majori copia et sæpius intrat humor, quo in spiritum converso sternutamentum fit, hujusmodique meatus maxime inter omnia animalia habent homines, merito frequentissime sternutabunt. An quia brevissimæ sunt nares, ita ut humor calefactus cito exire possit in spiritum conversus, in reliquis vero animalibus propter longitudinem refrigeratur ante?

νϐ'. Διὰ τί οἱ πρεσβῦται χαλεπῶς πτάρνυνται; Πότερον ὅτι οἱ πόροι συμπεπτώκασι δι' ὧν τὸ πνεῦμα ἐκκρίνεται; Ἢ τῷ ἀδυνατεῖν ἄνω βλέπειν ῥᾳδίως, βίᾳ ἀφιᾶσι κάτω;

52. Quamobrem senes difficulter sternutant? Utrum quia meatus conciderunt, per quos spiritus excernitur? An quia sursum spectare nequeunt facile, vi deorsum emittunt?

νγ'. Διὰ τί, ἐάν τις ἀποπνευματίζῃ, ἡ λὺγξ παύεται; Ἢ διότι ἡ μὲν λὺγξ ἀπὸ ψύξεως γίνεται (διὸ καὶ οἱ φοβούμενοι καὶ οἱ ῥιγοῦντες λύζουσιν)· κατεχόμενον δὲ τὸ πνεῦμα θερμαίνει τὸν ἐντὸς τόπον;

53. Quamobrem, si quis flatum ventris emittit, cessat singultus? An quia singultus quidem a refrigerio provenit (hinc et metuentes ac rigentes singultiunt); spiritus autem retentus calefacit locum interiorem?

νδ'. Διὰ τί τῶν τετελευτηκότων οἱ ὄνυχες καὶ αἱ τρίχες αὔξονται ἐπί τινα χρόνον, καὶ τῶν πρεσβυτῶν; Ἢ διότι τῶν περὶ τὸ σῶμα ἀπαθέστερα ταῦτά ἐστιν;

54. Quamobrem mortuorum ungues ac pili augentur aliquantisper, itemque senum? An quia hæc omnium par-

Ὕστερον οὖν τὸ πάθος τοῦ συμπτώματος ἐπί τινα χρόνον αὔξεται.

tium corporis minime adfectibus obnoxiæ sunt? Post eventum igitur adfectus aliquantisper augetur.

νε'. Διὰ τί ποτε ἐν τῷ πώγωνι τρίχες βραδύτερον παραγινόμεναι θᾶττον λευκαίνονται; Ἢ διότι ὡς ἐπὶ τὸ πολὺ αἱ ἐν τῷ πώγωνι τρίχες πυρρότεραι τῶν ἐν τῇ κεφαλῇ γίνονται; Ἐλάττων οὖν ἡ μετάβασις ἐκ τῆς πυρρᾶς τριχὸς εἰς τὴν λευκὴν ἢ ἐκ τῆς μελαίνης. Ἢ ὅτι τὰ ἐκ τῆς κεφαλῆς ῥεύματα πάντα εἰς τὸ στόμα φέρεται καὶ εἰς τοῦτον τὸν τόπον; διὸ ἀσθενεστέρα ἡ θρὶξ γίνεται. Διὰ τὴν ἀσθένειαν οὖν μᾶλλον πολιοῦται. Εἶτα τριχὸς οὐχ ἡ αὐτή ἐστι διαφορὰ μόνον, ἀλλὰ καὶ ἐν τῷ ἐκρεῖν τὴν κεφαλὴν μᾶλλον ἢ ἐν τῷ πώγωνι ἐγγίνεται· φαλακροὶ γὰρ τὴν κεφαλὴν τελέως γίνονται.

55. Cur tandem barbæ pili qui tardius adveniunt, citius albescunt? An quia plerumque barbæ pili magis rufi nascuntur quam capilli? Minor igitur transitus a pilo rufo quam a nigro ad album. An quia fluxiones de capite descendentes omnes ad os feruntur atque ad hunc locum? propterea debilior fit pilus. Propter debilitatem igitur magis canescit. Dein non unica tantum exstat pili species, sed defluvium quoque in capite magis obtinet quam in barba: penitus enim capite calvescunt.

νς'. Διὰ τί ὁ πώγων, ὡς ἐπὶ τὸ πολύ, καὶ μᾶλλον καὶ πρότερον πολιοῦται τῆς κεφαλῆς, ὕστερος γινόμενος; Ὅτι ἡ πολιὰ δι' ἀσθένειαν γίνεται τόπου καὶ τροφῆς, ὥσθ' ὅπου τοιαῦται αἱ τρίχες, καὶ ὅς τις μάλιστα τοιοῦτος τόπος, οὗτος ἂν μάλιστα καὶ πλεῖστα πολιοῖτο· αἱ δ' ἐν τῷ γενείῳ τρίχες τοιαῦται, καὶ ὁ τόπος τοιοῦτος; Σημεῖον δὲ καὶ τὸ θῆλυ· ἐνταῦθα γὰρ μόνον τρίχας ἁπλῶς οὐκ ἔχει, ἐπὶ δὲ τῆς ἥβης καὶ ἐν ταῖς μασχάλαις ἔχει. Καὶ οἱ τὴν γένεσιν διαφθειρόμενοι δι' ἀσθένειαν παρατηροῦνται τοῦτο πάσχειν, ὥσθ' ὅσοι πολιοῦνται, διὰ τοῦτο τὸν πώγωνα πολιώτατοι γίνονται· πρῶτος γὰρ δι' ἀσθένειαν μάλιστα πάσχει.

56. Quamobrem barba plerumque et magis et prius canescit quam caput, etiamsi serius nascatur? Quia cani a debilitate, cum loci, tum alimenti proveniunt, ita ut, ubi tales sunt pili, et quicumque locus maxime hujusmodi, illi inprimis et maxima parte canescet; menti autem pili tales sunt et locus ejusmodi? Argumento etiam est femina: illic enim tantummodo simpliciter pilis caret, in pube vero et axillis habet. Eos quoque, quorum generandi facultas propter debilitatem perit, eodem modo adfici observarunt, ita ut quicumque canescunt, hanc ob causam barba maxime canescant: prima enim propter debilitatem maxime adficitur.

νζ'. Διὰ τί ἐν τῇ ἥβῃ τρίχες βραδύτεραί εἰσι καὶ ἧττον αὔξονται τῶν ἐν τῷ πώγωνι, πρότερον γινόμεναι καὶ ἐν ὑγροτέρῳ τόπῳ οὖσαι; Διότι ὁ τόπος ἀραιὸς ὁ παρὰ τὴν ἥβην ἐστὶ καὶ ὑγρός, ὥστ' ἀεὶ μὲν ἔχει τροφὴν (διὸ οὐκ ἐκλείπει), ἀλλ' ὀλίγον· οὐ γὰρ ὑπομένει ὡς αὐξητικόν. Ὅτι δ' ἀραιὸς ὁ τόπος, δηλοῖ ὁ γινόμενος ὄγκος τῶν αἰδοίων· ὁ δὲ τοῦ γενείου ἧττον τοιοῦτος.

57. Quamobrem pili pubis tardiores sunt et minus augentur quam barbæ, etiamsi prius nascantur ac humidiorem teneant locum? Quia locus circa pubem rarus est et humidus, ita ut semper habeat alimentum (hinc non deficit), sed parum: non enim permanet, ita ut augere valeat. Locum autem rarum esse probatur turgore qui pudendis evenit; menti vero locus minus hujusmodi est.

νη'. Διὰ τί ἐν τοῖς ἐπὶ τῶν ποδῶν ὄνυξι τὰ λευκὰ σημεῖα οὐκ ἐγγίνεται ὥσπερ ἐπὶ τοῖς τῶν χειρῶν, ἃ καλοῦσιν οἱ μὲν ἐραστάς, οἱ δὲ ψεύδη; Ἢ διότι τῷ βραδέως αὐξάνεσθαι τοὺς ἐπὶ τοὺς πόδας ὄνυχας, ταχὺ μελαίνεται πρὶν κινηθῆναι καὶ αὐξηθῆναι, ἐπεὶ δῆλον τὸ ἕπον * ἐπὶ τοῦ δέρματος, τοῦτο δ' ἐστὶ τὰ λευκὰ σημεῖα; ὅπερ ἐν τοῖς ἄνω ὄνυξι τὰ λευκὰ φαίνονται· οἱ δ' ἐπὶ τῶν χειρῶν ταχὺ αὔξονται.

58. Cur in pedum unguibus non nascuntur notæ albæ, uti in manuum, quas vocant alii quidem amatores, alii vero mendacia? An quoniam propter tardum pedum unguium incrementum cito nigrescunt, priusquam moveantur ac augeantur, non manifestum est id quod cuti incumbit, id autem sunt notæ albæ? propterea in superioribus unguibus adparent alba hæc; manuum vero ungues celeriter crescunt.

νθ'. Διὰ τί οἱ τῶν γερόντων ὄνυχες σκληρότεροι ἢ οἱ τῶν νεωτέρων εἰσίν, αὔξονται δὲ θᾶττον; Ἢ σκληρότεροι μὲν διότι καὶ τὸ δέρμα σκληρότερον, καὶ τὰ ὀστᾶ, καὶ ὅλως τὰ γεώδη, διὰ τὸ ἐξανηλῶσθαι τὸ ὑγρόν, ὁ δ' ὄνυξ τοιούτου γένους ἐστίν· θᾶττον δ' αὐξάνεται, διότι πλείονα τροφὴν λαμβάνει; πλεῖον μὲν γὰρ τό τε περίττωμα τὸ γεῶδες ἐν τῷ γήρᾳ, ἐκ δὲ τῶν τοιούτων περιττωμάτων τρέφονται τρίχες καὶ ὄνυχες. Ἢ ὅτι καὶ τὰ μὲν ὀστᾶ μέχρι τινὸς αὐξάνεται, τὰ δ' οὔ;

59. Quamobrem senum ungues duriores sunt quam juniorum, crescunt vero celerius? An duriores quidem sunt, quia cutis quoque durior, et ossa, et in universum partes terrenæ, quia humor exhaustus est, unguis autem ad hujusmodi genus pertinet; celerius vero crescit, quia plus alimenti recipit? major enim est copia excrementorum terrenorum in senectute; ex hujusmodi vero excrementis nutriuntur pili et ungues. An quia et alia quidem ossa aliquantisper crescunt, alia vero non?

ξ'. Διὰ τί οἱ τοῦ ἀνθρώπου ὄνυχες μαλακώτατοι; Πότερον ὅτι καὶ τὸ δέρμα; οἱ δ' ὄνυχες ἐκ τοῦ δέρματος γίνονται. Ἢ ὅτι τοῖς ἄλλοις ἄλλοι ὄνυχες; Ὅσοις οὖν σκληρότεροι, τούτοις χρήσιμοί εἰσι μᾶλλον.

60. Quamobrem hominis ungues mollissimi sunt? Utrum quia et cutis? ungues enim e cute proveniunt. An quia reliqua animalia alios habent ungues? Quibus igitur duriores, his et utiles potius sunt.

ξα'. Διὰ τί οἱ ἐκ γενετῆς τυφλοὶ οὐ γίνονται φαλακροί; Πότερον ὅτι μεθέστηκεν ἡ θερμότης πηρωθέντων τῶν ὀμμάτων εἰς τὸν πλησίον τόπον; Οὐκοῦν οὐ καταψύχεται ὁ τόπος, ἀλλ' ἀεὶ ἔχει τροφήν· ἡ δὲ φαλακρότης ἀπὸ ψύξεως. Ἢ διότι ποτὲ μὲν ὁ τόπος ἔχει θερμότητα, ὥστ' ἀναλίσκειν τὴν τροφήν, καὶ οὐ γίνεται ἐν τῷ πρόσθεν περίττωμα· πηρωθέντων δὲ κατέψυκται, ὥστε πολὺ τὸ περίττωμα ἐν τῷ τόπῳ, αἱ δὲ τρίχες γίνονται ἀπὸ περιττώματος;

61. Cur qui nati sunt cœci, calvi non evadunt? Utrum quod calor, mutilis oculis, se in proximum transtulit locum? Itaque non refrigeratur locus, sed semper habet alimentum; calvities autem a frigore provenit. An quia olim quidem locus calorem habebat, ita ut alimentum absumeret, nec generabatur olim redundantia; mutilatione vero refrigeratus est locus, ita ut multam contineat redundantiam; pili autem e redundantia fiunt?

ξϐ'. Διὰ τί ὁ μὲν πώγων γίνεται πυρρὸς ἄνευ τῆς κεφαλῆς, ἡ δὲ κεφαλὴ πυρρὰ ἄνευ τοῦ πώγωνος οὐ γίνεται; Ἢ διότι αἵ τε πυρραὶ τρίχες δι' ἀσθένειαν γίνονται, καὶ ἐν τῷ πώγωνί εἰσι τρίχες ἀσθενέστεραι φύσει; Σημεῖον δέ· ἀγένειοι γὰρ γίνονται ἀλλ' ἢ ὀψὲ φαλακρά. Δῆλον οὖν ὡς ὁ τόπος οὐ δύναται φέρειν· διὸ ἐὰν μὲν καὶ ὁ ἰσχυρότερος πυρρὰς φέρῃ, καὶ τὸ ἀσθενέστερον ἀνάγκη· ἐὰν δ' οὗτος, οὔπω ἀνάγκη καὶ τὸ ἰσχυρότερον.

62. Cur barba quidem absque capite rufescit, caput autem absque barba non? An quoniam pili rufi ex imbecillitate oriuntur, et in barba pili natura sunt imbecilliores? Argumento est quod imberbes nonnisi sero calvescunt. Constat igitur locum ferre non posse: hinc qui validior est locus, si rufos ferat, imbecilliorem quoque eos ferre necesse est; sed si hic, non item necessario et qui validior.

ξγ'. Διὰ τί αἱ μακραὶ τρίχες ῥέουσιν; Ἢ διότι μόχλος μὲν ἡ θρίξ, ὑπομόχλιον δὲ τὸ δέρμα γίνεται, εὐκίνητα δὲ τὰ πλέον ἀπέχοντα τοῦ ὑπομοχλίου, καὶ ὅλως τοῦ ἠρεμοῦντος; Δῆλα δὲ ταῦτα ἐν τοῖς Μηχανικοῖς.

63. Cur defluunt pili longi? An quia pilus quidem vectis fit, cutis vero hypomochlium, facileque moventur quæ longius ab hypomochlio, atque in universum a quiescente, distant? Patent hæc in Mechanicis.

ξδ'. Διὰ τί ἐν ταῖς βλεφαρίσι τρίχες οὐ γίνονται πολιαί; ['Εκ ποιότητος τῆς τροφῆς] τῆς περὶ τοὺς ὀφθαλμούς. Σημεῖον δέ· πίων ἡ σὰρξ γίνεται· ἀπὸ δὲ τῆς τοιαύτης τροφῆς εὐλόγως οὐκ αὔξεται ἐπὶ πολὺ ἡ θρὶξ αὐτῆς· ἐκ γὰρ τῶν τοιούτων [οὐ] γίνεται περιττωμάτων. Οὔτε πολιοῦται· φθορᾷ γάρ τινι καὶ φαυλότητι τῆς τροφῆς πολιοῦσθαι συμβαίνει.

64. Quamobrem palpebrarum pili non canescunt? Propter qualitatem alimenti quod circa oculos invenitur. Argumento est quod pinguis gignitur caro: ab hujusmodi autem alimento jure non augetur admodum hujus pilus: ex talibus enim [nec] gignitur redundantiis. Neque canescit: corruptione enim et vitio alimenti evenit canities.

ξε'. Διὰ τί οἱ ἐπὶ τῶν χειρῶν ὄνυχες θᾶττον αὐξάνονται ἢ ἐπὶ τῶν ποδῶν; Ἢ ὅτι εἰς τὰ ἄνω ἡ αὔξησις μᾶλλον χωρεῖ; διὸ καὶ τρίχες μᾶλλον αὐξάνονται ἄνωθεν ἐπὶ τοῦ γενείου ἢ ἐπὶ τῆς ἥβης. Ἢ διότι ἐν ἀλέᾳ μὲν αἱ χεῖρες, οἱ δ' ἐν ψύξει, αὔξεται δὲ τὰ ἀλεαινόμενα μᾶλλον πάντα; Ἢ ὅτι θερμότεραι αἱ χεῖρες καὶ ὑγρότεραι, οἱ δὲ πόδες ψυχρότατοι τοῦ σώματος, καὶ τὰ τοιαῦτα μέρη τῶν ἄλλων, λέγω δ' οἷον τρίχες τε καὶ ὄνυχες; Διὰ τοῦτο οὖν αὐτὸ καὶ ψυχροὶ καὶ ἐν ψυχρῷ τόπῳ εἶναι δυσαυξεῖς εἰσιν· οἱ δ' ἐπὶ τῶν χειρῶν τοὐναντίον.

65. Cur manuum ungues celerius crescunt quam pedum? An quia superiora potius petit incrementum? propterea et pili supra in mento magis crescunt quam in pube. An quia manus quidem in tepore positæ sunt, pedes vero in frigore, crescunt autem magis tepentia omnia? An quia calidiores ac humidiores sunt manus, pedes vero omnium corporis partium frigidissimæ, atque hujusmodi partes, pili inquam et ungues, reliquis frigidiores? Ob hanc ipsam igitur causam, quia nempe frigidi sunt et frigidum locum obcupant, difficulter crescunt; manuum vero ungues e contrario.

ξς'. Διὰ τί αἱ τρίχες οὖλαι γίνονται; Ἢ ὅτι δύο φορὰς φέρονται, κρατουμένης δὲ ἔσωθεν φορᾶς τῆς ἐν

66. Quamobrem crispantur capilli? An quia duobus motibus feruntur, dum motus intrinsecus ortus vincitur

τῷ περιέχοντι θερμότητος; διὸ καὶ οἱ Αἰθίοπες τοιοῦτοι.

ξζ'. Διὰ τί ἐν τοῖς πυρικαύτοις τρίχες οὐ φύονται; Πότερον ὅτι πυκνὸν τὸ δέρμα γίνεται, δεῖ δ' ἀραιὸν εἶναι, ᾗπερ ἐκφύεται θρίξ;

ξη'. Διὰ τί αἱ παχεῖαι τρίχες οὐ γίνονται μακραί; Ἢ ὅτι ἡ εἰς τὸ μῆκος αὔξησις εἰς τὸ πάχος ἀναλίσκεται; Ἢ ὅτι αἱ παχεῖαι σκληραί εἰσιν, τὸ δὲ σκληρὸν δυσκίνητον ἐπὶ τὴν αὔξησιν; τὸ δὲ σκληρὸν διὰ τὸ γεῶδες συμβαίνει, ἡ δὲ γεώδης τροφὴ οὐ θέλει ἀναπέμπεσθαι. Διὰ βραχύτητα οὖν τῆς κινήσεως τῷ αὔξοντι θερμῷ φθάνεται καταλαβομένη ἡ ἑτέρα ὑπὸ τῆς ἑτέρας, ὥστ' εἰς βάθος καὶ πλάτος αὔξεσθαι, καὶ οὐκ εἰς μῆκος.

ξθ'. Διὰ τί δὲ πυκνότεραι τῶν λεπτῶν αἱ παχεῖαι; Πότερον φαίνονται διὰ τὸ πάχος; ἔλαττον γὰρ τῶν ἴσων τὸ μεταξὺ φαίνεται. Ἢ διὰ τὸ βραδέως εἰς μῆκος αὔξεσθαι κατὰ πλείους τρόπους ἡ τροφὴ ἀνατέλλει ἐπιβιαζομένη ἐντός, οὐ ταχὺ ὑπεξαγούσης τῆς ἕξεως εἰς τὸ ἄνω;

ξθ' *. Διὰ τί αἱ σκολιαὶ τρίχες, [ὅσον] ἂν εἰς τοὐναντίον ἔλθῃ, τοσοῦτον μᾶλλον εἰς τὴν φύσιν καθίστανται; Ὅτι ἐκείνων ἡ φύσις σκολιά, τὸ δ' εὐθὺ ἐναντίον.

ο'. Διὰ τί οὐκ ἐν τοῖς ὀστώδεσι λεπτότεραι αἱ τρίχες; Ὅτι παχὺ τὸ δέρμα ταύτῃ, ἐκ δὲ τοῦ παχέος παχύτεραι γίνονται.

οα'. Διὰ τί αἱ πυρραὶ τρίχες μελάντεραι γίνονται πυρούμεναι; Ἢ διότι πέττεται μᾶλλον ἐν ὀλίγῳ τὸ ὑγρὸν γινόμενον ὑπὸ τῆς ἐνούσης ἐν τῇ ἀρχῇ θερμότητος· ἔστι δ' ἡ μὲν πυρρὰ ἐκ νοσούσης, ἡ δὲ μέλαινα ἐξ ὑγιοῦς τροφῆς;

οβ'. Διὰ τί Αἰθίοπες μὲν οὐλότριχες, Σκῦθαι δὲ καὶ οἱ πρὸς ἄρκτον εὐθύτριχες; Ἢ διότι ξηραινομένη ἡ θρὶξ ὑπὸ τοῦ ἡλίου συγκάμπτεται ὥσπερ καὶ τὰ ἄλλα, οἱ δ' Αἰθίοπες πρὸς τῷ ἡλίῳ καὶ ἐν ὑπερβολῇ θερμοῦ διατελοῦσιν, οἱ δὲ Σκῦθαι ἐν ψυχρῷ τόπῳ, ὅπουπερ τὸ ὑγρὸν τὸ ἐν ταῖς θριξὶν οὐκ ἐξατμίζει ὁ ἥλιος, ὥστ' οὐδὲ συγκάμπτονται; Ἐπεὶ οὖν ἀνάγκη κεκλασμένας εἶναι, ἢ εὐθείας, εἰ μὴ κεκλασμέναι, εὐθεῖαι ἔσονται.

ογ'. Διὰ τί τοῖς τ' ἀσθενοῦσι καὶ τοῖς πρεσβύταις τὸ μὲν ἄλλο σῶμα φθίνει, οἱ δ' ὄνυχες καὶ αἱ τρίχες αὔξονται; Ἢ ἐπειδὴ τῆς τροφῆς ἡ μὲν εἰς σάρκας, ἡ δ' εἰς χολήν, ἡ δ' εἰς τὰ λεπτομερῆ δίδωσιν; Ὅσα μὲν οὖν θερμὰ καὶ ἰσχυρὰ σώματα, εἰς χολὴν δύνανται καὶ εἰς αἷμα διδόναι τὴν τροφήν, τὰ δ' ἀσθενῆ εἰς ταῦτα μὲν οὔ, εἰς δὲ τὰ ἐλαχίστης δεόμενα τροφῆς, οἷον ὄνυχάς

ab aeris ambientis calore? propterea Æthiopes quoque hujusmodi sunt.

67. Quamobrem in igne ambustis pili non nascuntur? Utrum quia densatur cutis, rara autem esse debet, quo loco pullulat pilus?

68. Quamobrem pili crassi longi non redduntur? An quia incrementum quod in longitudinem fieri deberet, in crassitudinem absumitur? An quia crassi pili duri sunt, res duræ autem difficulter ad crescendum permoventur? durities enim a terreno provenit, terrenum autem alimentum sursum versus emitti recusat. Itaque propter motus brevitatem alter, quippe calore augenti occupatur, ab altero prævertitur, ita ut in crassitudinem ac latitudinem augeantur, non vero in longitudinem.

69. Cur autem densiores sunt crassi quam tenues pili? Utrum ita habere videntur propter crassitudinem? æquales enim (numero) ubi sunt, minus videtur intervallum. An quum tarde in longitudinem crescant, pluribus in locis prorumpit alimentum, intrinsecus vim passum, habitu non cito sursum educente?

69 *. Cur pili incurvi, quanto magis in obpositam partem ierint, tanto magis naturam suam adsequuntur? Quia eorum natura incurva, rectum autem contrarium est.

70. Cur non in locis osseis tenuiores sunt pili? Quia illic crassa est cutis, e crassa autem crassiores nascuntur.

71. Quamobrem pili rufi nigriores fiunt, ubi igni exponuntur? An quia humor in minus spatium coactus magis concoquitur a calore qui principio inest; provenit autem pilus rufus quidem ab alimento morbido, niger vero a sano?

72. Cur Æthiopes quidem crispos habent capillos, Scythæ vero et gentes septemtrionales rectos? An quia capillus, ubi a sole siccatur, flectitur, uti et reliqua; Æthiopes autem soli vicini et in ingenti degunt calore; at Scythæ in loco frigido, ubi humorem qui capillis continetur, non evaporat sol, ita ut etiam non flectantur? Quum igitur necesse sit, eos aut fractos esse, aut rectos, quum fracti non sint, recti erunt.

73. Cur apud languentes ac senes reliquum quidem corpus tabescit, ungues vero et pili crescunt? An quia alia quidem pars alimenti in carnes distribuitur, alia vero in bilem aliaque in membra subtilia? Quæcumque igitur corpora calida ac robusta sunt, in bilem et sanguinem distribuere possunt alimentum; at debilia in hæc quidem non, verum in partes quæ minimo indigent alimento, uti ungues et pilos,

τε καὶ τρίχας, ὥσπερ καὶ τοὺς Ἰλλυριοὺς λέγουσιν ἐξηρημένων καὶ ἀποθανόντων ἐν ὀλίγαις ἡμέραις δασείας τὰς κεφαλὰς ἔχειν, ὡς φθίνοντα τὰ σώματα εἰς ταῦτα τὴν τροφὴν διέδωκεν.

οδ'. Διὰ τί αἱ ἐν τοῖς ποσὶ τρίχες ἥκιστα πολιοῦνται, ἢ ὀψὲ λευκαίνονται τοῖς πολλὰ ἔτη ζῶσιν; Πότερον ὅτι αἱ ἐν τῷ προσώπῳ πρῶται πολιοῦνται ἤπερ αἱ ἐν τῇ κεφαλῇ, ἐναντιώτατος δ' ὁ ἄνω τόπος τῷ κάτω, ἐν δὲ τοῖς ἐναντίοις εὔλογον ἐναντίως συμβαίνειν; Ἢ διότι ἡ πολιὰ δοκεῖ γήρως εἶναι σημεῖον, τὸ δὲ γῆρας φθίσις τις καὶ ἔκλειψις θερμότητος; Ὁ μὲν οὖν τρόπος, διότι γίνονται πολιαί, ἄλλου λόγου· ἀλλὰ τὸ γένος τῆς αἰτίας τοῦ πάθους τοῦτο συμβαίνει, πρεσβυτέρων γενομένων καὶ τῷ τὸ θερμὸν ὑπονοστεῖν δι' ὃ καὶ τὰ πρόσωπα [ῥυτιδοῦται] καὶ τὰ αἵματα παύεται τὰ ἐκ τῶν ῥινῶν ῥέοντα, αἱ δὲ κνῆμαι ἐξικμεῖς τῶν πρεσβυτῶν καὶ αἱμορροΐδες γίνονται. Εἰ οὖν ἡ μὲν πολιὰ ἐνδείᾳ γίνεται ὑγρᾶς θερμότητος, εἰς δὲ τοὺς πόδας κατέρχεται ἡ τοιαύτη δύναμις, ὥσπερ καὶ αἱ ἐν τῇ ἥβῃ ὕστερον πολιοῦνται τῶν ἄνω, ἔτι καὶ αἱ ἐν τοῖς ποσὶ μᾶλλον τούτων· ὅταν δ' ἐκ παντὸς ἐξικμασθῇ ἡ ὑγρὰ θερμότης διὰ τὸ πλῆθος τῶν ἐτῶν, τότε καὶ αἱ ἐν τοῖς ποσὶ τρίχες γίνονται λευκαί.

οε'. Διὰ τί τὰ μὲν ἔρια τῷ ἐλαίῳ ῥαινόμενα λευκότερα γίνεται, αἱ δὲ τρίχες τῶν ἀλειφομένων μελάντεραί εἰσιν; καὶ γὰρ τὰ ἔρια τρίχες. Ἢ ὅτι τὰ μὲν ῥυπαρὰ ξανθότερα γίνεται, αἱ δὲ τρίχες ξηραινόμεναι καὶ ἀπιόντος τοῦ ἐν αὐταῖς ὑγροῦ λευκαὶ γίνονται; Τὸ οὖν ἔλαιον κωλύει· ἥκιστα γὰρ ξηραίνονται. Ἔτι δὲ τοῦτο ὁμοίως συμβαίνει ἐχούσαις προβάλλοντας* τρίχας ἅμα τὰς μὲν ἔτι ζώσας ἐν τῷ σώματι· τὰ δ' ἔρια ἀφηρημένα.

ος'. Διὰ τί τῶν μὲν προβάτων μαλακώτεραι αἱ τρίχες ἀναφέρονται τιλλομένων, τῶν δ' ἀνθρώπων σκληρότεραι; Ἢ ὅτι αἱ μὲν παχύνονται, ὅσῳ ἂν μακρότεραι γίνωνται, ἀποψύχει γὰρ δι' ἀσθένειαν τοῦ θερμοῦ τοῦ ἐν αὐτοῖς ὁ ἀὴρ ὁ κύκλῳ, καὶ μᾶλλον ὅσῳ ἂν πορρωτέρω τοῦ οἰκείου θερμοῦ γίνωνται, ὥστ' ἐπιτελοῦνται· αὐξανόμεναι δὲ διὰ μὲν παχύτητα πλέον ἔχουσι τὸ θερμόν, διὰ δὲ τὸ λίαν ἀποξηραίνεσθαι ῥέοντες, εἰ μή τι κωλύει, λεπτότεραί εἰσι διὰ τὴν αὔξησιν;

οζ'. Διὰ τί τοὺς κροτάφους πολιοῦνται μὲν τάχιστα, φαλακροὶ δ' ἥκιστα γίνονται, καίτοι μηδέτερον, ἢ ἄμφω ἔδει; Ἢ ὅτι ἡ μὲν πολιὰ γίνεται τῷ ποιάν τινα εἶναι τὴν τροφὴν τὴν εἰς τὰς τρίχας διδομένην, ἡ δὲ φαλακρότης τῷ ποσήν; ὅταν γὰρ ψυχθῇ ἡ τροφή, οὐκ αὔξεται, ἀλλ' ὥσπερ τὰ δένδρα τοῦ χειμῶνος, καὶ ὁ τόπος ἕκαστος φυλλορροεῖ, ψυχρᾶς γενομένης καὶ οἷον παγείσης (ὀλίγη παροῦσα ἀδύνατον τρέφειν·) ἡ δὲ πολιὰ ἐκ σαπρᾶς τροφῆς ἐστιν, σήπεται δ' ὅταν ἀπεπτότερα ἕλκῃ. Οὐκοῦν ἡ αὐτὴ αἰτία ἐστὶν ἀμφοῖν, δι' ὃ οὔτε ἅμα, οὔτε τοῖς αὐτοῖς παραγίνεται τόποις· τὸ δὲ σκέμμα ὅλως

quemadmodum et Illyrios narrant, evulsis capillis, mortuos intra paucos dies hirsuta habere capita, ita ut tabescentia corpora in hæc alimentum distribuissent.

74. Quamobrem in pedibus minime canescunt pili, aut sero albescunt eis qui multos annos vivunt? Utrum quia faciei pili prius canescunt quam capitis, locusque superior quam maxime contrarius est inferiori, atque rationi congruum est, in locis contrariis contrarium evenire? An quia cani senectutis signum esse videntur, senectusque tabes quædam ac defectus caloris est? Modus igitur, ob quem cani oriuntur, ad alium sermonem pertinet; sed adcidit ut genus causæ hujus adfectus hoc sit, quod senioribus factis calor recurrit, quamobrem et facies [corrugatur], et sanguis e naribus fluere desinit, et crura senum exsucca fiunt, et hæmorrhoïdes oriuntur. Quodsi igitur cani a defectu caloris humidi pendent, atque ad pedes descendit hæcce potentia, quemadmodum et pubis pili serius canescunt quam superiores, hoc magis etiam quam his pilis in pedibus evenire debet; ubi vero ex toto corpore exsuctus est calor humidus propter multitudinem annorum, tunc etiam pedum pili albescunt.

75. Quamobrem lanæ quidem oleo rigatæ albescunt, pili vero eorum qui unguntur, nigriores sunt? nam et lanæ pili sunt. An quia sordida quidem flavescunt, pili vero, ubi desiccantur abitque quem continebant humor, albescunt? Oleum igitur inpedit; minime enim desiccantur. Præterea eodem modo evenit ovibus, ubi simul pilos adhuc vivos in corpore habent; at lanæ exemptæ sunt.

76. Cur apud oves quidem molliores renascuntur pili post evulsionem, apud homines vero duriores? An quia illi quidem, quo longiores, eo crassiores fiunt: refrigerat enim propter debilitatem caloris quem continent, aer ambiens, idque eo magis, quo longius a proprio calore recesserint, ita ut perficiantur; dum vero crescunt, propter crassitudinem quidem plus continent caloris, ob immodicam vero desiccationem decidentes, nisi quidquam impediat, tenuiores sunt propter incrementum?

77. Quamobrem temporibus canescunt quidem citissime, calvescunt vero minime, etiamsi neutrum, aut utrumque evenire deberet? An quia cani quidem gignuntur propter qualitatem quamdam alimenti quod in capillos distribuitur; calvities vero propter quantitatem? refrigerato enim alimento, non crescit capillus, sed siculi arbores hyeme folia amittunt, sic locus unusquisque, frigefacto ac veluti gelu concreto alimento (ubi enim parum adest, nutrire nequit); cani autem a putri proveniunt alimento; putrescit autem, ubi crudiora adtrahit. Itaque amborum causa eadem non est, quare nec simul, neque iisdem superveniunt locis; in universum tamen hæc quæstio ma-

φυσικώτερον ἢ προβληματικώτερον. Οἱ δὲ κρόταφοι ἐπὶ φλεβῶν εἰσι πολλῶν καὶ πυκνῶν, ὥστ' ἔχουσι θερμότητα, καὶ οὐχ ὑπολείπει ἡ τροφή, ἀλλὰ μᾶλλον διὰ τὸ πολλὴν εἶναι προϊούσης τῆς ἡλικίας οὐ δύναται πέττεσθαι, ἀλλὰ σήπεται· ἐκ τοιαύτης δὲ γίνεται πολιά, ὥσπερ καὶ οἱ μύκητες ἐξ εὐρωτιώσης ἰκμάδος· οὐ γὰρ πάντα μελαίνει τὰ σηπόμενα, ἀλλ' ὁ εὐρὼς λευκός, καὶ ὁ σκώψας κωμῳδοποιὸς εὖ ἔτυχεν εἰπών·

εὐρωτογήρας τὰς τρίχας βεβλαμμένας.

gis disciplinam naturalem quam problemata spectat. Tempora vero venis imposita sunt multis ac densis, ita ut calorem habeant; neque deficit iis alimentum, sed potius propter copiam provecta ætate concoqui nequit, verum putrescit; e tali autem alimento gignuntur cani, quemadmodum et fungi ex humore situs naturam referente: non omnia enim nigrescunt putrescentia, sed situs albus est, et comicus ludens acu rem tetigit, quum diceret:

capillis senii situ adflictis.

οη'. Διὰ τί οὐκ ἐν ταῖς νόσοις, ἀλλ' ἐκ τῶν νόσων αἱ τρίχες ἐκρέουσιν; Ἢ ὅτι τότε μὲν ἔχουσι τροφήν; ἐκ τοῦ περιττώματος γὰρ γίνονται· μετὰ τὰς νόσους δὲ ὀλίγον τοῦτο διὰ τὸ τρέφεσθαι τὸ σῶμα· ἡ δ' εἰσιοῦσα τροφὴ εἰς τὸ κατὰ φύσιν οὐκ αὔξει αὐτάς, ἀλλὰ διὰ τὴν κένωσιν προκαταναλίσκεται.

78. Quamobrem non per morbos, sed post morbos defluunt capilli? An quia tunc quidem alimentum habent? e redundantiis enim gignuntur; post morbos vero exigua est redundantia, quia corpus nutritur: alimentum enim ingrediens ad id quod naturaliter se habet, eos non auget, sed propter inanitatem antea consumitur.

οθ'. Διὰ τί τῆς κεφαλῆς τὸ ἔμπροσθεν φαλακροὶ γίνονται, τὰ δ' ὄπισθεν οὐ γίνεται, ἢ ἧττον; Ἢ ὅτι οὐκ ἔνεστιν ἐν τῷ ὄπισθεν ἡ περίττωσις; κενὸς γὰρ καὶ ξηρὸς ὁ τόπος, ὁ δ' ἔμπροσθεν διὰ τὸν ἐγκέφαλον πλήρης. Ὅσοις οὖν ἐνταῦθα ψυχρὰ συλλέγεται περίττωσις διὰ τὸ κρατεῖν τῆς θερμότητος καὶ μὴ πέττεσθαι οὐ τρέφει τὰς τρίχας ὥστ' ἀποπίπτουσιν, τὸ δ' ὄπισθεν οὐκ ἔχει τοιαύτην ἀπόκρισιν, ἢ ἧττον, διὰ τὴν εἰρημένην αἰτίαν.

79. Quamobrem sincipite calvescunt, occiput vero calvum non fit, aut minus? An quia in occipite non invenitur redundantia? locus enim vacuus est ac siccus; sinciput vero plenum propter cerebrum. Quibuscumque igitur illic colligitur redundantia frigida, quia calorem vincit, neque concoquitur, capillos non nutrit, ita ut decidant; occiput vero hujusmodi nihil, aut minus secernit propter dictam causam.

π'. Διὰ τί αἱ ἐν ταῖς μασχάλαις καὶ τῇ ἥβῃ τρίχες ἧττον καὶ αὔξονται καὶ πολιοῦνται τῶν ἐν τῇ κεφαλῇ; Ἢ ὅτι μέγισται καὶ οἰκεῖαι αἱ ἔγγιστα τῆς κεφαλῆς τῶν ἄλλων; διὰ γὰρ τὴν γειτνίασιν τῆς τροφῆς μάλιστα ἀπολαύουσιν. Εἰκότως οὖν τῶν λοιπῶν αἱ ἐν τῷ γενείῳ μέγισται. Ἢ οὐ τοῦτό ἐστι τὸ αἴτιον, ἀλλὰ καθάπερ ἡ ἐλαία καὶ ἄμπελος καὶ ὁ στάχυς, καὶ ἄλλο ὁτιοῦν τῶν τοιούτων ὡρισμένον τι μέγεθος ἔχει ὃ οὐχ ὑπερβάλλει, καθάπερ οὐδ' ὁ ἄνθρωπος, οὐδ' ἵππος, οὐδὲ τὰ ἄλλα ζῷα; Τὰ μὲν οὖν αὐτῶν μείζω καὶ ἐλάττω γίνεται καὶ παρὰ τοὺς τόπους καὶ παρὰ τὰς τροφάς· εἰς μέντοι τὰ ἀλλήλων οὐκ αὔξεται μεγέθη. Τὰ μὲν οὖν εἰρημένα ῥᾴδιόν ἐστι διαγνῶναι ὅτι ἕτερα τῷ εἴδει· μεγάλαι γὰρ αἱ διαφοραί· ἐνίων δ' οὐκέτι, οἷον τὴν τοῦ πυροῦ καὶ κριθῆς καλάμην, ἑτέραν δ' οὖσαν. Τῷ δ' οὐκέτι τῷ εἴδει ὁμοί........ τὰς τρίχας οὐ διαγινώσκομεν διὰ τὴν ὁμοιότητα, ὅσον ἑτέρων τῷ εἴδει. Οὐδὲν οὖν θαυμαστὸν τὸ μὴ γίνεσθαι [ἴσας οὐχ ὁμοίας] οὔσας τῷ εἴδει· ἀλλὰ [τοῦ] τὰς μὲν μικράς, τὰς δὲ μεγάλας, αὕτη ἡ αἰτία· τοῦ μὴ ὁμοίως δὲ πολιοῦσθαι νῦν λεχθήσεται· αἱ γὰρ τρίχες οὐκ ἔχουσι οὔτε τὸ λευκόν, οὔτε τὸ μέλαν οἰκεῖον χρῶμα, ἀλλ' ἀπὸ τῆς τροφῆς ἴσχουσι, καὶ μέλαιναι μέν εἰσιν, ὅταν ἕλκωσι τροφήν, συνανασπῶ ...., καθάπερ ἀπὸ τοῦ πυρὸς γῆ ἀνωθουμένη, ὅπου ἂν προσκαθίζηται, μελαίνει προσμένουσα ἄνω, τὸν αὐτὸν τρόπον ὑπολαβεῖν δεῖ καὶ ἐν τῷ σώματι, ὅταν ἀνασπασθῇ κάτω, ὄντος ἐν ἡμῖν θερμοῦ, ὑπὸ τούτου μελαίνεσθαι· ὅταν δὲ ἢ δι' ἔκθλιψιν

80. Quamobrem alarum et pubis pili minus et crescunt et canescunt quam capilli? An quia longissimi et familiares quæ inter reliquos capiti proximi sunt? propter vicinitatem enim maximum ex alimento emolumentum capiunt. Merito igitur inter reliquos menti pili maximi sunt. An hoc causa non est, sed sicut olea et vitis et spica, sic quævis alia quoque res hujuscemodi determinatam habet magnitudinem, quam non excedit, quemadmodum nec homo, nec equus, nec reliqua animalia. Nonnulla igitur eorum majora et minora fiunt secundum loca et secundum alimenta; aliud tamen ad alius magnitudinem non provehitur. Dictas itaque res ad diversam pertinere speciem, facile dignosci potest: magnæ enim sunt differentiæ; nonnullorum tamen differentiæ non ita dignosci possunt, ut culmi triticei ac hordeacei, etiamsi specie differant. Propter similitudinem autem pro rebus specie differentibus non discernimus, pilos specie eosdem non esse. Nihil itaque mirum, quod æquales non efficiuntur, quum specie differant; verum hæcce causa est, cur alii quidem breves, alii vero longi sint; causa vero, cur non æque canescant, jam exponetur: pili neque albedine, nec nigredine tamquam proprio colore præditi sunt, sed pendent hæc ab alimento, atque nigri quidem sunt, ubi trahunt alimentum, unaque adtrahunt [calorem?], quo modo terra ab igne sursum pulsa, quocumque se adplicaverit, nigricat superne adhærens; eodem quoque modo intra corpus arbitrandum est, ubi adtractum fuerit inferne alimentum, calorque in nobis adest, hoc calore nigrari pilos; ubi vero propter ali-

τροφῆς, ἢ δι' ἀσθένειαν τὴν τροφὴν παύσηται ἀνάγων, πολιοῦται, αὐτοῦ τοῦ ὑγροῦ ἀναγομένου. Ὑποκειμένου δὲ τοῦ οὕτω πολιοῦσθαι, ἡ κεφαλὴ καὶ ὁ πώγων καὶ διὰ τὴν πυκνότητα καὶ τὸ πλῆθος τῶν τριχῶν καὶ τὴν ἀσαρκίαν, ὅταν μὴ δύνωνται τρέφειν ὡς εἴρηται, λευκαίνονται· αἱ γὰρ τρίχες πολλαὶ οὖσαι καὶ κειρόμεναι προσέλκουσιν εἰς αὐτὰς τροφήν· ὅταν δὲ μὴ ἕλκωσιν ὅθεν ἐξέλκουσαι τὴν ξηρὰν ἢ τὴν ὑγράν, ἀνέλκουσαι λευκαίνονται· ἡ δ' ἥβη καὶ αἱ μασχάλαι βραχείας ἔχουσαι τῇ φύσει καὶ ἀραιὰς ῥᾳδίως μελαίνονται· συνανασπῶσί τε γὰρ καθάπερ προείρηται. Ἐνίοτε περὶ τὰ αἰδοῖα τόπος ἐστὶ τοιοῦτος οἷος τρέφειν ἄριστα· καὶ γὰρ ἀραιὸς καὶ χαῦνος· ἔτι δὲ τὸ σπέρμα κατὰ τοῦτον τὸν τόπον ἐξέρχεται. Εἰκότως οὖν καὶ ἐν τούτοις τοῖς τόποις ἧττον πολιοῦνται.

menti expressionem, aut debilitatem hoc evehere desierit, pilus canescit, dum solus humor evehitur. Quodsi autem ponamus, canitiem sic fieri, caput et barba propter densitatem et multitudinem pilorum ac carnis defectum, ubi dicto modo nutriri nequeunt, albescunt: quum enim pili multi sint atque tondeantur, ad sese adtrahunt alimentum; ubi vero non trahunt siccum vel humidum alimentum e loco unde adtrahere solent, adtrahentes albescunt; pubes autem et alæ, utpote naturaliter breves et raros pilos habentes, facile nigrescunt: una enim adtrahunt quo modo supra dictum est. Locus item circa pudenda ejusmodi est, ut optime alere valeat pilos: rarus namque et laxus est; præterea semen hoc loco exit. Merito igitur et hisce in locis minus canescunt.

πα'. Διὰ τί ἐν τῇ κεφαλῇ μάλιστα γίνονται φθεῖρες; Ἢ ὅτι ζῷα μὲν πέφυκε γίνεσθαι, οὗ ἂν περίττωμα ᾖ ὑγρότατον καὶ θερμότατον, ἔτι δ' ἔχει τόπον· ἡ δὲ κεφαλὴ ὑγρὰ καὶ θερμὴ ἡ τῶν νέων, καὶ οἱ πόροι οἱ ἐν αὐτῇ εὐρύτατοι; Σημεῖον δὲ αἱ τρίχες παχύταται ἐνταῦθα, ὥστ' ἔχει καὶ ἐξ οὗ συσταίη ζῷον, καὶ ἐν ᾧ.

81. Cur in capite potissimum gignuntur pediculi? An quoniam animalia suapte natura gigni solent, ubicumque adest redundantia humidissima et calidissima, atque insuper spatium inveniunt; caput autem juniorum humidum et calidum est ejusque meatus amplissimi? Argumento est quod pili ibi crassissimi sunt: habet igitur et materiem unde, et locum in quo consistat animal.

πβ'. Διὰ τί ἐκ τῶν πότων καὶ τῶν ἐμέτων καὶ ἐν τῷ ψύχει φθέγγονται βαρύτερον; Ἢ διὰ τὴν ἔμφραξιν τοῦ λάρυγγος ὑπὸ τοῦ φλέγματος; ἐπικατασπᾷ γὰρ ῥευμάτιον τοῖς μὲν ὁ ἔμετος ἢ τὸ ποτόν, τοῖς δ' ἡ ὥρα, ὥστε βαρυτέρα ἡ φορὰ τοῦ πνεύματός ἐστιν· ἡ δὲ βαρεῖα λίαν βραδεῖά ἐστιν.

82. Cur post compotationes ac vomitus, itemque frigore gravius vociferantur? An quia guttur pituita obstruitur? exiguam enim fluxionem una adtrahit apud illos quidem vomitus vel potus, apud hos vero tempestas: gravior itaque est spiritus motus; motus autem gravis admodum tardus est.

πγ'. Διὰ τί ποτε ἐγγύθεν τῆς βαρυτέρας φωνῆς μᾶλλον ἐξακούομεν, πόρρωθεν δ' ἧττον; Ἢ διότι καὶ ἡ βαρυτέρα φωνὴ πλείω ἀέρα κινεῖ, ἐπ' ἔλαττον δὲ τοῦτο ποιεῖ; Πόρρωθεν μὲν οὖν ἧττον ἀκούομεν, διότι ἐπ' ἔλαττον ἀφικνεῖται· ἐγγύθεν δὲ μᾶλλον, διότι πλείων τοῦ ἀέρος κίνησίς ἐστιν.

83. Cur tandem graviorem vocem cominus magis audimus, eminus vero minus? An quia gravior vox etiam plus aeris movet, verum ad minorem distantiam eum provehit?. Eminus itaque minus audimus, quia minus longe penetrat, cominus vero magis, quia copiosior est aeris motus.

πδ'. Διὰ τί ἐν τῷ χειμῶνι ὀξύτερον φθέγγονται, θέρους δὲ καὶ μεθύοντες βαρύτερον; Ὅτι ὀξυτέρα μέν ἐστιν ἡ ταχυτέρα, ἢ ἀπὸ συντεταμένου φωνή· τῶν δὲ νηφόντων καὶ ἐν τῷ χειμῶνι τὰ σώματα συνέστηκε μάλιστα ἢ μεθυόντων καὶ ἐν τῷ θέρει· τὸ γὰρ θερμὸν καὶ αἱ ἀλέαι διαλύουσι τὰ σώματα.

84. Cur hyeme acutius vociferantur, æstate vero, itemque ebrii gravius? Quia acutior quidem est velocior vox, vel a corpore intento proveniens; apud sobrios autem, vel hyeme corpora magis stipata sunt quam apud ebrios, vel æstate: calor enim et æstus dissolvunt corpora.

πε'. Διὰ τί τὰ ἐννεάμηνα οὐ φθέγγεται, τὰ δὲ δεκάμηνα φθέγγεται εὐθὺς γενηθέντα; Ὅτι ὀψιαίτατα τελειοῦται ἡ φωνὴ τοῖς ἀνθρώποις. Σημεῖον δέ· ἤδη γὰρ ηὐξημένοι καὶ ψελλίζουσι καὶ τραυλίζουσιν. [Ἢ] ὅτι τὰ μὲν ἐννεάμηνα [οὐ] τελειόγονα, ὥστε τὰ μὲν ἀπειληφότα ἤδη γίνεται τὴν φύσιν, τὰ δ' οὔ. Τὸ οὖν τελευταῖον ἐπιτελούμενον τοῖς μὲν ἀτελέσιν οὐχ οἷόν τε ὑπάρχειν ὡς ἐπὶ τὸ πολύ, τοῖς δ' ἐπιτετελεσμένοις ὑπάρξει. Τὰ δ' ἑπτάμηνά ἐστιν ἧττονα· οὕτω γὰρ ἀτελῆ σφόδρα καὶ ἀσθενῆ γίνεται, ὥστε καὶ σπαργανοῦται ἐρίοις.

85. Quamobrem novimestres fœtus non vociferantur, decimestres vero simul ac nati sunt, vocem proferunt? Quia tardissime perficitur vox apud homines. Argumento est quod jam grandiores facti balbutiunt ac blæsi sunt. [An] quia novimestrium generatio absoluta [non] est, ita ut illi quidem nascantur suam jam naturam adepti, hi vero non. Itaque quod postremo perficitur, imperfectis quidem plerumque inesse nequit; perfectis vero inerit. Septimestribus autem vel minus: adeo enim imperfecti ac perquam debiles nascuntur, ut etiam laneis fasciis involvantur.

πς'. Διὰ τί ἡ φωνὴ ὕστατον τελειοῦται τοῖς ἀνθρώποις τῶν φθεγγομένων; Ἢ διότι πλείστας ἔχει διαφορὰς καὶ εἴδη, τὰ δ' ἄλλα ζῷα ἢ οὐδὲν γράμμα, ἢ ὀλίγα διαλέγεται, τὸ δὲ ποικιλώτατον καὶ πλείστας ἔχον διαφορὰς ἀνάγκη ἐν πλείστῳ χρόνῳ ἀποτελεῖσθαι;

86. Cur vox postremo inter omnia quæ vocem emittunt, hominibus perficitur? An quia plurimas differentias et species habet, dum reliqua animalia aut nullam literam, aut pauca enuntiant; diversissimum vero et plurimas habens differentias necessario plurimo tempore perficitur?

πζ'. Διὰ τί οὐ τῇ αὐτῇ φωνῇ πάντες διαλέγονται; Ἢ ὅτι πρῶτον ἀπὸ μιμήσεως τῶν ἀλόγων αἱ φωναὶ εὑρέθησαν, οἷον τὰ παιδία τὸν βοῦν ἀπὸ τοῦ μηκᾶσθαι, καὶ τὸν κύνα ἀπὸ τοῦ ὑλακτεῖν; Ἔχοντος δὲ τοῦ αὐτοῦ ζῴου πολλὰς μιμήσεις, ἀφ' ὧν ἐκλέξεταί τις τὴν ὁμοίωσιν· καὶ γὰρ αὐτὸ κέρατα ἔχει, καὶ τετράπουν, καὶ μακρόν· οὐκ ἐπὶ ταὐτὸν ἕκαστος ὁρμήσας, ταὐτὸν μὲν ἐσήμαινε τὸν βοῦν, οὐ μὴν τῇ αὐτῇ φωνῇ· ὁ δὲ τὸ αὐτὸ τῆς πρώτης παραλλαξάσης. Ἤδη εἰκότως ἐκ τούτων παραλλάττον μικρόν, οἷον οἱ μὲν Διόνυσον, οἱ δὲ Ζώνυσον, καὶ οἱ μὲν Ἡραγόρην, οἱ δὲ Ἡραγόραν.

87. Quamobrem non omnes eodem sermone loquuntur? An quia primum per animalium imitationem inventæ sunt voces, quemadmodum pueri bovem a mugiendo vocant, canemque a latrando? Quum autem idem animal multas subpeditet imitationes, e quibus similitudinem eligere quis possit: nam et ipsum cornutum est, et quadrupes, et grande, non idem adripiens unusquisque, eamdem quidem rem designabat, bovem nimirum, verum non eadem voce; alius autem eamdem rem, a priori voce deflectens. Jam probabiliter ab his deflectebant paululum, ut alii Dionysum, alii Zonysum, alii Heragorem, alii Heragoram dicunt.

πη'. Διὰ τί οἱ μὲν ἀγωνιῶντες βαρὺ φθέγγονται, οἱ δὲ φοβούμενοι ὀξύ; Ἢ ὅτι τοῖς μὲν φοβουμένοις καταψύχεται ὁ τόπος ὁ περὶ τὴν καρδίαν, κάτω ὁρμῶντος τοῦ θερμοῦ, ὥστ' ὀλίγον ἀέρα κινοῦσιν· (ἡ γὰρ ἰσχὺς ἐν τῷ θερμῷ)· τοῖς δὲ ἄνω φέρεται τὸ θερμόν, ὥσπερ τοῖς αἰσχυνομένοις; δι' αἰσχύνης γὰρ ἀγωνιῶσι, τοῖς δ' αἰσχυνομένοις ἄνω φέρεται πρὸς τὸ πρόσωπον. Σημεῖον δὲ ὅτι ἐξέρυθροι γίνονται μᾶλλον. Συντήκει οὖν καὶ παχὺν ποιεῖ τὸν ἀέρα ᾧ φθέγγεται, ὁ δὲ τοιοῦτος βραδέως ὠθεῖται, τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ ἐστιν.

88. Cur anxii quidem gravem proferunt vocem, metuentes vero acutam? An quoniam metuentibus quidem refrigeratur locus circa cor, inferiora petente calore, ita ut parum aeris moveant (vires enim in calore resident); illis vero sursum fertur calor, sicuti apud pudibundos? propter pudorem enim anguntur; apud pudibundos autem sursum fertur ad faciem. Argumento est quod inprimis admodum rubescunt. Colliquat igitur ac crassum reddit aerem, cujus ope vocem profert; hujusmodi autem aer tarde propellitur, tarditasque in voce gravitas est.

πθ'. Διὰ τί, τῆς φωνῆς, ἐπειδὴ ῥύσις τίς ἐστι, φύσιν ἐχούσης ἄνω φέρεσθαι, μᾶλλόν ἐστιν εὐήκοα τὰ ἄνωθεν κάτω ἢ τὰ κάτωθεν ἄνω; Ἢ διότι ἡ φωνὴ ἀήρ τίς ἐστι μεθ' ὑγροῦ; Βαρὺς οὖν ὢν οὗτος ὑπὸ τοῦ ὑγροῦ φέρεται κάτω, καὶ οὐκ ἄνω· τοῦ γὰρ ὑγροῦ κατὰ φύσιν ἡ κάτω φορά· διότι τοῖς κάτω μᾶλλον ἀκούεται. Ἢ τοῦτο μὲν ἐπὶ τῆς τοῦ ζῴου φωνῆς μόνον γίνεται· αὕτη γὰρ μεθ' ὑγροῦ· τὸ [δὲ] συμβαῖνόν ἐστι καὶ ἐπὶ τῶν ἄλλων ψόφων; Καθάπερ οὖν ἄμπωτις, ἂν μὲν ἄνωθεν κάτω προσπέσῃ, τὴν ἀνάκλασιν ἄνω ποιεῖται, κάτωθεν δ' ἄνω προσπεσοῦσα ἀνεκλάσθη κάτω, τὸν αὐτὸν δὲ τρόπον ἡ φωνὴ φύσιν ἔχουσα ἄνω φέρεσθαι, προσκόψασα τῷ ἐξ ἐναντίας ἀέρι, βιάζεσθαι μὲν οὐ δύναται πλέονα ὄντα [καὶ] βαρύτερον, ἀνακλασθεὶς δ' ὁ κινηθεὶς ἀὴρ ἐπὶ τοὐναντίον ἠνέχθη κάτω, δι' ὃ κατεχόμενος ἀκούεται κάτω μᾶλλον. Τοιοῦτον δὲ καὶ τὸ περὶ τὴν ἠχὼ συμβαῖνον· ἔστι γὰρ ἀνάκλασις τῆς φωνῆς ἐπὶ τοὐναντίον.

89. Quamobrem quum vox, quippe quæ fluxus quidam est, suapte natura sursum fertur, facilius audiri possunt quæ superne inferiora quam quæ inferne superiora petunt? An quia vox aer quidam humori junctus est? Quum hicce igitur gravis sit propter humorem, deorsum fertur, non sursum, siquidem humor suapte natura sursum fertur; propterea magis auditur ab iis qui infra sunt. An hoc quidem in animalis voce tantum obtinet: illa enim humori juncta est; quod vero evenit, etiam ceteris sonis proprium est? Quemadmodum igitur reciprocatio, si superne deorsum inciderit, repercussionem sursum facit, inferne vero sursum incidens, deorsum repercuti solet, eodem sane modo vox quæ suapte natura sursum fertur, ubi illiserit aeri ex opposita parte inveniundo, ei vim quidem inferre nequit, utpote copiosiori et graviori, sed aer motus post repercussionem in contrariam partem ferri solet deorsum: quapropter ibi detentus auditur melius infra. Hujusmodi est etiam quod circa echo obtinet: est enim repercussio vocis in partem contrariam.

ϟ'. Διὰ τί μεθυόντων μᾶλλον ἀπορρήγνυται ἡ φωνὴ ἢ νηφόντων; Ἢ διότι τῷ πεπληρῶσθαι ταχέως ἀπορρηγνύασι τὴν φωνήν; Σημεῖον δὲ τούτου· οὔτε γὰρ οἱ χοροὶ μελετῶσιν ἐξ ἀρίστου, οὐχ ὑποκριταί, ἀλλὰ νήστεις ὄντες· ἐν δὲ τῇ μέθῃ πληρέστεροι ὄντες εὐλόγως μᾶλλον ἀπορρήγνυνται τὰς φωνάς.

90. Cur ebriis vox magis abrumpitur quam sobriis? An quia propter repletionem cito abrumpunt vocem? Hujus rei argumentum est quod neque chori, nec histriones sese exercent post prandium, sed jejuni; in ebrietate autem quum pleniores sint, non mirum est si magis voce abrumpantur.

ϟα'. Διὰ τί ἡ σύριγξ καὶ ἡ ὀξεῖα φωνὴ ἁπλῶς ὥσπερ ἐρημίαν ποιεῖ φαίνεσθαι; Ἢ ὅτι ἡ ὀξεῖα φωνὴ μακρὰν βαδίζει καὶ οὐκ ἐπὶ πολὺ διαχεῖται, καθάπερ αἱ ἄλλαι φωναί;

91. Cur fistula et vox acuta simpliciter quasi solitudinem adparere facit? An quia vox acuta longe procedit, nec procul diffunditur, sicuti reliquæ voces?

ϟβ'. Διὰ τί ποτε ἡ φωνὴ ὀξυτέρα φαίνεται τοῖς μακρότερον ἀφεστηκόσιν, τοῦ ὀξέος ὄντος ἐν τῷ ταχέως φέρεσθαι, τὸ δὲ μακρότερον βραδύτερον κινεῖται; Ἡ ὀξύτης οὐ μόνον ἐστὶν ἐν τῷ ταχέως κινεῖσθαι, ἀλλὰ καὶ ἐν τῷ ἐλάττω τὸν ψόφον γίνεσθαι, τοῖς δὲ μακρότερον ἀφεστηκόσιν ἀεὶ ἐλάττων ἡ φωνὴ ἀφικνεῖται διὰ τὴν ὀλιγότητα τοῦ ἀέρος τοῦ κινουμένου.

92. Cur tandem vox acutior videtur longius distantibus, quum acumen motus celeritate constet, quod vero longius provehitur, tardius movetur? Acumen non solum motus celeritate constat, sed etiam eo quod minor fit sonus; ad eos vero qui longius distant, semper minor pervenit vox propter paucitatem aeris qui movetur.

ϟγ'. Διὰ τί, εἴπερ ἡ φωνὴ ἀήρ τίς ἐστιν ἐσχηματισμένος, καὶ φερομένη διαλύεται πολλάκις τὸ σχῆμα, ἡ ἠχὼ γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεὸν καὶ οὐ διαλύεται, ἀλλὰ σαφῶς ἀκούεται; Ἢ διότι ἀνάκλασις, οὐ κατάκλασίς ἐστι, τοῦτο δ' ὅλον ἀφ' ὅλου εἰς τὸ πάθος ἀφομοιοῦται· ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται τοῦ ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τοῦ κοίλου.

93. Quamobrem, si vox quidem aer quidam est figuratus, atque motu figura dissolvitur sæpius, echo fit illidente hujusmodi aere in solidum quid, nec dissolvitur, sed manifesto auditur? An quia refractio, non confractio est; illa autem integre adfectui similis redditur? ab aere enim refringitur qui cavo continetur, non vero ab ipso cavo.

ϟδ'. Διὰ τί χειμῶνος ὄντος αἱ φωναὶ βαρύτεραι; Ἢ ὅτι παχύτερος ὁ ἀήρ, παχυτέρου δ' ὄντος βραδυτέρα ἡ κίνησις, ὡς ἡ φωνὴ βαρυτέρα; Ἢ ὅτι διὰ τῶν στενῶν βραδύτερον χωρεῖ ὁ ἀήρ, συμφράττονται δὲ τὰ περὶ τὸν φάρυγγα τῇ ποιότητι τοῦ ψυχροῦ καὶ τοῦ ἐπιρρέοντος φλέγματος;

94. Cur hyeme voces graviores sunt? An quia crassior aer, crassior autem quum sit, tardior est motus, ita ut vox gravior fiat? An quia per angusta tardius meat aer, constringuntur autem fauces qualitate frigoris et adfluentis pituitæ?

ϟε'. Διὰ τί μεγαλόφωνοι οἱ θερμοὶ τὴν φύσιν ὄντες; Ἢ ὅτι ἀνάγκη καὶ ἀέρα ἐν τούτοις πολὺν ψυχρὸν εἶναι; ἕλκει γὰρ τὸ πνεῦμα τὸ θερμὸν καὶ ποιεῖ πλεῖον, ἡ δὲ μεγάλη φωνὴ γίνεται ἐν τῷ πολὺν ἀέρα κινεῖν, ὀξεῖα δὲ ἐν τῷ ταχέως, βαρεῖα δ' ἐν τῷ βραδέως.

95. Quamobrem natura calidi magnam habeat vocem? An quia necessario his quoque magna copia aeris frigidi inest? calor enim spiritum adtrahit ejusque copiam auget, magna autem vox eo fit quod multus aer movetur, acuta vero quod cito, et gravis quod tarde.

ϟς'. Διὰ τί ἀκούουσι μᾶλλον κατέχοντες τὸ πνεῦμα ἢ ἐκπνέοντες; διὸ ἐν ταῖς θήραις παραγγέλλουσιν ἑαυτοῖς οὐ πνευστιᾶν. Πότερον ὅτι τὸ αἰσθητικὸν ἄνω ἔρχεται τῶν φλεβῶν συναιρουμένων, ἢ ἀραιουμένων, καθευδόντων δὲ κάτω; διὸ καὶ μᾶλλον ἐκπνέουσιν. Ἢ καὶ τὸ αἷμα ἀπέρχεται κάτω καταπεπνευκότων, ὥστε κενοῦται τὰ ἄνω, ἀκούουσι δὲ τῷ κενῷ; Ἢ ὅτι φύσει ὁ ἀτμὸς ψόφος τίς ἐστιν, οὗτος δὲ τῷ πνεῖν γινόμενος κωλύει ἀκούειν;

96. Quamobrem spiritum retinentes melius audimus quam exspirantes? propterea inter venandum se ipsi hortantur ne anhelent. Utrum quia sentiendi facultas sursum vadit, ubi venæ contrahuntur, aut rarefiunt; dormientibus vero nobis deorsum? propterea et potius exspirant. An quia et sanguis deorsum abit, depresso spiritu, ac proinde vacuantur superiora, audimus autem vacui ope? An quia vapor suapte natura sonus quidam est, hicce autem dum respirando gignitur, auditionem impedit?

ϟζ'. Διὰ τί οἱ τοῦ γράσου ὄζοντες, ὅταν ἀλείψωνται μύρῳ, δυσωδέστεροί εἰσιν; Ἢ διότι ἐπὶ πολλῶν τοῦτο γίνεται ὀξύ; Ἢ διότι πάλιν ἱδρώσαντες δυσωδέστεροί εἰσι, τὸ δὲ μύρον θερμαντικόν ἐστιν; Ἱδρῶτας οὖν παρασκευάζει.

97. Quamobrem qui hircum redolent, unguento uncti fœtidiores sunt? An quia in multis hoc acescit? An quia quum denuo sudaverint, fœtidiores sunt, unguentum autem calefacere valet? Sudores igitur parit.

ϟη'. Διὰ τί ἡ μασχάλη δυσωδεστέρα ἐστὶ τῶν ἄλλων τόπων; Πότερον ὅτι ἀπνούστατός ἐστιν, ἡ δὲ δυσωδία μάλιστα ἐν τοῖς τοιούτοις διὰ τὸ σῆψιν γίνεσθαι ὑπὸ τῆς ἡσυχίας τῆς ὑγρότητος, διότι ἀκίνητος καὶ ἀγύμναστος;

98. Cur axilia fœtidior est reliquis locis? Utrum quod minime perflatur, fœtor autem maxime in hujusmodi locis consistit, quia gignitur putredo a quiete humoris, quoniam motu et exercitio caret?

ϟθ'. Διὰ τί τὰ δυσώδη ἥκιστα φαίνεται δυσώδη τοῖς ἐδηδοκόσιν; Ἢ διὰ τὸ συντετρῆσθαι τὴν ὄσφρησιν τῷ στόματι κατὰ τὸν οὐρανὸν πλήρης ἡ αἴσθησις γίνεται καὶ τῆς τε δυσωδίας οὐκέτι ὁμοίως αἰσθάνεται; τὸ γὰρ πρῶτον αἰσθάνονται πάντες, ὅταν δ' ἅψηται, οὐκέτι ὥσπερ συμφυοῦς, καὶ ἡ ἔξωθεν ὁμοία ἀφανίζεται ὑπὸ τῆς ἔσω.

99. Cur fœtida minime videntur fœtida cibo plenis? Num quia olfactus per palatum ad os penetrat, repletur sensus, neque fœtorem amplius æque percipit? primum enim sentiunt omnes, ubi vero tangit, non amplius, perinde ac si adgnatum esset, et extrinsecus similis adveniens perimitur ab eo qui intus est.

ρ'. Διὰ τί χειμῶνος ὄντος ὀσφραινόμεθα ἧττον καὶ ἐν τοῖς πάγοις; Ἢ ὅτι ὁ ἀὴρ ἀκινητότερος ἐν τῷ ψύχει; Οὐκοῦν οὐκ ἀφικνεῖται ἡ κίνησις. Ἢ ἀποσμὴν ἔχοντες διὰ τὴν δυσκινησίαν;

100. Quamobrem hyeme ac per gelu odoramur minus? An quia aer minus movetur per frigus? Ergo non penetrat motus. An olfactu carentes propter motus difficultatem?

ρα'. Διὰ τί οἱ κύνες οὐκ ὀσφραίνονται τῶν ἰχνῶν ὅταν ἀποθάνῃ δασύπους, οὐδ' ἂν λάθῃ αὐτοὺς [ὁ] τεθνειώς, οὐκέτι ὁμοίως εὑρίσκουσιν; Ἢ ὅτι τεθνεῶτος μὲν οὐκ αἰσθάνονται διὰ τὸ ἄλλην ὀσμὴν γίνεσθαι, τὴν δ' οἰκείαν διαφθείρεσθαι, πάντων φθειρομένων, ὥσπερ φωνὴν καὶ χρῶμα καὶ χυμόν; πάντα γὰρ μεταβάλλεται ταῦτα. Ζῶντος μὲν οὖν διὰ τὸ συνεχῆ τὴν νόσον ἀπὸ τοῦ θηρίου αἰσθάνονται· τεθνεῶτος δὲ πέπαυται ῥέουσα, ὥσπερ Ἐμπεδοκλῆς·

ὡς ἀπέλειπε ποδῶν ἁπαλὴ περίπνοια·

οὐχ οἷόν τε γὰρ διασπᾶσθαι τὴν ὀσμήν, οὐδὲ τὴν χρόαν, ἀλλ' ὅταν ἀποθάνῃ, κἀκεῖνα καὶ αὕτη ἔφθαρται.

101. Quamobrem canes non odorantur vestigia mortuo lepore, nec si lateat eos hujus mors, amplius eodem modo eum inveniunt? Num quia mortuum non sentiunt, quoniam alius oritur odor propriusque perit, quum omnia pereant, ut vox, color, sapor? omnia enim hæc immutantur. Vivo igitur lepore, propter continuitatem animalis odorem sentiunt; mortuo vero fluere desinit, ut Empedocles dicit:

Qı um deficeret tener pedum halitus:

neque enim divelli potest odor, neque color, sed mortuo animali, et illa et hic periere.

ρϐ'. Διὰ τί αἱ ὀδμαὶ ἐγγύθεν ἧττον εὐώδεις καὶ θυμιαμάτων καὶ ἀνθῶν; Ἢ ὅτι τοῖς πλησίον συναναφέρεται τὸ γεῶδες, ὥστε κεραννύμενον ἀσθενῆ ποιεῖ τὴν δύναμιν· εἰ δὲ πόρρω, καταφέρεται ὀδμή; διὰ τοῦτο δὲ καὶ τριφθέντα τὰ ἄνθη ἀπόλλυσι τὴν ὀσμήν. Ἢ ὅτι ἡ ὀσμὴ θερμότης ἐστί, καὶ τὰ εὐώδη θερμά, τὸ δὲ θερμὸν κοῦφον, ὥστε διὰ τοῦτο πορρωτέρω γίνεται ἡ ὀσμή;

102. Quamobrem cominus odores minus bene olent, cum suffimentorum, tum florum? An quia ad propinquos simul evehitur pars terrena, ita ut admistione sua debilem reddat facultatem; quodsi vero procul simus, defertur odor? propterea et flores tritura odorem amittunt. An quia odor calor est, atque odorifera calida, calidum autem leve est, ita ut hanc ob causam remotiora petat odor?

ργ'. Διὰ τί πάντα μᾶλλον ὄζει κινούμενα; Ἢ ὅτι ἀναπίμπλησι τὸν ἀέρα, δι' ὅ τι ἀναπέμπεται θᾶττον πρὸς τὴν αἴσθησιν;

103. Cur omnia magis olent, ubi moventur? An quia aerem replent, quam ob causam citius ad sensum emittuntur?

ρδ'. Διὰ τί ἐνίοτε ναυτιάσαντές πως μᾶλλον πεινῶσιν; εἰκὸς γὰρ ἦν ἐναντίως ἔχειν· πλήρωσις γὰρ ἡ ναυτία ἐστίν. Ἢ ὥσπερ ἀφόδου γενομένης συμβαίνει γενέσθαι τοὺς τόπους κενοὺς οἷς πεινῶσιν· πρὶν δὲ ναυτιάσαι τοὐναντίως;

104. Cur interdum nausea adflicti aliquatenus magis famelici sumus? probabile enim erat rem contrario modo se habere: nam nausea repletio est. An perinde ac si aliquid abiisset, evenit ut vacua fiant loca quæ famem faciunt; ante nauseam vero contrarium obtinebat?

ρε'. Διὰ τί ἐν μὲν τοῖς πλοίοις ἡ ναυτία χολώδης· ἦν δ' ἄλλως, φλεγματώδης; Ἢ διότι ἐν μὲν τοῖς ἄλλοις ἔμπονος· ἐνταῦθα δὲ μετὰ φόβου ἢ ταραχῆς· ὁ δὲ φόϐος συγκινητικὸς τῶν συμφύτων; Τὸ μὲν οὖν φλέγμα ἐπιπολάζον καὶ ἀλλότριον, ἡ δὲ χολὴ σύμφυτον γενόμενον ἐκ συμφύτου.

105. Quamobrem in navigiis quidem biliosa est nausea, ceteroquin vero pituitosa? An quia apud reliquos quidem laboriosa est nausea; illic vero metu stipatur, aut tumultu; metus autem cognata commovere solet? Pituita igitur superficiem petit atque aliena est; bilis vero cognata, quippe e re cognata genita.

ρε'*. Διὰ τί ἐν ταῖς φαρμακοποσίαις σημεῖον ὅταν ἀριθμεῖν δύνηται τὰς δοκοὺς ὅτι κεκάθαρται; Ἢ ὅτι

105*. Quamobrem si sumpto medicamento purgante trabes numerare valeant, signum est purgationem factam

οὐκ ἔνεστι περιττωματικὴ ὑγρότης; ἐποίει γὰρ τὸν ἴλιγγον ὥσπερ τοῖς μεθύουσιν· ἡ δ' ἐστὶ τοῖς μὲν γινόμενον, τοῖς δὲ μὴ γινόμενον.

esse? An quia non inest humor supervacaneus? hicce enim vertiginem faciebat, ut apud ebrios; hicce autem humor apud illos quidem adhuc gignitur, apud hos vero non.

ρς'. Διὰ τί ὑπέρινοι μᾶλλον γίνονται κάτω ἢ ἄνω καθαρθέντες; Ἢ διότι εὐροωτέρα ἡ ὁδός, ἡ δ' ἄνω παρὰ φύσιν, ὥστε καὶ ἀπ' ἐλάττονος φαρμάκου δυνάμεως ἔλαττον καὶ πλεῖον κινεῖσθαι, καὶ κατὰ φύσιν ἢ παρὰ φύσιν; Ἢ ὅτι τὰ μὲν περιττώματα ἐν τῇ κάτω καθάρσει ἐστὶ τῶν χρησίμων καὶ ἐχόντων τῷ σώματι ἀπόλαυσιν ἐκκρίνεται, τὰ δ' ἄνω ἀλλότρια; ἔνθα μὲν γὰρ τῆς τροφῆς πλείονα λείψανα τὰ οὔπω ἐξικμασμένα, ἀλλ' ἔτι ἔχοντα τροφήν, ἔνθα δὲ χολὴ καὶ φλέγμα ἄτροφα. Ἡ μὲν οὖν κάτω κάθαρσις τὴν τροφὴν ἀφαιρουμένη εὐλόγως ἐκλύει, ἡ δ' ἄνω ἢ οὐδέν, ἢ ἧττον. Δηλοῖ δ' ὁ ἐλλέϐορος· ἄνω τε γὰρ καθαίρει καὶ εὐθὺς ἔτι τὰ σώματα, ὡς οὐδενὸς τῶν χρησίμων ἀφῃρημένου ἐν τῇ ἄνω καθάρσει.

106. Cur potius modum excedit purgatio, si deorsum quam si sursum purgentur? An quia per hanc viam facilior est fluxus, superior vero contra naturam, ita ut paucioris medicamenti vi modo minus, modo plus moveatur, idque magis secundum naturam quam præter naturam? Num quia excrementa purgationis quæ per inferiora fit, ad utilia pertinent atque excernuntur, dum corpus ex iis emolumentum capit; superiora vero aliena sunt? Illic igitur plura adsunt cibi reliquiæ nondum exsuctæ, sed adhuc alimentum continentes; hic vero bilis et pituita quæ nutrire non valent. Purgatio itaque quæ per inferiora fit, merito debilitat, quum alimentum demit; quæ vero per superiora, aut nequaquam, aut minus. Ostendit autem veratrum: sursum enim purgat, atque statim viget corpus perinde ac si purgatione per superiora facta nihil utile sublatum esset.

ρζ'. Διὰ τί οἱ μέλανες καὶ οἱ λεῖοι μᾶλλον ἢ οἱ λευκοὶ καὶ δασεῖς γίνονται ὑπέρινοι; Ἢ ὅτι ὑγρότεροι οἱ λεῖοι τῶν δασέων; δηλοῖ δ' ἡ τῶν γυναικῶν φύσις ὑγρὰ καὶ λεία οὖσα, καὶ οἱ μέλανες τῶν λευκῶν ψυχρότεροι· τὸ δὲ ψυχρὸν τοῦ ὑγροῦ ἐγγύς· τὸ γὰρ θερμὸν ξηρόν· ὑπέρινοι δὲ γίνονται συντηκομένου τοῦ σώματος, ἀλλ' οὐ μόνον ἀφαιρουμένου τοῦ περιττώματος.

107. Quamobrem nigri et glabri magis quam albi et hirsuti immodicæ purgationi obnoxii sunt? An quia glabri hirsutis sunt humidiores? ostendit enim mulierum natura quæ humida ac glabra est, itemque nigri, utpote albis frigidiores: frigidum namque humido vicinum est, quippe quum calor siccus est; immodice autem purgantur, ubi corpus colliquatur, non vero ubi redundantia tantummodo aufertur.

ρη'. Διὰ τί μέλαιναν μὲν χολὴν καθαιρόμενοι καὶ φλέγμα πολὺ οὐ γίνονται ὑπέρινοι, τὴν δὲ ξανθὴν χολὴν πολὺ ἐλάττω καθαρθέντες; Ἢ ὅτι τὴν μὲν μέλαιναν χολὴν εἰώθασι καθαίρεσθαι ῥᾳδίως, καὶ μὴ τὴν τρυγώδη [τῷ] ἤδη κεχωρίσθαι τοῦ σώματος; δι' ὃ καὶ μεμέλανται. Οὐδεμία οὖν ἰσχὺς ἀφῄρηται τοῦ σώματος καθαρθέντος· τὸ δὲ φλέγμα περίττωμά ἐστιν, ὥστε ἄν τις ἀφέλῃ μεῖζον, κουφίζει μᾶλλον, ὥσπερ ἐπικειμένου βάρους· ἡ δὲ ξανθὴ ἐκ συστήματός ἐστι τῆς κακῶς ᾠκοδομημένης σαρκός, καὶ οὐ προϋπάρχουσα, οὐδὲ κεχωρισμένη πρότερον ἡ πολλή, ὥστ' οὐδὲν διαφέρει πολλὴν ἀφελεῖν χολήν, ἢ σάρκας πολλάς, ἢ αἷμα· τούτου δὲ συμϐαίνοντος ἀνάγκη γίνεσθαι ὑπερίνους· μέχρι μὲν γὰρ τούτου ῥεῖν ἐνδέχεται, ἕως ἂν ἔχῃ αἷμα καὶ σάρκας, ὡς εἰπεῖν, θάτερα δ' ἔχει πέρας διὰ τὸ κεχωρίσθαι.

108. Cur, si atra quidem bilis, aut magna pituitæ copia purgatur, purgatio modum non excedit; excedit vero, ubi multo minor flavæ bilis copia ablata fuerit? Num quia nigram quidem bilem ac fæculentam facile purgare solent, quia jam a corpore separata est? quam ob causam etiam nigro colore tincta est. Nullus igitur vigor corpori aufertur, dum purgatur; pituita vero excrementum est, ita ut quo plus aliquis abstulerit, eo magis sublevat, tamquam ab onere incumbente; flava vero bilis a coagmento provenit male compactæ carnis, neque antea præsto est, nec prius sejuncta maximam partem, ita ut eodem redeat, an multam bilem auferas, an multas carnes sanguinemve; hoc autem ubi evenit, necessario modum excedit purgatio: tantisper enim fluere potest dum sanguinem, ut ita dicam, et carnes habet; reliquorum vero humorum purgatio terminum habet, quia separati sunt.

ρθ'. Διὰ τί λυγγῶσι, καὶ ὑπερκαθαιρόμενοι καὶ ὑπερπληρούμενοι; Ἢ ὅτι δι' ἀμφότερα καταψύχονται; ἥ τε γὰρ ὑπερκάθαρσις ἀφελοῦσα τὸ ὑπέκκαυμα ψύχει, καὶ ἐὰν πλείων εἰσέλθῃ τροφὴ τῆς δυνάμεως, μαραίνει τὴν οἰκείαν θερμότητα· ὁ δὲ λυγμός ἐστιν ὅταν πνεῦμα ἐναπολαμϐάνηται διὰ τὸ ψυχθῆναι τὸ ὑγρὸν ἐν τῷ πνευματικῷ τόπῳ.

109. Quamobrem singultant æque ab immodica purgatione quam ab immodica repletione? An quia ambabus refrigerantur? purgatio enim immodica refrigerat fomitem auferens; item ubi plus alimenti ingestum fuerit quam vires ferre valeant, tabefacit calorem proprium; singultus autem eo constat quod spiritus intus concluditur, quia humor refrigeratus est, in spiritus sede.

ρι'. Διὰ τί τὰ παιδία καὶ οἱ γέροντες μάλιστα ἁλίσκονται διαρροίαις, ἐναντίας ἔχοντες τροφάς; Ἐπειδὴ

110. Quamobrem cum pueri, tum senes ventris profluvio inprimis capiuntur, etiamsi oppositis vescantur cibis? Quum

τὰ μὲν παιδία, εἰ καὶ μὴ διὰ τὴν τροφὴν τοῦτο πάσχουσιν, ἀλλὰ διότι ὑγρὰ τὰ σώματα αὐτῶν ἐστι καὶ πυκνά, ὥστ' εἴσω τὰ περιττώματα συρρέοντα διὰ τὴν τῶν σαρκῶν πυκνότητα ὑγραίνει τὰς κοιλίας, οἱ δὲ γέροντες ψυχρὰ τὰ σώματα ἔχουσι καὶ τὰς κοιλίας, ὥστε τὰ μὲν δι' ὑγρότητα τῶν σωμάτων καὶ πυκνότητα, οἱ δὲ διὰ ψυχρότητα πάσχουσιν. Τοῦτο δὲ καὶ τὰ μὲν διὰ τὸ ἀναπνεῖν ἔξω τὰ περιττώματα, οἱ δὲ διὰ τὸ μόνα τὰ σώματα ἔχειν καὶ τὸ θερμὸν ἀποπνέον ἐξ αὐτῶν ἐξατμίζειν. Τὸ αὐτὸ οὖν οὐ διὰ τὸ αὐτὸ πάσχουσιν· συναίτιον δὲ τοῖς παιδίοις ἐστὶ καὶ τὸ τὴν τροφὴν ποσὴν καὶ ποιάν τινα εἶναι· πολλά τε γὰρ προσφέρονται καὶ γλυκέα καὶ παντοδαπά· τὰ μὲν γὰρ νέα παντελῶς γάλακτι τρέφεται, ὅ ἐστι δύσπεπτον, τὰ δὲ σμικρὸν ἐπηυξυμένα ποικίλως καὶ γλυκέσι χρῆται ἐδέσμασι τροφῶν καὶ μητέρων πρὸς χάριν ὁμιλουσῶν αὐτοῖς· τὰ δὲ τοιαῦτα δυσδιαχώρητά ἐστιν.

ρια'. Διὰ τί τὸ πολὺ ποτὸν ἐνίοτε καὶ τὸ ὀλίγον τὰς διαρροίας ἴσχει; Ἢ διότι τὸ μὲν διὰ τὸ καταξηραίνειν εἰκότως, ἅτε μικρὸν ὄν, τὸ δὲ διὰ τὸ πλῆθος εἰς τὴν οὐρήθραν χωροῦν συνεπισπᾶται τὸ ἐκ τῆς κοιλίας ὑγρόν; ἅμα γὰρ κατ' ἄμφω οὐκ εἴωθεν ὑποχωρεῖν, ἀλλ' ἐὰν μὲν ἡ κοιλία ὑποχωρεῖ μᾶλλον, ἡ οὐρήθρα ἀποξηραίνεται· ἐὰν δ' ἡ οὔρησις πολλὴ γίνηται, ἡ κοιλία καταξηραίνεται· οἷον ἄπωσιν γὰρ ἐποίησεν ἐκ τῆς κοιλίας εἰς τὴν οὐρήθραν τὸ πολὺ ποτόν.

ριϐ'. Διὰ τί οἱ πίνοντες εὐτραφεῖς ὄντες ὑγρὰς τὰς κοιλίας ἔχουσι μᾶλλον ἢ σκληράς, δι' ὃ καὶ διαῤῥοίαις ἀποθνήσκουσι μᾶλλον τῶν τεθραμμένων, ἔδει δ' εὐτρόφους ὄντας ἐκλαμϐάνειν μᾶλλον τὸ τρόφιμον, τούτου δὲ γινομένου ξηραίνεσθαι τὰς κοιλίας αὐτοῖς; Ἢ ὅτι τὸ εὐτραφές ἐστιν [οὐκ] ἐν τῷ πολὺ λαμϐάνειν, σκληρὰ δ' ἡ περίττωσις γίνεται, ὅταν μόλις καταϐαίνῃ τὰ προσενεχθέντα εἰς τὴν κοιλίαν, τοῦτο δὲ γίνεται διὰ τὸ μὴ ταχὺ ἀπολαύειν τὸ σῶμα καὶ μὴ ἐκκρίνεσθαι τὸ χρήσιμον ἐξ αὐτῶν, καὶ διὰ τὸ ἐν τῇ κάτω κοιλίᾳ μένειν πολὺν χρόνον, ἅτε μὴ ἀθρόα καταϐαίνοντα (συγκάεται γὰρ μᾶλλον)· οὐχ αἱ μάλιστα δὲ ξηρὰ ἀποδιδοῦσαι κοιλίαι εὔτροφοί εἰσιν, ἀλλ' αἱ ταχὺ λαμϐάνουσαι τὸ χρήσιμον ἐκ τῶν προσενεχθέντων. Σημεῖον δὲ τὸ τοὺς ξηροὺς τὰς κοιλίας ἰσχνοτέρους εἶναι ἢ εὐσαρκοτέρους.

ριγ'. Διὰ τί οἱ γλυκεῖς καὶ οἱ ἁλμυροὶ τῶν χυμῶν διαχωρητικώτατοί εἰσιν; Ἢ ὅτι ταρακτικώτατοι, τοιαῦτα δ' εἰσὶ τὰ ἄπεπτα καὶ βαρέα; διὰ γὰρ τὸ μήτε κρατεῖσθαι ὑπὸ τῆς ἐν ἡμῖν θερμότητος, κάτω τε φέρεσθαι τὸ μέλλον ἐκταράξειν· ἡ γὰρ ἐκτάραξις τοῦτ' ἐστίν. Ἢ ὅτι οἱ μὲν ἄλλοι χυμοὶ ἔξω τοῦ ἐλαίου εὐδιάφοροι καὶ εὔσηπτοί εἰσι, τὸ δ' ἔλαιον ἄπεπτον μὲν (ἄσηπτον γάρ), ἀλλὰ διὰ κουφότητα ἄνω ἐπιπολάζει, δι' ὃ οὐ διαχωρητικόν ἐστιν· τὸ δ' ἁλμυρὸν βαρὺ καὶ

pueri quidem, etiamsi non propter cibum ita adficiantur, adficiuntur tamen, quoniam corpora eorum humida sunt ac densa, ita ut excrementa intus confluentia propter carnium densitatem alvum humectent; senes vero frigida habent corpora et alvos, ita ut illi quidem propter corporum humiditatem ac densitatem ita adficiantur, hi vero propter frigiditatem. Cum propter hanc igitur causam, tum quod puerorum quidem redundantiæ foras respirant, senes vero solummodo corpus habent, atque calor exspirans ex iis exhalat. Eodem igitur modo utrique adficiuntur, sed non propter eamdem causam; aliquid vero etiam pueris eo confert, quod cibum certa quadam quantitate ac qualitate adsumunt: multa enim ingerunt dulcia et omnigena: nam parvuli quidem omnino lacte aluntur, quod difficulter concoquitur; paululum vero adulti variis ac dulcibus utuntur eduliis nutricum ac matrum in gratiam quibuscum versantur; hujusmodi autem alimenta difficulter transeunt.

111. Cur interdum potus multus æque ac parcus ventris profluvium sistit? An quia alter quidem merito, quoniam desiccat, utpote exiguus, alter vero propter copiam urinæ meatum petens secum adtrahit humorem e ventre? simul enim per ambas vias subire non solet, sed si alvus quidem secedit magis, urinæ meatus exsiccatur; ubi vero copiosa fit mictio, alvus desiccatur: quasi depulsionem enim e ventre ad urinæ meatum facere solet potus copiosus.

112. Quamobrem potatores, etiamsi corpulenti sint, alvos potius humidas quam siccas habent: quapropter et ventris profluvio magis moriuntur quam nutriti; deberent autem, quum corpulenti sunt, magis eximere partem nutrientem, idque quum fieret, alvus eorum siccari? An quia corpulentia [non] eo constat, quod multum eximitur, dura vero redduntur excrementa; quando difficulter descendunt quæ in ventrem ingesta sunt, hoc autem fit quia non cito corpus ex iis emolumentum capit, neque separatur pars utilis, et quia diu manent in ventre inferiori, utpote non confertim descendentia (exuruntur enim magis); neque ventres sicca excrementa reddentes inprimis corpulenti sunt, sed qui celeriter partem utilem ex alimentis eximunt. Argumento est quod qui alvum siccam habent, potius macilenti sunt quam carnosi.

113. Quamobrem succi dulces et salsi omnium maxime alvum cient? An quia maxime turbare valent; hujusmodi autem sunt quæ ægre concoquuntur ac pondus habent? quod enim turbaturum est, ita agit, quia non domatur a calore nostro interno atque deorsum fertur: nam eo constat ventris turbatio. An quia reliqui quidem succi, excepto oleo, facile dissipantur ac putrescunt, oleum vero ægre quidem concoquitur, quippe quum ægre putrescat, verum propter levitatem sursum elevatur: quam ob causam alvum ciere non valet; salsum vero ponderosum ac

παχύ, τὰ δὲ τοιαῦτα μάλιστα κάτω φέρεται καὶ ἄσηπτά ἐστιν;

ριδ'. Διὰ τί ἡ μὲν ἅλμη καὶ ὁ ὀρὸς τὴν κοιλίαν λύουσι, ὁ δ' οἶνος πολὺς πινόμενος οὔ; Ἢ ὅτι τῶν μὲν ἡ ὑπόστασις εἰς κοιλίαν ἔρχεται; οὐ γὰρ εὔπεπτά ἐστιν, ὥσπερ ὁ οἶνος θερμὸς ὤν, ὃς ταχὺ πεφθεὶς διουρεῖται. Τοῦ μὲν οὖν ἡ ὑπερϐολὴ τὴν κύστιν ταὐτὸ ποιεῖ, ὅπερ ἐκεῖνα τὴν κοιλίαν, ἀλλ' οὐκ ἄγει ὑπόστασιν εἰς κύστιν· οὐ γὰρ ἔχει· τὰ δὲ μετὰ περιττωμάτων ἐξέρχεται ἑπομένων τῇ ὑποστάσει αὐτῶν οὔσῃ παχείᾳ· [ὃ] ποιεῖ τὴν διάρροιαν.

ριε'. Διὰ τί ἐν τῇ κάτω καθάρσει ἢ ἐν τῇ ἄνω ὑπέρινοι μᾶλλον γίνονται; Ἢ διότι εἰς μὲν τὴν κάτω κοιλίαν ἐξ ἅπαντος τοῦ σώματος πέφυκε συρρεῖν τὰ ὑποστήματα (τοῦτο δὲ φανερὸν τῇ τῶν ἐμϐρύων τροφῇ· ἐν ἐκείνῳ γὰρ ὄντα τρέφονται τῷ τόπῳ· ἡ γὰρ ὑστέρα κατὰ ταύτην ἔχει τὴν χώραν)· εἰς δὲ τὴν ἄνω ἀπὸ τῶν πλησίον χωρῶν συνέρχεται, ὥστ' ἀπ' ἐλάττονος δυνάμεως εὐκινητότερα πάντα ἐς τὸ κάτω διὰ τὸ προϋπάρχειν εἰσφερόμενα; Ἡ μὲν οὖν ἄνω κάθαρσις τὸ ἐπιπολάζον καὶ τὸ ἀλλότριον ἁρπάζει μόνον, δι' ὃ καὶ ἐλλεϐορισθέντες εὐθὺς ἰσχύουσιν· ἡ δὲ κάτω ἐκ πολλοῦ συνάγει τόπου, καὶ ἐνίοτε συνεπισπᾶται καὶ τῶν οἰκείων πολλὰ καὶ τῶν περιττωμάτων οὐ ταμιεύεται, ὥστε συμφέρει πολλάκις μὴ πάντα ἐκκενῶσαι· γίνεται γὰρ τὰ ὑπολειφθέντα τροφὴ καὶ ἔχει ἰσχύν. Ἐὰν δὲ μηθὲν ὑπολειφθῇ, ὁτὲ μὲν κένωσιν ποιεῖ ἰσχυράν· ὁτὲ δ' ἀναιροῦνται καθαρθέντες καλῶς, ἐὰν βραδυτέρα γένηται ἡ προσφορὰ τῆς συντήξεως ἐπὶ τὸν ἐπικαιρότατον τόπον.

ρις'. Διὰ τί τοῖς ὑγιεινοῖς καὶ γέρουσιν αἱ κάτω καθάρσεις οὐ συμφέρουσιν; τάχιστα γὰρ ἀπόλλυνται καὶ ὑπέρινοι γίνονται. Ἢ τοῖς μὲν νοσεροῖς περίττωμά ἐστι τὰ ὑπιόντα, τοῖς δ' ὑγιεινοῖς ἀπὸ τῶν εὖ ᾠκοδομημένων γίνεται ἡ ἀφαίρεσις, ὥστε σύντηξις, οὐ περίττωσις ἡ ἀπὸ νόσου; Ὅταν οὖν ὁρμήσῃ, μέχρι θεμελίων κινεῖται.

ριζ'. Διὰ τί τοῦ θέρους μᾶλλον αἱ διάρροιαι γίνονται ἢ τοῦ χειμῶνος, ἔστι δὲ τοῦτο τὸ πάθος ὑγρασίας ὑπερϐολή, καὶ ὁ χειμὼν ὑγρότερος, ὥστ' ἀεὶ μᾶλλον ἐν τῇ ὁμοίᾳ ὥρᾳ συμϐαίνειν [ἔδει] τὸ πάθος ἢ ἐν τῇ ξηρᾷ; Ἢ ὅτι ἐν τῷ θέρει ἀντιπεριίσταται τὸ ὑγρόν, ἐν δὲ τῷ χειμῶνι τὸ θερμόν; οἷον γὰρ ἄν τι ᾖ τὸ ἔξω, ἐναντίως ἔχει τὸ ἐντός· δι' ὃ καὶ τὰ φρέατα τοῦ μὲν θέρους ψυχρὰ ἐν θερμῇ τῇ ὥρᾳ, τοῦ δὲ χειμῶνος θερμὰ ἐν ψυχρᾷ. Τὸ αὐτὸ δὲ καὶ ἡ κοιλία πάσχει, ὥστ' ἐν μὲν τῷ χειμῶνι θερμοτέρα οὖσα πέττει ἱκανῶς, ἐν δὲ τῷ θέρει ψυχροτέρα οὖσα οὐ πέττει ἱκανῶς, ἡ δὲ διάρροια ἀπεψία ἐστίν. Συμϐάλλεται δέ τι καὶ ἡ τροφὴ τοιαύτη οὖσα ἐν τῷ θέρει οἷα ταρακτική, καὶ αἱ νύκτες ἐλάττους.

crassum est; hujusmodi autem res inprimis deorsum feruntur et putredini resistunt?

114. Cur muria quidem et serum alvum solvunt, vinum vero magna copia bibitum non? An quia illorum quidem sedimentum ad ventrem vadit? haud facile enim concoquuntur, sicut vinum, quod calidum quum sit ac cito concoquatur, per urinam transit. Hujus itaque usus immodicus eodem modo in vesicam agit quo illa in ventrem, sed sedimentum non ducit ad vesicam: non enim habet; illa vero cum redundantiis eorum sedimentum, quod crassum est, insequentibus exeunt: id quod ventris profluvium facit.

115. Cur purgatio quæ per inferiora fit, facilius modum excedit quam quæ per superiora? An quia ad inferiorem quidem ventrem e toto corpore suapte natura confluere solent sedimenta (hoc autem constat fœtuum nutritione: nutriuntur enim eo loco versantes, quum in eo sedem habeat matrix); ad superiorem vero e locis vicinis convenit, ita ut a minori facultate omnia facilius ad inferiorem pellantur, quia antea jam præsto sunt quæ adferuntur. Purgatio igitur quæ per superiora fit, fluitantia tantum ac aliena rapit: quapropter et qui veratrum sumserunt, statim vigent; quæ vero per inferiora, ex amplo cogit spatio, atque interdum simul adtrahit et multa familiaria, nec redundantiis moderatur, ita ut conferat sæpius non omnia evacuare: quæ enim restant, alimentum fiunt ac vigorem habent. Quodsi vero nihil relinquatur, interdum quidem vehementem purgationem facit, interdum vero rite purgati interimuntur, si colliquatione tardior sit adcessio ad locum maxime principalem.

116. Quamobrem sanis et senibus non conferunt purgationes quæ per inferiora fiunt? celerrime enim moriuntur ac modum excedit purgatio. An quia apud ægrotos quidem redundantiæ sunt quæ subeunt, apud sanos vero a partibus bene compactis fit ablatio, ita ut colliquamenta sint, non redundantiæ a morbo provenientes? Ubi igitur invaserit, ad fundamenta usque movetur.

117. Cur æstate magis fiunt ventris profluvia quam hyeme, quum hicce adfectus humiditatis abundantia sit et hyems humidior, ita ut semper magis in simili tempestate evenire deberet adfectus quam in sicca? An quia æstate circumobsistitur humiditas, hyeme vero calor? quocumque enim modo se habuerint externa, contrario modo se habent interna: quapropter et putei æstate quidem frigidi in tempestate calida, hyeme vero calidi in frigida. Idem autem evenit ventri, ita ut hyeme quidem, quum calidior est, subficienter concoquat, æstate vero, ubi frigidior, non subficienter; ventris profluvium autem cruditas est. Confert etiam aliquid alimentum quod æstate ejusmodi est ut turbare valeat, atque noctes breviores.

ριη'. Διὰ τί ἐν τῇ νυκτὶ ἀπ' ἐλάττονος καθαίρει τὰ φάρμακα ἢ ἐν τῇ ἡμέρᾳ; ἡ μὲν γὰρ σκαμμωνία καθαίρει ἀπ' ὀγδοημορίου, ἐλατήριον δ' ἀπὸ τεταρτημορίου ὅταν δοθῇ καταπότια. Ἢ διὰ τρία ταῦτα, δι' ὑγρότητα, διὰ θερμότητα, διὰ τὸ σημαίνειν πολὺν χρόνον· ὅτι τε γὰρ οἱ ὑγρότεροι μᾶλλον καθαίρονται· ὑγρὰ γὰρ ἡ κάθαρσις·...... τὸ γὰρ περίττωμα καὶ ἐν τῷ πλείονι χρόνῳ μᾶλλον καθαίρει, ἐν δὲ ταῖς νυξὶ συμβαίνει τοῦτο μάλιστα, διότι πέττει ὁ ὕπνος, ὥστε θᾶττον καὶ μᾶλλον αἰσθάνεσθαι τὸ σῶμα τοῦ φαρμάκου.

118. Quamobrem noctu minori copia purgant medicamenta quam interdiu? scammonia enim data octava parte purgat, elaterium vero quarta, ubi administrantur catapotia? An propter hasce tres causas, propter humiditatem, caliditatem, et quia diu perstant: quod enim humidiores vehementius purgantur: nam purgatio humida est.......... redundantiam enim longiori quoque tempore magis purgat; in noctibus autem hoc inprimis evenit, quia somnus concoquit, ita ut celerius ac impensius medicamentum sentiat corpus.

ριθ'. Διὰ τί τὰ φάρμακα τὰ καθαρτικὰ φλέγμα μὲν ἄγει καὶ χολὴν ἐκ τῶν φλεβῶν εἰς τὴν κοιλίαν, αἷμα δ' οὔ, λεπτὸν ὄν; Ἢ ὅτι ἄγει τὸ ἀλλότριον ὂν διὰ τὸ μὴ προσπεφυκέναι, τὸ δὲ περίττωμα ἀλλότριον; Ἢ ὅτι παχύτερον τὸ αἷμά ἐστι, τὰ δ' ἐξελθόντα παχύνεται, τὸ φλέγμα καὶ ἡ χολή; Δῆλον δ' ὅτι τὸ αἷμα παχύτερον ὅταν ψυχθῇ καὶ παγῇ.

119. Cur medicamenta purgantia pituitam quidem ac bilem e venis ad ventrem agunt, sanguinem vero non, etiamsi tenuis sit? An quia alienum agunt, utpote non adglutinatum, redundantia autem aliena est? An quia crassior sanguis est, exeuntia vero spissantur, pituita nempe ac bilis? Sanguinem autem crassiorem esse tunc probatur, quum refrigeratus est ac concrevit.

ρκ'. Διὰ τί τοῖς ἐκ τῶν γυμνασίων καὶ φαρμακοποσιῶν οὐκ εὐθὺς προσφέρομεν τροφήν; Ἢ ὅτι καθαίρεται τὸ σῶμα ἔτι, καὶ οὐχ ἅμα περὶ αὐτὰ πονοῦν καὶ ἀποκέκριται τὰ περιττώματα; Ἔτι καὶ ἡ μεταβολὴ μεγάλη οὖσα ἀσύμφορον, γίνοιτο δὲ μετὰ πολλὴν κένωσιν πλήρωμα ἀθρόως.

120. Quamobrem post exercitationes ac medicamenta epota non illico cibum propinamus? An quia purgatur adhuc corpus, neque eodem temporis momento his laborem impendere potest quo redundantiis liberatur? Præterea mutatio, quum magna sit, non prodest; fieret autem subito post copiosam vacuationem repletio.

ρκα'. Διὰ τί λέγουσι μὲν πάντες, σεμνύνονται δ' οἱ πλούσιοι ἐπὶ τῷ φαγεῖν ἢ πιεῖν ἡδέως, ἐπὶ δὲ ταῖς κενώσεσιν οὐκέτι, καίτοι οὐδὲν ἧττον ἡδύ, ὅταν ἐπιθυμῇ τις, καὶ πρόσεστι τὸ ὠφέλιμον τὸ δεόμενον τυχεῖν καὶ λυπηρὸν τὸ μὴ τυγχάνειν; Πότερον ὅτι κάθαρσις, ὥστ' ἐνδιατρίβειν τῷ λόγῳ ἀηδὲς περὶ αὐτῶν; Ἢ ὅτι οὐκ ἐφ' ἡμῖν, ἐκεῖνα δ' ἐφ' ἡμῖν;

121. Cur dicunt quidem omnes, prædicantur vero divites quod suaviter edunt vel bibunt, propter vacuationes tamen non ita, etiamsi nihilo minus jucundum sit, quando cupit quis, ac præsto est res præfutura, necessario potiri quam molestum non potiri? Utrum quia purgatio est, ita ut odiosum sit sermoni de his rebus insistere? An quia hæc quidem non in nostra potestate sunt, illa vero penes nos?

ρκβ'. Διὰ τί τοῦ θέρους μᾶλλον γίνεται χολή, τῶν περιττωμάτων ἐλαττόνων ὄντων; Ἢ ὅτι τὸ μὲν θερμὸν σηπτικόν, ἡ δὲ χολὴ ἐκ σήψεως;

122. Cur æstate potius gignitur bilis, quum pauciores sint redundantiæ? An quia calor quidem putrefacere valet, bilis autem a putredine provenit?

ρκγ'. Διὰ τί οἱ χυλοὶ πάντων οὕτω διαχωροῦσι μᾶλλον ἢ μετὰ τῶν φύλλων καὶ ῥιζῶν καὶ καρπῶν, ἢ τῶν φύλλων [εἰσίν], ἐξῆκται δ' αὐτῶν τὸ θερμὸν εἰς τὸ ὑγρόν; Ὅτι τῶν μὲν ἑφθῶν ὑπὸ τοῦ πυρός, τῶν δ' ὠμῶν, αὐτοὶ οἱ χυλοὶ ἔχουσιν; διὸ οἱ μὲν ἰσχυροὶ καθαίρουσι τὰς κοιλίας, οἱ δ' ἀσθενεῖς λύουσιν· καὶ γὰρ οἱ τῶν φαρμάκων ὀποὶ μᾶλλον καθαίρουσι τῶν ῥιζῶν καὶ καρπῶν ἐξ ὧν εἰσιν. Καὶ οἱ τῶν γαλάκτων ὀρροὶ ὡσαύτως μᾶλλον ἢ τὸ γάλα· τὸ γὰρ σαρκῶδες τοῦ γάλακτος ὅπερ γῆς ἐστι μέρος, παχύ ἐστιν. Σημεῖον δέ· οὐ γὰρ ηὐξάνετο τὰ ζῷα τῷ γάλακτι, εἰ μὴ σαρκῶδες ἦν· νῦν δ' οἱ μὲν ὀρροὶ οὐροῦνται μᾶλλον καὶ διαχωροῦσιν ὑπὸ λεπτότητος, αἱ δὲ σάρκες ὑπολειπόμεναι αὔξουσι, καὶ πηγνυμένων τῶν γαλάκτων τυροὶ γίνονται· ἑψομένων δὲ πυρὶ καὶ ὀπτωμένων βούτυρος.

123. Cur jura omnium medicaminum sic magis alvum cient quam una cum foliis et radicibus et fructibus, aut una cum foliis, et quare ex iis eductus est calor ad humorem? Quia dum alia igne coquuntur, alia vero cruda parantur, ipsa jura calorem tenent? propterea valida quidem purgant, imbecilla vero laxant ventrem: etenim medicamentorum succi validius purgant quam radices, aut fructus, e quibus proveniunt. Lactis quoque serum eodem modo magis purgat quam ipsum lac: carnosa enim lactis pars, quæ pars terrena est, crassa est. Argumento est quod animalia lacte non augerentur, si carnosum non esset; nunc vero serum quidem potius per urinam, vel alvum transit propter tenuitatem, caro vero quæ restat, crescere facit, ac coagulato lacte fit caseus; igne vero cocto et tosto, butyrum.

ρκδ'. Διὰ τί ἐναντίως ὁ λευκὸς καὶ ὁ μέλας ἐλλέβορος καθαίρει; Ἢ ὅτι θερμὰ τὰ καθαίροντα; θερμῷ γὰρ

124. Quamobrem obposito modo purgant albus ac niger helleborus? An quia calida sunt medicamenta purgantia?

ἅπαντα λύεται, ψυχρῷ δὲ πήγνυται μᾶλλον. Εἰ οὖν τὰ μὲν κάτω, τὰ δ' ἄνω καθαίρεται, ἀφομοιοῖ ἑκάτερον αὐτῷ τῶν φαρμάκων τὴν κάθαρσιν· βαρὺς μὲν γὰρ καὶ πυκνός ἐστιν ὁ μέλας, ὁ δὲ λευκὸς ἀραιὸς καὶ κοῦφος. Τὰ οὖν ὑφ' ἑκατέρου ταχέντα ὑγρὰ ὅταν αὐτοῖς ἀφομοιωθῇ, τὰ μὲν ὑπὸ τοῦ μέλανος βαρέα καὶ πυκνὰ τὴν κάτω φορὰν ἔλαβεν, ἡ δ' ἀπὸ τοῦ λευκοῦ ἀραιὰ γενομένη καὶ κούφη εὐχερῶς ὑπὸ τῆς προϋπαρχούσης θερμασίας ἀνηνέχθη.

calore enim solvuntur omnia, frigore vero solidantur potius. Quodsi igitur alia quidem deorsum, alia vero sursum purgantur, purgamenta sibi adsimulat utrumque medicamentum: gravis enim et densus est niger, albus vero rarus et levis. Humores igitur ab utroque liquati ubi ipsis medicamentis adsimilati sunt, qui a nigro, utpote graves et densi, iter deorsum ferens sibi eligere solent, purgamentum autem ab albo proveniens, quum rarum et leve sit, facile a calore, qui jam antea aderat, elevatur.

ρκε'. Διὰ τί τῶν τετραπόδων οὐδὲν ἀφ' ὑστέρας πνίγεται, ἔχοντά τε καὶ ζωοτοκοῦντα; Ἢ διότι μεγάλων ὄντων τῶν ἄνω, πρὸς τοῖς αἰδοίοις ἡ ὑστέρα ἐστὶ πᾶσιν· διὰ δὲ τὸ πολὺ ἀπέχειν οὐκ ἀναβαίνουσιν ἄνω, διὰ δὲ τὸ μὴ ἀναβαίνειν οὐκ ἀπολαμβάνουσι τὸ πνεῦμα, πνίγονται δὲ τούτου γινομένου;

125. Cur nullum quadrupes ab utero strangulatur, etiamsi habeant, ac vivos fœtus pariant? Num quia, quum partes superiores amplæ sint, apud omnia pudendis vicinus est uterus; quia autem longe distat, sursum non adscendit, ac quia non adscendit, respirationem non intercipit, strangulantur autem, ubi hoc fit?

ρκς'. Διὰ τί τὰ πιαινόμενα τῇ ὠμῇ λύσει τῶν αἰρῶν μιγνυμένων τάχιστα πιαίνεται, διὰ δὲ τὸ τὴν μίξιν ἔχειν τινὰ λόγον; ἐὰν γὰρ λίαν πολὺ μιχθῇ, ἀποκτείνει. Ἢ ὅτι αἶραι βαρὺ ἔδεσμα καὶ καρηβαρεῖν ποιεῖ; Τῷ οὖν καρώματι ὕπνον συνεχῆ ποιεῖ, ὥσπερ ὁ μανδραγόρας· ὁ δ' ὕπνος πιαίνει μάλιστα, συνέχων τὰ σώματα.

126. Cur animalia quæ farina hordeacea cum admisto lolio saginantur, citissime pinguescunt, verumtamen ea lege ut modum aliquem teneat mixtio? si enim permagna copia admiscetur, interimit. An quia lolium grave est edulium et capitis gravitatem facit? Gravedine igitur continuum adfert somnum sicut mandragoras; somnus autem maxime saginat, utpote membra colligans.

ρκζ'. Διὰ τί τῆς κόπρου ἡ τῶν βοῶν ἥκιστα δυσώδης τῶν τετραπόδων καὶ διπόδων; Πότερον ὅτι πέττεται μάλιστα (σημεῖον δ' ἡ λειότης), καὶ ὅτι ἁπλῆ ἡ τροφή; ἄχυρα γάρ· ἡ δὲ ποικίλη δυσώδης· διὸ καὶ ἡ τῶν ἀνθρώπων δυσωδεστάτη. Ἢ ὅτι σημεῖον ὅτι μάλιστα μηρυκάζει; τὸ γὰρ μηρυκάζειν ἐστίν, ὅταν μεταβάλῃ ἐκ τῆς πρώτης εἰς τὴν δευτέραν, δι' ὃ καὶ λεῖον γίνεται τὸ περίττωμα καὶ πλεῖστον· διὸ χρόνον ἐν τῇ κοιλίᾳ μείναντα ἥκιστα ὄζει, τὰ δὲ προσφατώτατα μάλιστα.

127. Cur inter quadrupedes et bipedes omnium excrementorum boum stercus minime fœtet? Utrum quia maxime concoquitur (hoc enim probat ejus lævitas), et quod simplex est eorum alimentum? paleis enim constat; at varium stercus maxime olet: propterea et humanum fœtidissimum est. An quia id ipsum signum est, bovem maxime ruminare? ruminatio enim eo constat ut e primo ventriculo in secundum transferat: quapropter et læve redditur excrementum et copiosissimum fit: hinc quum diu in ventre manet, minime olet: recentissimum enim maxime.

ρκη'. Διὰ τί τὰ Λιβυκὰ θηρία τοῦ μὲν θέρους οὐ πίνει, ὅτε μάλιστα δίψα γίνεται, χειμῶνος δὲ πίνουσιν, ὅτε ἧττον διψῶσιν; Ἢ διὰ τὸ μὴ γίνεσθαι ὕδατα τοῦ θέρους ἐν τῇ Λιβύῃ; συνήθεις γὰρ μὴ πίνειν· τοῦ δὲ χειμῶνος διὰ τὸ γενέσθαι πίνει. Ὃ οὖν ἐκεῖ εἴθισται, καὶ ἐν ἄλλοις τόποις ἐλθόντα τὸ ἔθος σώζει.

128. Quamobrem feræ Libycæ æstate quidem non bibunt, quando inprimis obtinet sitis, hyeme vero bibunt, quando minus sitiunt? An quia æstate non exsistunt aquæ in Libya? potu enim abstinere consueverunt; hyeme vero bibunt, quia adsunt aquæ. Quod igitur illic facere consueverant, hunc morem etiam servant, postquam ad alia loca transmigrarunt.

ρκη' *. Διὰ τί τὰ πλεῖστα τῶν τετραπόδων ῥᾷον τοῦ ὑγροῦ τὸ ξηρὸν περίττωμα προΐεται; ἀφοδεύει μὲν γὰρ καὶ βαδίζοντα, οὐρεῖ δ' ἐφιστάμενα τὰ πολλὰ αὐτῶν. Ἢ ὅτι τοῖς μὲν θήλεσιν ἡ μήτρα τῆς κύστεως ἔμπροσθέν ἐστι, τοῖς δ' ἄρρεσιν οὔ, ἡ μὲν ξηρὰ περίττωσις, κατ' εὐθυωρίαν ἐστὶν ἐκ τῆς κοιλίας εἰς τὴν ἕδραν ἡ φορά; διὸ ῥᾳδίως ἐκρεῖ τὰ οὖρα καὶ καμπὴν ποιεῖ, τοῦ οὖν αἰδοίου εἰς τοὔμπροσθεν ἀνηνεγμένου. Ὁρμήσαντα γοῦν ἐκ τῆς κύστεως τὰ ὑγρὰ προσπίπτοντα τοῖς καταντικρὺ τόποις ἀναχωρεῖ πολλάκις, ἂν μὴ ἐπιστάντα τὰ ζῷα τῷ πνεύματι συναπώσῃ· διὸ καὶ οἱ ἱπποκόμοι ἐφιστᾶσι τὰ ὑποζύγια ἐν τῷ οὐρεῖν. Ση-

128. * Cur pleraque quadrupedia facilius siccum excrementum quam humidum emittunt? alvum enim exonerant et incedentia, sistuntur vero pleraque eorum ut mingant. An quia apud feminas quidem uterus ante vesicam situs est, apud mares vero non hic, sed siccum excrementum, recto tramite e ventre ad sedem pertendit iter? propterea [haud] facile effluit urina atque flexuram facit, quum saltem pudendum anteriora versus elatum est. E vesica igitur profecti ac locis e regione positis incidentes humores recurrunt sæpe, nisi sistantur animalia ac spiritu depulsionem adjuvent: hinc et equisones sistunt jumenta,

μεῖον δέ· τὰ μὲν θηλέα τῶν ἀρρένων ὑποζυγίων ἐστὶν οὐρητικώτερα διὰ τὸ τῇ ἕδρᾳ τὸ αἰδοῖον ἐν ταὐτῷ τόπῳ κεῖσθαι· τῶν δὲ τετραπόδων τὰ μονώνυχά ἐστι δυσουρητικώτερα διά τό τε τοῦ οὔρου πάχος καὶ διὰ τὸ χόρτον καὶ καρπὸν ἀργὸν ἐσθίοντα λάβρως ἐσθίειν· οὐ γὰρ λεαίνοντα τοῖς ὀδοῦσι τὴν τροφὴν φυσᾶται τὴν κοιλίαν, οἰδησάντων τῶν εἰσιόντων, ἧς διατεινούσης καὶ πνευματωθείσης οὐκ ἐμπίπτει δι' αὐτῆς τὰ ὑγρὰ εἰς τοὺς τῆς κύστεως πόρους. Σημεῖον δὲ τό τε στραγγουρίᾳ καὶ στρόφῳ ἔχεσθαι καὶ τὸ τοὺς ἰωμένους τὴν χεῖρα εἰς τὴν ἕδραν καθιέντας ἀφαιρεῖν κόπρον· τοῦ γὰρ πνεύματος μετὰ ταύτης ἐξελθόντος ἀνοίγονταί θ' οἱ τῶν ὑγρῶν πόροι, βοηθοῦσι δὲ τῷ πάθει καὶ λούοντες καὶ συλλεαίνοντες· πάντα γὰρ ταῦτα ἀπορροὴν πνευμάτων ποιεῖ, ἀνοίγοντά τε τοὺς κατὰ σάρκα πόρους καὶ λεπτύνοντα τὰ ἐν αὐτοῖς ὑγρά. Ἁλίσκονται δὲ τοῖς εἰρημένοις πάθεσι μᾶλλον τῶν ἄλλων τὰ μονώνυχα καὶ διὰ τὸ δύσριγα εἶναι.

ubi mingunt. Probatur autem hoc eo quod jumenta feminæ maribus facilius mingunt, quoniam pudendum eorum eodem loco situm est quo sedes; at inter quadrupedia solidipedes difficilius mingunt, cum propter urinæ crassitudinem, tum quia adfatim vescuntur alimento fœno et seminibus non subactis constante: quum enim dentibus non lævigant cibum, inflatur venter eorum, turgescentibus alimentis ingestis; hoc autem distendente et flatu repleto, per eum in vesicæ meatus non incidunt humores. Probatur autem eo quod urinæ stillicidio et torminibus vexantur, quodque veterinarii, manu in sedem inmissa, stercus auferunt: flatibus enim simul cum hoc exeuntibus, aperiuntur humorum meatus; adfectui etiam opem ferunt lavando et lævigando: nam omnia hæc flatuum effluvium faciunt, dum carnis meatus aperiunt et humores qui iis continentur, adtenuant. Quin etiam quia alsiosæ sunt, supradictis adfectibus magis quam reliqua animalia adfliguntur solidipedes.

ρκθ'. Διὰ τί τὰ ἄγρια θηρία μονόχροα; Ἢ ὅτι ἁπλῆ ἡ διαίτη, αἱ δὲ ταραχώδεις καὶ ποικίλαι διαθέσεις χρωματίζουσι τὰ σώματα μᾶλλον; Σημεῖον τοῦτο ἀλεκτρυόνων ὅτι πολύχροα· παμφαγώτατοι γὰρ τῶν ὀρνίθων.

129. Quamobrem feræ sylvestres unicolores sunt? An quia simplex est eorum victus, victus rationes autem tumultuosæ ac variæ potius colorant corpora? Argumento est quod gallis gallinaceis adcidit, quum multicolores sint: omnium enim avium maxime omnivori sunt.

ρλ'. Διὰ τί οἱ πυροὶ τοῖς τετράποσιν δυσδιαχωρητότεροι τῶν κριθῶν; Ἢ διὰ τοὺς ἐχίνους; ταχὺ γὰρ λεαινόμενον τὸ ἄχυρον αὐτῶν λεπτυνόμενον ἔχεται ἐν τοῖς ἐχίνοις διὰ τὴν τραχύτητα τῶν ἐχίνων· τῶν δὲ κριθῶν ἅμα συμπέττεται διὰ τὸ τῇ πέψει γίνεσθαι πλείω χρόνον.

130. Quamobrem triticum apud quadrupedes difficilius transit quam hordeum? An propter omasum? tritici enim palea quum cito lævigatur, comminuta hæret in omaso propter omasi asperitatem; hordei vero palea una concoquitur, quum plus temporis concoctioni impenditur.

ρλα'. Διὰ τί τὰ μονώνυχα γηράσκοντα μείζους ἴσχει τοὺς ὀδόντας ὥσπερ τὰ ἄλλα ἐλάττους; Ἢ ὅτι τε φύσει εὐαυξεῖς διὰ τὸ μὴ ἔχειν κέρατα; Καὶ ἡ χρῆσις ὀλίγη ὑφ' ἧς τρέφονται. Καὶ ἐπιπαραλλάττουσι τὰς σιαγόνας, οὐχ ὥσπερ ὁ ἄνθρωπος, ἀρτιστόματοι.

131. Cur solidipedes senescentes majores habent dentes, ut reliqua animalia minores? An quia suapte natura facile crescunt, quoniam cornua non habent? Tum usus eorum parcus est propter cibum quo utuntur. Præterea alternatim movent maxillas, neque eorum os, sicut hominis, exacte clauditur.

ρλβ'. Διὰ τί οὔτε πώγωνα, οὔτε δασεῖαν βλεφαρίδα ἔχει οὐθὲν τῶν τετραπόδων ὅσα μονώνυχά ἐστιν; Ἢ ὅτι χαίτην ἔχει ταῦτα, καὶ εἰς ταύτην καταναλίσκεται αὐτοῖς ἡ ὑγρότης, ἐξ ἧς αἱ τρίχες γίνονται; ἀδύνατον γάρ ἐστι τὴν περίττωσιν ταύτην κινεῖσθαι ἅμα εἰς τὰ ἐναντία, ᾗ ἐστι τροφὴ τούτοις, ἀλλ' ἢ ἄνω, ἢ κάτω, ἢ πρόσθεν, ἢ ὄπισθεν.

132. Cur neque barbam, nec palpebram hirsutam habet ulla quadrupes quæ solidipes est? An quia hæ jubam habent, atque in hanc impenditur apud eas humor e quo pili gignuntur? fieri enim nequit ut hæcce redundantia quæ horum nutrimentum est, simul in obpositas partes moveatur, sed aut sursum, aut deorsum, aut anteriora versus, aut posteriora.

ρλγ'. Διὰ τί οὖν τὰ μονώνυχα, οἷον ἵπποι, ἢ ὄνοι καὶ ὀρεῖς, ἡνίκα ἂν γένηται, μένει καὶ οὐθὲν αὐξάνεται τὸ ἀπὸ τῆς ὁπλῆς ἄνωθεν, μὴ συλλαμβανομένης δὲ τῆς ὁπλῆς, μένει [δὲ] ἕως τοῦ γόνατος καὶ τοῦ ὀπισθίου καὶ τοῦ ἐμπροσθίου σκέλους, οἱ δ' ἄνθρωποι τοὐναντίον; ἐπὶ τὰ κάτω γὰρ αὐξάνονται μᾶλλον. Ἢ ὅτι τοὺς μὲν δεῖ ὀρθίους πορεύεσθαι· τὰ κάτω οὖν αὐξηθῆναι ἀνάγκη, ἵνα ῥᾷον φέρῃ τὰ ἄνω, ἢ οὐκ ἀναστήσονται· τὰ δὲ τοὐναντίον τετράποδα διατελεῖν, ὥστε τὰ ἄνω αὐξάνεσθαι ανάγκη, τὰ δὲ κάτω μένειν, ᾧ ἀναστήσονται ὀρθά, ὥστε τὸ μὲν ὀρθὸν ἀνάγκη ταῦτα γίνεσθαι; διὸ καὶ πωλία μὲν ὄντα ῥᾳδίως τὸ οὖς ξύονται τῷ ὀπισθίῳ ποδί, πρεσβύτερα δὲ γενόμενα οὔ· οἱ δ' ἄνθρωποι ἀντεστραμμένως· οὐ γὰρ δύνανται μέχρις ἡλικίας τινὸς τὰ παιδία κύκλῳ θιγεῖν τοῦ ὠτός.

133. Quamobrem itaque solidipedes, ut equi, vel asini et muli, quando nati sunt, perstant, nec ullo modo crescit pars inde ab ungula sursum versus sita, non comprehensa ungula, perstant, inquam, usque ad genu, cum posterioris tum anterioris cruris; apud homines vero contrarium obtinet? deorsum enim crescunt magis. An quoniam hi quidem erecti incedere debent (necessario igitur crescunt partes inferiores ut facilius ferant superiores, aut non surgent); has vero perpetuo quatuor cruribus ingredi oportet, ita ut partes superiores necessario crescant, inferiores vero quibus erecti surgerent, perstent? Animalibus itaque non erectis hæc eveniant necesse est: propterea, dum pulli quidem sunt, facile os scalpunt pede posteriori, seniora autem facta non; apud homines vero contrarium obtinet: nam ad certam usque ætatem aurem in orbem adtingere nequeunt infantes.

ρλδ'. Διὰ τί τὰ μὲν μονώνυχα τὸ ἀπορρέον ὕδωρ πίνει, τὰ δίχηλα, οἷον βόες, τὰ συρρέοντα μᾶλλον; Ἢ ὅτι οἱ βόες χαίρουσι μᾶλλον τοῖς ἁλμυρωτέροις, δι' ὃ καὶ εἰς τὴν τροφὴν παρεμβάλλονται αὐτοῖς ἅλες καὶ συμμίγνυται ὁ τοιοῦτος χυμός, τὰ δὲ συρρέοντα ἔχει τὸ τοιοῦτον μᾶλλον (ὑπόστασιν γὰρ ἔχει, τὸ δ' ἁλμυρὸν ὑφίσταται διὰ τὸ βάρος)· τὰ δὲ μονώνυχα τὰ γλυκέα μᾶλλον καὶ πίνει, καὶ ἄλλως προσφερόμενα χαίρει;

134. Cur solidipedes quidem defluentem aquam bibunt, bisulca vero, ut boves, potius confluentes? An quia boves magis gaudent rebus salsioribus: quapropter et eorum pabulo injicitur sal admisceturque hujusmodi sapor, aquæ autem confluentes id inprimis habent (sedimentum enim habent; salsum autem subsidit propter pondus); solidipedes vero dulcia potius bibunt, delectanturque si alio modo iis propinentur?

ρλε'. Διὰ τί αἱ ὕες πιαινόμεναι δυσριγότεραι γίνονται; Ἢ διότι καὶ οἱ ἄνθρωποι [οἱ] παχεῖς, ὅσῳ ἂν μᾶλλον παχύνωνται, πορρωτέρω γίνονται τοῦ οἰκείου θερμοῦ, ὅσῳ δ' ἂν μᾶλλον τοῦτο πάσχωσιν, εὐψυκτότερα τὰ ἔσχατα ἀνάγκη εἶναι, τὰ δ' εὔψυκτα ταχὺ ἀνάγκη αἰσθάνεσθαι τοῦ ψύχους;

135. Quamobrem sues pinguescentes magis alsiosi redduntur? An quia et homines pingues, quo magis pinguescunt, eo magis removentur a proprio calore, quo vero magis ita adficiuntur, eo facilius refrigerari partes extremas necesse est; quæ autem facile refrigerantur, necessario et cito frigus sentiunt?

ρλς'. Διὰ τί ἄνθρωπος μὲν οὐ χαλαζιᾷ, οὐδὲ τῶν ἄλλων ζῴων οὐδέν, αἱ δ' ὕες τοῦτο πάσχουσιν; Ληπτέον δὴ τὸ πάθος τί ἐστι χαλάζωσις· ἔστι δ' οἷον τοῖς ἀνθρώποις οἱ ἴονθοι, τοῦτο ταῖς ὑσὶν ἡ χαλάζωσις ὧδε μετεστραμμένον. Οἱ δ' ἴονθοί εἰσι μικροὶ δοθιῆνες, δι' ὅ τι πολλοὶ καὶ διεσπαρμένοι· μεγάλα γὰρ πολλὰ χαλεπώτερον ποιῆσαι καὶ πλείονος περιττώματος ἔργον, ὥστε πρὶν μερισθῆναι οὕτως, ἕτερον ἂν νόσημα προσηγέρθη. Γίνονται δ' οἱ ἴονθοι οὔθ' ὡς ἀρρώστημα, οὔθ' ὡς τῶν κατὰ φύσιν, ἀλλὰ τοῖς εὐτραφέσι μέν, τροφῆς δὲ φαύλης ὑπερβολῇ, δι' ὃ γίνονται οὐ τῇ τυχούσῃ ἡλικίᾳ· οὔτε γὰρ παιδίοις, οὔτε γέρουσι γίνονται ἴονθοι, οὔτε τοῖς λεπτοῖς. Τοῖς μὲν οὖν ἀνθρώποις, ὥσπερ εἴρηται, οἱ ἴονθοι γίνονται ἔξω διὰ τὴν λεπτότητα τοῦ δέρματος· τοῖς δ' ὑσὶ γίνονται μὲν δι' εὐτροφίαν, διὰ πάχος δὲ τὸ τοιοῦτον ἔσω τοῦ δέρματος τρέπεται· εἰ δ' εἰσὶ δι' εὐτροφίαν, ὑπερβολῇ περιττώματος. Ὥσπερ καὶ οἱ ἴονθοι φυσικαῖς ἡλικίαις γίνονται, οὕτω τοῖς τοιούτοις τῶν ζῴων ἐγγίνονται χάλαζαι, ὅταν γένηται τὸ ἔτος ἔγκαιρον· τότε γὰρ ἥκιστα δύναται πέττειν τὴν τροφήν, τὸν δ' ἄλλον χρόνον ῥᾷστα πέττει τῶν ζῴων· διὸ καὶ πιότατόν ἐστι καὶ τὴν προχώρησιν ἐξηλλαγμένην ποιεῖται πλείστην. Σημεῖον δ' ὅτι χαλαζώδεις εἰσὶν αἱ ὑγρόσαρκοι τά τε περὶ τὰ σκέλη καὶ τὸν τράχηλον καὶ τοὺς ὤμους, ἐν οἷς μέρεσι καὶ πλεῖσται γίνονται χάλαζαι. Κἂν μὲν ὀλίγας ἔχῃ, γλυκυτέρα ἡ σὰρξ γίνεται διὰ τὸ εὐτροφίας εἶναι σημεῖον, ὥσπερ εἴρηται· ἐὰν δὲ πολλάς, ὑγρὰ λίαν καὶ ἄχυμος· ἄπεπτος γὰρ ἡ τροφὴ ἡ λίαν πολλὴ καὶ οὐ κρατεῖται ὑπὸ τῆς φύσεως· ἐκβάλλουσι γὰρ τὰς χαλάζας μάλιστα ταῖς τίφαις· ἔστι δὲ τοῦτο καὶ πρὸς τὴν τροφὴν χρήσιμον. Ὥσπερ δ' οὐδὲ τοῖς παιδίοις γίνονται ἴονθοι, οὐδὲ γέρουσιν,

136. Cur homo quidem grandine non adficitur, neque ullum aliud animal, sues vero ita adficiuntur? Adsumendum sane est, quidnam sit hicce morbus grando dictus; est autem idem quod hominibus sunt vari, id suibus grando huc translatum. Vari autem exigui sunt furunculi, utpote copiosi et dispersi: multorum enim magnorum creatio res est difficilior et plures requirit redundantias, ita ut, priusquam ita distribuerentur, alius morbus excitaretur. Fiunt autem vari nec tamquam morbus, nec tanquam res naturalis, sed bene nutritis quidem adcidunt, verum propter abundantiam nutrimenti mali: quapropter nec quavis ætate oriuntur: neque enim apud infantes, vel senes oriuntur, neque apud macilentos. Apud homines itaque, uti jam dictum est, vari extra oriuntur propter cutis tenuitatem; apud sues vero oriuntur quidem propter bonam nutritionem, verum illud propter crassitudinem ad partes intra cutem convertitur; quodsi autem bonæ nutritioni originem debent, fiunt ob excrementorum abundantiam. Quemadmodum et vari naturalibus quibusdam ætatibus adcidunt, sic hujusmodi animalibus eveniunt grandines, quando annus fuerit obportunus: tunc enim minime concoquere possunt alimentum, dum reliquo tempore omnium animalium facillime concoquunt: propterea et pinguissimum est et plurimum facit incrementum insolens. Argumento est quod grandinibus obnoxii sunt quorum caro humida est, idque partibus circa crura et collum et humeros, in quibus partibus et plurimi gignuntur grandines. Atque ubi paucos quidem habet, dulcior fit caro quia probæ mutritionis signum sunt, uti dictum jam est; ubi vero multas, admodum humida et saporis expers: nam crudum manet nutrimentum admodum abundans, nec a natura superatur: tipha enim inprimis pellunt grandines, estque hæc et ad nutriendum utilis. Quemadmodum autem nec apud infantes nascuntur vari, nec apud senes,

οὕτως οὐδὲ τοῖς χοίροις τοῖς γαλαθηνοῖς χάλαζα, οὐδὲ τοῖς νέοις, εἰ μὴ σπάνιον, καὶ τότε ἐὰν ἡ μήτηρ πολλὰς ἔχῃ· οὐ γίνονται δὲ ταῖς λίαν γραίαις ὑσίν, ἀλλὰ ταῖς παλαιοτέραις.

sic neque apud porcos lactentes fiunt grandines, nec apud juvenculos, nisi raro, atque tunc ubi mater multos habet; neque gignuntur apud sues admodum vetulas, sed apud seniores.

ρλζ'. Διά τί οἱ ὕες μάλιστα τῶν ζῴων ἀφρὸν ἀφιᾶσι, καὶ ὀχεύοντες, καὶ μαχόμενοι, καὶ πορευόμενοι, καὶ οἱ ἐνόρχεις μᾶλλον ἢ οἱ ἐκτομίαι; Ἢ ὅτι στενὸν ἔχει τὸν βρόγχον (δηλοῖ ἡ φωνή), καὶ φύσει πίων ἐστίν, ὥστε πυκνὸν τὸ πνεῦμα ὂν καὶ πολὺ δι' ὀλίγου ἔρχεται; Διὰ μὲν οὖν τὸ ὑγρὸν εἶναι σιαλοχοεῖ θερμαινόμενον, διὰ δὲ τὸ στενόπνουν ἀσθματικόν· ἀφρὸς δ' ἐστὶ πνεύματος πυκνοῦ ἄνοδος ἐν ὑγρῷ, δι' ὃ καὶ οἱ ἐπιληπτικοὶ ἀφιᾶσιν ἀφρόν· κατεχόμενον γὰρ τὸ πνεῦμα ἐν τῷ πνεύμονι, πνιγόμενον ἀνάγει βίᾳ τὸ ὑγρόν. Μαχομένοις μὲν οὖν ὁ θυμός, θέουσι δὲ κίνησις, ὀχεύουσι δὲ προθυμία ἐκθερμαίνει τὸ πνεῦμα καὶ ποιεῖ πυκνόν, τὸ δὲ πάχος διὰ τὴν στενότητα ποιεῖ πνιγμόν, ὁ δὲ πνιγμὸς ἀφρόν.

137. Quamobrem sues omnium animalium maxime spumam emittunt, et coeuntes, et pugnantes, et incedentes, idque verres magis quam majales? An quia angustam habet gulam (docet vox), atque naturaliter pinguis est, ita ut spiritus, etiamsi densus et copiosus sit, per exiguum spatium transeat? Itaque quia humidus est, salivam fundit incalescens, quia vero angustatur spiritus, anhelationi obnoxius est; spuma autem est spiritus densi adscensus in humore: quapropter et morbo comitiali adflicti spumam emittunt: retentus enim spiritus ac in pulmone subfocatus vi evehit humorem. Pugnantibus itaque ira, currentibus autem motus coeuntibusque libido spiritum calefacit ac densum reddit, crassitudo autem propter angustiam subfocationem creat, subfocatioque spumam.

ρλη'. Διὰ τί ὑσὶ καπρώσαις ἐάν τις προσχέῃ ὄξος εἰς τὰ αἰδοῖα, λήγουσιν ἐπὶ χρόνον τινὰ τῆς κάπρης; Πότερον ὅτι διὰ τὸν πόνον ἐκκόπτει τὸ ἀλγῆσαν τὴν ἐπιθυμίαν; δάκνει γὰρ προσχεόμενον. Ἢ ὅτι θερμότης αἰτία τοῦ πάθους καὶ φλέγμα, οἱ δ' ὑπὸ θερμοῦ γίνονται τῆς ἐπιθυμίας, τὸ δ' ὄξος σβέννυσι τὴν θερμότητα, τουτέστι τὴν αἰτίαν τοῦ πάθους;

138. Quamobrem, si quis apud sues subantes acetum pudendis adfuderit, a subando aliquantisper cessant? Utrum quia propter laborem pars dolens expellit libidinem? mordet enim ubi adfunditur. An quia calor causa est adfectus ac pituita, siquidem a calore provenit libido; acetum autem extinguit calorem, id est adfectus causam?

ρλθ'. Διὰ τί τὰ μὲν ἄλλα τετράποδα, οἷον ἵπποι καὶ τὰ ὑποζύγια, ἐκβάλλουσι τοὺς ὀδόντας, καὶ κύων περὶ ἑπτάμηνον, καὶ αἶγες καὶ πρόβατα καὶ ἄνθρωποι, ὗς δ' οὐκ ἐκβάλλει; Ἢ ὅτι πλατὺ ῥύγχος ἔχει καὶ ἰσχυρόν; [Ἢ] ὅτι τοῖς ὀδοῦσι τοῖς ἐμπροσθίοις, οὕσπερ βάλλουσι μόνους, οὐ πονεῖ μόνον; τῷ γὰρ ῥύγχει ἐργάζεται.

139. Cur reliquæ quidem quadrupedes, ut equi et jumenta, dentes abjiciunt, item canis circa septimum mensem, et capræ et oves et homines, sus vero non abjicit? An quia rostrum latum ac validum habet? An quod tantummodo dentibus anterioribus, quos solos abjicit, non laborat? rostro enim opus perficit.

ρμ'. Διὰ τί ἡ ὗς ὀχευθεῖσα ἀφρὸν ἀφίησιν ἐκ τοῦ στόματος; Ἢ ὅτι στενὸν τὸν φάρυγγα ἔχει καὶ τὰς σύριγγας, δι' ὃ καὶ ὥσπερ πνιγομένης αὐτῆς ἡ φωνή ἐστιν; Ὅταν οὖν ἐν τῇ ὀχείᾳ διὰ στενῶν ἐπανίῃ τῶν πόρων καὶ μεθ' ὑγρότητος, ἀφρὸς γίνεται· μάλιστα γὰρ ἐν τοῖς τοιούτοις ἀφρίζει.

140. Quare sus, ubi initur, spumam ex ore emittit? An quia angustum habet guttur et fistulas: quapropter et ejus vox strangulatæ similis est? Quando igitur per coitum per angustos meatus adscendit, idque cum humore, spuma oritur: maxime enim in talibus circumstantiis spuma gignitur.

ρμα'. Διὰ τί αἱ ἄγριαι ὕες ἔλαττον τίκτουσι τῶν ἡμέρων; ἑπτὰ γὰρ τὸ πλεῖστον τίκτουσιν, αἱ δὲ τρισκαίδεκα. Ἢ ὅτι πλεονάκις τίκτουσιν αἱ ἥμεροι διὰ τὴν εὐπορίαν τῆς τροφῆς καὶ τὴν ἀλέαν τῶν τόπων, δι' αὐτὸ δὲ πλείω τίκτουσιν;

141. Quamobrem sues feræ pauciores pariunt quam cicures? plurimum enim septem pariunt; hæ vero tredecim. An quia sæpius pariunt cicures propter cibi abundantiam et locorum teporem, atque hac ipsa de causa plures pariunt?

ρμϐ'. Διὰ τί ἄρρενες μὲν ὕες ἄγριοι πολλοί εἰσι, κάπροι δ' ὀλίγοι; Ἢ ὅτι κνησμὸς νέοις οὖσιν ἐμπίπτει εἰς τοὺς ὄρχεις διὰ μέγεθος; Ξυόμενοι οὖν πρὸς τὰ δένδρα ἐκφεύγουσι καὶ γίνονται οὓς καλοῦσι χλούνας, ὅθεν καὶ Ὅμηρος πεποίηκεν (Ἰλ. ι, 539)·

ὦρσεν ἔπι χλούνην σῦν ἄγριον.

142. Quamobrem sues feri mares quidem plures exstant, apri vero pauci? An quia, juvenes dum sunt, pruritus testes eorum invadit propter magnitudinem? Sese fricantes igitur ad arbores hunc effugiunt, ac fiunt quos vocant χλούνας: unde et Homerus cecinit:

inmisit χλούνην suem ferum.

ρμγ'. Διὰ τί ὕες πιαινόμενοι λιποτριχοῦσιν; Ἢ ὅτι πιαινόμεναι σαρκοῦνται μᾶλλον, τοιαῦται δὲ πέττουσι μᾶλλον, [μᾶλλον] δὲ πέττουσαι ἔλαττον τὸ περίττωμα λείπουσιν, αἱ δὲ τρίχες ἐκ τῶν περιττωμάτων γίνονται;

143. Cur sues pinguescentes setas amittunt? An quia pinguescentes carnosiores fiunt, tales autem quum sint, concoquunt melius, meliusque concoquentes pauciores redundantias relinquunt; setæ autem e redundantiis gignuntur?

ρμδ'. Διὰ τί οἱ ἄγριοι ὕες πάντες ὡς ἐπὶ τὸ πλεῖστον μέλανές εἰσιν, οἱ δ' ἥμεροι οὔ; Ἢ διότι οἱ μὲν ἀεὶ διὰ τὸ ἐν τοῖς ἕλεσιν εἶναι ὑπὸ τοῦ βορϐόρου μέλανες γίνονται (σημεῖον δ' ὅτι βάπτει ὁ βόρϐορος καὶ αἱ βακτηρίαι λευκόταται, κατορυττόμεναι δ' εἰς αὐτὸν μέλαιναι γίνονται)· τῶν δ' ἡμέρων ὀλίγοι οὕτω διάγουσιν;

144. Cur sues feri omnes plerumque nigri sunt, cicures vero non? An quia illi quidem, utpote in paludibus versantes, semper cœno nigri redduntur (cœnum autem inficere eo probatur, quod baculi albissimi in eo defossi nigrescunt); cicures vero pauci ita degunt?

ρμε'. Διὰ τί αἱ ὕες, ἐὰν μὴ φθέγγωνται θηλαζόμεναι, οὐ προΐενται γάλα; δι' ὃ καὶ οἱ βουλόμενοι βδάλλειν αὐτὰς κεντοῦσιν. Ἢ ὅτι ἀποϐιάζονται τῷ πνεύματι πάντα, καὶ φθέγγεται πάντα κατέχοντα τὸ πνεῦμα· τὸ δὲ τῆς ὑὸς γάλα οὐ ῥᾳδίως ἐκκρίνεται; ὀλίγον τε γὰρ ὂν εἰς πολλοὺς διέσπασται μαστούς, ὥστε κατὰ τὴν ἔξοδον δεῖται βίας.

145. Cur sues lactantes, nisi vociferentur, lac non emittunt? hinc et qui mulgere volunt, eas pungunt. An quia spiritu omnibus rebus vis infertur, omniaque animalia vociferantur spiritum retinentia; suis autem lac haud facile excernitur? exiguum enim quum sit, in plures mammas distractum est: proinde ad exeundum vi indiget.

ρμϛ'. Διὰ τί τῆς ὑὸς οἱ πρῶτοι μαστοὶ οἱ πρὸς τὸ στῆθος εὔκρατοι πρὸς τὸ βδάλλειν, καὶ οἱ ἐφεξῆς κατὰ λόγον· δι' ὃ καὶ ὁ γενόμενος εὐθὺς τῶν χοίρων ἐπὶ τὸν πρῶτον ὁρμᾷ, καὶ ἀεὶ [ὁ] ἐχόμενος κατὰ λόγον, καὶ θηλάζουσιν οὕτω γε, ἐὰν μὴ ὁ κρείττων βιάσηται; Πότερον ὅτι θερμότατος ὁ τόπος περὶ τὰ στήθη καὶ αἴτιος καὶ τοῖς ἄλλοις τῆς θερμότητος; ἀρχὴ γὰρ οὗτος. Ἐπεὶ δ' ἕλκεται πλείστην τροφὴν ὁ θερμότατος, καὶ πέττει μάλιστα, οὗτος δὲ μάλιστα τοιοῦτος, ἀνάγκη πλεῖστον γάλα καὶ γλυκύτατον ἐνταῦθα εἶναι. Ἢ οὐ μόνον τοῦτο αἴτιον, ἀλλ' ὅτι τὸ μὲν γάλα ἐστὶν αἷμα πεπεμμένον, ὁ δὲ τόπος ὁ περὶ τὰ στήθη αἷμα ἔχει πεπεμμένον καὶ καθαρώτατον; ἐνταῦθα γὰρ αὐτοῦ ἡ ἀρχή, ὥστ' ἐν ᾧ τὸ αἷμα καθαρώτατον, ἐν τούτῳ τὸ γάλα ἄριστον εἶναι.

146 Cur suis mammæ priores pectori proximæ bene temperatæ sunt ad lactendum, et insequentes pro ratione: quapropter et, simulac natus est, unusquisque porculus primam petit, et semper insequens pro ratione, atque ita lactent, nisi validior vim inferat? Utrum quia calidissimus est locus pectori proximus et reliquis caloris origo? hicce enim principium est. Quum autem plurimum alimentum adtrahat locus calidissimus atque maxime concoquat, hujusmodique inprimis sit hicce locus, necessario plurimum ac dulcissimum lac ibi invenitur. An non hoc tantum causa, sed quod lac quidem sanguis concoctus est, locus autem pectori vicinus sanguinem continet concoctum ac purissimum? ibi enim ejus principium est, ita ut quo loco sanguis purissimus invenitur, ibi quoque lac optimum sit.

ρμζ'. Διὰ τί ὗς χαίρει τοῖς δυσώδεσιν; Ἢ διότι τὰ πλατύρυγχα οὐκ αἰσθητικὰ τὴν ὄσφρησιν, τὰ δὲ μὴ αἰσθητικὰ τοῖς δριμυτέροις χαίρει; τούτων γὰρ μάλιστα μόνων αἰσθάνεται. Τοῦτο δὲ πάσχουσι καὶ οἱ διεφθαρμένοι τὴν ὄσφρησιν ὑπὸ δυσωδίας, οἷον σκυτοδεψοὶ καὶ κοπρολόγοι.

147. Cur sus gaudet male olentibus? An quia lato rostro prædita olfactu non exquisite sentiunt, quæ autem non exquisite sentiunt, acrioribus gaudent? hæc enim sola fere sentiunt. Hoc etiam iis evenit quorum olfactus deletus est ab odore gravi, ut cerdonibus et qui stercora colligunt.

ρμη'. Διὰ τί αἱ μὲν θήλειαι τῶν ἀρρένων, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις γένεσι τῶν ζῴων δειλότερον τὸ θῆλυ τοῦ ἄρρενος, πλὴν ἄρκτου καὶ παρδάλεως; ὥστε διὰ τὸν φόϐον κατ' ἐνίους θέουσι μᾶλλον ὥσπερ οἱ παρασείοντες τὰς χεῖρας καὶ οἱ ἀποϐάλλοντες τὰ ὅπλα, κἄν τι ἄλλο βάρος ἔχωσιν, οἱ δ' ἄρρενες ὡς ποιήσοντες· τὸ ὅμοιον γὰρ τῷ στρέφειν τὴν οὐρὰν τὸ φρίττειν ἐστίν.

148. Cur feminæ a maribus eo modo differunt, quo et in reliquis animalium generibus ignavior est sexus femininus quam masculinus, præter ursam et pardalem? ita ut propter timorem secundum nonnullos potius currant eodem modo ac qui manus secundum corpus jactant et arma abjiciunt, vel si quid aliud pondus ferant, mares vero tamquam acturi: caudæ enim jactationi similis res tremor est.

ρμθ'. Διὰ τί χαλαζωθεῖσαι ὕες οὐ γίνονται παχεῖαι; Ἢ ὅτι τῆς τροφῆς ἧττον κρατεῖ τὸ σῶμα αὐτῶν; Σημεῖον δ' ὅτι περίττωμα πλεῖον γίνεται αὐταῖς· αἱ γὰρ χάλαζαι περιττωμάτων εἰσὶ σημεῖον, πιαίνεται δὲ τὸ ἀπολαῦον τῆς τροφῆς μᾶλλον.

149. Quamobrem sues grandine adflictæ non pinguescunt? An quia cibum minus domat corpus eorum? Probatur autem eo quod plures apud eas gignuntur redundantiæ: grandines enim redundantiarum signum sunt; pinguescunt autem quæ majus a cibo emolumentum capiunt.

ρν'. Διὰ τί αἱ ὕες ὕπτιαι φερόμεναι σιγῶσι μᾶλλον; Ἢ ὅτι οὕτω φερόμεναι ἰσχύουσιν ἧττονος φθέγγεσθαι μετ' ἰσχύος· αἱ δὲ φύσει ἄφωναι οὖσαι πλείονος ἰσχύος δέονται; Ὅτι δὲ φύσει ἄφωνοι δῆλον· εἰσὶ γὰρ ἔνιαι ἄφωνοι ὕες.

ρνα'. Διὰ τί αἱ ὕες ἀφοδεύουσι πρότερον ἢ οὐροῦσιν; Ἢ ὅτι καὶ τῶν ἀνθρώπων ὅσων εὔπεπτοι αἱ κοιλίαι; τῆς δὲ ὑὸς πεπτικὴ ἡ κοιλία μάλιστα.

ρνϐ'. Διὰ τί αἱ μὲν ἄγριαι ὕες ἅπαξ τίκτουσιν, αἱ δ' ἥμεροι δίς; Ἢ ὅτι ἐκείνοις μὲν ἁπλῆ τροφὴ γίνεται, καὶ ἅπαξ βοτάνη, τούτοις δὲ ποικίλη καὶ πολλή, ὥστε πλεονάκις καὶ δὶς τὰ πρόβατα διὰ τὴν αὐ[τὴν] δίαιταν; διὸ δὶς τίκτουσι τοῦ ἐνιαυτοῦ.

ρνγ'. Διὰ τί ὗς τοῖς δυσώδεσι χαίρει; Ἢ διὰ τὸ πλατὺν ἔχειν τὸν μυκτῆρα, οὐκ ὀξύν, οὐκ αἰσθητικὸν εἶναι διάκειται πρὸς ὀσμάς, ὥσπερ οἱ Φρύγες τοῖς φαύλοις οἴνοις χαίρουσι, καὶ αὐτοὶ ταῖς διεφθαρμέναις ὀσμαῖς καὶ σαπραῖς; αἱ τοιαῦται γὰρ ἅπτονται διτταὶ οὖσαι, τῶν μὲν τοῖς μεμολυσμένοις διὰ τὸ ἀεὶ πίνειν, τῶν δ' ὑῶν διὰ τὴν παχύτητα τῶν πόρων.

ρνδ'. Διὰ τί οἱ ἄτμητοι τῶν τομιῶν μείζους ἔχουσι τοὺς χαυλιόδοντας; Ἢ ὅτι αἱ θήλειαι ἐλάττους τῶν ἀρρένων ἔχουσι, οἱ δ' ἐκτετμημένοι μεταβάλλουσι εἰς τὸ θῆλυ τὴν φύσιν, ὥσπερ ἀνήβεις ἐξ ἀρρένων γινόμενοι;

ρνε'. Διὰ τί τοῖς ὑσὶν οἱ χαυλιόδοντες γίνονται; Πότερον ὥσπερ τινὲς λέγουσι, διὰ τὸ μὴ συμπίπτειν οὐ τριβόμενοι αὐξάνονται, ὥσπερ καὶ τοῖς ἀνθρώποις οἳ ἂν οὕτω φύωσιν ὥστε παραλλάττειν τοὺς ὀδόντας ἢ οὐ μείζους γίνονται, οἷον καὶ τῷ γαλακτιπότῃ Σωστράτῃ μεγάλοι ἐγένοντο διὰ τὸ μὴ τρίβεσθαι; [Ἢ] ὥσπερ καὶ τὰ κέρατα [ἡ] φύσις ἀπέδωκεν ἀλκῆς χάριν καὶ βοηθείας, τοῦτο τοῖς ὑσὶ τοὺς χαυλιόδοντας; πάντα γὰρ βοήθειαν ἔχει ἀπὸ τῆς φύσεως. Ὥσπερ οὖν ἔνια μὲν κέρασιν, ἄλλα δ' ὄνυξιν, ἢ ὀδοῦσι, καὶ τούτων τὰ μὲν οὕτως ὡς τὰ καρχαρόδοντα, τὰ δ' ἀντὶ τούτων τοὺς χαυλιόδοντας ἔχει, ἅμα δὲ ταῦτα πανταχόθεν*, καὶ ἔστι μεταξὺ ταῦτα τῶν κερασφόρων καὶ καρχοροδόντων, ὥσπερ καὶ αἱ βάσεις πρὸς τὰς βάσεις, καὶ ἡ τροφὴ ἐκείνοις πρὸς τὰ κέρατα, τούτοις πρὸς τοὺς ἔξω ὀδόντας τρέπεται. Σημεῖον δ' ὅτι χαυλιόδοντες ἀντὶ κεράτων εἰσίν, καὶ ὅτι ἔτυχον οἱ τριβόμενοι*, διὰ τοῦτο μεγάλοι, ἀλλ' ἕνεκά τινος· οἱ γὰρ τῶν ἐλεφάντων λεγόμενοι ὀδόντες οὐκ εἰσὶν ὀδόντες, ἀλλὰ κέρατα, ἀλλὰ διὰ τὸ ἐγκεκλεῖσθαι τὸ σχῆμα καὶ τὴν ὁμοιότητα καλοῦνται ὀδόντες, καὶ οἵ γ' ἐν Καρχηδόνι ὡς κέρατα οὕτως ὀνομάζουσιν· ὅτι δ' οὐκ ὀδόντες εἰσί, δηλοῖ τὸ κάμπτεσθαι καὶ γλύφεσθαι, ὃ οὐχ ἕτερον τούτων πάσχει.

ρνϛ. Διὰ τί ποτε αἱ ὕες φρίττουσιν, ὅταν κυνηγῶνται; Ἢ ὅτι τῶν ἀγωνιώντων τὸ σῶμα συστέλλεται διὰ τὸ

150. Cur sues, ubi supinæ gestantur, potius silent? An quia ita gestatæ minori vigore vociferari valent; quæ autem suapte natura exilem habent vocem, pluri indigent vigore? Atqui sues naturaliter exilem habere vocem, eo constat quod nonnullæ voce carent.

151. Quamobrem sues alvum exonerant priusquam mingant? An quia et homines quorumcumque ventres rite concoquunt? suis enim venter maxime concoquere valet.

152. Quamobrem sues feræ quidem semel pariunt, cicures vero bis? An quia illis quidem simplex obcurrit cibus, ac nil nisi herba, his vero varius ac copiosus, ita ut vel sæpius quam bis pariant oves propter eamdem causam? hinc bis quotannis pariunt.

153. Quamobrem sus male olentibus gaudet? An quia latas, non acutas habet nares, hæc conditio prohibet quominus exquisite sentiat odores, quemadmodum Phryges pravo vino delectantur, iidemque et odoribus corruptis et putidis? hujusmodi enim odores tangunt propter duplicem causam, Phryges quidem qui rebus contaminatis delectantur, quia eas adsidue bibunt, sues vero propter meatuum spissitudinem.

154. Cur verres majores dentes exsertos habent quam majales? An quia feminæ minores habent quam mares, majalesque naturam convertunt in sexum femininum, perinde ac si impuberes fierent, quum mares essent?

155. Cur apud sues nascuntur dentes exserti? Utrum, ut nonnulli dicunt, ideo crescunt quia, quum non concidunt, non conteruntur, quemadmodum et apud homines quicumque tales gignunt dentes ut alternent, majores fiunt quam si non alternarent, quo modo et Sostrati qui (nil nisi) lac bibebat, magni erant dentes, quoniam non adterebantur? An, sicuti cornua natura dedit fortitudinis et præsidii causa, sic suibus dentes exsertos? omnibus enim animalibus præsidium tribuit natura. Quemadmodum itaque alia quidem cornibus, alia vero unguibus, aut dentibus [injurias defendunt], atque inter hos alia quidem se habent ut animalia dentibus serratis instructa, alia vero horum loco dentes exsertos habent, simul vero utraque hæc nusquam obcurrunt, sic hi quoque medium tenent inter cornigera et animalia dentibus serratis prædita, siculi et pedum plantæ, si inter se comparentur, alimentumque apud illos ad cornua, apud hos ad dentes externos convertitur. Argumento autem est dentes exsertos cornuum locum tenere, nec ideo magnos esse, quia fortuito non adteruntur, sed alicujus gratia, quod elephantum quos dentes adpellant, non dentes sunt, sed cornua, verum quoniam quod ad habitum adtinet, intus concluduntur, itemque propter similitudinem, dentes dicuntur, atque Pœni certe iis idem nomen tribuunt quod cornibus; eos vero dentes non ésse, eo probatur quod flectuntur et scalpuntur, id quod nulli alii denti evenire solet.

156. Cur tandem sues inhorrescunt, ubi a venatoribus petuntur? An quia anxiorum corpus contrahitur, et quoniam

συνάγεσθαι ὑπὸ προθυμίας καὶ βοηθεῖν αὐτῷ; Καὶ αἱ τρίχες οὖν μᾶλλον ἑστήκασιν· εἰ δὲ μή, καταπεπτώκασι διὰ τὸ ἐκλελύσθαι.

ρνζ'. Διὰ τί τῶν προβάτων τὰ λεπτότερα λεπτοτριχότερα, τῶν δὲ ὑῶν αἱ λεπτότεραι παχυτριχότεραι; Ἢ διότι αἱ μὲν διὰ τὸ φύσει εἶναι παχεῖαι ἐμπίπλανται τοὺς πόρους ὅταν παχυνθῶσι, δι' ὧν ἐκπίπτουσιν αἱ τρίχες, ὥστε ἧττον διαδύεσθαι δύνανται· τὰ δὲ πρόβατα διὰ τὸ πλείονα τροφὴν ἔχειν ὅταν ᾖ παχέα ἢ ὅταν ᾖ λεπτά, πλείονα τρίχα ἔχουσιν καὶ παχυτέραν· ὅταν δὲ λεπτά, λεπτὸν ἀπὸ μικρᾶς τῆς τροφῆς; ἡ δὲ θρὶξ περίττωμά ἐστιν.

ρνη'. Διὰ τί ὕες καὶ κύνες τυπτόμενοι τῶν βοῶν μᾶλλον βοῶσιν; Πότερον ὅτι καὶ ἄλλως μάλιστα λυπούμενοι ταῦτα; Ἢ ὅτι τῶν ἄλλων θερμότερον θυμώδη; δηλοῖ δ' ἥ τε τῶν ἀγρίων ὀργὴ καὶ ἡ τῶν κυνῶν ὑλάκτησις.

ρνθ'. Διὰ τί ἵπποι δυσουριῶσιν; Ὅτι ὅσα τὴν ξηρὰν ὑπόστασιν εὐχερῶς προΐεται, τὴν ὑγρὰν χαλεπῶς, οἷον πρόβατα καὶ ὕες, οἱ δ' ἵπποι οὐδὲν τούτων· ὅσοι δὲ τὴν ὑγρὰν ῥᾳδίως, τὴν ξηρὰν ἐργωδῶς· ὁ δὲ κύων ἄμφω χαλεπῶς.

ρξ'. Διὰ τί τὰς ἵππους ἐν τοῖς ἱπποφορβίοις ἀποκείρουσι τὴν χαίτην πρὸς τὰς ὀχείας; Ἵνα ταπεινωθεῖσαι ὑπομείνωσι τὴν ὀχείαν τῶν ὄνων· κομῶσαι γὰρ οὐ θέλουσιν ὑπομένειν· τότε δὲ ὡς ὅμοιαι οὐκ ἀτιμάζουσιν.

ρξα'. Διὰ τί οἱ ἵπποι, ὅταν μὲν ἐκφεύγωσιν, οὐ κινοῦσι τὰς οὐράς· ὅταν δὲ γυμνάζωνται, πολύ; Ἢ ὅτι κίνησις τῆς οὐρᾶς διὰ πόνον τοῦ σώματος, ἢ διὰ κακίαν τῆς ψυχῆς, δι' ὃ καὶ μαλακῶς ἔχοντες, ἢ οἱ μαλακοὶ τὰς ψυχάς, κινοῦσιν ἄκοντες· καὶ γὰρ βίᾳ πρὸς τὴν ἱππασίαν ἄγονται· οἱ δ' εὐγενεῖς οὔ, ἀλλ' ἀκινήτους καὶ ὀρθὰς ἔχουσιν· ἐν δὲ τῷ ἐκφεύγειν πάντες, ἅθ' ἑκουσίως καὶ τῇ ψυχῇ ὁρμῶντες εἰς τὸ πόρρω, καὶ οὐδ' ὑποδιστάζοντες, ὥστ' εἰκότως ἀκίνητος ἡ οὐρὰ [καὶ] ὀρθή;

ρξϐ'. Διὰ τί οἱ μακρὰν ἔχοντες τὴν οὐρὰν [καὶ] ἀσθενῆ, εἰ μὴ δασεῖαν ἐκ τῆς φύσεως, κακοὶ τὰς ψυχὰς ὡς ἐπὶ τὸ πολύ; Ἢ ὅτι σημαντικὸν ἡ οὐρὰ τοιάδε ἢ τοιάδε λεγομένη, λέγω δ' ἡ ὀρθὴ καὶ ἀνάσιμος, ἡ κινουμένη, ἡ ἑστῶσα; τὰ μὲν γὰρ ἀρετῆς, τὰ δὲ κακίας σημεῖα. Ἐπεὶ οὖν φύσει τοιοῦτον ὃ κακοῖ τὰς ψυχάς, εὐθὺς ἡ ἔκφυσις αὐτῶν ἀσθενὴς καὶ βραχεῖα, καὶ ἐν τῇ ἀρχῇ ἐνέλιπεν ἡ φύσις· ᾧ γὰρ μηδὲ χρήσασθαι, τοῦτο ἢ οὐ προστίθησιν, ἢ οὐχ ὅμοιον ὃ καὶ τοῖς χρησομένοις, οἷον κέρας καὶ ὀδόντας καὶ ταῖς θηλείαις.

ρξγ'. Διὰ τί ὅλως σημαντικόν; Ἢ κοινότερον τοῦτο πλειόνων; καὶ γὰρ ἐπὶ κυνῶν καὶ ὑῶν καὶ λεόντων καὶ

stipatur ab ardore, et ut sibi opem ferant? Itaque pili etiam magis eriguntur; sin vero minus, conciderunt, quia enervati sunt.

157. Cur oves quidem macilentiores tenuiores habent pilos, sues vero macilentiores crassiores? An quia apud has quidem, utpote natura crassas, ubi pingues factæ sunt, implentur meatus per quos prodeunt setæ, ita ut minus subire valeant; oves vero, quia plus alimenti habent, ubi pingues sunt quam ubi macilentæ, plures habent pilos ac crassiores; ubi vero macilentæ, tenuem ab exiguo alimento? pilus enim redundantia est.

158. Quamobrem sues et canes, ubi verberantur, magis vociferantur quam boves? Utrum quia hæc animalia alio quoque modo dolore adflicta eadem maxime faciunt? An quia reliquis calidiorem habent animum? id quod probatur aprorum ira et canum latratu.

159. Cur difficulter mingunt equi? Quoniam quæcumque sicca excrementa facile ejiciunt, humida difficulter, ut oves et sues; equi vero ad hæc nequaquam pertinent; quicumque autem humida facile, sicca moleste; at canis ambo difficulter.

160. Quamobrem in equorum gregibus equarum jubam detondent ut ineantur? Ut submissæ sustineant asinorum initum: comantes enim nolunt sustinere; tunc vero, utpote similes, non dedignantur.

161. Cur equi, quando effugiunt quidem, non agitant caudam; quando vero exercitantur, multum? An quia caudæ agitatio vel propter corporis laborem, vel propter animi ignaviam fit: quapropter et qui remisse se habent, aut qui molli sunt animo, inviti eas movent: vi enim ad equitationem ducuntur; generosi vero non, sed immotas ac porrectas habent; inter effugiendum vero omnes, utpote sponte et animo remota petentes, neque subdubitantes, ita ut merito immota sit cauda ac porrecta?

162. Cur qui longam ac debilem habent caudam, nisi naturaliter hirsuta sit, plerumque ignavo sunt animo? An quia significandi vim habet cauda, ubi hoc vel illo nomine designatur, verbi gratia porrecta, repanda, agitata, consistens? alia enim fortitudinis, alia ignaviæ sunt signa. Ubi igitur gignere debet tale quid quod animum ignavum reddit, statim apud eos debile ac breve est quod prominet, atque in exordio defecit natura: quo enim non uti debent, id aut non tribuit, aut non simile ei quod usuris, e. g. cornu et dentes etiam feminis.

· 163. Cur omnino significandi vim habet? An hoc communius pluribus? etenim apud canes et sues et leones, atque

ὅλως τῶν μαχίμων καὶ θυμωδῶν, καὶ τῶν ἀρρένων μᾶλλον ἢ θηλειῶν· τὰ μὲν γὰρ ὀρθὴν ἔχει, τὰ δ' ἀπεστραμμένην, ὥσπερ οἱ ὕες οἱ ἄρρενες· ὁ δὲ λέων καὶ τύπτει ἑαυτόν. Αἴτιον δὲ πάντων ὅτι συνέχειά τις ἀπὸ τῶν κυρίων τόπων τοῦ ζῆν ἐν οἷς ὁ θυμός, εἰς ταύτην συνάπτει. Συντεινομένων μὲν οὖν καὶ θερμαινομένων ἐκείνων διικνεῖται πρὸς τὸ ἔσχατον, δι' ὃ καὶ ἀποσημαίνει τὴν διάθεσιν· θαρρούντων μὲν γὰρ ὀρθή, τῶν δ' ἀπεστραμμένων ἢ φοβουμένων ὑπειλημμένη καὶ ὥσπερ ἅμα τῷ θυμῷ πέττουσα *. Τὸ δ' ὅλον καὶ πρὸς εὐτονίαν καὶ πρὸς ὕβριν καὶ φωνὴ ἔχει τινὰ δύναμιν καὶ τόνον διὰ τὴν αὐτὴν αἰτίαν.

in universum apud pugnaces et animosos, ita se habet, idque apud mares magis quam apud feminas : alia enim porrectam habent, alii aversam, ut sues mares; leo vero se ipse verberat. Omnium autem causa est quod continuitas quædam inde a partibus qui vitæ cardinem continent et in quibus residet animus, ad eam pertendit. Hæ igitur ubi tenduntur et calefiunt, ad extremam partem pervenit : quapropter et adfectum repræsentat : apud confidentes enim porrecta, apud fastidientes vero aut metuentes submissa est et quasi una cum animo decidens. In universum autem et ad firmitatem et ad contumeliam vox quoque quamdam potentiam habet ac vigorem propter eamdem causam.

ρξγ' *. Διὰ τί ἡ ἵππος ὀλιγοχρόνιος οὖσα τοῦ ἀνθρώπου πλείω χρόνον φέρει ἐν γαστρί; Συμβαίνει τοῦτο οὖν διὰ μίαν αἰτίαν· ἡ γὰρ ἵππος πολὺ λείπεται τῶν μακροβίων ζῴων ὅτι ἀτονώτερον· μονότοκον γάρ.

163. *. Quamobrem equa, etiamsi brevis sit vitæ, diutius quam homo ventrem fert? Hoc igitur evenit propter unam causam : equa enim longe inferior est animalibus vivacibus eo quod debilior : unicum namque fœtum parit.

ρξγ' **. Διὰ τί τῶν μὲν ἵππων οἱ ἄρρενες χρεμετίζουσι τῶν θηλέων, τῶν δὲ προβάτων καὶ αἰγῶν τὰ θήλεα μᾶλλον βληχᾶται· αὕτη δ' ἐν ἑκάστῳ φωνή ἐστιν; Ἢ ὅτι τῶν φωνῶν αἱ μέν εἰσι θυμικαί, αἱ δ' ἄθυμοι; Τὰς μὲν οὖν θυμικὰς οἱ ἄρρενες μᾶλλον ἀφιᾶσιν· ἀνδρειότεραι γάρ· τὰς δ' ἀθυμοτέρας τὰ θήλεα, οἷον κοκκύζουσι μὲν οἱ ἀλεκτρυόνες, κράζουσι δ' αἱ ἀλεκτορίδες. Ὁ μὲν οὖν χρεμετισμός ἐστι φωνὴ θυμοῦ, ἡ δὲ βλήχησις ἀσθενείας, ὥστ' εὐλόγως τὴν μὲν οἱ ἄρρενες τῶν ἵππων ἀφιᾶσι, τὴν δὲ τὰ θήλεα τῶν προβάτων καὶ τῶν αἰγῶν.

163 **. Cur equi quidem mares magis hinniunt quam feminæ, oves vero et feminæ capræ magis balant; hæc autem in utroque genere vox est? An quia aliæ quidem voces animosæ sunt, aliæ vero ignavæ? Animosas igitur mares potius emittunt : viriliores enim sunt; ignaviores vero feminæ : sic galli quidem cantant, gallinæ vero glociunt. Hinnitus itaque animi vox est, balatus vero debilitatis, ita ut merito illum quidem equi mares emittant, hanc vero oves feminæ et capræ.

ρξδ'. Διὰ τί τῶν ἵππων, ἐάν τις μίαν, ἢ δύο, ἢ τρεῖς σπάσῃ τρίχας, πονοῦσιν; Ἢ διότι ἐκείνοις μὲν τιλμὸς γίνεται (κατὰ μίαν γὰρ ἑλκομένης, ἢ δύο, τὸ δέρμα οὐκ ἀκολουθοῦν τῇ ἀντισπάσει τὴν ἀλγηδόνα ποιεῖ)· ὅταν δ' ἀθρόας ἑλκύσῃ τις, οὐ γίνεται ὁ σπασμός; τὸ γὰρ δέρμα συνακολουθεῖ.

164. Quamobrem equi, si quis unum alterumve aut tertium pilum evulserit, laborant? An quia illis quidem vellicatio adcidit : per singulos enim, vel binos si vellantur, cutis retractioni non obediens dolorem adfert; ubi vero confertos aliquis vulserit, non fit vellicatio? cutis enim simul insequitur.

ρξε'. Διὰ τί αἱ ἵπποι, ὅταν σκύζωσιν, ἐκτοπίζουσαι οὐ θέουσι πρὸς τὴν ἕω ἢ τὴν ἑσπέραν, ἀλλὰ πρὸς ἄρκτον ἢ μεσημβρίαν; Ἢ ὅτι λέγονται ἐν τῇ τοιαύτῃ διαθέσει ἐξανεμοῦσθαι; θέουσι γὰρ πρὸς ἄνεμον· τούτου γὰρ αἴτιον ὅτι θερμότης ἐστὶ τὸ πάθος, καὶ δέονται καταψύξεως, ὥστ' εὐλόγως πρὸς ἄρκτον τρέχουσι καὶ πρὸς μεσημβρίαν· μάλιστα γὰρ καὶ πλειστάκις οἱ ἐντεῦθεν πνέουσιν ἄνεμοι· νότος γὰρ καὶ βορρᾶς ἀεὶ κατέχουσι πνεῖν, οἱ δ' ἄλλοι ὀλιγάκις.

165. Quamobrem equæ, quando subantes evagantur, non currunt ad orientem, vel obcidentem, sed ad septemtriones, vel meridiem? An quia per hunc adfectum eventari dicuntur? currunt enim ad ventum : nam hujus rei causa est quod adfectus calor est refrigerationeque indigent, ita ut merito ad septemtriones currant et meridiem : maxime enim et sæpissime flant venti inde venientes, quippe quum auster et aquilo semper flando dominantur, reliqui vero raro.

ρξς'. Διὰ τί αἱ ἵπποι ἐὰν ὀχευθεῖσαι βρεχθῶσιν, ἀνοχεύονται; Ἢ ὅτι συμβαίνει ψύχεσθαι ὑπ' αὐτοῦ καὶ ἡσθῆναι τὰ σώματα; Φρίττοντος οὖν τοῦ σώματος, κωλύει τοῦ συλλαμβάνεσθαι τὸ σπέρμα, καὶ καταψυχόμενον ὥσπερ ἀποθνήσκει, φθειρομένης αὐτοῦ τῆς δυνάμεως· διὰ τοῦτο πάλιν δεῖται ὀχείας.

166. Quamobrem equæ, si post coitum rigantur, initum repetunt? An quia evenit ut inde refrigerentur et delectentur corpora? Inhorrescente igitur corpore, impedit quominus semen concipiatur, et refrigeratum quasi moritur, pereunte ejus facultate : propterea iterum opus est initu.

ρξζ'. Διὰ τί τοῖς μὲν ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν

167. Cur apud equos quidem et asinos e cicatricibus

οὐλῶν φύονται τρίχες, τοῖς δ' ἀνθρώποις οὔ; Ἢ ὅτι ἡ οὐλὴ κωλύει διὰ τὴν πύκνωσιν; Ἢ διὰ τὸ φθίνειν τὴν τροφήν; Τοῖς μὲν οὖν ἀνθρώποις παντελῶς κωλύει διὰ τὴν ἀσθένειαν τῆς τριχός, τοῖς δ' ἵπποις οὐ κεκώλυκε μέν, ἔφθειρε δέ, δι' ὃ καὶ λευκαὶ φύονται τούτοις· οὐκ ἐξῄει δὲ διὰ τὸ πλῆθος. Ἐπισκέψασθαι εἰ καὶ τοῖς βουσίν.

erumpunt pili, apud homines vero non? An quia impedit cicatrix propter densitatem? An quoniam alimentum depravat? Apud homines igitur omnino impedit propter pili debilitatem; apud equos vero non impedit quidem, sed depravat : quapropter et albi apud eos erumpunt pili; non exiverant autem propter repletionem. Inquirendum est, an etiam apud boves.

ρξη'. Διὰ τί παραπλησίων ὄντων τῶν ἵππων καὶ τῶν ὄνων κατὰ τὸν χρόνον τῆς κυήσεως (ἄμφω γὰρ ἐνιαυτὸν φέρει καὶ μονότοκά ἐστιν), τὸν μὲν ἵππον ἀφιᾶσιν ἐπὶ τὴν ὀχείαν ἰσημερίας, τοὺς δ' ὄνους πρὸ τροπῆς θερινῆς; Ἢ διότι οἱ μὲν ἵπποι θερμοὶ τὴν φύσιν, οἱ δ' ὄνοι δύσριγοι καὶ ψυχροί; Σημεῖον δὲ τούτου· οὐ γὰρ γίνονται ἐν τῇ Σκυθίᾳ ὄνοι. Ἐνιαυσιαίας οὖν τῆς κυήσεως οὔσης, ἀνάγκη γεννᾶν εἰς τὴν αὐτὴν ὥραν. Τοῖς μὲν οὖν ἵπποις τὸ ἔαρ σύμμετρον· οὔτε γὰρ σφόδρα ψυχρά, ἀλεεινὴ δέ, ὥστε διὰ ψῦχος μηδὲν πάσχει. Σκοποῦσι δὲ τὴν τῆς ὀχείας ὥραν τίς ἐπιτηδεία πρὸς τὴν τροφὴν τῶν τέκνων, πάντες.

168. Quare, quum apud equas et asinas idem sit tempus uterum ferendi (ambæ enim annum ferunt et unicam prolem pariunt), equum quidem ad coitum admittunt circa æquinoctium, asinos vero ante solstitium? An quia equi quidem natura calidi sunt, asini vero alsiosi et frigidi? Hujus rei argumentum, quod in Scythia non gignuntur asini. Quum igitur graviditatis tempus annuum sit, necessario versus eamdem tempestatem pariunt. Equis itaque ver commodum est : neque enim valde frigida, sed tepida est hæc tempestas, ita ut nullo modo a frigore lædantur. Considerant autem omnes, quænam admissuræ tempestas ad prolem alendam sit idonea.

ρξθ'. Διὰ τί τῶν μὲν ἵππων οἱ ὀρθὰ τὰ σκέλη καὶ μικρὸν ἔχοντες ἐπισκύνιον, ἢ μέγα λίαν, χωλοὶ γίνονται ταχέως, οἱ δὲ μέσον ἀσφαλέστατοι; Ἢ ὅτι μικρὸν μὲν ὂν οὐ παρέχει ἔνδοσιν, ἀλλ' οἷον πληγὴ γίνεται· ὅταν δὲ σύμμετρον, ἐνδίδωσι, καὶ γίνεται βάσις, οὐ πληγή· ἐὰν δ' αὖ μεῖζον τοῦ καιροῦ, καταρρήγνυται πλέονος τοῦ βάρους ἐμπίπτοντος διὰ τὴν ἔνδοσιν; διὸ καὶ αἱ χελῶναι ἀνόμοιαι· τῶν μὲν μικρὸν ἐχόντων παρεμπίπλανται τὰ σκέλη καὶ ἀνοιδεῖ· τῶν δὲ μέγα καταρρήγνυται καὶ ἀφελκοῦται ὁ τόπος οὗτος.

169. Quamobrem equi qui recta quidem crura et parvum habent supercilium, aut valde magnum, cito claudi redduntur, qui vero medium, tutissimi? An quia supercilium parvum quidem cedere non valet, sed tamquam vulnus fit; ubi vero modicum est, cedit, ac fulcimentum fit, non vulnus; quodsi rursus magnitudo modum excedit, perrumpitur majori pondere incidente, quia cedit? propterea et testudines dissimiles sunt : quæ enim parvam habent, earum crura replentur et turgescunt; quæ vero magnam, apud eas perrumpitur et ulceratur locus ille.

ρο'. Διὰ τί ὁ ἵππος, ἐὰν ἐμέσῃ, ἀποθνήσκει; Πότερον ὅτι παρὰ φύσιν; Ἢ οὐ τοῦτο αἴτιον, ἀλλὰ σημεῖον ἑτέρου μείζονος; ὅτι γὰρ ἐπιθανάτως ἔχει, ἐὰν ἐμέσῃ, οὐχ ὅτι ἐὰν ἐμῇ, ἀποθνήσκει. Ἢ ὅμοιον ὅσοι ἐν τοῖς εἰλεοῖς ἀνεμοῦσι κόπρον; καὶ γὰρ οἱ ἵπποι ἐν τοῖς αὐτοῖς πάθεσιν. Τοῖς μὲν οὖν τὸ ἐκ τῆς κάτω κοιλίας σπάσαι παρὰ φύσιν, δι' ὃ καὶ ὡμοίωνται τοῖς πάθεσι τοῖς ὅλως μὴ ἀνεμεῖσθαι *.

170. Quamobrem equus, ubi vomuerit, moritur? Utrum quia præter naturam est? An non causa id est, sed signum alius rei majoris? fit enim quod in periculo vitæ versatur ubi vomuerit, non quod moritur, ubi vomit. An simile quid adcidit iis ac ileo adfectis qui stercus vomunt? nam equi iisdem adfectibus vexantur. Hisce igitur præter naturam est, si ex inferiori ventre adtrahant : quare et similibus adfectibus obnoxii sunt ac qui omnino non vomunt.

ροα'. Διὰ τί, ὑπὸ διαρροίας ἐὰν ἁλῶσιν, ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν; Ἢ ὅτι μανή, καὶ οὐ πυκνὴ ἡ σάρξ; Σημεῖον δὲ καὶ τὸ εὐίδρωτα εἶναι, καὶ ὅλως τὸ εὐκίνητον. Πλείων οὖν ἡ σύντηξις ὁρμῆς γενομένης παρὰ τοῖς ποσίν.

171. Cur ventris profluvio capti moriuntur plerumque? An quia rara, non densa est caro? Argumento est quod et facile sudant, atque in universum facile moventur. Confestim igitur impetu facto major est colliquatio.

ροβ'. Διὰ τί οἱ πρεσβῦται ἵπποι τὸ κάτω χεῖλος προτείνουσιν; Ἢ ὅτι γηρασκόντων ἀνίεται ἡ φύσις, τὸ δὲ κάτω χεῖλος μεῖζον καὶ σαρκωδέστερον καὶ ἧττον πρὸς τῷ ὀστῷ;

172. Cur equi vetuli labium inferius protendunt? An quia senescentibus remittitur natura, labium autem inferius majus et carnosius est et minus ossi adhæret.

ρογ'. Διὰ τί οἱ ἵπποι θᾶττον οὐροῦσιν ἐν τοῖς μαλακοῖς χωρίοις ἢ ἐν τοῖς στερεοῖς; Πότερον ὅτι ῥαίνονται ἧττον, φεύγει δὲ τοῦτο σφόδρα; Σημεῖον δὲ τὸ διάγειν

173. Quamobrem equi citius mingunt in solo molli quam in solido? Utrum quia minus adsperguntur; hoc autem valde evitat? Argumento est quod longe diducit

ἐπὶ πολὺ τὰ σκέλη, καὶ ὅταν ὑποστρωννύηται μέλλων καθεύδειν, ἀεὶ οὐρεῖ; οὐ γὰρ γίνεται ῥάνισις. Ἢ γίνεται μὲν καὶ τοῦτο· οὐ μὴν ἀλλ' ἔοικε μᾶλλον ἡ ἄνεσις τοῦ σώματος αἰτία εἶναι; συντεταμένον γὰρ οὐ προΐεται τὸ σῶμα, καθάπερ οὐδὲ πονοῦντι, ἀλλ' ὥσπερ καὶ δυσουριᾷ· ἐνθένδ' ἀνίησιν ἐν τῷ μαλακῷ· τὸ δὲ στερεὸν ἀντίτυπον ὂν συντονίαν γεννᾷ, ἥ τε διαγωγὴ τῶν σκελῶν καὶ ἡ πρόσνευσις τῆς ὀσφύος εἰς τὴν πρόεσιν· ἅπαντά τε γὰρ σχεδὸν τοῦτο ποιεῖ, πλὴν ὅσα ῥᾳδίως οὐρεῖ· τὰ δὲ δύσουρα μᾶλλον εἰκότως τῶν ἄλλων.

crura, et ubi substernitur dormiturus, semper mingit? non enim fit adspersio. Num hoc quidem etiam obtinet; verumtamen corporis remissio potius causa esse videtur? Intentum enim corpus non emittit, quemadmodum nec laboranti, sed etiam quasi urinæ difficultate laborat: hinc remittit in solo molli; solidum vero quum renitatur, tensionem adfert, atque crurum diductio et lumborum inclinatio fit ad propellendum: nam omnia fere animalia hoc faciunt præter ea quæ facile mingunt; at quæ difficulter, haud mirum si magis id faciant quam reliqua.

ροδ′. Διὰ τί οἱ ἵπποι καὶ οἱ ὀρεῖς, καὶ ὅλως τὰ λόφουρα, ἥκιστα δύνανται πεινᾶν; διὸ καὶ ὅταν κατακλεισθῶσι, τὰς θύρας καὶ τὰς φλιάς, καὶ ὅλως πᾶν ξύλον κατεσθίουσιν. Ὅτι ἔχουσι θηρίδια ἐν τῇ ἄνω κοιλίᾳ πολλὰ παρόμοια ταῖς πρασοκουρίσιν. Ταῦτ' οὖν ἐξαναλίσκει τε τὴν τροφήν, καὶ ὅταν μηκέτι ἔχῃ, τῇ κινήσει καὶ τῇ ξύσει τοῦ ἐντέρου πόνον παρέχει. Παραπλήσιον δὲ τοῦ συμβαίνοντος τοῖς ἕλμινθας ἔχουσι πλατείας.

174. Quamobrem equi ac muli, et in universum jumenta, minime famem ferre valent? propterea et, quando inclusi sunt, portas et postes, atque in universum omne lignum, abrodunt. Quia animalcula in superiori ventre habent multa porricidis similia. Hæc itaque alimentum consumunt, et ubi amplius non habent, motu suo et radendo intestino dolorem inferunt. Simile autem est ei quod accidit latos lumbricos habentibus.

ροε′. Διὰ τί αἱ ἵπποι ῥᾷον φέρουσιν ἐν τῇ κυήσει ἡμίονον, καίτοι ἰσχυρότερον ἡμίονος; Ἢ ἴσως ἀληθὲς δι' αὐτὸ τοῦτο, καθάπερ καὶ αἱ γυναῖκες τὰ ἄρρενα τῶν θηλειῶν; ἰσχυρότερα γὰρ ὄντα μᾶλλον ἐξαναλίσκει τὰ περιττώματα, τὸ δὲ βαρύνεσθαι καὶ πονεῖν ἀπὸ τούτων.

175. Cur equæ uterum gerentes facilius ferunt mulum, etiamsi robustior sit mulus? Num forsitan ob id ipsum verum est, quemadmodum et mulieres mares facilius ferunt quam feminas? quum enim robustiores sint, magis consumunt redundantias, gravedo autem et labor ab his proveniunt.

ρος′. Διὰ τί οὖν ῥᾷον ἀπαλλάττουσαι οὐ δύνανται συνεχῶς φέρειν ἡμίονον; διὸ καὶ διαλείπουσιν, ὥσπερ νεὸν λιπόντες. Ἢ ὅτι γηράσκει καὶ καταρρακοῦται τὰ σώματα θᾶττον ἰσχυροτέρων ὄντων· τοῦτο δὲ εὐλαβοῦνται; Καὶ ἅμα τὸ μὴ δύνασθαι συνεχῶς τὸ ἰσχυρότερον, ὥσπερ γῆν καρπὸν εὔλογον, ἀλλ' ὅταν τέκῃ, κουφότερον ἀπαλλάττει. Τὸ δὲ καὶ κυΐσκεσθαι ῥᾷον ἡμίονον, ὥσπερ Ἀλκίμαχος ἔφη τοὺς Κελτοὺς λέγειν, οὐκ ἀληθές· οὐ γὰρ προσδέχονται τοὺς ὄνους, ὅταν παρακμάσῃ πως, [μὴ] δυσχεραίνουσαι τὴν ὀσμὴν καὶ τὸ ἀσύνηθες· διὸ καὶ πολλαὶ δοκοῦσαι ἔχειν ἀναφαίνονται κεναί.

176. Quamobrem itaque, quum facilius inde se expediunt, non adsidue ferre valent mulum? propterea et intermittunt, tamquam novali relicta. An quia citius senescunt et corrugantur eorum corpora, quia robustiores sunt; hoc autem metuunt? Præterea rationi congruum est, eas non adsidue ferre posse animal robustius, quemadmodum nec terra fructus, sed post partum facilius inde se expediunt. Eas autem et facilius concipere mulum, ut secundum Alcimachum Celtarum fert opinio, non verum est: non enim admittunt asinos ætate aliquatenus inclinata, [non] ægre ferentes odorem et insolentiam: propterea et multæ quæ gravidæ esse videbantur, reperiuntur vacuæ.

ροζ′. Διὰ τί δὲ ῥᾷστα καὶ τάχιστα ἐκτιτρώσκει ἡ ἵππος; Ἢ ὅτι σφοδρότατον καὶ συντονώτατον, ὥσθ' ὅ τι ἂν πονῇ, πᾶν μετὰ βίας; ἐκ δὲ τῶν τοιούτων ἐκτιτρωσμός.

177. Quamobrem vero facillime abortum patitur equa? An quia vehementissimum ac intensissimum est animal, ita ut quodcumque laboraverit, id vi peragitur? ex hujusmodi enim causis fit abortus.

ροη′. Διὰ τί καὶ ἐνδίδωσι τάχιστα καὶ ἀναστρέφεται τὸ σῶμα; Ἢ ὅτι μανὴ ἡ σάρξ; ταχὺ δὲ καὶ συμπίπτει καὶ ὀγκοῦται. Ἧπερ τοῦτο αἴτιον, οἷον καὶ τὴν κύνα καὶ τὴν αἶγα, καὶ εἴ τι ἄλλο συγκινητὸν ἐπ' ἄμφω; Ἢ εἰ μὴ ταῦτ', ἐνδέδεται τοῖς ἑτέροις δι' ἄλλας αἰτίας.

178. Quamobrem citissime et cedit, et ad pristinum statum redit corpus? An quia rara est caro? cito enim et concidit et turgescit. An hoc causa est, sicut et cani atque capræ evenire verisimile est, ac si quid aliud animal facile in utramque partem permovetur? Aut si hæc causa non sunt, reliquis animalibus colligata est caro propter alias causas.

ροθ′. Διὰ τί οἱ μὲν ποικίλοι ἵπποι ὡς ἐπίπαν ἀγενεῖς, τῶν δὲ φαλιῶν ἔνιοι γενναῖοι, καίτοι ἡ φαλιότης ποικιλότης; Ἢ ὅτι ἐπ' ἔλαττον ἡ ἐξαλλαγή; ἐν μικρῷ γὰρ τὸ φαλιόν, ὥσθ' ἡ ποικιλία διὰ τὸ ἀνώμαλον ἀγεννεῖς ποιεῖ· τὸ μικρὸν γὰρ οὐκ ἐνισχῦον ἧττον ἐξίστησιν.

179. Cur equi varii quidem plerumque ignobiles sunt, glauci vero nonnulli generosi, etiamsi color glaucus varius sit? An quia minor est mutatio? exiguo enim discrimine constat color glaucus: proinde propter inæqualitatem ignobiles reddit color varius: parvum enim discrimen, utpote invalidum, minus degenerat.

ρπ′. Διὰ τί οἱ πῶλοι κατακλίνονται μᾶλλον ἢ οἱ πρεσβύτεροι ἵπποι, καὶ ἀνίστανται καὶ κατακλίνονται οἱ νέοι τῶν πρεσβυτέρων; Τοῦτο δ' ὅτι τοῖς μὲν πολὺ τὸ βάρος, τοῖς δ' ὀλίγον· τὰ μὲν γὰρ κῶλα οὐκ ἐπαυξάνεται τοῖς ἵπποις, τὸ δὲ σῶμα ἐπαυξάνεται. Εὐφορώτερον οὖν τὸ σῶμα τοῖς νέοις.

180. Cur pulli frequentius decumbunt quam equi seniores, junioresque sæpius surgunt ac decumbunt quam seniores? Hoc autem fit, quia his quidem multum est pondus, illis vero exiguum: artus enim non crescunt apud equos, sed corpus augetur. Facilius igitur corpus transferunt juniores.

ρπα′. Διὰ τί τὸ τῶν ἵππων περίττωμα, ὅταν γυμνάζωνται, δυσωδέστερον; Πότερον ὅτι δυσέκκριτον γίνεται ὑπὸ τῶν γυμνασίων, ὥσπερ ἐν ἄλλῳ τόπῳ, οὕτως εἰς τὴν κοιλίαν; φαῦλοι [γὰρ] χυμοί, ὥσπερ τοῖς καθαιρομένοις κάτω ὑπὸ φαρμάκου, οἳ ποιοῦσι τὴν δυσωδίαν. Ἢ ὅτι πλείω προσφέρονται τότε καὶ ἧττον πέττουσι, τὰ δ' ἄπεπτα δυσωδέστατα καὶ σήπεται θᾶττον;

181. Cur equorum excrementum, ubi exercitantur, gravius olet? Utrum quia ejus emissionem difficilem reddunt exercitia, quemadmodum alio loco, sic et in ventrem? pravi [enim] sunt humores qui fœtori ansam dant, sicut iis qui medicamento deorsum purgantur. An quia plura adsumunt tunc atque minus concoquunt; cruda autem pessime oleat et citius putrescunt?

ρπβ′. Διὰ τί ἵππος καὶ ὄνος οὐρεῖ μετὰ τὴν ὀχείαν; Ἢ διὰ τὸν πόνον; πονούντων γὰρ συρρεῖ εἰς τὴν κύστιν, πονεῖ δ' ὄνος μὲν καὶ ἵππος διὰ τὸ μέγεθος· βοῦς δὲ διὰ τὴν συντονίαν· τὸ γὰρ σύντονον ποιεῖ πόνον.

182. Cur equus et asinus mingunt post coitum? An propter laborem? laborantibus enim humores ad vesicam confluunt, laborantque asinus quidem et equus propter magnitudinem, bos vero propter contentionem: nam contentio laborem gignit.

ρπγ′. Διὰ τί ὄνος μὲν καὶ ἵππος ἐξουρεῖ τὸ σπέρμα, βοῦς δ' οὐκ ἐξουρεῖ; Ἢ ὅτι τοῖς μὲν πόρρω ἐξακοντίζεται διὰ τὴν συντονίαν· τοῖς δ' ἐγγύς; ἅμα γὰρ ποιεῖται καὶ ἐξάγει.

183. Cur asinus quidem et equus semen emingit, bos vero non emingit? An quia hi quidem semen procul ejaculantur propter contentionem; illi vero cominus? simulac enim facit, ejicit.

ρπγ′*. Διὰ τί τοῖς μὲν ἵπποις καὶ τοῖς ὄνοις ἐκ τῶν οὐλῶν φύονται τρίχες, τοῖς δ' ἀνθρώποις οὔ; Ἢ ὅτι τοῖς μὲν ἄλλοις ζῴοις ἐστὶ τὸ δέρμα μέρος τῆς σαρκός, ἀνθρώπων δὲ καθάπερ πάγος σαρκός; δοκεῖ γὰρ αὐτῆς τὸ ἐξεπιπολῆς καταψυχόμενον στερεώτερον γίνεσθαι, καθάπερ τῶν ἑφθῶν ἀλεύρων αἱ γραῖαι καλούμεναι. Ἐπεὶ οὖν κἀκεῖναί εἰσιν ἄλευρον ἑφθόν, καὶ τὸ τοῦ ἀνθρώπου καλούμενον δέρμα σάρξ ἐστιν. Τραυματισθέντος δὲ καὶ τριβέντος ἀνθρώπου συμβαίνει τὴν σάρκα φθείρεσθαι καὶ πυκνοῦσθαι· διηλλοιωμένης δὲ τῆς ἐπιπολῆς σαρκός, οὐ τὴν αὐτὴν ἐπίφυσιν λαμβάνει τὰ τραύματα, ἥνπερ καὶ ἐκ γενετῆς· ἀλλοιωθείσης δ' αὐτῆς μὴ γίνεσθαι ἔτι ἐξ αὐτῆς οὐδὲν ἄτοπον, καθάπερ καὶ ἐκ τῶν ἀλωπεκιῶν καλουμένων· καὶ γὰρ τῆς ἐπιπολῆς σαρκὸς φθοραὶ καὶ ἀλλοιώσεις εἰσίν. Τῶν δ' ὑποζυγίων τριβέντων καὶ ὑγιαζομένων πάλιν ἀναπληροῦται τὰ νενοσηκότα μέρη τοῦ σώματος τῶν αὐτῶν μέν, ἀσθενεστέρων δὲ ἢ ἐξ ἀρχῆς. Ἐπειδὴ δ' ἐστὶ καὶ τὸ δέρμα μέρος αὐτῶν, γίνοιτο ἂν καὶ φῦον τρίχας· λευκαὶ δὲ φύονται διὰ τὸ τὸ δέρμα ἀσθενέστερον γεγονέναι τοῦ ἐξ ἀρχῆς καὶ τὴν λευκὴν ἀσθενεστάτην εἶναι τρίχα.

183*. Cur apud equos quidem et asinos e cicatricibus erumpunt pili, apud homines vero non? An quia apud reliqua quidem animalia cutis pars carnis est, hominum vero quasi concrementum carnis? videtur enim ejus superficies refrigerata solidari, quemadmodum coctæ farinæ quas Græci vocant vetulas. Quum igitur illæ quoque farina cocta sint, pars item hominis quæ cutis vocatur, caro est. Vulnerato vero ac adtrito homine, evenit ut caro ejus depravetur et densetur; immutata vero superficiei carne, non eamdem pelliculam sumunt vulnera ac inde ex ortu: ea enim transformata, haudquaquam mirum est non amplius ex ea gigni, quemadmodum nec ex adfectibus alopeciis dictis: nam hi quoque carnis quæ in superficie est, depravationes et transformationes sunt. Jumenta vero adtrita ubi sanantur, rursus implentur partes corporis morbidæ iisdem quidem, sed imbecillioribus quam primitus. Quum vero cutis quoque pars eorum sit, nascetur et pilos producens; albi vero gignuntur, quia cutis imbecillior est quam primitiva et pilus albus imbecillimus.

ρπδ′. Διὰ τί [εἰ] ἐπὶ τὰ τῶν ἵππων ἕλκη κριθὰς κατακαύσαντες καὶ λεπτύναντες ἐπιπάττουσιν, οὐ λευκαὶ ἀναφύονται οὐλαί, ἀλλ' ὁμοιόταται ταῖς πρότερον, ἄν τε μέλας ὢν τύχῃ, ἄν τε ξανθός, ἢ ὁποιοσοῦν ᾖ; Ὅτι

184. Quamobrem, ubi equorum ulcera hordeo combusto et comminuto adspergunt, non albæ renascuntur cicatrices, sed simillimæ iis quæ antea aderant, sive niger fuerit, sive flavus, sive qualiscumque tandem? Quia alba renascitur

λευκὴ διαφθειρομένης τῆς τροφῆς καὶ τῆς ἀρχῆς, ὅθεν ἡ ἔκφυσις, αὕτη δὲ φθείρεται διυγραινομένη καὶ λεπτύνουσα τὸ δέρμα, τὸ δὲ τῆς κριθῆς κατάκαυμα ξηρὸν ὂν ἐξαίρει καὶ ἀναλαμβάνει ταύτην, ὅθεν ἐξομοιοῖ τὸ δέρμα τῷ ἄλλῳ, συνεξομοιωθέντος δὲ καὶ ἡ ἔκφυσις ὁμοία; καὶ γὰρ τοῦ δέρματος ἡ ἔκφυσις.

depravato alimento et principio unde fit eruptio, hoc autem depravatur, ubi humectatur et cutem adtenuat; hordeum vero combustum, utpote siccum, sublevat et restaurat illud, unde cutem similem reddit reliquæ cuti; hac autem simili facta, quod erumpit etiam simile est? nam e cute quoque fit eruptio.

ρπε'. Διὰ τί οἱ ἵπποι κατὰ τὴν ἕδραν ἐν τοῖς ποταμοῖς ἀποπνίγονται; Ἢ ὅτι τὸ ἔντερον [εὐρὺ] ἔχουσι τὸ ἀπὸ τοῦ ἀρχοῦ; Δηλοῖ δ' ὅτι ἀβαρῶς ἀφοδεύουσιν. Πολὺ οὖν τὰ κατὰ τὴν ἕδραν διαδίδωσιν εἰς τὴν κοιλίαν, ἧς ἐπαιρομένης θλιβομένη ἡ ἀρτηρία ἀποπνίγει.

185. Cur equi per sedem in fluviis subfocantur? An quia [latum] habent intestinum a podice adscendens? Argumento est quod sine molestia alvum exonerant. Multum igitur sedes transmittit ad ventrem, quo turgescente arteria compressa subfocat.

ρπς'. Διὰ τί τὰς ἵππους καὶ τὰς ὄνους, ὅταν ὀχευθῶσι, διώκουσιν; Ἢ ὅτι οὐροῦσιν εὐθύς; Συμβαίνει οὖν ἐξουρεῖν τὴν γονήν.

186. Quamobrem equas et asinas post coitum persequuntur? An quia statim mingunt? Evenit igitur ut semen emingant.

ΤΜΗΜΑ Γ.

SECTIO III.

α'. [Διὰ τί ἐὰν] τις καρύῳ ἐγγράψας γράμματα φυτεύσῃ, τὸ ἐξ αὐτοῦ φυὲν δένδρον ταὐτὰ ἔχοντα γράμματα οἴσει τὰ κάρυα; Ὅτι καὶ ἐξ ἀνθρώπου οὐλὴν ἔχοντος γέγονεν ἔγγονος ἐν τῷ αὐτῷ τόπῳ ἔχων οὐλήν.

1. [Cur si] quis nucem severit cui literæ inscriptæ sunt, arbor qui ex ea progignitur, fructus feret easdem literas exhibentes? Quia et ex homine cicatricem habente nascitur proles eodem loco cicatricem exhibens.

β'. Διὰ τί ἐπὶ τῶν μνημάτων μάλιστα τὰς καρύας φυτεύουσιν; Ἢ ὅτι τὸν καρπὸν φέρουσι προσεοικότα τοῖς σοροῖς; Ἢ ὅτι δάκρυον μάλιστα ἀφίησι τῶν δένδρων ὃ τοῖς τελευτῶσι ἀποδιδόαμεν γέρας;

2. Cur in sepulcris inprimis juglandes serunt? An quia fructum ferunt loculis similem? An quia inter omnes arbores maxime lacrymas fundit, quas mortuis donum offerimus?

γ'. Διὰ τί τὰ ἀμύγδαλα μόνα τῶν καρπῶν καὶ σκληρὰ καὶ μαλακὰ καὶ γλυκέα καὶ πικρά; Ἢ ὅτι μάλιστα ἡμερά ἐστι τῶν καρπῶν, μὴ τυχόντα δ' ἐπιμελείας εἰς τὸ πικρὸν μεταβάλλει;

3. Cur sola inter fructus amygdala modo dura, modo mollia, modo dulcia, modo amara sunt? An quia omnium fructuum maxime mansueti sunt, curaque destituta in amarorem abeunt?

δ'. Διὰ τί ἡ τῆς ὑὸς κόπρος ἐξ ὀξείας γλυκερὰν τὴν ῥοὰν ποιεῖ; Ἢ ὅτι θερμοτάτη ἐστίν; Δῆλον δ' ὅτι εὖ ἐξίκμασται. Ἔχει οὖν ἐν αὐτῇ ὡς ἡ κονία πῦρ· τοῖς δ' ἄλλοις φυτοῖς ἀσύμμετρος διὰ τὸ καυστικὴν εἶναι.

4. Cur stercus suillum malum punicum quod acidum erat, dulce reddit? An quia calidissimum est? Argumento est quod bene exsuctum est. In sese itaque continet æque ac calx, ignem; ceteris vero plantis incommoda est, quia urere valet.

ε'. Διὰ τί εἴ τις ἐξέλοι τοῦ κλήματος τὴν ἐντεριώνην, γίνονται οἱ βότρυες γίγαρτα μὴ ἔχοντες; Ἢ ὅτι ὥσπερ ἡ ἰλύς ἐστιν ἐν τῷ οἴνῳ, ἀπὸ τῶν γιγάρτων γίνεται, οὕτω καὶ ἐν τῇ ῥαγὶ αὐτῇ τὸ μετὰ τῆς τροφῆς τῆς ὑγρᾶς συνεισιὸν γεῶδες εἰς μέσον ὑφίσταται; μεῖζον δ' οἱ πυρῆνες πάντων τῶν ἀγρίων εἰσίν.

5. Quamobrem, si quis e sarmento eximat medullam, nascuntur uvæ vinaceis carentes? An quia sicut id quod in vino sedimentum est, e vinaceis provenit, sic et in ipso acino pars terrena quæ una cum alimento humido intrat, in medium subsidit? major enim pars omnium fructuum sylvestrium sunt nuclei.

ς'. Διὰ τί τὸ πήγανον βασκανίας φασὶ φάρμακον εἶναι; Ἢ βασκαίνεσθαι δοκοῦσι πνευμάτων ὁρμώντων οἱ λάβρως καὶ πολλὰ ἐσθίοντες; Τὸ πήγανον οὖν προεδεσθὲν θερμαντικὸν ὂν φύσει ἠραίωσε τὸ δεχόμενον τὰ σιτία ἀγγεῖον· διὸ ἐξίεσθαι τὸ ἐγκαταλαμβανόμενον πνεῦμα συμβαίνει.

6. Cur rutam fascinationis medicamentum esse dicunt? An fascinari videntur, flatibus irruentibus, qui adfatim et multa comedunt? Ruta igitur antea adsumta, quippe quum suapte natura calefacere valet, rarefacit vas quod ciboε recipit: hinc evenit ut spiritus intus conclusus emittatur.

ζ'. Διὰ τί οἱ ἄναλοι ἄρτοι πλείονα σταθμὸν ἕλκουσι τῶν ἡλισμένων, καίτοι οἱ ἅλες βαρύτεροι ὕδατος; Ὅτι ξηραίνουσιν οἱ ἅλες.

7. Cur panes non saliti majus pondus pendent quam saliti, etiamsi sal gravior sit aqua? Quia desiccat sal.

η'. Διὰ τί οἱ ψυχροὶ ἄρτοι ἐὰν βρεχθέντες ἅψωνται ἀλλήλων, οὐ συνέρχονται, οἱ δὲ θερμοί; Ἢ ὅτι οἱ ψυχροὶ μετὰ τῆς ἀτμίδος ἀφῆκαν τὸ ἐν αὐτοῖς γλίσχρον ὑγρόν· οὗ ἐξελθόντος οὐ κολλῶνται· οἱ δὲ θερμοὶ ἔχουσι γλισχρότητα;

8. Quamobrem panes frigidi, si humectati se invicem tangant, non conglutinantur, conglutinantur vero calidi? An quia frigidi una cum vapore emiserunt humorem quem continebant, viscidum: quo exeunte non conglutinantur; calidi vero continent gluten aliquod?

θ'. Διὰ τί οἱ ἡμιπλήρεις πίθοι ὀξίζουσιν; Ἢ διότι τὸ ὄξος ὥσπερ τις πέψις οἴνου ἐστὶ, σήπεται δ' ὑπὸ τοῦ ἔξω ἀέρος;

9. Cur dolia semiplena acescunt? An quia acetum quasi concoctio quædam vini est, putrefit autem ab aere externo?

ι'. Διὰ τί ὁ οἶνος χείρων γίνεται μεταντλούμενος ἐν τοῖς νοτίοις ἢ ἐν τοῖς βορείοις; Ὅτι ἐν ταῖς ἀλέαις μᾶλλον...... ανται καὶ χωρίζεται τῆς τρυγὸς καὶ ἀσθενέστερος γίνεται, ἡ δ' ἄντλησις χωρίζει τὴν τρύγα;

10. Quare vinum fit deterius si transfunditur tempestate austrina quam si aquilonari? Quia per æstum magis..... et a fæce separatur et debilior fit, transfusio autem separat fæcem?

ια'. Διὰ τί δήποτε ὅταν ὁ οἶνος εἰς ἀσκὸν ἀντληθῇ, ἐξ ἀνάγκης (?) μὲν τὸν οἶνον ἔσω δέχονται, καὶ ἔτι κενὸν περίεστιν; Ἤγουν ἀφαίρεσις γίνεται τοῦ οἴνου, ἡ συστολή. Συνηθέστερον τοῦτό πως συμβαίνει. Οὕτως Ἀριστοτέλης.

11. Cur tandem, ubi vinum in utrem transfusum est, vi vinum intus recipiunt, et tamen vacuum superest? Aut ablatio fit vini, aut contractio. Hoc vulgo aliquo modo potius obtinet. Sic Aristoteles.

ιβ'. Διὰ τί ὁ γλυκὺς οἶνος οὐ γίνεται ἀνθοσμίας, ὁ δ' αὐστηρός; Ὅτι ἀποκρινομένου τοῦ γεώδους ἡ ὀσμὴ γίνεται, γλυκὺς δὲ γίνεται τοὐναντίον. Διὰ τί ἀποκρινομένου τοῦ ὑδατώδους;

12. Quare vinum dulce non fit anthosmias, sed austerum? Quia odor gignitur separata parte terrena, dulce vero contrario modo fit. At cur separata parte aquosa?

ιγ'. Πότερον ὁ οἶνος, ἢ τὸ ὕδωρ ἀπεπτότερον; πῆ μὲν γὰρ δόξει τοῦτο, εἰ δὲ ἐκεῖνο· καὶ γὰρ ἔξω τὰ ἐμβαλλόμενα εἰς αὐτὸ διαχεῖται ἑψόμενα καὶ σήπεται ἐώμενα· ὁ δ' οἶνος στύφει καὶ ταριχεύει, καὶ ὅλως τὸ μὲν λεπτὸν ὥστε διαδῦνον διαχεῖν, ὁ δ' οἶνος παχύτερος, ὥστε μὴ ὁμοίως εἰσδύνεσθαι εἰς τοὺς πόρους, τὴν δὲ πέψιν εἶναι διάχυσιν καὶ σῆψιν. Εἰ δ' ὁ οἶνος θερμός, τὰ δὲ θερμὰ πεπτικά, ἔχει δ' ἀπορίαν, εἰ θερμός, πῶς οὐχὶ μαραίνει, ἢ μαραίνεται, ὥσπερ πῦρ ἐπὶ πυρί. Τὸ μὲν οὖν λεπτὸν εἶναι τὸ ὕδωρ ἀληθές, ἀλλὰ φύσει ψυχρὸν ἔτι. Τὸ μὲν ὕδωρ ἄπεπτον εἰσέρχεται καὶ πολλῆς ἐργασίας δεόμενον, ὁ δ' οἶνος πεττόμενος ὑπὸ τοῦ ἡλίου. Συμβάλλεται δὲ τὸ ὕδωρ εἰς τὴν πέψιν, οὐ τῷ εὔπεπτον εἶναι, ἀλλὰ τῷ ἄτροφον· διὸ καὶ πλεῖον ἐσθίουσιν οἱ ὑδροπόται, ὡς ἀφῃρημένου τινὸς ἀπὸ τῆς τροφῆς.

13. Utrum vinum, an aqua difficilius concoquitur? aliquatenus enim hoc videbitur verum esse, aliquatenus vero illud: nam quæ forinsecus in eam injiciuntur, coquendo disjiciuntur atque putrescunt in ea manentia; vinum vero adstringit et condit, atque in universum, hæc quidem tenuis est, ita ut subiens disjiciat, vinum vero crassius, ita ut non æque subeat meatus, coctionem autem diffusionem ac putrefactionem esse probabile est. Quodsi autem vinum calidum est calidaque concoquere valent, difficultatem tamen continet, quomodo vinum, si calidum est, non tabefacit, aut tabescit, ut ignis igni additus. Aquam itaque tenuem esse verum est, sed præterea natura frigidum est. Aqua quidem cruda et multa elaboratione indigens intrat; vinum vero sole coctum. Confert autem aqua ad concoctionem, non quia concoctu facilis est, sed quia alere nequit: propterea et plus comedunt aquæ potatores, perinde ac si aliquid a cibo sublatum esset.

ιδ'. Διὰ τί ὁ οἶνος θερμὸς ὢν παύει μᾶλλον τὴν δίψαν ἢ τὸ ὕδωρ ψυχρὸν ὄν; Ἢ διότι διὰ τὴν θερμότητα καὶ ὑγρότητα αἱ ἐκθερμανθεῖσαι δίψαν ποιοῦσιν;

14. Cur vinum, calidum quum sit, melius sedat sitim quam aqua, quæ frigida est? An quia propter caliditatem et humiditatem calefactæ sitim faciunt?

ιε'. Διὰ τί ὁ οἶνος ὁ παριστάμενος καὶ ὁ ἐξιστάμενος ποιεῖ ἄνθος; Ἢ τὸ μὲν πάθος τὸ αὐτό, ἐφ' οἷς δὲ γίνεται, ἐναντίως ἔχουσιν; Ὁμονύμως δὲ λέγεται σαπρός, καὶ ὅταν ὁ καρπὸς ᾖ τετελεσμένος· οὐ γὰρ τὸ αὐτό ἐστι

15. Quare vinum tum promptum, tum vappidum florem adsumit? An adfectus quidem idem est, sed causæ quibus debetur contrario modo sese habent? Communi autem nomine fructus legitur putris, etiam ubi perfectus est: neque enim idem est, ubi de vino fit sermo: nam

καὶ ἐπὶ τοῦ οἴνου· τὸ μὲν γὰρ διεφθαρμένον ἄνθος ἐστὶ, τὸ δὲ πεπεμμένον.

ις'. Διὰ τί εἰς φυλακὴν συμφέρει τοῖς οἴνοις ἐν μὲν τῷ χειμῶνι ἀλεεινὸς τόπος, ἐν δὲ τῷ θέρει ψυχρός; Ἢ ὅτι αἱ ὑπερβολαὶ ἐξιστῶσιν; Τὸ λίαν οὖν ψυχρὸν τὴν ἐν οἴνῳ θερμότητα σβέννυσι, καὶ ἡλίου ἀλέα, ὥσπερ ἔνια σήπει, οὕτω καὶ τὸν οἶνον· ἔστι δ' οἴνου σαπρότης ἡ ὀξύτης.

οἱ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι ταδὶ γέγραφε. Ζητῶν γὰρ τὰς ἀρχὰς τῶν ὄντων ὁ Πλάτων, ἐπεὶ πρῶτος ὁ ἀριθμὸς ἐδόκει αὐτῷ τῇ φύσει εἶναι τῶν ἄλλων· καὶ γὰρ τῆς γραμμῆς τὰ πέρατα σημεῖα, τὰ δὲ σημεῖα εἶναι μονάδας θέσιν ἐχούσας, ἄνευ τε γραμμῆς μήτε ἐπιφάνειαν εἶναι μήτε στερεὸν, τὸν δὲ ἀριθμὸν καὶ χωρὶς τούτων εἶναι δύνασθαι· ἐπεὶ τοίνυν πρῶτος τῶν ἄλλων τῇ φύσει ὁ ἀριθμὸς, ἀρχὴν τοῦτον ἡγεῖτο εἶναι καὶ τὰς τοῦ πρώτου ἀριθμοῦ ἀρχὰς καὶ παντὸς ἀριθμοῦ ἀρχὰς εἶναι. Πρῶτος δὲ ἀριθμὸς ἡ δυὰς, ἧς ἀρχὰς ἔλεγεν εἶναι τό τε ἓν καὶ τὸ μέγα καὶ τὸ μικρόν. Καθὸ γὰρ δυάς ἐστι, πλῆθος καὶ ὀλιγότητα ἔσχεν ἐν ἑαυτῇ· καθὸ μὲν τὸ διπλάσιόν ἐστιν ἐν ἑαυτῇ πλῆθος· πλῆθος γὰρ καὶ ὑπεροχὴ καὶ μέγεθός τι τὸ διπλάσιον· καθὸ δὲ ἥμισυ, ὀλιγότητα. Διὸ ὑπεροχὴν καὶ ἔλλειψιν καὶ μέγα καὶ μικρὸν εἶναι ἐν αὐτῇ κατὰ ταῦτα. Καθὸ δὲ ἑκάτερόν τε τῶν μορίων αὐτῆς μονὰς καὶ αὕτη ἕν τι εἶδός ἐστι, τὸ δυαδικόν, μονάδος αὐτὴν μετέχειν. Διὸ ἀρχὰς τῆς δυάδος ἔλεγε τὸ ἓν καὶ τὸ μέγα καὶ τὸ μικρόν. Ἀόριστον δὲ δυάδα ἔλεγεν αὐτὴν τῷ μεγάλου καὶ μικροῦ μετέχουσαν, ἤτοι μείζονος καὶ ἐλάττονος, τὸ μᾶλλον καὶ ἧττον ἔχειν. Κατὰ γὰρ ἐπίτασιν καὶ ἄνεσιν προϊόντα ταῦτα οὐχ ἵσταται, ἀλλ' ἐπὶ τὸ τῆς ἀπειρίας ἀόριστον προχωρεῖ. Ἐπεὶ οὖν πρῶτος ἀριθμῶν ἀρτίων ἡ δυάς, ταύτης δὲ ἀρχὴ τὸ ἓν καὶ τὸ μέγα καὶ τὸ μικρὸν, καὶ παντὸς ἀριθμοῦ ἀρχὰς ταύτας εἶναι ἀνάγκη. Οἱ δὲ ἀριθμοὶ στοιχεῖα τῶν ὄντων πάντων· ὥστε καὶ πάντων ἀρχὴ τὸ ἓν καὶ τὸ μέγα καὶ τὸ μικρόν, ἤτοι ἡ ἀόριστος δυάς. Καὶ γὰρ ἕκαστος τῶν ἀριθμῶν καθ' ὅσον μὲν ὅδε τίς ἐστι καὶ εἷς καὶ ὡρισμένος, τοῦ ἑνὸς μετέχει· καθ' ὅσον δὲ διαιρεῖται καὶ πλῆθός ἐστι, τῆς ἀορίστου δυάδος. Ἔλεγε δὲ καὶ τὰς ἰδέας ὁ Πλάτων ἀριθμούς. Εἰκότως ἄρα τὰς ἀρχὰς τοῦ ἀριθμοῦ καὶ τῶν ἰδεῶν ἀρχὰς ἐποίει. Τὴν δὲ δυάδα τοῦ ἀπείρου φύσιν ἔλεγεν, ὅτι οὐχ ὥρισται τὸ μέγα καὶ τὸ μικρὸν, ἤτοι τὸ μεῖζον καὶ τὸ ἔλαττον, ἀλλ' ἔχει τὸ μᾶλλον καὶ ἧττον, ἅπερ εἰς ἄπειρον πρόεισιν· οὕτως οὖν εἰπὼν ὁ Ἀριστοτέλης ἐν τίσι μὲν οἱ Πυθαγόρειοι, ἐν τίσι δὲ ὁ Πλάτων ἐτίθετο τὸ ἄπειρον, ἐφεξῆς ἱστορεῖ τί τὸ ἄπειρον ἔλεγον οἱ Πυθαγόρειοι καὶ διὰ τί.

Non aliunde ducta sunt quæ habet Simplicius in Arist. Physic. fol. 117 recto (p. 368, A, 28) : Δείξας (ὁ Ἀριστοτέλης) ὅτι περιέχεται μᾶλλον τὸ ἄπειρον ἤπερ περιέχει, καὶ ὅτι ἄγνωστόν ἐστι τῇ ἑαυτοῦ φύσει, τὴν ἐπιπόλαιον ἐκδοχὴν ἐλέγχει τῶν τοῦ Πλάτωνος λόγων. Τοῦ γὰρ Πλάτωνος ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις εἰπόντος τὸ μέγα καὶ τὸ μικρὸν τὴν ὕλην, ἣν καὶ ἄπειρον ἔλεγε, καὶ περιέχεσθαι ὑπὸ τοῦ ἀπείρου πάντα τὰ αἰσθητά, καὶ ἄγνωστα εἶναι διὰ τὸ ἔνυλον καὶ ἄπειρα καὶ ῥευστὴν ἔχειν τὴν φύσιν, ἀκόλουθόν φησι δοκεῖν τῷ τοιούτῳ τὸ καὶ ἐν τοῖς νοητοῖς ὑπὸ τοῦ ἐκεῖ μεγάλου καὶ μικροῦ, ὅπερ ἐστὶν ἡ ἀόριστος δυάς, ἀρχὴ καὶ αὕτη οὖσα μετὰ τοῦ ἑνὸς παντὸς ἀριθμοῦ καὶ πάντων τῶν ὄντων (ἀριθμοὶ γὰρ καὶ αἱ ἰδέαι). Ἀκόλουθον οὖν τὸ καὶ ἐν τοῖς νοητοῖς ὑπὸ τοῦ ἐκεῖ ἀπείρου καὶ ἀγνώστου περιέχεσθαι καὶ ὁρίζεσθαι τὰ νοητά, γνωστὰ ὄντα φύσει καὶ ὡρισμένα ἅτε εἴδη ὄντα, quibus præter Platonis mentionem, non plura continentur quam quæ ipsius Aristotelis verbis l. l. dicta sunt.

Quæ vero jam sequentur non ex alio fonte derivata sunt, etsi liber περὶ Φιλοσοφίας nominetur, eodem scilicet nomine quo ipse Aristoteles has Platonis disputationes designaverat :

Alexand. Aphrod. in Arist. Metaph. I, 9, p. 86, 31 Bon. : Ἐκτίθεται δὲ τὸ ἀρέσκον αὐτοῖς, ὃ καὶ ἐν τοῖς περὶ Φιλοσοφίας εἴρηκε· βουλόμενοι γὰρ τὰ ὄντα...ἀνάγειν εἰς τὰς ἀρχὰς ἃς ὑπέθεντο· ἦσαν δὲ αὐτοῖς ἀρχαὶ τῶν ὄντων τὸ μέγα καὶ τὸ μικρὸν, ἣν ἔλεγον ἀόριστον δυάδα· εἰς δὴ ταύτην θέλοντες πάντα ἀναγαγεῖν, τοῦ μὲν μήκους ἀρχὰς ἔλεγον τὸ βραχὺ καὶ

si alteram partem semicubitalem indivisibilem relinquamus, et alteram dimidiam adhuc secantes, quam secundum minorem partem addemus indivisibili, tum duæ fierent partes cubitalis magnitudinis, alia procedens in minus, alia vero in majus sine fine. Non enim in indivisibilem partem veniemus, secantes partem. Nam ubi talis magnitudo continuo est, et continuum dividitur semper in divisibilia. Et hæc divisio indeficiens indicat quandam naturam infiniti conclusam et reconditam in cubitali magnitudine. Sed magis est quoad multitudinem, cujus alia est ad magnum, et alia ad parvum. In his autem et quædam dualitas indefinita videtur compositi ex unitate in magnum et parvum. Et hæc insunt continuis corporibus et numeris. Numerus enim primus par est dualitas. Sed in natura paris duplum continetur et dimidium, sed duplum in excessu et dimidium in defectu. Excessus igitur et defectus in numero pari. Primus autem numerus par in numeris est dualitas, sed per se est indefinita : definita autem est participatione unius. Nam definitur dualitas quatenus una quædam forma est. Elementa igitur numerorum sunt unum et dualitas, aliud terminus et in formam redigens, alterum autem indefinitum in excessu et defectu. » Hæc Porphyrius dixit suis prope verbis, determinans proferendo, quæ habentur ænigmatice dicta in colloquiis de Bono, et quia illa forte erant consona scriptis in Philebo. Et ipse Alexander ex sermonibus de Bono Platonis asserens se dicturum, quos Aristoteles et alii Platonis sodales narrarunt, hæc scripsit : « Nam quum quærat Plato principia rerum, primus numerus videbatur ipsi naturâ esse aliorum principium. Etenim lineæ terminos, puncta, et puncta esse unitates habentes positionem. Equidem sine linea nec superficies est, nec solidum. At numerus et sine his esse potest. Parem igitur numerum quum primum esse aliorum natura censuit, etiam ipsum esse principium putavit, et principia

μακρόν, ὡς ἐκ μακροῦ τινὸς καὶ βραχέος τὴν γένεσιν ἔχοντος τοῦ μήκους, ἅ ἐστι μέγα καὶ μικρόν, ἢ ὡς πάσης γραμμῆς ἐν τῷ ἑτέρῳ τούτων οὔσης, τοῦ δὲ ἐπιπέδου τὸ στενὸν καὶ πλατύ, ἃ καὶ αὐτά ἐστι μέγα καὶ μικρόν.

Pseudo Alexand. in Arist. Metaph. XII, 9, p. 756, 10 Bon. : Λέγει δὲ ὅτι βουλόμενοι καὶ τὰ μεγέθη παράγειν ἀπὸ τῶν δύο ἀρχῶν, τοῦ τε ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἐκ μὲν τῆς δυάδος φασὶ τήν τε γραμμὴν τὸ μακρὸν καὶ βραχὺ λαβεῖν, τό τε ἐπίπεδον τὸ πλατὺ καὶ στενόν, τό τε στερεὸν τὸ βαθὺ καὶ ταπεινόν· ταῦτα γὰρ τὸ μακρὸν καὶ βραχὺ καὶ τὰ λοιπὰ εἴδη ἐκάλουν τοῦ μεγάλου καὶ μικροῦ τοῦ ἐν τῇ ἀορίστῳ δυάδι. Τὴν δὲ κατὰ τὸ ἕν, φησίν (in l. l. Metaph. scil. § 13), ἀρχὴν οὐχ ὁμοίως εἰσῆγον ἅπαντες, ἀλλ' οἱ μὲν αὐτοὺς τοὺς ἀριθμοὺς τὰ εἴδη τοῖς μεγέθεσιν ἔλεγον ἐπιφέρειν, οἷον δυάδα μὲν γραμμῇ, τριάδα δὲ ἐπιπέδῳ, τετράδα δὲ στερεῷ (τοιαῦτα γὰρ ἐν τοῖς περὶ Φιλοσοφίας ἱστορεῖ περὶ Πλάτωνος, δι' ὃ καὶ ἐνταῦθα βραχέως καὶ συντόμως τὴν τούτων ἐξέθετο διάνοιαν), οἱ δὲ μεθέξει τοῦ ἑνὸς τὸ εἶδος ἀπετέλουν τῶν μεγεθῶν, quæ ad verbum cum Syriani commentario consentiunt; cf. Brandis, *Diatribe,* etc., p. 43.

Cum his conferenda sunt quæ habet Themistius in Paraphr. de Anima, f. 66 verso, t. II, p. 20, 20 ed. Spengel. : Τοὺς ἀριθμοὺς δὲ ἐκείνους εἴδη τῶν ὄντων ἐτίθεντο ... τοῦ μὲν οὖν αὐτοζώου, τουτέστι τοῦ κόσμου τοῦ νοητοῦ, στοιχεῖα τὰ πρῶτα ἐποίουν τῶν εἰδητικῶν ἀριθμῶν, τὴν τοῦ ἑνὸς ἰδέαν καὶ τὴν τῆς πρώτης δυάδος καὶ τὴν τῆς πρώτης τριάδος καὶ τὴν τῆς πρώτης τετράδος. Ἐπειδὴ γὰρ ἐν τῷ νοητῷ κόσμῳ δεῖ πάντως τὰς ἀρχὰς παρεμφαίνεσθαι τοῦ αἰσθητοῦ, ὁ δὲ αἰσθητὸς ἐκ μήκους ἤδη καὶ πλάτους καὶ βάθους, τοῦ μὲν μήκους ἰδέαν εἶναι τὴν πρώτην ἀπεφήναντο δυάδα· ἀπὸ γὰρ ἑνὸς ἐφ' ἓν τὸ μῆκος, τουτέστιν ἀπὸ σημείου ἐπὶ σημεῖον· τοῦ δὲ μήκους ἅμα καὶ πλάτους τὴν πρώτην τριάδα, πρῶτον γὰρ τῶν ἐπιπέδων σχημάτων ἐστὶ τὸ τρίγωνον· τοῦ δὲ μήκους καὶ πλάτους καὶ βάθους τὴν πρώτην τετράδα· πρῶτον γὰρ τῶν στερεῶν ἐστιν ἡ πυραμίς. Ταῦτα δὲ ἅπαντα λαβεῖν ἔστιν ἐκ τῶν περὶ Φύσεως Ξενοκράτους.

Ad ipsos Aristotelis libros περὶ τἈγαθοῦ referenda esse censeo quæ habent Themistius Paraphr. in Arist. Phys. IV, 2, fol. 37 verso (p. 371, B, 20 Brand., t. I, p. 259, 22 Spengel.) : Καίτοι τὴν ὕλην ἄλλως μὲν ἐν Τιμαίῳ φησὶ δέχεσθαι τὰ εἴδη, ἄλλως δὲ ἐν τοῖς ἀγράφοις δόγμασιν· ἐκεῖ μὲν γὰρ κατὰ μέθεξιν, ἐν τοῖς ἀγράφοις δὲ καθ' ὁμοίωσιν. Ἀλλ' ὅμως, ὅπερ εἶπον, δόξειεν ἂν ταὐτὸν ἀποφαίνεσθαι ὕλην καὶ τόπον, et Simplicius ib. fol. 126 recto : Ἄλλον δὲ τρόπον ἐν Τιμαίῳ τὴν ὕλην καὶ ἄλλον ἐν ταῖς ἀγράφοις συνουσίαις ὀνομάσαι φησίν. Ἐν Τιμαίῳ μὲν γὰρ τὴν ἀπειρότητα τοῦ νοητοῦ· ἐν δὲ ταῖς ἀγράφοις συνουσίαις μέγα καὶ μικρὸν ἐκάλει, et iterum fol. 127 recto : Τὸ δὲ μεθεκτικὸν ἐν μὲν ταῖς ἀγράφοις περὶ τἈγαθοῦ συνουσίαις μέγα καὶ μικρὸν ἐκάλει, testari videtur Joannes Philoponus IV, p. 10 (p. 371, B, 23), qui ad eundem Aristotelis locum hæc habet : Τουτέστιν ἄλλως ἐν τῷ Τιμαίῳ τὴν ὕλην ὀνομάζων καὶ ἄλλως ἐν τοῖς ἀγράφοις δόγμασιν, τουτέστιν ἐν ταῖς ἀγράφοις συνουσίαις· ἐν αὐταῖς γὰρ μέγα καὶ μικρὸν ἐκάλει τὴν ὕλην ... τὰς δὲ ἀγράφους συνουσίας τοῦ Πλάτωνος αὐτὸς ὁ Ἀριστοτέλης ἀπε-

primi numeri cujuscunque etiam numeri principia esse censuit. Sed primus numerus est dualitas, cujus principia dixit esse unum, magnum et parvum. Nam quatenus dualitas est, multitudinem et paucitatem in se retinet, quatenus vere duplum est, in ipsa multitudo est. Nam multitudo est excessus et magnitudo aliquod duplum et quatenus dimidium paucitas est : ideo excessum et defectum magnum et parvum esse in ipsa secundum hæc posuit, quatenus vero utraque pars ejus est unitas, et ipsa dualitas una quædam forma quum participet unitate, ideo principia dualitatis dixit esse unum, magnum et parvum. Verum dualitatem esse indefinitam quæ participat magno et parvo, vel majore et minore, quum habeat magis et minus. Nam secundum intensionem et remissionem hæc procedentia non stant, sed procedunt in indefinitatem infinitudinis. Quia igitur primus numerus est dualitas et hujus principium est unum, magnum et parvum, et omnis numeri eadem principia esse necesse est. Sed numeri sunt elementa omnium, quæ sunt; quare et omnium principium est unum et magnum atque parvum, vel indeterminata dualitas. Etenim unusquisque numerorum quatenus est unum aliquid et definitum, uno participat, sed quatenus dividitur, quum etiam multitudo sit, indeterminatæ dualitatis. Plato autem dixit et ideas numeros. Merito igitur principia numeri et idearum principia fecit. Sed dualitatem naturam infiniti esse dixit, quia magnum et parvum non sunt determinata, vel magis et minus. Sed habent magis et minus quæ in infinitum procedunt. » Sic ergo quum dicat Aristoteles, in quibus Pythagorei et in quibus Plato posuere infinitum, deinceps narrat quid esse infinitum dixere Pythagorei et propter quid.

Plato quum dicat in sermone de Bono magnum et parvum materiam, quam et infinitam dixit, et ultro contineri omnia sensilia ab ipso infinito et ignota esse ob materiam et infinitum et habere naturam fluxilem, consequens, inquit, huic videtur illud, scilicet etiam in intelligibilibus redigi sub parvo et magno ibi principium, quod est ipsa dualitas indeterminata, quæ ipsa quoque principium est cum uno, quod est cujuscunque numeri principium et rerum omnium. Nam numeri et ideæ sunt. Consequens igi-

γράψατο. Locum Joannis Philoponi in Arist. de Gen. et corrupt. II, 3, supra jam attulimus. Inde et illud vides satis verisimiliter hinc fluxisse quæ apud Asclepium in Aristotelis Metaphys. I, p. 567, A, 24 leguntur : Κακῶν μέντοι γε οὔ φαμεν εἶναι ἰδέας· τὰ γὰρ κακὰ τῷ ὄντι ἀνυπόστατα ὑπάρχουσι καὶ παρυφίστανται, ὡς λέγεται ἐν ταῖς Πλατωνικαῖς συνουσίαις.

4. (130.)

Alexand. Aphrod. in Arist. Metaphys. I, 6, § 7, p. 45, 8 Bon. : Ζητήσαι δ' ἄν τις πῶς λέγοντος Πλάτωνος καὶ ποιητικὸν αἴτιον, ἐν οἷς λέγει· « τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦ παντὸς εὑρεῖν τε καὶ δεῖξαι ἔργον » (Timæus p. 28, C), ἀλλὰ καὶ τὸ οὗ ἕνεκεν καὶ τέλος, δι' ὧν πάλιν λέγει· « περὶ τὸν πάντων βασιλέα πάντα ἔστι κἀκείνου ἕνεκα πάντα » (Epist. II, p. 312, E), οὐδετέρου τούτων τῶν αἰτίων ἐμνημόνευσεν ὁ Ἀριστοτέλης ἐν τῇ δόξῃ τῇ Πλάτωνος; ἢ ὅτι ἐν οἷς περὶ αἰτίων ἔλεγεν, οὐδενὸς τούτων ἐμέμνητο, ὡς ἐν τοῖς περὶ τ'Ἀγαθοῦ δέδειχεν· ἢ ὅτι τῶν ἐν γενέσει καὶ φθορᾷ οὐ τίθεται ταῦτα αἴτια, ἀλλ' οὐδὲ ἐξειργάσατό τι περὶ αὐτῶν.

5. (131.)

Vita Aristot. cod. Marciani, p. 7 ed. Robbe, Lugd. Bat. 1861 : Καθόλου γὰρ ὁ Ἀριστοτέλης τὸ ἦ[θος μέτριος γέ]γονεν, εἰ ἐν μὲν ταῖς Κατηγορίαις φησὶ μὴ δεῖν προχείρως ἀποφαίνεσθαι, ἀλλὰ πολλάκις ἐπεσκεμμένον, καὶ μὴ[ν οὐδὲ διαπορ]εῖν μόνον ἄχρηστον εἶναι· καὶ ἐν τοῖς περὶ τοῦ Ἀγαθοῦ « δεῖ μεμνῆσθαι ἄνθρωπον ὄντα οὐ μόνον [εὐδαίμονα ἀλλὰ] καὶ τὸν ἀποδεικνύντα »· καὶ ἐν τοῖς Ἠθικοῖς Νικομαχείοις, etc.

Paulo aliter Rosius qui ipse codicem, cujus apographo a Cobeto confecto usus est editor Batavus, tractavit : Κα[ὶ μάλα δὲ] ὁ Ἀριστοτέλης τὸ ἦ[θος μέτριος γέ]γονεν, εἰ ἐν μὲν ταῖς Κατηγορίαις φασὶ μὴ δεῖν προχείρως ἀποφαίνεσθαι, ἀλλὰ πολλάκις ἐπεσκεμμένον, καὶ μὴ [ἀπορ]εῖν μόνον ἄχρηστον εἶναι· καὶ ἐν τοῖς περὶ τοῦ ἀγαθοῦ δε[ῖ μεμν]ῆσθαι ἄνθρωπον ὄντα οὐ μόνον τὸν εὐ[τυχοῦντα ἀλλ]ὰ καὶ τὸν ἀποδεικνύντα κτλ.

ΠΕΡΙ ΙΔΕΩΝ.

Titulus libri : *de Ideis utrum existant nec ne, libri III*, præcedit in indice Dschemaluddini (14) mentionem *Compendii operis Platonici de Regimine civitatum* (*Aristotelis libri specierum tres utrum existant nec ne* apud Hadschi Khalf. V,

tur est illud in his, quæ apprehenduntur intelligentia sub illo quod in illis infinitum et ignotum est, contineri et determinari intelligibilia, quum sint natura nota et certa, quandoquidem sint formæ.

Explicat istorum placitum quod in libris quoque de Philosophia (*seu potius de Bono*) exposuit. Volentes igitur entia ad principia quæ ipsi statuebant redigere, erant autem his entium principia magnum et parvum, quam indefinitam dualitatem vocabant, in hanc ergo cuncta redigere volentes, longitudinis principia breve et longum esse dicebant, quasi ex longo quodam et brevi (i. e. magno et parvo) longitudo generetur, vel quasi tota linea sit in horum altero, plani autem angustum et latum quæ et ipsa magnum et parvum sunt.

Volentes, inquit, magnitudines a duobus principiis deducere, uno scilicet et indefinita dualitate, ex dualitate quidem dicunt lineam ipsam longum et breve accipere, superficiem angustum et latum, solidum altum et depressum. Has enim vocabant species magni et parvi, quod est in indeterminata dualitate; principium vero quod est per ipsum unum non similiter, inquit, omnes inducebant, sed hi quidem numeros ipsos species dicebant magnitudinibus afferre, ut binarium quidem lineæ, ternarium superficiei, quaternarium autem solido; hujuscemodi enim narrat in libris de Philosophia de Platone, quare et hic brevius et concisius hanc eorum exposuit opinionem, alii vero participatione unius, speciem perficiebant magnitudinum.

4.

Sed quærat aliquis, quum Plato causam efficientem dixerit in eo loco ubi ait : « Operæ pretium est igitur effectorem ac patrem universi invenire ac demonstrare », nec cujus causa et finem prætermiserit, ubi rursus dixit : « Penes omnium regem cuncta sunt, et omnia illius causa », cur Aristoteles nullius harum causarum in Platonica opinione mentionem fecerit? Utrum quia Plato quum de causis loqueretur hanc utramque retinuit, ut docuit Aristoteles in libro de Bono? An quia nascentium et intereuntium has causas non ponit; nec de ipsis accuratius edisserit?

5.

Aristoteles in libris de Bono : Oportet reminisci hominem esse non eum solum qui fortunatus est, sed et eum qui demonstrat.

DE IDEIS.

1.

Et quidem Aristotelem non plura his adversus idearum

109). Huic respondet apud Diogenem (54) περὶ τῆς Ἰδέας α' et apud Anonymum (40) περὶ Ἰδέας α'. Duos fuisse libros Alexandri testimonio usus affirmat Syrianus (cf. fr. 1); contra Platonis doctrinam vero conscriptos auctor commentarii in Metaphysica quem secutus est Schol. ad Dionysii Thracis Grammaticam (cf. fr. 2). Inde mirari jure licet horum librorum nullam factam esse mentionem in locis Procli et Plutarchi (cf. fr. 34), in quibus Aristotelis scripta enumerantur quæ Platonicam idearum doctrinam impugnaverant. Vix igitur dubitandum erit quin hîc Rosii sequenda sit sententia conjicientis supposititios fuisse libros, præsertim quum, licet diversi fuerint a libris M et N Metaphysicorum, tamen eadem quæ in his prolata erant continuisse videantur; cf. Syrianus et Pseudo-Alexander in fr. 1.

1. (132.)

Syrianus in Metaphys. XI, 5 fin. (Ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν καὶ τοῦτον τὸν τρόπον καὶ διὰ λογικωτέρων καὶ ἀκριβεστέρων λόγων ἔστι πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις), p. 303, 33 Brandis., Schol. in Metaphys. Berol. 1837 : Ὅτι μὲν τούτων οὐδὲν πλέον εἰπεῖν ἔχει πρὸς τὴν τῶν εἰδῶν ὑπόθεσιν δηλοῖ καὶ τὸ πρῶτον ταύτης τῆς πραγματείας βιβλίον καὶ τὰ περὶ τῶν εἰδῶν αὐτῷ πεπραγματευμένα δύο βιβλία· σχεδὸν γὰρ ταὐτὰ ταῦτα πανταχοῦ τὰ ἐπιχειρήματα μεταφέρων καὶ ποτὲ μὲν αὐτὰ κατακερματίζων καὶ ὑποδιαιρῶν, ποτὲ δὲ συντομώτερον ἀπαγγέλλων πειρᾶται τοὺς πρεσβυτέρους αὐτοῦ φιλοσόφους εὐθύνειν. Similia e cod. Paris. 1895 leguntur apud Ravaisson, *Essai sur la Métaph.* t. I, p. 75.

Syrianus in Metaph. XIII, 6, 10 (Τὰ μὲν οὖν συμβαίνοντα ταῦτά τε κἂν ἔτι πλείω συναχθείη) apud Brandis, *de perdit. Arist. libr. de Ideis et de Bono*, Bonn. 1823, p. 14 : Ταῦτά ἐστιν ἃ ἐν τούτοις ἀντιλέγει ταῖς τῶν Πυθαγορείων καὶ Πλατωνικῶν ἀνδρῶν θεωρίαις, ἃ δὴ περιέχει καὶ τὰ ἐν τῷ μείζονι τῶν α' ῥηθέντα, ὡς καὶ ὁ ὑπομνηματιστὴς Ἀλέξανδρος ὑπεσημήνατο. Διὸ καὶ ἡμεῖς τούτοις ἐπιστήσαντες οὐδ' ἐκεῖνα παραλελοιπέναι νομίζομεν, οὐ μὴν οὐδ' ὅσα ἐν τοῖς περὶ Εἰδῶν δύο βιβλίοις πρὸς αὐτοὺς εἴρηκε· σχεδὸν γὰρ κἀκεῖ τὰ αὐτὰ ταῦτα ἀνακυκλοῖ. Cf. Pseudo-Alexand. ad h. l. p. 815, 15 Bonitz. : Τὰ μὲν οὖν συμβαίνοντα... τὰ ῥηθέντα ἐστί, καὶ ἔτι πλείω τούτων συναχθείη, τὰ περὶ τῶν Εἰδῶν γραφέντα αὐτῷ δύο βιβλία, ἄλλα ὄντα παρὰ τὸ μ' καὶ ν' καὶ ἐκτὸς τῆς Μετὰ τὰ φυσικὰ συντάξεως· et excerpt. e Pseudo-Philopono apud Ravaisson, l. l. p. 75.

2. (133.)

Schol. ad Dionys. Thrac. Gramm. apud Bekker. Anecd. gr. t. II, p. 660, 32 : Ἰστέον δὲ ὅτι οἱ ὅροι τῶν καθόλου καὶ ἀεὶ μενόντων εἰσίν, ὡς καὶ Ἀριστοτέλης εἴρηκεν ἐν τῷ (corr. τοῖς) περὶ Ἰδεῶν, ἃ πρὸς τὰς Πλάτωνος ἰδέας ἐστὶν αὐτῷ πεποιημένα. Τὰ μὲν μερικὰ πάντα μεταβάλλουσι καὶ οὐδέποτε ὡσαύτως ἔχουσι, τὰ δὲ καθόλου ἄτρεπτα καὶ ἀΐδιά ἐστιν.

Hæc ad commentarium in Metaphysica retulit Bournot, in commentatione : *Platonica Aristotelis opuscula*, Putbus. 1853 edita, p. 5, collato Asclepio in Metaphys. I, 9, 2 (ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν), p. 563, A, 23 Brand. : Τέσσαρα οὖν αἴτια ὑπάρχουσι τὰ δεικνύντα ὅτι αἱ ἰδέαι ὑπάρχουσιν, ἀλήθεια, μονὴ καὶ μνήμη, ἀριθμὸς, καὶ ὁρισμός. Ἐκ μὲν οὖν τῆς ἀληθείας οὕτω κατεσκεύαζον ὅτι ὑπάρχουσιν αἱ ἰδέαι. Ἔλεγον γὰρ οὕτως ὅτι ἐνταῦθα οὐκ ἔστι καθαρὰ ἀλήθεια, ἀλλ' ἔχει μεμιγμένον τὸ ψεῦδος καὶ οὐκ ἔστιν ἀλήθεια. Ὡμολόγηται δὲ ὅτι ἔστιν ἀλήθεια· ἐὰν γὰρ μὴ ᾖ ἀλήθεια, οὐδ' ἄλλο τί ἐστιν, εἴ γε ἐκ τῆς ἀληθείας τὰ ἄλλα προέρχεται. Φανερὸν οὖν ὅτι ὑπάρχουσιν αἱ ἰδέαι· παρ' αὐταῖς γὰρ σώζεται τὸ ἀμιγὲς καὶ καθαρὸν πάντων τῶν πραγμάτων, ὥστε καὶ ἡ κυρίως ἀλήθεια. Πάλιν δέ φασιν ὅτι εἰ μή ἐστιν ἐνταῦθα μονὴ, μηδὲ καθαρὰ μνήμη διὰ τὸ ῥευστὸν τῆς ὕλης· ἡ γὰρ ῥεῦσις αὕτη οὐκ ἐᾷ μόνιμον εἶναι καὶ στάσιμον τὴν μνήμην· ἔστι δὲ ὁμολογουμένως καθαρὰ μνήμη καὶ εἰλικρινὴς καὶ ἀθόλωτος καὶ ἀεὶ ὡσαύτως ἔχουσα, ἔστιν ἄρα ἰδέα μνήμης παρὰ τῷ δημιουργῷ, ἐπειδὴ καὶ δεῖ εἶναι τὴν ὄντως μνήμην,

suppositionem habuisse dicere, ostendit et primus Metaphysicorum liber et duo ab ipso compositi de Ideis libri. Fere enim has easdem ubique argumentationes transferens, quandoque in minuta secans et subdividens, quandoque vero compendiosius enuntians, tentat antiquiores se dirigere philosophos.

Hæc sunt quæ in his (*in libro XIII Metaphysicorum*) contradicit Pythagoricorum et Platonicorum speculationibus Aristoteles, quæ certe complectuntur et ea quæ in majore α' sunt dicta, ut et commentator Alexander commentatus est. Ideo et nos hæc adnotantes neque illa dereliquisse putamus, verum nec quæcunque in duobus libris de Ideis contra ipsos dixit. Fere enim etiam ibi hæc eadem repetit. Quare jure per eadem utique fuerit etiam ad illa occursus.

2.

Notandum est definitiones universalium et eorum esse quæ semper manent, ut et Aristoteles dixit in libris de Ideis, quos contra Platonis ideas conscripsit. Particularia omnia mutantur et nunquam eodem modo se habent, universalia autem immobilia et æterna sunt.

ἐξ ἧς πᾶσι τοῖς ἄλλοις τὸ εἶναι. Ἔπειτα καὶ ἐκ τῶν ἀριθμῶν. Εἰ γὰρ τὰ ἐνταῦθα πάντα ἀριθμητὰ ὑπάρχουσιν, εἰσὶ δὲ καὶ ἀριθμοὶ αὐτοὶ καθ' αὑτοὺς μετροῦντες τὰ ἀριθμητά, ἐπεὶ οὐδὲ ἀριθμητὰ ὑπάρχουσι μὴ ὄντων τῶν ἀριθμῶν τῶν ἀριθμούντων, φανερὸν ὅτι ὑπάρχουσιν ἰδέαι· οἱ γὰρ κυρίως ἀριθμοὶ οἱ μετρητικοὶ παρὰ τῷ δημιουργῷ ὑπάρχουσι. Πάλιν δὲ καὶ ἐκ τῶν ὁρισμῶν. Τὰ γὰρ ἐνταῦθα ἀόριστα ὑπάρχουσιν, οἱ δὲ κυρίως ὅροι τῶν ἀϊδίων πραγμάτων ὑπάρχουσι καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων καὶ μὴ ποτὲ μὲν ὄντων ποτὲ δὲ μὴ ὄντων, τὰ δὲ ἐνταῦθα τοιάδε· εἰ οὖν ὑπάρχουσιν ὁρισμοί, φανερὸν ὅτι καὶ ἰδέαι ὑπάρχουσι, et Alexandro Aphrod. ib. p. 58, 26 Bonitz., qui eadem brevius : Ἢ τινας τῶν λεγομένων λόγων ὑπ' αὐτῶν ὡς τέλειον ψευδεῖς καὶ μηδὲν δεικνύντας αἰτιᾶται, οἷος εἴη ἂν ὁ λέγων, εἰ ἔστι τι τἀληθές, εἴη ἂν τὰ εἴδη· τῶν γὰρ ἐνταῦθα οὐδὲν ἀληθές· καὶ εἰ μνήμη ἔστιν, ἔστι τὰ εἴδη· ἡ γὰρ μνήμη τοῦ μένοντος. Καὶ ὁ τὸν ἀριθμὸν ὄντος εἶναι λέγων, ταῦτα δὲ οὐχ ὄντα, εἰ δέ, τῶν εἰδῶν· ἔστιν ἄρα τὰ εἴδη· ὁμοίως δὲ καὶ ὁ τοὺς ὁρισμοὺς τῶν ὄντων εἶναι λέγων, τούτων δὲ μηδὲν εἶναι. Οἱ δὲ τοιοῦτοι λόγοι ψευδεῖς τε καὶ τὸ δέον οὐδὲν δεικνύντες· διὸ τῶν μὲν τοιούτων οὐδενὸς μνημονεύει νῦν, εὐθύνει δέ τινας τῶν δοκούντων τι δεικνύναι

3. (134.)

Alexand. Aphr. in Arist. Metaph. I, 9, 2 (Ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἰόμεθα τούτων εἴδη γίγνεται. Κατά τε γὰρ τοὺς λόγους τοὺς ἐκ τῶν ἐπιστημῶν εἴδη ἔσται πάντων ὅσων ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι τούτων ἐστίν), p. 59, 6 Bon. : Πλεοναχῶς μὲν ταῖς ἐπιστήμαις πρὸς τὴν τῶν ἰδεῶν κατασκευὴν προσεχρήσαντο, ὡς ἐν τῷ πρώτῳ περὶ Ἰδεῶν λέγει· ὧν δὲ νῦν μνημονεύειν ἔοικε λόγων εἰσὶ τοιοῦτοι. Εἰ πᾶσα ἐπιστήμη πρὸς ἕν τι καὶ τὸ αὐτὸ ἐπαναφέρουσα ποιεῖ τὸ αὐτῆς ἔργον καὶ πρὸς οὐδὲν τῶν καθ' ἕκαστον, εἴη ἄν τι ἄλλο καθ' ἑκάστην παρὰ τὰ αἰσθητὰ ἀΐδιον καὶ παράδειγμα τῶν καθ' ἑκάστην ἐπιστήμην γινομένων· τοιοῦτον δὲ ἡ ἰδέα. Ἔτι ὧν ἐπιστῆμαί εἰσι, ταῦτα ἔστιν· ἄλλων δέ τινων παρὰ τὰ καθ' ἕκαστά εἰσιν αἱ ἐπιστῆμαι, ταῦτα γὰρ ἄπειρά τε καὶ ἀόριστα, αἱ δὲ ἐπιστῆμαι ὡρισμένων (ita conj. Bon. pro ὡρισμένον)· ἔστιν ἄρα τινὰ παρὰ τὰ καθ' ἕκαστα, ταῦτα δὲ αἱ ἰδέαι. Ἔτι εἰ ἡ ἰατρικὴ οὐκ ἔστιν ἐπιστήμη τῆσδε τῆς ὑγιείας ἀλλ' ἁπλῶς ὑγιείας, ἔσται τις αὐτοϋγίεια· καὶ εἰ ἡ γεωμετρία μή ἐστι τοῦδε τοῦ ἴσου καὶ τοῦδε τοῦ συμμέτρου ἐπιστήμη ἀλλ' ἁπλῶς ἴσου καὶ ἁπλῶς συμμέτρου, ἔσται τι αὐτόϊσον καὶ αὐτοσύμμετρον, ταῦτα δὲ αἱ ἰδέαι. Οἱ δὴ τοιοῦτοι λόγοι τὸ μὲν προκείμενον οὐ δεικνύουσιν, ὃ ἦν τὸ ἰδέας εἶναι, ἀλλὰ δεικνύουσι τὸ εἶναί τινα παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά. Οὐ πάντως δέ, εἴ τινα ἔστιν ἅ εἰσι παρὰ τὰ καθ' ἕκαστα, ταῦτά εἰσιν ἰδέαι· ἔστι γὰρ παρὰ τὰ καθ' ἕκαστα τὰ κοινά, ὧν φαμὲν καὶ τὰς ἐπιστήμας εἶναι... Paulo post p. 59, 32 ita pergit : Χρῶνται καὶ τοιούτῳ λόγῳ εἰς κατασκευὴν τῶν ἰδεῶν. Εἰ ἕκαστος τῶν πολλῶν ἀνθρώπων ἄνθρωπός ἐστι καὶ τῶν ζῴων ζῷον καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ οὐκ ἔστιν ἐφ' ἑκάστου αὐτῶν αὐτὸ αὑτοῦ τι κατηγορούμενον, ἀλλ' ἔστι τι ὃ καὶ πάντων αὐτῶν κατηγορεῖται οὐδενὶ αὐτῶν ταὐτὸν ὄν, εἴη ἄν τι τούτων παρὰ τὰ καθ' ἕκαστα ὄντα ὂν κεχωρισμένον αὐτῶν ἀΐδιον· ἀεὶ γὰρ ὁμοίως κατηγορεῖται πάντων τῶν κατ' ἀριθμὸν ἀλλασσομένων. Ὃ δὲ ἕν ἐστιν ἐπὶ πολλοῖς κεχωρισμένον τε αὐτῶν καὶ ἀΐδιον, τοῦτ' ἐστὶν ἰδέα· εἰσὶν ἄρα ἰδέαι. Τοῦτόν φησι τὸν λόγον κατασκευάζειν ἰδέας καὶ τῶν ἀποφάσεων καὶ τῶν μὴ ὄντων... p. 60, 32 : Ὁ λόγος ὁ ἀπὸ τοῦ νοεῖν κατασκευάζων τὸ εἶναι ἰδέας τοιοῦτός ἐστιν. Εἰ ἐπειδὰν νοῶμεν ἄνθρωπον ἢ πεζὸν ἢ ζῷον, τῶν ὄντων τέ τι νοοῦμεν καὶ οὐδὲν τῶν καθ' ἕκαστον, καὶ γὰρ φθαρέντων μένει ἡ αὐτὴ ἔννοια, δῆλον ὡς ἔστι παρὰ τὰ καθ' ἕκαστα καὶ αἰσθητά, ὃ καὶ ὄντων ἐκείνων καὶ μὴ ὄντων νοοῦμεν· οὐ γὰρ δὴ ὄν τι νοοῦμεν τότε. Τοῦτο δὲ εἶδός τε καὶ ἰδέα ἐστίν.

3.

Multifariam scientiis usi sunt ad asserendas ideas, ut in primo de Ideis dicit. Rationes autem, quarum hoc in loco meminisse videtur, hujusmodi sunt. Omnis scientia ad aliquid unum et idem relata, officio suo fungitur, sed non refertur ad aliquod singulare : ergo præter sensibilia aliquid est in unaquaque sempiternum et exemplar eorum quæ in quaque scientia efficiuntur; hoc autem est idea. Præterea quarum rerum scientiæ habentur, eæ res sunt; scientiæ autem aliorum quam singularium habentur, nam singularia sunt infinita et indeterminata, scientiæ vero sunt definitorum: sunt ergo aliqua præter singularia, et hæc sunt ideæ. Ad hæc medicina non est scientia hujus sanitatis, sed sanitatis simpliciter, est igitur aliqua ipsisanitas. Item geometria non est hujus æqualis et hujus commensurabilis, sed simpliciter æqualis et commensurabilis, est igitur quiddam ipsiæquale et ipsicommensurabile. Hæc porro sunt ideæ. Itaque hujusmodi rationes propositum, hoc est ideas esse non conficiunt, licet aliqua esse arguant præter singularia et sensibilia, quæ tamen non protinus sunt ideæ : nam communia, quorum scientias esse dicimus, præter singularia sunt.

Hujusmodi quoque ratione ad asserendum ideas utuntur. Si multorum hominum quisque homo est, animalium animal, quæ eadem in ceteris est ratio et nihil de se ipso dicitur, sed aliquid est diversum a singulis, quod de omnibus ipsis dicitur, aliquid igitur est præter singularia sejunctum ab ipsis et sempiternum : semper enim pariter

Φησὶ δὴ τοῦτον τὸν λόγον καὶ τῶν φθειρομένων τε καὶ ἐφθαρμένων καὶ ὅλως τῶν καθ' ἕκαστά τε καὶ φθαρτῶν ἰδέας κατασκευάζειν.

4. (135.)

Alexand. Aphr. in Ar. Metaph. l. l. § 3 (Ἔτι δὲ οἱ ἀκριβέστεροι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φαμεν εἶναι καθ' αὑτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν), p. 62, 12 Bon. : Ὁ δὲ λόγος ὁ τὸν τρίτον ἄνθρωπον εἰσάγων τοιοῦτος. Λέγουσι τὰ κοινῶς κατηγορούμενα τῶν οὐσιῶν κυρίως τε εἶναι τοιαῦτα καὶ ταῦτα εἶναι τὰ ἴσα. Ἔτι τὰ ὅμοια ἀλλήλοις τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια ἀλλήλοις εἶναι, ὃ κυρίως ἐστὶ τοῦτο· καὶ τοῦτο εἶναι τὴν ἰδέαν. Ἀλλ' εἰ τοῦτο, καὶ τὸ κατηγορούμενον τινῶν κοινῶς, ἂν μὴ ταὐτὸν ᾖ ἐκείνων τινὶ ὧν κατηγορεῖται, ἄλλο τί ἐστι παρ' ἐκεῖνα, διὰ τοῦτο γὰρ γένος ὁ αὐτοάνθρωπος ὅτι κατηγορούμενος τῶν καθ' ἕκαστα οὐδενὶ αὐτῶν ἦν ὁ αὐτός, τρίτος ἄνθρωπος ἔσται τις παρά τε τὸν καθ' ἕκαστα, οἷον Σωκράτη καὶ Πλάτωνα, καὶ παρὰ τὴν ἰδέαν, ἥτις καὶ αὐτὴ μία κατ' ἀριθμόν ἐστιν. Eadem tangit p. 62, 33 : Δείκνυται καὶ οὕτως ὁ τρίτος ἄνθρωπος. Εἰ τὸ κατηγορούμενον τινῶν πλειόνων ἀληθῶς καὶ ἔστιν ἄλλο παρὰ τὰ ὧν κατηγορεῖται, κεχωρισμένων αὐτῶν, τοῦτο γὰρ ἡγοῦνται δεικνύναι οἱ τὰς ἰδέας τιθέμενοι· (διὰ τοῦτο γάρ ἐστί τι αὐτοάνθρωπος κατ' αὐτούς, ὅτι ὁ ἄνθρωπος κατὰ τῶν καθ' ἕκαστα ἀνθρώπων πλειόνων ὄντων ἀληθῶς κατηγορεῖται καὶ ἄλλος τῶν καθ' ἕκαστα ἀνθρώπων ἐστίν) — ἀλλ' εἰ τοῦτο, ἔσται τις τρίτος ἄνθρωπος. Εἰ γὰρ ἄλλος ὁ κατηγορούμενος ὧν κατηγορεῖται καὶ κατ' ἰδίαν ὑφεστώς, κατηγορεῖται δὲ κατά τε τῶν καθ' ἕκαστα καὶ κατὰ τῆς ἰδέας ὁ ἄνθρωπος, ἔσται τρίτος τις ἄνθρωπος παρά τε τοὺς καθ' ἕκαστα καὶ τὴν ἰδέαν. Οὕτως δὲ καὶ τέταρτος ὁ κατά τε τούτου καὶ τῆς ἰδέας καὶ τῶν καθ' ἕκαστα κατηγορούμενος, ὁμοίως δὲ καὶ πέμπτος καὶ τοῦτο ἐπ' ἄπειρον. Ἔστι δὲ ὁ λόγος οὗτος τῷ πρώτῳ ὁ αὐτός, ἐπεὶ ἔθεντο τὰ ὅμοια τοῦ αὐτοῦ τινὸς μετουσίᾳ ὅμοια εἶναι· ὅμοιοι γὰρ οἵ τε ἄνθρωποι καὶ αἱ ἰδέαι... Τῇ μὲν οὖν πρώτῃ τοῦ τρίτου ἀνθρώπου ἐξηγήσει (cf. Alexandr. p. 62, 12 sqq.) ἄλλοι τε κέχρηνται καὶ Εὔδημος σαφῶς ἐν τοῖς περὶ Λέξεως, τῇ δὲ τελευταίᾳ αὐτὸς ἔν τε τῷ τετάρτῳ (corr. πρώτῳ) περὶ Ἰδεῶν καὶ ἐν τούτῳ μετ' ὀλίγον, scil. § 5 : Καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν, ubi hæc Alexander, p. 68, 25 : ἔστι δὲ τὸ νῦν λεγόμενον ὑπ' αὐτοῦ, ὃ ἐξηγούμενοι, τὸν τρίτον ἄνθρωπον δεύτερον ἐθήκαμεν.

Eosdem libros de Ideis sæpius respicere videtur Alexander in commentariis, quum tamen pluribus verbis utatur quam ut hîc apponi possint ad ea remittere sufficiat quæ apud illum ad Aristotelis Metaph. I, 9, 31 et 15, leguntur, p. 64, 15; 65, 14; 82, 11 Bonitz.

5. (136.)

Alexand. Aphr. in Arist. Metaph. I, 9, 6, p. 72, 13 Bon. : Ὅτι δὲ μὴ ὡς Εὔδοξος ἡγεῖτο καὶ ἄλλοι τινὲς μίξει τῶν ἰδεῶν τὰ ἄλλα, ῥᾴδιόν φησιν (I, 9, 7)

dicitur de omnibus, quæ secundum numerum commutantur. Quod autem unum est in pluribus ab ipsis sejunctum et sempiternum, hoc idea est. Sunt igitur ideæ. Ceterum hac ratione ait negationum quoque et non entium ideas esse colligi.

Ratio quæ ideas esse intelligendo arguere molitur, hujusmodi est. Quum hominem intelligimus, aut pedestre, aut animal, aliquid rerum exsistentium intelligimus, sed nullum singulare intelligimus, quum deletis singularibus eadem intelligentia maneat, ergo præter singularia et sensibilia aliquid est, quod illis vel exsistentibus vel non exsistentibus intelligimus. Hoc autem est forma et idea. Hanc ergo rationem ait intereuntium etiam atque interemptorum ad summam sensibilium et mortalium rerum ideas esse confirmare.

4.

Ratio porro qua tertius homo esse colligitur hujusmodi est. Quæ de substantiis communiter dicuntur, ea proprie talia esse aiunt, et hæc esse æqualia. Ad hæc quæ inter se similia sunt, talia esse, qua participant eodem aliquo, quod proprie hoc est, et id esse ideam. Quod si ita est, et quod de quibusdam communiter dicitur, nisi est idem quod aliquid eorum de quibus dicitur, aliquid est præter illa, nam idcirco ipsihomo genus est, quia de singularibus dicitur, et ab illorum quoque discrepat : nimirum tertius quidam homo fuerit præter singularia, ut Socratem et Platonem, et præter ideam, quæ et ipsa una numero est.

Ad hæc tertium hominem esse ad hunc modum ostenditur. Si quod de pluribus vere prædicatur aliquid est diversum ab iis de quibus prædicatur, auctores enim idearum hoc demonstrare rebantur, idcirco enim istis ipsihomo est, quia homo de pluribus singularibus hominibus vere prædicatur, ac proinde diversus a singularibus hominibus est. Si res ergo ita sese habet, profecto ut tertius homo sit, perinde fuerit consentaneum. Nam de singularibus ipsaque idea homo prædicatur, est igitur tertius homo propter singulares ipsamque ideam. Si enim qui prædicatur diversus est ab iis de quibus prædicatur et per se subsistit, homo autem de singularibus atque idea prædicatur, nimirum tertius homo fuerit a singularibus ipsaque idea diversus. Sed hac ratione quartus quoque homo esse confirmabitur qui de hoc et idea singularibusque prædicetur et item quintus et hoc in infinitum. Sed hæc ratio eadem est atque prima; quod incommodum his accidit dum similia alicujus ejusdem participatione similia

εἶναι συναγαγεῖν πολλὰ καὶ ἀδύνατα ἑπόμενα τῇ δόξῃ τῇδε. Εἴη δ' ἂν τοιαῦτα. Εἰ μίγνυνται αἱ ἰδέαι τοῖς ἄλλοις, πρῶτον μὲν σώματα ἂν εἶεν· σωμάτων γὰρ ἡ μῖξις. Ἔτι ἕξουσιν ἐναντίωσιν πρὸς ἀλλήλας· ἡ γὰρ μῖξις κατ' ἐναντίωσίν ἐστιν. Ἔτι οὕτως μιχθήσεται ὡς ἢ ὅλην ἐν ἑκάστῳ τῶν οἷς μίγνυνται εἶναι ἢ μέρος. Ἀλλ' εἰ μὲν ὅλη, ἔσται ἐν πλείοσι τὸ ἓν κατὰ τὸν ἀριθμόν· ἓν γὰρ κατὰ τὸν ἀριθμὸν ἡ ἰδέα. Εἰ δὲ πρὸς μέρος, τὸ μέρους τοῦ αὐτοανθρώπου μετέχον, οὐ τὸ αὐτοανθρώπου ἔσται ἄνθρωπος. Ἔτι διαιρεταὶ ἂν εἶεν αἱ ἰδέαι καὶ μερισταί, οὖσαι ἀπαθεῖς. Ἔπειτα ἔσται μὲν ὁμοιομερῆ, εἴγε πάντα τὰ ἔχοντά τι μέρος ἐξ αὐτοῦ ὅμοιά ἐστιν ἀλλήλοις· πῶς δὲ οἷόν τε τὰ εἴδη ὁμοιομερῆ εἶναι; οὐ γὰρ οἷόν τε τὸ μέρος τοῦ ἀνθρώπου ἄνθρωπον εἶναι, ὡς τὸ τοῦ χρυσοῦ μέρος χρυσόν. Ἔτι, ὡς καὶ αὐτὸς ὀλίγον προελθὼν λέγει (I, 9, 9), ἐν ἑκάστῳ οὐ μία ἔσται ἰδέα μεμιγμένη ἀλλὰ πολλαί· εἰ γὰρ ἄλλη μὲν ζῴου ἰδέα, ἄλλη δὲ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος καὶ ζῷόν ἐστι καὶ ἄνθρωπος, ἀμφοτέρων ἂν μετέχοι τῶν ἰδεῶν· καὶ ὁ αὐτοάνθρωπος δὲ ἰδέα, ᾗ μὲν καὶ ζῷόν ἐστι, μετέχοι ἂν καὶ αὐτὸ τοῦ ζῴου· οὕτως δὲ οὐκέτι ἂν ἁπλαῖ αἱ ἰδέαι εἶεν, ἀλλ' ἐκ πολλῶν συγκείμεναι, καὶ αἱ μὲν αὐτῶν πρῶται, αἱ δὲ δεύτεραι. Εἰ δὲ μή εἰσι ζῷον, πῶς οὐκ ἄτοπον ἄνθρωπον λέγειν μὴ εἶναι ζῷον; Ἔτι δέ, εἰ μίγνυται τοῖς πρὸς αὐτὰ οὖσι, πῶς ἂν ἔτι εἶεν παραδείγματα, ὡς λέγουσιν; οὐδὲ γὰρ οὕτως τὰ παραδείγματα ταῖς εἰκόσι τῆς ὁμοιότητος τῆς πρὸς αὐτὰ αἴτια τὸ μεμῖχθαι. Ἔτι τε καὶ συμφθείροιντο ἂν τοῖς ἐν οἷς εἰσι φθειρομένοις. Ἀλλ' οὐδὲ χωρισταὶ ἂν εἶεν αὐταὶ καθ' αὑτάς, ἀλλ' ἐν τοῖς μετέχουσιν αὐτῶν. Πρὸς δὲ τούτοις οὐδὲ ἀκίνητοι ἔτι ἔσονται, καὶ ὅσα ἄλλα ἐν τῷ δευτέρῳ περὶ Ἰδεῶν τὴν δόξαν ταύτην ἐξετάζων ἔδειξεν ἄτοπα ἔχουσαν. Διὰ τοῦτο γὰρ εἶπε τὸ « ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς τὴν δόξαν ταύτην » (ipsius Aristotelis sunt verba l. l. Metaphys.)· ἐκεῖ γὰρ συνῆκται.

6. (136ᵃ).

Sextus Empir. adv. Mathem. III, 57 : Ἀλλ' ὅγε Ἀριστοτέλης... φησὶ μὴ ἀδιανόητον εἶναι τὸ ὑπὸ τούτων (sc. τῶν γεωμετρῶν) λεγόμενον μῆκος ἀπλατές, ἀλλὰ δύνασθαι χωρὶς πάσης περισκελείας εἰς ἔννοιαν ἡμῖν ἐλθεῖν. Ἵστησι δὲ τὸν λόγον ἐπί τινος ἐναργεστέρου ὑποδείγματος καὶ σαφοῦς. Τὸ γοῦν τοῦ τοίχου μῆκος, φησί, λαμβάνομεν μὴ συνεπιβάλλοντες αὐτοῦ τῷ πλατεῖ, διόπερ ἐνέσται καὶ τὸ παρὰ τοῖς γεωμέτραις λεγόμενον μῆκος χωρὶς πλάτους τινὸς ἐπινοεῖν, ἐπείπερ ὄψις τῶν ἀδήλων ἐστὶ τὰ φαινόμενα, πλανώμενος ἢ κατασοφιζόμενος ἡμᾶς.... προύκειτο δὲ τῷ Ἀριστοτέλει παραστῆσαι οὐχ ὅτι τινὸς πλάτους ἀμοιρεῖ τὸ κατὰ τοὺς γεωμέτρας λεγόμενον μῆκος, ἀλλ' ὅτι παντὸς ἐστέρηται πλάτους· ὅπερ οὐκ ἀπέδειξεν. Eadem recurrunt adv. Dogm.

esse statuant; homines enim et ideæ similes inter se sunt... At priore quidem tertii hominis expositione, quum alii quidam tum inprimis Eudemus aperte in libro de Dictione utitur, posteriore vero ipse in libro quarto (*primo*) de Ideis, et in hoc paulo post.

5.

Jam vero Eudoxum et quosdam alios falso putasse idearum mixtione cetera constare, hinc planum fieri dicit, quum horum opinionem multa incommoda sequantur, multa etiam quæ fieri non possint. Qualia hæc sunt. Si cum ceteris rebus ideæ miscerentur, primum, ideæ corpora essent : mistio enim corporum est. Deinde oppositionem haberent inter se, quippe quum mistio per contrarietatem efficiatur. Tum ita miscerentur ut vel tota idea in singulis esset quibus misceretur, vel pars ejus. At si tota insit, efficitur ut unum numero in pluribus exsistat, quum idea unum numero sit. Sin autem pars, utique homo erit, quod participat ipsihominis parte, non quod ipsihomine participat. Ad hæc ideæ quæ pati nequeunt dividi, et partiri possent. Præterea similares essent, quum omnia quæ aliquam partem habent ex ipsa sint inter se similia. At formæ quomodo possunt esse similares? quum fieri non possit ut pars hominis sit homo, quemadmodum pars auri aurum. Accedit quod in singulis rebus, ut ipse mox dicet in progressu, non una idea mista, sed plures habebuntur. Si enim alia est animalis, alia hominis idea, homo autem et animal est et homo, profecto homo utraque idea participabit, et ipsihomo idea quatenus animal est, ipsianimali participabit, et sic fiet ut ideæ non simplices sed ex multis constitutæ sint, et aliæ sint priores, aliæ posteriores. Sin autem non sunt animal, quomodo non esset absurdum dicere hominem non esse animal? Item si ideæ cum suis æmulis miscentur, quomodo exemplaria esse possunt, ut isti tradunt? Neque enim exemplaria miscendo suis imaginibus sunt in causa similitudinis. Præterea intereuntibus rebus in quibus habentur, ipsæ simul interciderent. Sed ne separari quidem possent et per se consistere, sed in sui participibus essent, neque essent immobiles et cetera incommoda sequerentur quæ latius persequitur in secundo libro de Ideis, dum hanc opinionem refellit. Idcirco enim dicit : « Est enim perfacile multa absurda ad hujusmodi opinionem impossibiliaque inferre »; illic enim collecta sunt.

6.

Ceterum Aristoteles dicit latitudinis expertem quæ a geometris dicitur longitudinem non esse ejusmodi, ut non possit cogitatione percipi, sed eam in nostram venire posse notionem absque ulla difficultate aut absurditate. Constituit autem rationem in quodam aperto et evidenti exemplo. Parietis, inquit, percipimus longitudinem, non simul attendentes ejus latitudinem, quare licebit

III, 412. De deperdito libro sive μαθηματικῷ sive περὶ τῆς ἐν τοῖς μαθήμασιν οὐσίας cogitabat Fabricius. De quibus tamen, præterquam quod in indicibus nominantur, nihil compertum est.

ΔΙΑΙΡΕΣΕΙΣ.

Platonem in Διαιρέσεσι affert Aristoteles de Gener. et Corrupt. II, 3, 5 : Ἅπαντες οἱ τὰ ἁπλᾶ σώματα στοιχεῖα ποιοῦντες οἱ μὲν ἕν, οἱ δὲ δύο, οἱ δὲ τρία, οἱ δὲ τέτταρα ποιοῦσιν... Οἱ δ' εὐθὺς δύο ποιοῦντες, ὥσπερ Παρμενίδης πῦρ καὶ γῆν, τὰ μεταξὺ μίγματα ποιοῦσι τούτων, οἷον ἀέρα καὶ ὕδωρ. Ὡσαύτως καὶ οἱ τρία λέγοντες, καθάπερ Πλάτων ἐν ταῖς Διαιρέσεσιν· τὸ γὰρ μέσον μῖγμα ποιεῖ. Quænam vero hæ Divisiones fuerint jam frustra quæsisse videntur antiqui philosophi interpretes. Hæc enim ad hunc locum adscripsit Joannes Philoponus fol. 50 verso : Ζητητέον δὲ ποίας καλεῖ Διαιρέσεις, ἐν αἷς διατάττειν φησὶ περὶ τούτων τὸν Πλάτωνα. Ὁ μὲν οὖν ἐξηγητὴς Ἀλέξανδρος λέγει τὰς φερομένας Πλάτωνος Διαιρέσεις νοθεύεσθαι· ὁ δ' Ἀριστοτέλης (φησὶ) περὶ τῶν ἐν τῷ Σοφιστῇ τῷ διαλόγῳ εἰρημένων λέγει, διαιρέσεις καλῶν τὰ ἐν ἐκείνῳ. Ἰστέον δὲ ὅτι πρῶτον μὲν Διαιρέσεις Πλάτωνος ὅλως ἐπιγεγραμμέναι οὐ φέρονται· ἐν δὲ τῷ Σοφιστῇ οὐδὲν φαίνεται τοιοῦτον ὁ Πλάτων λέγων οἷον εἴρηται ἐνταῦθα· οὐδὲ ἔστιν εὑρεῖν τινα αὐτοῦ (αὑτοῦ corrig.) δόξαν τοιαύτην αὐτὸν ἐκτιθέμενον· ὅλως γὰρ οὐδὲ περὶ τῶν τοιούτων ἐστὶν αὐτῷ σκοπὸς ἐκεῖ διαλεχθῆναι, πλὴν ὅτι καθ' ἱστορίαν διαφόρους δόξας φυσικῶν ἀνδρῶν ἐκτίθεται. Ἀποδεκτέον οὖν μᾶλλον ὅπερ τελευταῖον προστίθησιν ὁ Ἀλέξανδρος, φάσκων περὶ τῶν ἀγράφων δογμάτων τοῦ Πλάτωνος λέγειν τὸν Ἀριστοτέλην, ἅπερ αὐτὸς ἀπεγράψατο, καὶ ταῦτα καλεῖν Διαιρέσεις· ἐν ἐκείνοις τοίνυν ὁ Πλάτων τὸ μέγα καὶ μικρὸν καὶ τὸ μεταξὺ τούτων ὑποτίθεται.

Hæc vero vix ab Alexandro dici potuerunt, quum tria illa elementa Platonis, de quibus loquitur Aristoteles, aqua, ignis et terra sint, ita ut fortasse ita statuendum sit, Alexandrum illud tantummodo dixisse : has Διαιρέσεις inter ἄγραφα δόγματα fuisse, cetera vero ipsum Philoponum ex alio loco hausta addidisse. Easdem divisiones iterum tangere videtur philosophus in Metaphys. IV, 11, 7 : Τὰ μὲν δὴ οὕτω λέγεται πρότερα καὶ ὕστερα, τὰ δὲ κατὰ φύσιν καὶ οὐσίαν, ὅσα ἐνδέχεται εἶναι ἄνευ ἄλλων, ἐκεῖνα δὲ ἄνευ ἐκείνων μή· ᾗ διαιρέσει ἐχρήσατο Πλάτων, quæ distinctio frustra in ejus libris qui exstant quæritur. Num vero in Platonem cadant, quæ contra falsam quorumdam divisionem generum animalium ab Aristotele dicta sunt, de Partt. Animal. I, 2, 3 : Ἔτι δὲ προσήκει μὴ διασπᾶν ἕκαστον γένος, οἷον τοὺς ὄρνιθας τοὺς μὲν ἐν τῇδε, τοὺς δ' ἐν ἄλλῃ διαιρέσει καθάπερ ἔχουσιν αἱ γεγραμμέναι διαιρέσεις· ἐκεῖ γὰρ τοὺς μὲν μετὰ τῶν ἐνύδρων συμβαίνει διῃρῆσθαι, τοὺς δ' ἐν ἄλλῳ γένει, licet similia inveniantur cum in Sophista, p. 220, A, B, tum præcipue in Politico, p. 264, D, valde incertum videri poterit.

Utcumque vero de hac re statuatur (cf. Bournot, *Platonica Aristotelis opuscula*, Putbus. 1853, p. 9, Ueberweg, *über die Echtheit und Zeitfolge platonischer Schriften*, Wien, p. 153, sqq.), hoc nihil ad alteram quæstionem facit, de Aristoteli inquam adscripto libro, quem sive totum sive ex parte Platonis divisiones continentem Vitis philosophorum inseruit Diogenes Laertius. Qui quidem liber ab eo non videtur diversus fuisse quem supposititium jam habuerat Alexander, Joanne Philopono teste. In indicibus plures sunt tituli qui huc referri possunt. Præter Διαιρέσεις ιζ' enim apud Diogenem Laertium (42), nominantur Διαιρέσεις σοφιστικαὶ δ' (Diog. 29. An. 29) Διαιρετικῶν α' (D. L. 43) et Διαιρετικὸν α' (D. L. 62). Primum, ut videtur, titulum recensent catalogi arabici (Dschemalud. 51, Hadschi Khalfa, V, 136), addita divisionum enumeratione, quæ nisi quod multo minor est earum numerus, satis bene cum libello apud Diogenem Laertium servato congruit.

Illi autem collectioni quæ apud Diogenem Laertium exstat, satis similis est liber, Διαιρέσεις Ἀριστοτέλους inscriptus, qui in eodem illo codice Marciano 257 legitur, in quo et Aristotelis Vita quæ vulgo Marciana appellatur servata est. Satis mirum est illud fugisse Villoisonum Anecd. gr. t. II, p. 254, qui quum male putaret has divisiones e variis Aristotelis operibus excerptas esse, recte tamen illud animadvertit quædam adjecta esse (cf. quæ de angelis dicuntur 64), quibus librum non esse Aristotelis demonstraretur. Tali vero argu-

etiam quæ apud geometras dicitur longitudinem cogitare absque latitudine, quandoquidem ex his, quæ sensibus apparent, licet ea quæ non sunt evidentia perspicere. Verum errat aut fortasse sophistice nos decipit... propositum autem erat Aristoteli ostendere, non quod quæ a geometris dicitur longitudo est expers alicujus latitudinis, sed quod privata sit omni latitudine : quod quidem non demonstravit.

mento vix opus erat, quum præsertim in Marciana collectione multa legantur non minus Platone quam Aristotele prorsus indigna, ne dicam absurda et ridicula. Quanquam et nonnulla insunt antiquioris originis aperta indicia, inprimis vero quod de florentibus adhuc Carthaginiensium rebus et regibus cum Lacedæmoniorum tum Macedonum dictum est (cf. III et XIV), ita ut de his Divisionibus idem fortasse statuendum sit, quod et de Problematis aliisque talibus libris : collectionem cui fortasse quædam inerant ab ipso Aristotele conscripta sive ex ejus libris excerpta, postea variis modis auctam et interpolatam, in scholis Peripateticorum propagatam fuisse. Utramque collectionem dedimus, Diogenis Laertii Cobetianam recensionem secuti, Marcianam qualem e codice Rose primus edidit.

(137.)

Diogenes Laert. III, 80 : Διῄρει δὲ (ὁ Πλάτων scil.), φησὶν ὁ Ἀριστοτέλης, καὶ τὰ πράγματα τοῦτον τὸν τρόπον.

I. Τῶν ἀγαθῶν ἐστι τὰ μὲν ἐν ψυχῇ, τὰ δ' ἐν σώματι, τὰ δ' ἐκτός· οἷον ἡ μὲν δικαιοσύνη καὶ ἡ φρόνησις καὶ ἡ ἀνδρεία καὶ σωφροσύνη καὶ τὰ τοιαῦτα ἐν ψυχῇ· τὸ δὲ κάλλος καὶ ἡ εὐεξία καὶ ἡ ὑγίεια καὶ ἡ ἰσχὺς ἐν σώματι· οἱ δὲ φίλοι καὶ ἡ τῆς πατρίδος εὐδαιμονία καὶ ὁ πλοῦτος ἐν τοῖς ἐκτός. Τῶν ἀγαθῶν ἄρα τρία εἴδη ἐστί· τὰ μὲν ἐν ψυχῇ, τὰ δ' ἐν σώματι, τὰ δ' ἐκτός.

Cod. Marc. 5 : Διαιρεῖται τὰ ἀγαθὰ εἰς τρία· ἔστι γὰρ αὐτῶν τὰ μὲν ἐν τῇ ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός. Ἔστι δὲ τὰ μὲν ἐν ψυχῇ φρόνησις, δικαιοσύνη, ἀνδρία, σωφροσύνη καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ἐν σώματι ἰσχύς, κάλλος, ὑγεία, εὐεξία καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ἐκτὸς φίλοι, πλοῦτος, εὐδοξία, πατρίδος εὐδαιμονία. Τῶν ἀγαθῶν ἄρα τὰ μέν ἐστιν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός.

Id. 56 : Τῶν ὄντων ἀγαθῶν ὁμοιότης τῶν περὶ τὴν ψυχὴν καὶ τῶν περὶ τὸ σῶμα καὶ τῶν ἐκτός ἐστιν αὕτη· τὰ μὲν οὖν πρῶτα τοῖς πρώτοις ἐστὶν ὅμοια, τὰ δὲ δεύτερα τοῖς δευτέροις, τὰ δὲ τρίτα τοῖς τρίτοις, τὰ δὲ τέταρτα τοῖς τετάρτοις· ἔστι δὲ τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός. Ἡ μὲν γὰρ φρόνησις ἐν ψυχῇ οὖσα αἰτία ἐστὶ τοῦ κράτιστα τὴν ψυχὴν διακεῖσθαι, ἡ δὲ εὐεξία αἰτία ἐστὶ τοῦ τὸ σῶμα ἄριστα διακεῖσθαι· ὅπερ γὰρ βούλεται πράττει... ὁ εὐδοξῶν. Ἕκαστον ἄρα τούτων τῶν ἀγαθῶν πρωταγωνιστεῖ καὶ πρώτη [add. ταύτῃ?] λαμβάνεται ἡ ὁμοιότης. Καὶ πάλιν ἡ μὲν δικαιοσύνη ἐν ψυχῇ ἐστιν ἡ καὶ αἰτία [inserendum videtur εὐταξίας, cf. Plat. Def. p. 411, D] οὖσα τῶν τῆς ψυχῆς μερῶν, ἡ δὲ εὐπρέπεια ἐν σώματι οὖσα εὐταξία ἐστὶ τῶν τοῦ σώματος μερῶν, ψυχροῦ καὶ θερμοῦ καὶ ξηροῦ καὶ ὑγροῦ, ἡ δὲ εὐτυχία ἐκτὸς οὖσα εὐκαιρία τίς ἐστι πραγμάτων συμπτώσεως· ὥστε ταύτῃ πάλιν παραλαμβάνεται ἡ ὁμοιότης τῶν ἀγαθῶν. Καὶ πάλιν ἡ μὲν ἀνδρεία ἐν ψυχῇ οὖσα ἰσχύς τίς ἐστι καὶ ῥώμη πρὸς φόβους καὶ τὰ τοιαῦτα, ἡ δὲ ἰσχὺς ἐν σώματι οὖσα πρὸς τοὺς πόνους καὶ τὰς κακοπαθείας ἰσχύς ἐστιν, οἱ δὲ φίλοι ἐκτὸς ὄντες ἰσχὺν τήνδε ἔχουσι πρὸς τὴν ἐκτὸς βοήθειαν· ᾧ γὰρ πολλοὶ φίλοι εἰσὶν ἰσχυρότερος οὗτος ἐν πόλει· λαμβάνεται δὲ καὶ ταύτῃ τῶν ἀγαθῶν τούτων ἡ ὁμοιότης. Καὶ πάλιν ἡ μὲν σωφροσύνη ἐν ψυχῇ οὖσα κοσμεῖ τὴν ψυχὴν καὶ συμμέτρως ζῆν ποιεῖ, τὸ δὲ κάλλος ἐν σώματι ὂν κοσμεῖ τὸ σῶμα καὶ σύμμετρον παρασκευάζει, ὁ δὲ πλοῦτος ἐκτὸς ὢν χορηγὸς καὶ κοσμητὴς τῶν ἀνθρώπων ἐστίν· καὶ ταύτῃ λαμβάνεται τῶν ἀγαθῶν τούτων ἡ ὁμοιότης.

DIVISIONES.

Distribuebat autem Plato, ut ait Aristoteles, res in hunc modum :

I. Ex bonis, inquit, quædam sunt animi, quædam corporis, alia extrinsecus : justitiam, prudentiam, fortitudinem, temperantiam et cetera id genus in animo ponebat; pulchritudinem et bonum corporis habitum, sanitatem et fortitudinem, in corpore; amicos autem et patriæ felicitatem atque divitias inter externa numerabat. Bonorum igitur esse tria genera, alia in animo, alia in corpore, alia extrinsecus.

5. Bona in tria dividuntur : sunt enim quædam eorum animi, quædam corporis, alia vero extrinsecus. Animi sunt sapientia, justitia, fortitudo, prudentia et alia id genus; corporis, vires, pulchritudo, sanitas, bonus habitus et id genus alia; externa vero amici, divitiæ, gloria, patriæ felicitas. Bonorum igitur quædam sunt animi, quædam corporis, alia vero extrinsecus.

56. Similitudo bonorum quæ sunt animi, corporis et extrinsecus hæc est : priora similia sunt prioribus, secunda secundis, tertia tertiis, quarta quartis. Quædam vero sunt animi, quædam corporis, alia vero extrinsecus. Sapientia enim quæ est animi causa est animum optime se habere, bonus vero habitus, corpus optime se habere; quodcunque enim vult facit... qui bonam consecutus est existimationem. Horum enim bonorum quodcunque primas partes agit et prima comprehenditur similitudo. Et rursus justitia in animo est quæ et causa est [bonæ descriptionis] partium animi, decens vero habitus qui in corpore est, bona descriptio est corporis partium, frigidi et calidi, sicci et humidi; prospera vero fortuna, quæ extrinsecus bonorum est, opportunitas quædam est rerum accidentium, ita ut sic rursus similitudo percipiatur bonorum. Et rursus vis animi constantia est quædam contra timorem et similia, robur vero corporis vis est quædam ad tolerandos labores et ærumnas, amici vero qui extrinsecus sunt hanc vim habent ad extrinsecus auxiliandum : qui enim multos habet amicos, is validior est in civitate; et ita percipitur horum bonorum similitudo. Et rursus prudentia quæ in animo est ornat animum et facit ut decenter vivamus, pulchritudo vero quæ in corpore est ornat corpus et decens efficit; divitiæ vero quæ ad externa bona pertinent præsunt hominibus et iis moderantur; et ita horum bonorum percipitur similitudo.

II. Tres esse amicitiæ species : naturalem, socialem atque hospitalem : naturalem dicimus, qua parentes erga liberos afficiuntur cognatique se mutuo diligunt : eam vero in ceteras quoque animantes esse diffusam. Socialem vocamus quam sine ullo consanguinitatis vinculo sola consuetudo conciliat, cujusmodi Pyladis et Orestis fuisse memoratur. Hospitalis est qua ex commendatione vel litteris hospitibus conjungimur. Amicitia igitur una est naturalis, alia sodalitia, alia hospitalis. Addunt nonnulli quarto loco et amatoriam.

58. Amicitia in quattuor dividitur genera. Est enim naturalis, sodalitia, hospitalis atque amatoria. Naturalis est quam pater in filios, fratres in fratres et alii cognati inter se habent. Sodalitia qua afficiuntur qui propter consuetudinem amici fiunt; hospitalis vero quæ conciliatur litteris vel commendatione. Amatoria vero est quæ ex pulchritudinis desiderio amicitiæ societatem instituit.

III. Civitatem itidem in species quinque distinxit, aliam popularem, aliam quam optimates exerceant, tertiam quæ diffundatur in paucos, regiam quartam, quintam tyrannicam. Popularem rempublicam in eis esse civitatibus in quibus summa rerum est penes populum, qui ipse et magistratus creat et fert leges : aristocraticam, ubi neque divites neque pauperes neque nobilitate vel gloria illustres dominantur, verum solum ii qui sunt in civitate optimis rebus publicis præsunt : oligarchicam, quando ex censibus magistratus eliguntur; sunt enim pauciores pauperibus divites. Regnum bifariam scindi : aliud enim secundum legem, aliud secundum genus esse. Secundum legem constare Carthaginiensium regnum; civile quippe esse : Lacedæmoniorum vero atque Macedonum secundum genus; habent enim regni successionem in aliqua familia. Tyrannidem dici, quum fraude decepti vel vi adacti cives ab aliquo reguntur. Civilium igitur rerum administratio alia est popularis, alia quam optimates exercent, alia paucorum potentia, alia regnum, alia tyrannis.

7. Civitas in quinque species dividitur : est enim alia popularis, alia quam optimates exercent, alia paucorum dominatio, alia tyrannis, alia regnum. Popularis est dominatio quum multitudo urbem gubernat, optimatium quum præstantissimi non propter genus neque propter

II. Diog. Laert. III, 81 : Τῆς φιλίας τρία εἴδη ἐστίν· ἡ μὲν γὰρ αὐτῆς ἐστι φυσική, ἡ δ' ἑταιρική, ἡ δὲ ξενική. Φυσικὴν μὲν οὖν ταύτην λέγομεν, ἣν οἱ γονεῖς πρὸς τὰ ἔκγονα ἔχουσι καὶ οἱ συγγενεῖς πρὸς ἀλλήλους· ταύτην δὲ κεκλήρωται καὶ τἆλλα ζῷα. Ἑταιρικὴν δὲ καλοῦμεν τὴν ἀπὸ συνηθείας γινομένην καὶ μηδὲν προσήκουσαν γένει, ἀλλ' οἷον ἡ Πυλάδου πρὸς Ὀρέστην. Ἡ δὲ ξενικὴ φιλία ἡ ἀπὸ συστάσεως καὶ διὰ γραμμάτων γινομένη πρὸς τοὺς ξένους. Τῆς ἄρα φιλίας ἡ μέν ἐστι φυσική, ἡ δ' ἑταιρική, ἡ δὲ ξενική· προστιθέασι δέ τινες τετάρτην ἐρωτικήν.

Cod. Marc. 58 : Διαιρεῖται ἡ φιλία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἡ μὲν συγγενική, ἡ δὲ ἑταιρική, ἡ δὲ ξενική, ἡ δὲ ἐρωτική. Ἔστι δὲ ἡ μὲν συγγενικὴ οἷον πατὴρ πρὸς υἱοὺς καὶ ἀδελφοὶ πρὸς ἀδελφοὺς καὶ οἱ ἄλλοι οἱ οἰκεῖοι, ἡ δὲ ἑταιρικὴ ᾗ κοινωνοῦσιν οἱ διὰ συνήθειαν φίλοι γενόμενοι, ἡ δὲ ξενικὴ ἡ διὰ γραμμάτων καὶ συστάσεως ποιοῦσα φίλους, ἡ δὲ ἐρωτικὴ ἡ δι' ἐπιθυμίας τῆς τῶν καλῶν φιλίας κοινωνίαν παρασκευάζουσα.

III. Diog. L. III, 82 : Τῆς πολιτείας ἐστὶν εἴδη πέντε· τὸ μὲν γὰρ αὐτῆς ἐστι δημοκρατικόν, ἄλλο δ' ἀριστοκρατικόν, τρίτον δ' ὀλιγαρχικόν, τέταρτον βασιλικόν, πέμπτον τυραννικόν. Δημοκρατικὸν μὲν οὖν ἐστιν ἐν αἷς πόλεσι κρατεῖ τὸ πλῆθος καὶ τὰς ἀρχὰς καὶ τοὺς νόμους δι' ἑαυτοῦ αἱρεῖται· ἀριστοκρατία δ' ἐστὶν ἐν ᾗ μήθ' οἱ πλούσιοι μήθ' οἱ πένητες, μήθ' οἱ ἔνδοξοι ἄρχουσιν, ἀλλ' οἱ ἄριστοι τῆς πόλεως προστατοῦσιν. Ὀλιγαρχία δ' ἐστὶν ὅταν ἀπὸ τιμημάτων αἱ ἀρχαὶ αἱρῶνται· ἐλάττους γάρ εἰσιν οἱ πλούσιοι τῶν πενήτων. Τῆς δὲ βασιλείας ἡ μὲν κατὰ νόμον, ἡ δὲ κατὰ γένος ἐστίν. Ἡ μὲν οὖν ἐν Καρχηδόνι κατὰ νόμον· πολιτικὴ γάρ ἐστιν· ἡ δ' ἐν Λακεδαίμονι καὶ Μακεδονίᾳ κατὰ γένος· ἀπὸ γάρ τινος γένους ποιοῦνται τὴν βασιλείαν. Τυραννὶς δ' ἐστὶν ἐν ᾗ παρακρουσθέντες ἢ βιασθέντες ὑπό τινος ἄρχονται. Τῆς ἄρα πολιτείας ἡ μέν ἐστι δημοκρατία, ἡ δ' ἀριστοκρατία, ἡ δ' ὀλιγαρχία, ἡ δὲ βασιλεία, ἡ δὲ τυραννίς. Cf. infra XIV.

Cod. Marc. 7 : Διαιρεῖται ἡ πολιτεία εἰς πέντε· ἔστι γὰρ αὐτῆς ἓν μὲν δημοκρατία, ἓν δὲ ἀριστοκρατία, ἓν δὲ ὀλιγαρχία, ἓν δὲ τυραννίς, ἓν δὲ βασιλεία. Ἔστι δὲ ἡ μὲν δημοκρατία ἐν ᾗ τὸ πλῆθος τῆς πόλεως κυριεύει, ἀριστοκρατία δὲ ἐν ᾗ οἱ κράτιστοι ἡγοῦνται μήτε διὰ γένος μήτε διὰ πλοῦτον ἀλλὰ δι' ἀρετήν, ἡ δὲ ὀλιγαρχία ἐν ᾗ τὰ τιμήματα μεγάλα ποιήσαντες ἀπὸ τούτων πολιτεύονταί τινες, ἢ δι' ἑταιρίαν βιασάμενοι τὸ πλῆθος τὴν πόλιν διοικοῦσι· τυραννὶς δέ, ἐν ᾗ παρακρουσάμενός τις τὸ πλῆθος ἢ βιασάμενος, τὴν πόλιν διοικεῖ· βασιλεία δέ, ὅταν ἢ κατὰ νόμον ἢ κατὰ γένεσιν βασιλεὺς τὰ πράγματα διοικῇ τῆς πόλεως. Τῆς πολιτείας ἄρα τὸ μέν ἐστι δημοκρατία, τὸ δὲ ἀρι-

στοκρατία, τὸ δὲ ὀλιγαρχία, τὸ δὲ τυραννίς, τὸ δὲ βασιλεία.

IV. Diog. Laert. III, 83 : Τῆς δὲ δικαιοσύνης ἐστὶν εἴδη τρία· ἡ μὲν γὰρ αὐτῆς ἐστι περὶ θεούς, ἡ δὲ περὶ ἀνθρώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους. Οἱ μὲν γὰρ θύοντες κατὰ νόμους καὶ τῶν ἱερῶν ἐπιμελούμενοι δῆλον ὅτι περὶ θεοὺς εὐσεβοῦσιν· οἱ δὲ δάνεια ἀποδιδόντες καὶ παρακαταθήκας δικαιοπραγοῦσι περὶ ἀνθρώπους· οἱ δὲ τῶν μνημείων ἐπιμελούμενοι δῆλον ὅτι περὶ τοὺς ἀποιχομένους. Τῆς ἄρα δικαιοσύνης ἡ μὲν πρὸς τοὺς θεούς ἐστιν, ἡ δὲ πρὸς ἀνθρώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους.

Cod. Marc. 4 : Διαιρεῖται ἡ δικαιοσύνη εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν πρὸς τὸν θεόν, ἓν δὲ πρὸς τοὺς ἀνθρώπους, ἓν δὲ πρὸς τοὺς ἀποιχομένους. Ἔστι δὲ ἡ μὲν πρὸς τὸν θεὸν δικαιοσύνη μετ' εὐσεβείας εὐχαριστία καὶ τὰς αὐτοῦ ἐκπληροῦν ἐντολάς· ἡ δὲ πρὸς τοὺς ἀνθρώπους περὶ τὰ σύμβολα εὐνομία καὶ περὶ τὰ ἄλλα νομιζόμενα δίκαια, ἡ δὲ πρὸς τοὺς ἀποιχομένους δικαιοσύνη ἐστὶ θάπτειν καὶ τὰ ἄλλα ἐπιφέρειν. Τῆς δικαιοσύνης ἄρα ἐστὶν ἓν μὲν πρὸς τὸν θεόν, ἓν δὲ πρὸς τοὺς ἀνθρώπους, ἓν δὲ πρὸς τοὺς ἀποιχομένους.

Christianum hæc editorem sapiunt.

V. Diog. Laert. III, 84 : Τῆς ἐπιστήμης ἐστὶν εἴδη τρία· τὸ μὲν γάρ ἐστι πρακτικόν, τὸ δὲ ποιητικόν, τὸ δὲ θεωρητικόν. Ἡ μὲν γὰρ οἰκοδομικὴ καὶ ναυπηγικὴ ποιητικαί εἰσιν· ἔστι γὰρ αὐτῶν ἰδεῖν ἔργον πεποιημένον. Πολιτικὴ δὲ καὶ αὐλητικὴ καὶ κιθαριστικὴ καὶ αἱ τοιαῦται πρακτικαί· οὐ γάρ ἐστιν ἰδεῖν θεατὸν αὐτῶν πεποιημένον, ἀλλὰ πράττουσί τι· ὁ μὲν γὰρ αὐλεῖ καὶ κιθαρίζει, ὁ δὲ πολιτεύεται. Ἡ δὲ γεωμετρικὴ καὶ ἁρμονικὴ καὶ ἀστρολογικὴ θεωρητικαί· οὔτε γὰρ πράττουσιν οὔτε ποιοῦσιν οὐθέν, ἀλλ' ὁ μὲν γεωμέτρης θεωρεῖ πῶς πρὸς ἀλλήλας ἔχουσιν αἱ γραμμαί, ὁ δ' ἁρμονικὸς τοὺς φθόγγους, ὁ δ' ἀστρολογικὸς τὰ ἄστρα καὶ τὸν κόσμον. Τῶν ἄρα ἐπιστημῶν αἱ μέν εἰσι θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ ποιητικαί.

Cod. Marc. 8 : Διαιρεῖται ἡ ἐπιστήμη εἰς τρία· ἔστι γὰρ αὐτῆς τὸ μὲν θεωρητικόν, τὸ δὲ ποιητικόν, τὸ δὲ πρακτικόν. Ἔστι δὲ ἡ μὲν θεωρητική, ἧς τὸ κεφάλαιόν ἐστι θεωρία, οἷον ἡ γεωμετρικὴ καὶ ἀριθμητικὴ καὶ ἁρμονικὴ καὶ αἱ τοιαῦται· ἡ δὲ ποιητική, ἧς τὸ κεφάλαιόν ἐστιν ἔργου συντελεστικόν, οἷον οἰκοδομικὴ καὶ ἀνδριαντοποιητικὴ καὶ ἄλλαι τοιαῦται· ἡ δὲ πρακτική, ἧς τὸ κεφάλαιόν ἐστι πρᾶξις, οἷον ἰατρικὴ καὶ στρατηγικὴ καὶ πολιτικὴ καὶ ἄλλαι τοιαῦται. Τῆς ἐπιστήμης ἄρα ἡ μέν ἐστι θεωρητική, ἡ δὲ ποιητική, ἡ δὲ πρακτική.

Alia legitur divisio in cod. Marc. 53 : Διαιροῦνται αἱ ἐπιστῆμαι τῶν πρώτων καὶ τῶν δευτέρων εἰς τρία· εἰσὶ γὰρ αὐτῶν αἱ μὲν πρῶται, αἱ δὲ δεύτεραι, αἱ δὲ τρίται. Πρῶται μὲν οὖν εἰσὶν αἱ παρασκευαστικαί τε καὶ μεταλλευτικαὶ καὶ ὑλοτομικαὶ καὶ λιθοτομικαί, δεύτεραι δὲ αἵ τε ποιητικαὶ καὶ μετασχηματιστικαί, οἷον ἡ μὲν χαλκευτικὴ τὸν σίδηρον· τοῦτον γὰρ λαβοῦσα μετεσχημάτισε καὶ ἐποίησε χαλινοὺς καὶ ὅπλα καὶ τὰ τοιαῦτα, ἡ δὲ λιθουργικὴ τοὺς λίθους παραλαβοῦσα μετεσχημάτισε· καὶ ἐποίησε τείχη καὶ οἰκίας καὶ τὰ τοιαῦτα. Πάλιν αἱ τρίται· ἡ μὲν γὰρ ἱππικὴ παραλαβοῦσα τὸν χαλινὸν ἐχρήσατο καλῶς καὶ ἡ πολεμικὴ τὰ ὅπλα καὶ ἐπὶ τῶν τοιούτων, καὶ πάλιν ἡ αὐλητικὴ παραλαβοῦσα τοὺς αὐλοὺς ἐχρήσατο καλῶς καὶ ἡ κυβερνητικὴ τοὺς οἴακας παραλαβοῦσα καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων.

---

divitias sed propter virtutem rempublicam administrant; oligarchica est ea in qua nonnulli magnis censibus institutis magistratus exercent, sive urbem gubernant multitudine per factionem oppressa. Tyrannis vero est quum aliquis sive decepta sive oppressa multitudine dominationem exercet; regnum vero est quoties rex sive lege sive origine urbis res administrat. Civitates igitur sunt aliæ democraticæ, aliæ aristocraticæ, aliæ oligarchicæ, aliæ tyrannicæ, aliæ regiæ.

IV. Justitiæ tria sunt genera : unum circa deos, alterum circa homines, tertium circa defunctos versari. Nam et qui sacra secundum leges faciunt sacrarumque rerum curam habent, religiosi in deos ac pii sunt : qui vero mutua depositaque restituunt, justi erga homines sunt; qui autem monumenta curant, justi sunt erga defunctos. Justitia igitur alia erga deos est, alia erga homines, alia erga defunctos.

4. Dividitur justitia in tria genera : unum enim est erga deum, unum erga homines, unum erga defunctos. Justitia erga deum est grati animi cum pietate significatio et omnia ejus praecepta implere. Justitia erga homines obtemperatio est legibus quæ sunt circa pactiones et alia quæ justa habentur. Justitia erga defunctos est eos sepelire aliaque tribuere. Justitiæ igitur unum genus est erga deum, alterum erga homines, tertium erga defunctos.

V. Disciplinæ tres esse species; aliam quidem in actione consistere, aliam ex operis effectu constare, tertiam speculationi studere. Nam ædium naviumque structuram ad effectricem illam pertinere : nam ex illis opus aliquod factum videmus. Politicam vero et tibiarum cantus pulsusque citharæ et hujusmodi cetera in agendo consistere : neque enim consummato actu quippiam remanet quod oculis subjectum sit, sed simpliciter agunt aliquid : alius enim tibiis, alius fidibus canit, alius rempublicam gerit. Porro geometria et musica atque astrologia sub intelligentiam cadunt et speculationi tantummodo inserviunt : neque enim vel agunt vel efficiunt quicquam, sed geometra quidem contemplatur ut sese habeant ad se invicem lineæ, musicus sonos, astrologus sidera atque mundum. Disciplinæ igitur aliæ theoreticæ sunt, aliæ practicæ, aliæ effectivæ.

8. Disciplina dividitur in tres species. Una enim est quæ studet speculationi, altera quæ opus efficit, tertia quæ in actione constat. Theoretica illa est cujus caput est speculatio, sicut geometria, arithmetica, musica et hujusmodi reliquæ. Effectivæ caput est opus efficere ut ædium structura et statuaria et quæ sunt similes. Practicæ caput actio est, ut medicina, ars imperatoria et politica et aliæ tales. Disciplinæ igitur aliæ theoreticæ sunt, aliæ practicæ, aliæ effectivæ.

53. Disciplinæ in tres species dividuntur : sunt enim aliæ primæ, aliæ secundæ, aliæ tertiæ. Primæ sunt quæ ad comparandam materiam inserviunt, ut ad fodienda metalla, cædenda ligna et lapides; alteræ vero quæ in efficiendo et transformando versantur, ut ars ferraria transformat ferrum, frena, arma et similia fabricando. Ars vero elaborandi lapides hos transformat exstruendo muros, ædes et similia. Rursus vero tertiæ [in agendo occupantur] : ars enim equitandi assumit frenum et bene eo utitur : ars bellandi armis et similibus utitur, deinde ars tibias canendi tibiis bene utitur, et ars navem regendi gubernaculo et aliis similibus.

VI. Medicinæ quinque species esse : aliam quippe dici a medicamentis, aliam chirurgicam, aliam a victu, aliam a perspicientia morborum, aliam a remediis. Quæ a medicamentis dicitur, medicata potione subvenit morbis, chirurgica secando et urendo sanat; quæ a victu, sola victus ratione et ordine arcet ægritudines; quæ a perspicientia morborum, ex celeri discretione morborum ægris succurrit; quæ a remediis, strenuo auxilio doloribus continuo liberat. Medicinæ ergo genus unum est quod in medicamentis, alterum quod chirurgia, tertium quod victus ratione, quartum quod morborum perspicientia, quintum quod remediis continetur.

61. Medicina in quinque dividitur partes : una enim est in medicamentis, altera in chirurgica, tertia in victu, quarta in cognitione morborum, quinta in remediis. Quæ est in medicamentis medicata potione morbis subvenit; chirurgica secando et urendo sanat ægrotantes; quæ in victu est, victus ratione pellit ægritudines; quæ in cognitione morborum versatur, medetur ægrotis morbi discretione; quæ in remediis, remediorum auxilio infirmos in sanitatem restituit.

VII. Legis geminam esse distributionem : alteram scriptam, alteram vero non scriptam. Priorem illam esse civilem, qua administramus rempublicam; quæ vero citra scripturam constat, eam a natura et usu proficisci : quale est nudum in foro ambulare non debere aut muliebri veste uti; hæc enim nulla scripta lege prohibentur : quæ tamen non agimus, quod lege non scripta vetamur. Lex igitur alia est scripta, alia non scripta.

20. Lex in duas species dividitur : est enim una scripta, altera vero non scripta. Lex scripta ea est secundum quam contrahimus pactiones et ceteras mutuas dijudicamus actiones et omnia similia gerimus : lex vero non scripta ea qua mores in civitate vigent et manent.

VIII. Oratio in quinque partes dividitur. Esse enim ejus genus quoddam quo utuntur in concionibus hi qui administrant rempublicam, idque civile appellari; aliud quo scribunt rhetores orationes quas ad ostentationem proferunt, dum vel laudant vel vituperant vel accusant

---

VI. Diog. Laert. III, 85 : Τῆς ἰατρικῆς ἐστιν εἴδη πέντε, ἡ μὲν φαρμακευτική, ἡ δὲ χειρουργική, ἡ δὲ διαιτητική, ἡ δὲ νοσογνωμονική, ἡ δὲ βοηθητική. Ἡ μὲν φαρμακευτικὴ διὰ φαρμάκων ἰᾶται τὰς ἀρρωστίας, ἡ δὲ χειρουργικὴ διὰ τοῦ τέμνειν καὶ καίειν ὑγιάζει, ἡ δὲ διαιτητικὴ διὰ τοῦ διαιτᾶν ἀπαλλάττει τὰς ἀρρωστίας, ἡ δὲ νοσογνωμονικὴ διὰ τοῦ γνῶναι τὸ ἀρρώστημα, ἡ δὲ βοηθητικὴ διὰ τοῦ βοηθῆσαι εἰς τὸ παραχρῆμα ἀπαλλάττει τῆς ἀλγηδόνος. Τῆς ἄρα ἰατρικῆς ἡ μέν ἐστι φαρμακευτική, ἡ δὲ χειρουργική, ἡ δὲ νοσογνωμονική, ἡ δὲ βοηθητική.

Cod. Marc. 61 : Διαιρεῖται ἡ ἰατρικὴ εἰς πέντε· τὸ μὲν γὰρ αὐτῆς ἐστι φαρμακευτικόν, τὸ δὲ χειρουργικόν, τὸ δὲ διαιτητικόν, τὸ δὲ νοσογνωμικόν, τὸ δὲ βοηθητικόν. Καὶ ἡ μὲν φαρμακευτικὴ διὰ φαρμακείας ἰᾶται τὰς ἀρρωστίας, ἡ δὲ χειρουργικὴ διὰ τοῦ τέμνειν καὶ καίειν ὑγιάζει τοὺς κάμνοντας, ἡ δὲ διαιτητικὴ διὰ τοῦ διαιτᾶν ἀπαλλάττει τῆς ἀρρωστίας, ἡ δὲ νοσογνωμικὴ διὰ τοῦ γνῶναι τὴν νόσον οὕτως ἰᾶται τὸν νοσοῦντα, ἡ δὲ βοηθητικὴ διὰ τῶν βοηθημάτων ὑγιάζει τοὺς ἀσθενοῦντας.

VII. Diog. Laert. III, 86 : Νόμου διαιρέσεις δύο· ὁ μὲν γὰρ αὐτοῦ γεγραμμένος, ὁ δ' ἄγραφος. Ὧι μὲν ἐν ταῖς πόλεσι πολιτευόμεθα, γεγραμμένος ἐστίν· ὁ δὲ κατὰ ἔθη γινόμενος οὗτος ἄγραφος καλεῖται· οἷον τὸ μὴ γυμνὸν πορεύεσθαι εἰς τὴν ἀγορὰν μηδὲ γυναικεῖον ἱμάτιον περιβάλλεσθαι. Ταῦτα γὰρ οὐδεὶς νόμος κωλύει, ἀλλ' ὅμως οὐ πράττομεν διὰ τὸ ἀγράφῳ νόμῳ κωλύεσθαι. Τοῦ ἄρα νόμου ἐστὶν ὁ μὲν γεγραμμένος, ὁ δ' ἄγραφος.

Cod. Marc. 20 : Διαιρεῖται ὁ νόμος εἰς δύο· ἔστι γὰρ αὐτοῦ ἓν μὲν γεγραμμένον, ἓν δὲ ἄγραφον. Ἔστι δὲ ὁ μὲν γεγραμμένος καθ' ὃν τὰ σύμβολα συναλλάσσομεν καὶ τὰς ἄλλας πρὸς ἀλλήλους πράξεις διακρίνομεν καὶ πάντα τὰ τοιαῦτα οἰκονομοῦμεν· ὁ δὲ ἄγραφος καθ' ὃν τὰ ἔθη ἐν ταῖς πόλεσιν αὔξεται καὶ διαμένει.

VIII. Diog. Laert. III, 86: Ὁ λόγος διαιρεῖται εἰς πέντε, ὧν εἷς μέν ἐστιν ὃν οἱ πολιτευόμενοι λέγουσιν ἐν ταῖς ἐκκλησίαις, ὃς καλεῖται πολιτικός· ἑτέρα δὲ διαίρεσις λόγου ὃν οἱ ῥήτορες γράφουσι καὶ εἰς ἐπίδειξίν τε προφέρουσι καὶ εἰς ἐγκώμια καὶ ψόγους καὶ κατηγορίας· τὸ δὴ τοιοῦτον εἶδός ἐστι ῥητορικόν. Τρίτη δὲ διαίρεσις λόγου ὃν οἱ ἰδιῶται διαλέγον-

ται πρὸς ἀλλήλους· οὗτος δὴ ὁ τρόπος προσαγορεύεται ἰδιωτικός. Ἑτέρα δὲ διαίρεσις λόγου ὃν οἱ κατὰ βραχὺ ἐρωτῶντες καὶ ἀποκρινόμενοι τοῖς ἐρωτῶσι διαλέγονται· οὗτος δὲ καλεῖται ὁ λόγος διαλεκτικός. Πέμπτη δὲ διαίρεσις λόγου ὃν οἱ τεχνῖται περὶ τῆς ἑαυτῶν διαλέγονται τέχνης· ὃς δὴ καλεῖται τεχνικός. Τοῦ λόγου ἄρα τὸ μέν ἐστι πολιτικόν, τὸ δὲ ῥητορικόν, τὸ δ' ἰδιωτικόν, τὸ δὲ διαλεκτικόν, τὸ δὲ τεχνικόν.

Cod. Marc. 16 : Διαιρεῖται ὁ λόγος εἰς πέντε· ἔστι γὰρ αὐτοῦ ὁ μὲν ῥητορικός, ὁ δὲ πολιτικός, ὁ δὲ διαλεκτικός, ὁ δὲ τεχνικός, ὁ δὲ ἰδιωτικός. Ἔστι δὲ ὁ μὲν ῥητορικὸς καὶ ἐπιδεικτικὸς καὶ κατηγορικὸς καὶ ἀπολογητικός, ὁ δὲ πολιτικὸς συμβουλευτικὸς καὶ παρακλητικός, διαλεκτικὸς δὲ ὁ κατὰ βραχὺ τῷ ἐρωτᾶν ἐμφανίζων ἃ προαιρεῖται, τεχνικὸς δὲ ὃν λέγουσιν οἱ τεχνῖται ὑπὲρ τῶν κατὰ τὴν τέχνην ἑκάστου αὐτῶν, ἰδιωτικὸς δὲ ὃν οἱ ἰδιῶται λέγουσι πρὸς ἀλλήλους καθ' ἑκάστην ἡμέραν διαλεγόμενοι.

IX. Diog. L. III, 88 : Ἡ μουσικὴ εἰς τρία διαιρεῖται· ἔστι γὰρ ἡ μὲν διὰ τοῦ στόματος μόνον, οἷον ἡ ᾠδή· δεύτερον δὲ διὰ τοῦ στόματος καὶ τῶν χειρῶν, οἷον ἡ κιθαρῳδία· τρίτον ἀπὸ τῶν χειρῶν μόνον, οἷον ἡ κιθαριστική. Τῆς ἄρα μουσικῆς ἐστι τὸ μὲν ἀπὸ τοῦ στόματος μόνον, τὸ δ' ἀπὸ τοῦ στόματος καὶ τῶν χειρῶν, τὸ δ' ἀπὸ τῶν χειρῶν.

Cod. Marc. 60 : Διαιρεῖται ἡ μουσικὴ εἰς τρία. ἔστι γὰρ αὐτῆς ἓν μὲν αὐτοῦ τοῦ στόματος ἔργον, ἓν δὲ χειρῶν καὶ στοματος, ἓν δὲ τῶν χειρῶν. Ἓν δὲ μόνον αὐτοῦ τοῦ στόματος ἔργον, οἷον αἵ τε ᾠδαὶ καὶ οἱ τερετισμοὶ καὶ τὰ τοιαῦτα, τῶν δὲ χειρῶν καὶ τοῦ στόματος ἥ τε χοραυλητικὴ καὶ αὐλητικὴ καὶ τὰ ὅμοια, τῶν δὲ χειρῶν ἡ κιθαριστικὴ καὶ τὰ τοιαῦτα.

X. Diog. L. III, 88 : Διαιρεῖται δὲ ἡ εὐγένεια εἰς εἴδη τέτταρα· ἓν μὲν ἐὰν ὦσιν οἱ πρόγονοι καλοὶ κἀγαθοὶ καὶ δίκαιοι, τοὺς ἐκ τούτων γεγενημένους εὐγενεῖς φασιν εἶναι· ἄλλο δ' ἐὰν ὦσιν οἱ πρόγονοι δεδυναστευκότες καὶ ἄρχοντες γεγενημένοι, τοὺς ἐκ τούτων εὐγενεῖς φασιν εἶναι· ἄλλο δ' ἐὰν ὦσιν οἱ πρόγονοι ὀνομαστοί, οἷον ἀπὸ στρατηγίας, ἀπὸ στεφανιτῶν ἀγώνων· καὶ γὰρ τοὺς ἐκ τούτων γεγενημένους εὐγενεῖς προσαγορεύομεν. Ἄλλο εἶδος ἐὰν αὐτός τις ᾖ γεννάδας τὴν ψυχὴν καὶ μεγαλόψυχος, καὶ τοῦτον εὐγενῆ φασι· καὶ τῆς γε εὐγενείας αὕτη κρατίστη. Τῆς ἄρα εὐγενείας τὸ μὲν ἀπὸ προγόνων ἐπιεικῶν, τὸ δὲ δυναστῶν, τὸ δ' ἐνδόξων, τὸ δ' ἀπὸ τῆς αὐτοῦ καλοκἀγαθίας.

Cod. Marc. 10 : Διαιρεῖται ἡ εὐγένεια εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀπὸ ἐνδόξων καὶ ὀνομαστῶν γονέων γεγονέναι, οἷον ἀπὸ βασιλέων καὶ ἀρχόντων γεγονέναι ἢ ἄλλην τινὰ δόξαν ἐχόντων· τὸ δὲ ἀπὸ σπουδαίων καὶ δικαίων, οἷον ἀπὸ Ξενοφῶντος καὶ Νείλου καὶ τῶν τοιούτων· τὸ δὲ ἀπ' αὐτῆς τῆς τοῦ ἔχοντος ἀρετῆς, οἷον ἐὰν ᾖ γενναῖος καὶ μεγαλοπρεπὴς καὶ δίκαιος καὶ τὰ ἄλλα τὰ τοιαῦτα. Τῆς εὐγενείας ἄρα ἓν μέν ἐστι τὸ ἀπὸ ἐνδόξων καὶ ὀνομαστῶν προγόνων γεγονέναι, ἓν δὲ τὸ ἀπὸ σπουδαίων καὶ δικαίων, ἓν δὲ τὸ ἀπ' αὐτῆς τῆς τοῦ ἔχοντος ἀρετῆς.

---

quempiam : esse vero id genus rhetoricum; tertium quo privati inter se mutuo colloquuntur, dicique privatum; quartum quo ii qui compendio rogant et respondent, cum his a quibus interrogantur, disputant, vocarique id genus dialecticum; quintum quo artifices, dum de sua arte disserunt, loquuntur, appellarique id artificiosum. Orationis igitur genus aliud civile est, aliud rhetoricum, aliud privatum, aliud dialecticum, aliud artificiosum.

16. Oratio in quinque genera dividitur : est enim genus rhetoricum, politicum, dialecticum, artificiosum, privatum. Rhetoricum genus est et demonstrativum et ad accusandum et defendendum proprium. Politicum genus est suasorium et cohortatorium; dialecticum vero quod breviter interrogando ostendit proposita; artificiosum quo utuntur artifices quum de sua quisque arte disserit; privatum vero quo privati inter se quotidie colloquuntur.

IX. Musicam in tria secari : quandam enim ore tantum constare, ut cantum; aliam ore simul et manu, ut citharodiam; tertiam solis manibus perfici, ut quum citharam percutimus. Musicæ igitur species alia est qua solo ore utimur, alia qua ore et manibus, alia qua manibus.

60. Musica in tria dividitur : quædam enim ejus species ore tantum efficitur : altera manibus simul et ore, tertia solis manibus. Alia ore tantum efficitur, ut cantus, sibili et his similia, manibus et ore tibiarum cantus sive in choro sive solus et similia, manibus vero solis, lyræ pulsatio et similia.

X. Nobilitatem quattuor in genera dividi : unum si qui honestis, bonis justisque majoribus fuerint nati, eos nobiles esse dici; aliud si quorum majores dynastæ ac principes fuerint, eos nobiles esse dicimus; aliud si majores fama sunt celebres et gloria, quam vel ex bellicis rebus præclare gestis vel ex certaminum coronis reportaverint : namque hos quoque nobiles appellamus; aliud, si quis ipse sit generosus et animi nobilitate excellens, hunc quoque nobilem dicimus : eaque optima est nobilitas. Nobilitatis ergo genus unum est a majoribus bonis æquisque viris, aliud a dynastis, aliud ab illustribus, aliud a propria honestate profectum.

10. Nobilitas in tres species dividitur, quarum una est parentibus illustribus et claris ortum esse, ut ex regibus vel principibus, vel qui aliam quandam gloriam habent. Altera ex viris bonis et justis, ut e Xenophonte et Nilo (?) et similibus. Tertia quæ gignitur ex ipsa virtute ejus qui nobilis est, quum sit generosus, excelso animo, justus et aliis virtutibus ornatus. Nobilitatis igitur genus unum est majoribus illustribus et claris natum esse, aliud e bonis et justis, aliud quod a propria virtute oritur.

XI. Diog. L. III, 89 : Τὸ κάλλος διαιρεῖται εἰς τρία· ἓν μὲν γὰρ αὐτοῦ ἐστιν ἐπαινετόν, οἷον ἡ διὰ τῆς ὄψεως εὐμορφία· ἄλλο δὲ χρηστικόν, οἷον ὄργανον καὶ οἰκία καὶ τὰ τοιαῦτα πρὸς χρῆσίν ἐστι καλά· τὰ δὲ πρὸς νόμους καὶ ἐπιτηδεύματα καὶ τὰ τοιαῦτα πρὸς ὠφέλειάν ἐστι καλά. Τοῦ ἄρα κάλλους τὸ μέν ἐστι πρὸς ἔπαινον, τὸ δὲ πρὸς χρῆσιν, τὸ δὲ πρὸς ὠφέλειαν.

Cod. Marc. 62 : Διαιρεῖται τὸ κάλλος εἰς τρία· ἓν μὲν γὰρ αὐτοῦ ἐστὶν ἐπαινετόν, οἷον ἡ διὰ τῆς ὄψεως εὐμορφία· ἄλλο δὲ χρηστικόν, οἷον ὄργανον καὶ οἰκία καὶ τὰ τοιαῦτα πρὸς χρῆσίν εἰσι καλά· τὰ δὲ πρὸς ὠφέλειαν, οἷον νόμος καλὸς καὶ ἐπιτηδεύματα καὶ τὰ τοιαῦτα πρὸς ὠφέλειάν εἰσι καλά.

XII. Diog. L. III, 90 : Ἡ ψυχὴ διαιρεῖται εἰς τρία· τὸ μὲν γὰρ αὐτῆς ἐστι λογικόν, τὸ δ' ἐπιθυμητικόν, τὸ δὲ θυμικόν. Τούτων δὲ τὸ μὲν λογικόν ἐστιν αἴτιον τοῦ βουλεύεσθαι καὶ λογίζεσθαι καὶ διανοεῖσθαι καὶ τῶν τοιούτων πάντων· τὸ δ' ἐπιθυμητικὸν μέρος τῆς ψυχῆς ἐστιν αἴτιον τοῦ ἐπιθυμεῖν φαγεῖν καὶ τοῦ πλησιάσαι καὶ τῶν τοιούτων πάντων. Τὸ δὲ θυμικὸν μέρος αἴτιόν ἐστι τοῦ θαρρεῖν καὶ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ ὀργίζεσθαι. Τῆς ἄρα ψυχῆς ἐστι τὸ μὲν λογικόν, τὸ δὲ ἐπιθυμητικόν, τὸ δὲ θυμικόν.

Cod. Marc. 1 : Διαιρεῖται ἡ ψυχὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν λογιστικόν, ἓν δὲ θυμικόν, ἓν δὲ ἐπιθυμητικόν. Ἔστι δὲ τὸ μὲν λογιστικὸν, ᾧ λογιζόμεθα· τὸ δὲ ἐπιθυμητικὸν, ᾧ τὰς ἐπιθυμίας ἀναλαμβάνομεν· τὸ δὲ θυμικὸν, ᾧ θυμούμεθα καὶ ὀργιζόμεθα καὶ θαρσοῦμεν καὶ ἀμυνόμεθα καὶ τὰ ἄλλα τὰ τοιαῦτα. Τῆς ψυχῆς ἄρα τὸ μέν ἐστι λογικόν, τὸ δὲ θυμικόν, τὸ δὲ ἐπιθυμητικόν.

XIII. Diog. L. III, 90 : Τῆς τελείας ἀρετῆς εἴδη ἐστὶ τέτταρα· φρόνησις, δικαιοσύνη, ἀνδρεία καὶ σωφροσύνη. Τούτων ἡ μὲν φρόνησις αἰτία τοῦ πράττειν ὀρθῶς τὰ πράγματα· ἡ δὲ δικαιοσύνη τοῦ ἐν ταῖς κοινωνίαις καὶ τοῖς συναλλάγμασι δικαιοπραγεῖν· ἡ δ' ἀνδρεία τοῦ ἐν τοῖς κινδύνοις καὶ φοβεροῖς μὴ ἐξίστασθαι [ποιεῖν], ἀλλὰ μένειν· ἡ δὲ σωφροσύνη τοῦ κρατεῖν τῶν ἐπιθυμιῶν καὶ ὑπὸ μηδεμιᾶς ἡδονῆς δουλοῦσθαι, ἀλλὰ κοσμίως ζῆν. Τῆς ἀρετῆς ἄρα τὸ μέν ἐστι φρόνησις, ἄλλο δικαιοσύνη, τρίτον ἀνδρεία, τέταρτον σωφροσύνη.

Cod. Marc. 2 : Διαιρεῖται ἡ ἀρετὴ εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν φρόνησις, ἓν δὲ δικαιοσύνη, ἓν δὲ ἀνδρεία, ἓν δὲ σωφροσύνη. Ἔστι δὲ ἡ μὲν φρόνησις ἐν τῷ λογιστικῷ, ἡ δὲ δικαιοσύνη ἐν πᾶσι τούτοις τοῖς μέρεσι γίγνεται, ἡ δὲ ἀνδρεία ἐν τῷ θυμικῷ, ἡ δὲ σωφροσύνη ἐν τῷ ἐπιθυμητικῷ. Τῆς ἀρετῆς ἄρα ἓν μέν ἐστι φρόνησις, ἓν δὲ δικαιοσύνη, ἓν δὲ ἀνδρεία, ἓν δὲ σωφροσύνη.

XIV. Diog. Laert. III, 91 : Ἡ ἀρχὴ διαιρεῖται εἰς μέρη πέντε· ἓν μὲν εἰς τὸ κατὰ νόμον, ἓν δ' εἰς τὸ κατὰ φύσιν, ἓν δ' εἰς τὸ κατ' ἔθος, τέταρτον δ' εἰς τὸ κατὰ γένος, πέμπτον δ' εἰς τὸ κατὰ βίαν. Οἱ μὲν οὖν ἐν ταῖς πόλεσιν ἄρχοντες ὑπὸ τῶν πολιτῶν ἐπὰν αἱρεθῶσι, κατὰ νόμον ἄρχουσιν· οἱ δὲ κατὰ φύσιν, οἱ ἄρσενες, οὐ μόνον ἐν τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ἐν τοῖς ἀλόγοις ζῴοις· ἐπὶ πολὺ γὰρ πανταχοῦ τὰ ἄρσενα τῶν θηλειῶν ἄρχει. Ἡ δὲ τοῦ κατ' ἔθος ἀρχὴ τοιαύτη ἐστὶν

XI. Pulchritudinem in tria distinguit : aliam quippe esse laudabilem, ut formosam faciem; aliam quoque usui deservire, ut instrumentum et domum et alia ejusdem generis, quæ præterquam quod speciosa sunt, usibus nostris commoda etiam sunt; tertiam legibus studiisque constare, eamque ad utilitatem pulchram esse. Pulchritudinis igitur genus unum ad laudem, alterum ad usum, tertium ad utilitatem refertur.

62. Pulchritudo in tria dividitur : unum ejus laudabile est ut formosa facies; alterum ad usum deservit, ut instrumentum, domus et similia quæ pulchra sunt ad usum. Tertium ad utilitatem, ut lex pulchra et instituta, quæ pulchra sunt ad utilitatem.

XII. Animæ tres partes esse, quarum una contineat ratiocinationem, altera cupiditatem, tertia iram. Ex his autem ratiocinationem causam esse consilii, cogitationis, consultationis et hujusmodi reliquorum; cupiditatem esse appetendi cibi vel coitus et similium causam; iram vero confidentiæ, voluptatis, doloris et iracundiæ auctorem esse. Ergo animæ pars una est ratiocinationis particeps, altera cupiditatis, tertia iræ.

1. Dividitur anima in tres partes : una enim est ratiocinationis particeps, altera cupiditatis, tertia iræ. Quæ ratiocinationis est particeps ea est qua cogitamus; quæ cupiditatis ea qua cupimus; quæ iræ, ea qua irascimur, confidimus, nos defendimus et alia similia. Ergo animæ pars una est ratiocinationis particeps, altera cupiditatis, tertia iræ.

XIII. Perfectæ consummatæque virtutis esse species quattuor, primam prudentiam, secundam justitiam, fortitudinem tertiam, quartam temperantiam. Ex his prudentiam ut recte agantur omnia causam esse; justitiam vero inter consortia et humanæ vitæ commercia non violandi juris esse auctorem; fortitudinem autem, ne inter pericula et terrores a fortiter cœptis deficiamus, sed sustineamus; porro temperantiam ad frenandas cupiditates, ut a nulla voluptate subigamur, sed honeste et liberaliter vivamus. Virtutis igitur una pars est prudentia, altera justitia, tertia fortitudo, quarta temperantia.

2. Virtus in quattuor dividitur : illius enim pars est prudentia, pars justitia, pars fortitudo, pars temperantia. Prudentia ejus est partis quæ ratiocinationis particeps est, justitia in omnibus his partibus gignitur; fortitudo in ea parte quæ particeps est iræ, temperantia vero in ea quæ cupiditatis. Virtutis igitur partes sunt prudentia, justitia, fortitudo, temperantia.

οἷαν οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι καὶ οἱ διδάσκαλοι τῶν φοιτώντων. Κατὰ γένος δ'ἀρχὴ τοιαύτη τις λέγεται οἷαν οἱ Λακεδαιμόνιοι βασιλεῖς ἄρχουσιν· ἀπὸ γὰρ γένους τινὸς ἡ βασιλεία· καὶ ἐν Μακεδονίᾳ δὲ τὸν αὐτὸν τρόπον ἄρχουσι· καὶ γὰρ ἐκεῖ ἀπὸ γένους ἡ βασιλεία καθίσταται. Οἱ δὲ βιασάμενοι ἢ παρακρουσάμενοι ἄρχουσιν ἀκόντων τῶν πολιτῶν· ἡ δὲ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι. Τῆς ἀρχῆς ἄρα ἐστὶ τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ γένος, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατ' ἔθος, τὸ δὲ κατὰ βίαν. Cf. supra III.

Cod. Marc. 63 : Διαιρεῖται ἡ ἀρχὴ εἰς μέρη πέντε· ἓν μὲν εἰς τὸ κατὰ νόμον, ἓν δὲ εἰς τὸ κατὰ φύσιν, ἓν δὲ εἰς τὸ κατὰ ἔθος, ἓν δὲ εἰς τὸ κατὰ γένος, πέμπτον δὲ εἰς τὸ κατὰ βίαν. Οἱ μὲν οὖν ἐν ταῖς πόλεσιν ἄρχοντες ὅταν ὑπὸ τῶν πολιτῶν αἱρεθῶσιν, οὗτοι κατὰ νόμον ἄρχουσιν. Ἡ δὲ τοῦ κατὰ φύσιν ἀρχὴ οὐ μόνον ἐν τοῖς ἀνθρώποις ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζῴοις ἐστίν· ἐπὶ πολὺ γὰρ πανταχοῦ τὰ ἄρρενα τῶν ζῴων τῶν θηλειῶν ἄρχει. Ἡ δὲ τοῦ κατὰ ἔθος ἀρχὴ τοιαύτη ἐστίν, οἷον οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι καὶ οἱ διδάσκαλοι τῶν φοιτητῶν. Κατὰ γένος δὲ ἀρχὴ τοιαύτη τις λέγεται, ὅταν πατέρα βασιλέα τελευτήσαντα υἱὸς διαδέξηται καὶ πάλιν τοῦτον ὁ τούτου υἱὸς καὶ ἐφεξῆς δὲ ὡσαύτως. Ὅσοι δὲ βιασάμενοι ἄρχουσιν ἀκόντων αὐτῶν, ἡ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι.

Ib. 51 : Διαιρεῖται ἡ ἀρχὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν κατὰ φύσιν, ἓν δὲ κατὰ βίαν, ἓν δὲ κατὰ τάξιν καὶ θέσιν. Κατὰ φύσιν μὲν οὖν ἄρχει τὸ ἄρρεν τοῦ θήλεος καὶ τὸ ἰσχυρότερον τοῦ ἀσθενεστέρου, οἷον ἐν μὲν βουσὶ ταῦρος, ἐν δὲ προβάτοις κριὸς καὶ πάντα τὰ τοιαῦτα· κατὰ βίαν δὲ οἷον οἱ δεσπόται τῶν δούλων καὶ οἱ τύραννοι τῶν πόλεων καὶ πάντα τὰ τοιαῦτα· κατὰ τάξιν δὲ καὶ θέσιν οἷον τὸ πρῶτον τεχθέν· ἐντεῦθεν ἀρχή ἐστι τῆς μὲν τραγῳδίας « Ὦ παλαιὸν Ἄργος » (Eurip. Electra), τῶν δὲ στοιχείων τὸ ἄλφα καὶ ἀριθμοῦ τὸ ἕν.

XV. Diog. Laert. III, 93 : Τῆς ῥητορείας εἴδη ἐστὶν ἕξ. Ὅταν μὲν γὰρ κελεύωσι πολεμεῖν ἢ συμμαχεῖν πρός τινα, καλεῖται τὸ τοιοῦτον εἶδος προτροπή· ὅταν δ' ἀξιῶσι μὴ πολεμεῖν μηδὲ συμμαχεῖν, ἀλλ' ἡσυχίαν ἄγειν, τὸ τοιοῦτον εἶδος ἀποτροπή ἐστι. Τρίτον εἶδος τῆς ῥητορείας ὅταν τις φάσκη ἀδικεῖσθαι ὑπό τινος καὶ πολλῶν κακῶν αἴτιον ἀποφαίνῃ· τὸ δὴ τοιοῦτον εἶδος κατηγορία ὀνομάζεται. Τέταρτον εἶδος τῆς ῥητορείας [ἀπολογία καλεῖται] ὅταν ἀποφαίνῃ τις αὐτὸν μηθὲν ἀδικοῦντα μήτ' ἄλλο ἄτοπον μηθὲν πράττοντα· τὸ δὴ τοιοῦτον ἀπολογίαν καλοῦσι· πέμπτον εἶδος ῥητορείας ὅταν τις εὖ λέγῃ (τινὰ) καὶ ἀποφαίνῃ καλὸν κἀγαθόν· τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ἐγκώμιον. Ἕκτον εἶδος ὅταε τις ἀποφαίνῃ (τινὰ) φαῦλον, τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ψόγος. Τῆς ἄρα ῥητορείας τὸ μέν ἐστιν ἐγκώμιον, τὸ δὲ ψόγος, τὸ δὲ προτροπή, τὸ δὲ ἀποτροπή, τὸ δὲ κατηγορία, τὸ δὲ ἀπολογία.

Cod. Marc. 17 : Διαιρεῖται ἡ ῥητορεία εἰς πέντε· ἔστι γὰρ σύτῆς ἓν μὲν κατηγορία, ἓν δὲ ἀπολογία, ἓν δὲ συμβουλία, ἓν δὲ ἐγκώμιον, ἓν δὲ ψόγος.

XIV. Imperium in quinque genera partitur, legitimum, naturale, aliud consuetudinis, aliud generis, denique violentum. Nam magistratus civitatum si eligantur a civibus, secundum legem imperant; per naturam vero mares ubique, non modo inter homines, verum inter alia quoque animalia feminis præsunt; ex consuetudine vero et pædagogi pueris et magistri discipulis imperant; per genus autem quemadmodum Lacedæmoniorum reges dominantur : nam ex genere regnum habent, quomodo et apud Macedones reges imperant : quippe et illic regnum ex genere institutum est. Porro qui coactis per vim ac dolum civibus invitis imperant, ii violenti ac tyranni vocantur. Imperium igitur unum est legitimum, alterum naturale, aliud generis, aliud consuetudinis, aliud violentum.

63. Imperium in quinque species dividitur : una legitimum, altera naturale, tertia e consuetudine, quarta e genere, quinta violentum. Magistratus igitur in urbibus si a civibus eliguntur legitimum exercent imperium. Naturale vero imperium non solum apud homines sed et apud cetera animalia est, quippe ubique mares feminis præsunt. Imperium e consuetudine tale est, quum pædagogi pueris et magistri discipulis imperant. Imperium ex genere vocatur quum filius mortuo patri regi succedit et rursus huic filius et ita porro. Quicunque vero per vim nolentibus imperant, eorum imperium violentum esse dicitur.

51. Ἀρχὴ (duplici sensu *initii* et *imperii*) in tria dividitur : unum est enim genus (*imperii*) naturale, alterum violentum, tertium vero (*initii*) secundum ordinem et locum. Secundum naturam igitur masculinum feminino imperat, quod validius est imbecilliori, ut in bobus taurus, in ovibus aries et quæ his sunt similia. Violentum autem imperium est quod exercent in servos domini, tyranni in civitates et quæ his sunt similia. Ἀρχὴ autem (*initium*) secundum ordinem et locum, ut quod primum positum est : inde initium est tragœdiæ : « O antiquum Argos », litterarum vero littera *a* et numeri primus.

XV. Rhetoricæ sex species tradit. Nam quoties jusserit orator bellum suscipere aut auxilium contra aliquem ferre, id genus vocatur adhortatio; quum vero quietem agere neque bellare neque opem ferre monuerit, appellatur ea species dehortatio; tertia, quum quis se a quopiam injuria affectum eumque multa flagitia perpetrasse ostendat : ejusmodi vero vocatur accusatio; quarta species, quum is quis accusatur, se neque violasse jus neque aliud quicquam temere et perperam egisse probaverit; talis appellatur defensio : quinta deinceps species, quum quis aliquem laudibus celebret ac præclarum virum esse doceat, eaque laudatio dicitur; sexta deinde, quum turpem ac malum aliquem esse probaverit, et hæc vituperatio appellatur. Ergo rhetoricæ pars una laudatio dicitur, alia vituperatio, alia adhortatio, alia dehortatio, alia accusatio, alia defensio.

17. Rhetorica in quinque dividitur partes : una enim est accusatio, alia defensio, alia adhortatio, alia laudatio, alia vituperatio.

GENERAL LIBRARY University of MICHIGAN

XVI. Diog. Laert. 94: Τὸ ὀρθῶς λέγειν διαιρεῖται εἰς τέτταρα· ἓν μὲν ἃ δεῖ λέγειν, δεύτερον δὲ ὅσα δεῖ λέγειν, τρίτον πρὸς οὓς δεῖ λέγειν, τέταρτον δὲ πηνίκα δεῖ λέγειν. Ἃ μὲν οὖν δεῖ λέγειν, ἃ μέλλει συμφέρειν τῷ λέγοντι καὶ τῷ ἀκούοντι· τὸ δὲ ὅσα δεῖ λέγειν, μὴ πλείω μηδὲ ἐλάττω τῶν ἱκανῶν· τὸ δὲ πρὸς οὓς δεῖ λέγειν, ἐάν τε πρὸς πρεσβυτέρους [ἁμαρτάνοντας] διαλέγῃ, ἁρμόττοντας δεῖ τοὺς λόγους διαλέγεσθαι ὡς πρεσβυτέροις· ἐάν τε πρὸς νεωτέρους, ἁρμόττοντας ὡς νεωτέροις. Πηνίκα δὲ λέγειν ἐστί, μήτε πρότερον μήτε ὕστερον· εἰ δὲ μή, διαμαρτήσεσθαι καὶ οὐκ ὀρθῶς ἐρεῖν.

Cod. Marc. 52 : Διαιρεῖται τὸ ὀρθῶς λέγειν εἰς πέντε· ἔστι γὰρ αὐτοῦ ἓν μὲν ὅσα δεῖ λέγειν, ἓν δὲ ὅπου δεῖ λέγειν, ἓν δὲ πρὸς οὓς δεῖ λέγειν, ἓν δὲ ἡνίκα δεῖ λέγειν, ἓν δὲ ἃ δεῖ λέγειν. Τὸ μὲν οὖν ὅσα δεῖ λέγειν ἐστὶ τὸ μήτε πλείω μήτε ἐλάσσω τῶν ἱκανῶν· τὸ δὲ ὅπου δεῖ λέγειν ἐστὶν ἐν τόπῳ, οἷον ἐν ἀγορᾷ καὶ ἐν γυμνασίῳ καὶ ἐν διατριβῇ καὶ ἐν τοῖς δέουσιν ἄλλοις τόποις· τὸ δὲ πρὸς οὓς δεῖ λέγειν, ἑκάστῳ τὸ ἁρμόττον καὶ πρὸς ὃν ὃ ἁρμόττει οἷον πρὸς πρεσβυτέρους, πρὸς μοχθηροὺς ἢ ἡδεῖς καὶ πρὸς ἐχθροὺς ἢ φίλους· τὸ δὲ ἡνίκα δεῖ οἷον τὸ μήτε πρότερον μήτε ὕστερον μήτε διὰ μέσου ἄτερ τοῦ καιροῦ ἀλλ' εὐκαίρως· τὸ δὲ ἃ δεῖ λέγειν οἷον τὰ συμφέροντα καὶ ὠφέλιμα καὶ αὐτῷ καὶ τῷ φίλῳ.

XVII. Diog. Laert. III, 95 : Ἡ εὐεργεσία διαιρεῖται εἰς τέτταρα· ἢ γὰρ χρήμασιν ἢ σώμασιν ἢ ταῖς ἐπιστήμαις ἢ τοῖς λόγοις. Τοῖς μὲν οὖν χρήμασιν, ὅταν δεομένῳ βοηθήσῃ τις εἰς χρημάτων λόγον εὐπορῆσαι· τοῖς δὲ σώμασιν εὖ ποιοῦσιν ἀλλήλους, ὅταν παραγενόμενοι τυπτομένοις βοηθῶσιν· οἱ δὲ παιδεύοντες καὶ ἰατρεύοντες καὶ διδάσκοντες ἀγαθόν τι, οὗτοι ταῖς ἐπιστήμαις εὐεργετοῦσιν· ὅταν δ' εἰσέλθωσιν εἰς δικαστήριον ἄλλος ὑπὲρ ἄλλου βοηθὸς καὶ λόγον τινὰ ἐπιεικῆ εἴπῃ ὑπὲρ αὐτοῦ, οὗτος δὴ λόγῳ εὐεργετεῖ. Τῆς ἄρα εὐεργεσίας ἡ μέν ἐστι διὰ χρημάτων, ἡ δὲ διὰ σωμάτων, ἡ δὲ δι' ἐπιστημῶν, τετάρτη δὲ διὰ λόγων.

Cod. Marc. 44 : Διαιρεῖται ἡ εὐεργεσία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν λόγῳ εὐεργετεῖν, ἓν δὲ δι' ἐπιστήμης καὶ τεχνῶν, ἓν δὲ εἰς ἀργυρίου λόγον καὶ ἓν διὰ σωμάτων. Διὰ λόγων οὖν εὐεργετοῦσιν οἱ συνηγοροῦντες καὶ συνδικάζοντες καὶ ἐγκωμιάζοντες καὶ οἱ τοιοῦτοι, δι' ἐπιστήμης δὲ καὶ τέχνης οἱ παιδεύοντες καὶ ἰατρεύοντες καὶ οἱ πρὸς τὸν βίον χρήσιμα δημιουργοῦντες· εἰς ἀργυρίου δὲ λόγον οἱ προϊστάμενοι τῆς εἰς [del.] ἀργυρίου χρείας· διὰ τῶν σωμάτων δὲ εὐεργετοῦσιν οἱ ἀμύνοντες καὶ βοηθοῦντες ἐν τοῖς τοιούτοις συμπτώμασιν.

XVIII. Diog. Laert. III, 96 : Διαιρεῖται τὸ τέ-

XVI. Recte dicendi quattuor sunt genera. Primum enim quid dicere oporteat observandum, secundum quantum dicere, tertio ad quos, quarto quando sit dicendum. Quid igitur oporteat dicere, ea nimirum quæ utilia futura sint et dicenti et auditori; quanta dicere conveniat, nimirum ut neque nimis multa neque pauciora quam satis est dicantur; quibus autem dici oporteat, ut si quidem ad [peccantes] seniores dicendum sit, verba illi ætati congrue loquamur, sin vero ad juniores verba facienda sint, ut cum junioribus decet dicamus : quando vero dicendum, nimirum neque prius neque posterius quam ratio exigit : alioqui profecto vitium non effugiet, qui secus facit.

52. Recte dicendi quinque sunt genera. Primum enim quanta dicere oporteat, alterum ubi, tertium ad quos, quartum quando, quintum quid dicendum sit. Quanta autem dicere oporteat, in eo constat ut neque nimis multa neque pauciora dicamus quam quæ sufficiunt. Ubi, in loco est, ut in foro, in gymnasio, in schola et in reliquis locis ubi opus sit. Quibus oporteat, ut cuique congrua dicamus, ut senioribus, male sive bene dispositis, amicis sive inimicis. Quando oporteat, ut nihil neque initio, neque in fine, neque in medio sine opportunitate dicamus, sed opportuna quæque. Quæ vero oporteat, ut quæ vel ipsi vel amico prodesse et utilia esse possint.

XVII. Beneficentia quadrifariam dividitur : aut enim pecuniis, aut corporibus, aut disciplinis, aut verbis beneficium præstari. Pecuniis quidem beneficium constat, quum quis egenos, ut inopia liberentur, pecuniis juvat. Corporibus vero aliis benefaciunt, quum vapulantibus advenientes opitulantur. Porro qui erudiunt vel medicinæ arte subveniunt vel boni aliquid docent, hi disciplinis benefaciunt. At quum in judicium quispiam ingressus pro amico dixerit, eumque probabili oratione adjuverit, hic beneficentiæ munus verbis explevit. Beneficentia ergo alia est quæ pecuniis, alia quæ corporibus, alia quæ disciplina, quarta quæ verbis prodest.

44. Beneficentia in quattuor dividitur : aut enim verbis, aut disciplinis et artibus, aut pecuniis, aut corporibus benefieri potest. Verbis autem benefaciunt qui patrocinantur, in judiciis adjuvant, laudant et talia faciunt; disciplinis vero et artibus qui erudiunt vel medicinæ arte subveniunt et qui ea quæ ad vitam necessaria sunt factitant; pecuniis qui pecuniis adjuvant, corporibus vero benefaciunt qui in tali casu defendunt et auxiliantur.

XVIII. Finem rerum quadripartitum facit. Nam res aut secundum leges finem accipiunt, ut quum decretum ali-

λος τῶν πραγμάτων εἰς τέτταρα εἴδη· ἓν μὲν κατὰ νόμον τέλος τὰ πράγματα λαμβάνει, ὅταν ψήφισμα γένηται καὶ τοῦθ' ὁ νόμος τελέσῃ· κατὰ φύσιν δὲ τέλος τὰ πράγματα λαμβάνει, ἥ τε ἡμέρα καὶ ὁ ἐνιαυτὸς καὶ αἱ ὧραι. Κατὰ τέχνην δὲ τέλος τὰ πράγματα λαμβάνει, οἷον ἡ οἰκοδομική· οἰκίαν γάρ τις ἐπιτελεῖ· καὶ ἡ ναυπηγική· πλοῖα γάρ· κατὰ τύχην δὲ γίνεται τοῖς πράγμασι τέλος, ὅταν ἄλλως καὶ μὴ ὡς ὑπολαμβάνει τις ἀποβαίνῃ. Τοῦ τέλους ἄρα τῶν πραγμάτων τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ τέχνην, τὸ δὲ κατὰ τύχην ἐστίν.

XIX. Diog. Laert. III, 97 : Ἡ δύναμις διαιρεῖται εἰς τέτταρα εἴδη· ἓν μὲν ὃ δυνάμεθα τῇ διανοίᾳ λογίζεσθαι καὶ ὑπονοεῖν· ἕτερον δὲ τῷ σώματι, οἷον πορεύεσθαι καὶ διδόναι καὶ λαμβάνειν καὶ τὰ τοιαῦτα· τρίτον ὃ δυνάμεθα πλήθει στρατιωτῶν καὶ χρημάτων, ὅθεν καλεῖται πολλὴν δύναμιν ἔχων βασιλεύς· τετάρτη δὲ διαίρεσις δυνάμεως πάσχειν καὶ ποιεῖν εὖ καὶ κακῶς· οἷον ἀρρωστεῖν καὶ παιδεύεσθαι δυνάμεθα καὶ ὑγιεῖς γίνεσθαι καὶ πάντα τὰ τοιαῦτα. Τῆς ἄρα δυνάμεως ἡ μέν ἐστιν ἐν διανοίᾳ, ἡ δ' ἐν τῷ σώματι, ἡ δ' ἐν τῷ στρατοπέδῳ καὶ χρήμασιν, ἡ δ' ἐν τῷ ποιεῖν καὶ πάσχειν.

Cod. Marc. 33 : Διαιρεῖται ἡ δύναμις εἰς πέντε· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ψυχῇ, ἓν δὲ ἐν σώματι, ἓν δὲ ἐν ταῖς πράξεσιν, ἓν δὲ ἐν ἐνίοις τῶν μὴ ὄντων, ἓν δὲ ἐν τῷ παθεῖν ἢ ποιῆσαι. Ἐν ψυχῇ μὲν ἃ μανθάνομεν καὶ διανοούμεθα, ἐν σώματι δὲ οἷον αἵ τε κινήσεις καὶ αἱ ἄλλαι δυνάμεις καθ' ἃς πράττειν τι ἐν τῷ σώματι δυνάμεθα, ἐν δὲ ταῖς πράξεσιν οἷον αἱ στρατιωτικαὶ δυνάμεις· λέγεται γὰρ μεγάλην ἔχειν δύναμιν ὅταν χρήματα καὶ στρατιῶται πολλοὶ συνηθροισμένοι ὦσι. Τῶν δὲ μὴ ὄντων ἐν ἐνίοις ὅσα δυνατά ἐστι γενέσθαι ἢ ποιηθῆναι· ἐν δὲ τῷ παθεῖν ἢ ποιῆσαι ὅσα δυνατά ἐστιν ἀναιρεῖν ἢ ἀναιρεθῆναι.

XX. Diog. Laert. III, 98 : Τῆς φιλανθρωπίας ἐστὶν εἴδη τρία· ἓν μὲν διὰ τῆς προσηγορίας γινόμενον, οἷον ἐν οἷς τινες τὸν ἐντυχόντα πάντα προσαγορεύουσι καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαιρετίζουσιν· ἄλλο εἶδος ὅταν τις βοηθητικὸς ᾖ παντὶ τῷ ἀτυχοῦντι· ἕτερον εἶδός ἐστι τῆς φιλανθρωπίας ἐν ᾧ τινες φιλοδειπνισταί εἰσι. Τῆς ἄρα φιλανθρωπίας τὸ μέν ἐστι διὰ τοῦ προσαγορεύειν, τὸ δὲ διὰ τοῦ εὐεργετεῖν, τὸ δὲ διὰ τοῦ ἑστιᾶν καὶ φιλοσυνουσιάζειν.

XXI. Diog. Laert. III, 98 : Ἡ εὐδαιμονία διαιρεῖται εἰς πέντε μέρη· ἡ μὲν γὰρ αὐτῆς ἐστιν εὐβουλία, ἕτερον δ' εὐαισθησία καὶ ὑγίεια τοῦ σώματος, τρίτον εὐτυχία ἐν ταῖς πράξεσι, τέταρτον εὐδοξία παρὰ τοῖς ἀνθρώποις, πέμπτον εὐπορία χρημάτων καὶ τῶν εἰς τὸν βίον χρησίμων. Ἡ μὲν οὖν εὐβουλία γίνεται ἐκ παιδείας καὶ ἐκ τοῦ πολλῶν ἔμπειρον γενέσθαι· ἡ δ' εὐαισθησία ἐκ τῶν τοῦ σώματος μερῶν· οἷον ἐάν τις τοῖς ὀφθαλμοῖς ὁρᾷ καὶ τοῖς ὠσὶν ἀκούῃ καὶ τῇ ῥινὶ καὶ τῷ στόματι αἰσθάνηται ὧν δεῖ αἰσθάνεσθαι· τὸ δὴ τοιοῦτον εὐαισθησία· ἡ δ' εὐτυχία, ὅταν ἐφ' ἃ σκοπεῖ πράξῃ κατ' ὀρθὸν ἃ δεῖ πράττειν τὸν σπουδαῖον· εὐδοξία δ' ἐστὶν ὅταν τις εὖ ἀκούῃ· εὐπορία δ' ἐστὶν ὅταν τις πρὸς τὰς ἐν τῷ βίῳ πράξεις οὕτως ἔχῃ ὥστε καὶ φίλους εὖ ποιῆσαι καὶ φιλοτίμως καὶ εὐπόρως ἀπολειτουργῆσαι. Ὧ δ' ὑπάρχει ταῦτα πάντα, οὗτός ἐστιν εὐδαίμων τελέως. Τῆς ἄρα εὐδαιμονίας ἔστι τὸ μὲν

---

quod lege firmatur et impletur; aut secundum naturam finis rebus accedit, ut dies et annus et anni tempora; aut secundum artem finis rei imponitur, ut arti ædificandarum domuum; etenim domum perficit quis; et arti ædificandarum navium; naves enim perficit. Aut fortuito finis contingit, ut quum secus ac putabamus ac præter opinionem aliquid accidit. Aut igitur legitimus est rerum finis, aut naturalis, aut arte constat, aut fortuna.

XIX. Potentiam quattuor in species dividit : unam quippe esse qua cogitare animo et opinari possumus; alteram qua corpore valemus, ut proficisci et dare et accipere et cetera id genus; tertiam qua vel multitudine militum vel pecuniarum copia potentes dicimur : unde et multam potentiam habere dicitur rex; quartam potentiæ distributionem qua facere ac pati bene ac male possumus : nam et infirmari possumus et erudiri et convalescere et hujusmodi omnia. Prima itaque potentiæ species constat animo, secunda corpore, tertia exercitu atque pecuniis, quarta in faciendo et patiendo.

33. Potentia in quinque dividitur species : una enim est in animo, alia in corpore, alia in actionibus, alia in quibusdam eorum quæ non sunt, alia in patiendo vel faciendo. In animo sunt quæ discimus et cogitamus, in corpore veluti motus ceteræque facultates quibus aliquid corpore facere possumus; in actionibus copiæ militares : habere enim dicimur magnam potentiam quum pecuniæ multæ et multi milites in unum coacti sunt. Eorum quæ in quibusdam non sunt quæcunque sive fieri sive facta esse possunt, in patiendo vero vel faciendo, sive tollere sive tolli posse.

XX. Humanitatem triplicem inducit : quandam enim compellatione fieri, ut quum forte obvium quemque humaniter compellet porrectaque dextra salvere jubeat; aliam esse ejus speciem, quum quis afflicto cuique fert opem; tertium ejus genus, quo quidam ad convivia alios vocare amant. Aut igitur salutationis officio, aut ope et auxilio, aut convivio frequentique congressu constat humanitas.

XXI. Felicitatem in quinque partes dividit : primam ejus partem esse bene consulere; secundam sensibus et bona valetudine corporis vigere; tertiam in rebus gerendis fortunatum esse; quartam gloria et auctoritate apud homines excellere; quintam pecuniis rebusque ceteris ad omnes usus vitæ affluere. Sanam consultationem ex eruditione multarumque rerum peritia et experimento contingere; sensuum integritatem ex corporis membris acci-

εὐβουλία, τὸ δ' εὐαισθησία καὶ ὑγίεια τοῦ σώματος, τὸ δ' εὐτυχία, τὸ δ' εὐδοξία, τὸ δ' εὐπορία.

XXII . Diog Laert. III, 100 : Αἱ τέχναι εἰς τρία διαιροῦνται· ἡ μὲν πρώτη, ἡ δὲ δευτέρα, ἡ δὲ τρίτη. Πρώτη μὲν οὖν ἡ μεταλλευτικὴ καὶ ὑλοτομική· παρασκευαστικαὶ γάρ εἰσιν· ἡ δὲ χαλκευτικὴ καὶ ἡ τεκτονικὴ μετασκευαστικαί εἰσιν· ἐκ μὲν γὰρ τοῦ σιδήρου ἡ χαλκευτικὴ ὅπλα ποιεῖ, ἡ δὲ τεκτονικὴ ἐκ τῶν ξύλων αὐλοὺς καὶ λύρας. Ἡ δὲ χρηστική, οἷον ἱππική, τοῖς χαλινοῖς χρῆται· ἡ πολεμικὴ τοῖς ὅπλοις· ἡ μουσικὴ τοῖς αὐλοῖς καὶ τῇ λύρᾳ. Τῆς τέχνης ἄρα τρία εἴδη ἐστί· τὸ μέν τι πρῶτον, τὸ δέ τι δεύτερον, τὸ δέ τι τρίτον. Cf. supra V.

XXIII. Diog. Laert. III, 101 : Τὸ ἀγαθὸν εἰς τέτταρα γένη διαιρεῖται· ὧν ἓν μὲν λέγομεν εἶναι τὸν τὴν ἀρετὴν ἔχοντα ἰδίᾳ ἀγαθόν· ἄλλο δ' αὐτὴν τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην λέγομεν ἀγαθὸν εἶναι· τρίτον δὲ, οἷον σιτία καὶ γυμνάσια τὰ ὠφέλιμα· τέταρτον δ' αὐλητικὴν καὶ ὑποκριτικὴν ἀγαθὸν λέγομεν εἶναι.

Cod. Marc. 36 : Διαιρεῖται τὸ ἀγαθὸν εἰς τέσσάρα· ἔστι γὰρ αὐτοῦ ἓν μὲν ἀρετὴ καὶ δικαιοσύνη, ἓν δὲ τὸ ἔχον ἀρετήν, ἓν δὲ τὸ συμφέρον, ἓν δὲ τὸ τερπνὸν καὶ τὸ ἥδεσθαι ποιοῦν. Οἷον ἀρετὴ μὲν καὶ δικαιοσύνη ὅτι τούτων ἑκάτερον ἀγαθὸν λέγεται εἶναι, ἓν δὲ τὸ ἔχον ἀρετήν οἷον ἵππος καὶ ἄνθρωπος καὶ τὰ τοιαῦτα· καὶ γὰρ τούτων ἕκαστον λέγεται ἀγαθὸν εἶναι ἐὰν ἔχῃ τὴν ἀρετήν. Τὸ δὲ συμφέρον οἷον γυμνασία καὶ φαρμακεία καὶ τἆλλα ὅσα πρὸς ὑγείαν καὶ εὐεξίαν· καὶ γὰρ τούτων ἕκαστον λέγεται ἀγαθὸν εἶναι ᾧ ἂν συμφέρῃ. Τὸ δὲ τερπνὸν καὶ τὸ ἥδεσθαι ποιοῦν οἷον ὑποκριτὴς καὶ αὐλητὴς καὶ τῶν βρωμάτων ἔνια καὶ τἆλλα τὰ τοιαῦτα· ὁ γὰρ ὑποκριτὴς καὶ ὁ αὐλητὴς οὐ τῷ ὠφελεῖν ἀγαθὸν εἶναι λέγεται, ἀλλὰ τῷ τέρπειν τοῦ ἀγαθοῦ εἶναι.

XXIV. Diog. Laert. III, 102 : Τῶν ὄντων τὰ μέν ἐστι κακά, τὰ δ' ἀγαθά, τὰ δ' οὐδέτερα. Τούτων κακὰ μὲν ταῦτα λέγομεν, τὰ δυνάμενα βλάπτειν ἀεὶ, οἷον ἀκρασίαν καὶ ἀφροσύνην καὶ ἀδικίαν καὶ τὰ τοιαῦτα· τὰ δὲ τούτοις ἐναντία ἀγαθά ἐστιν· τὰ δ' ἐνίοτε μὲν ὠφελεῖν, ἐνίοτε δὲ βλάπτειν, οἷον τὸ περιπατεῖν καὶ τὸ καθῆσθαι καὶ τὸ ἐσθίειν· ἢ ὅλως μήτε ὠφελῆσαι μήτε βλάψαι δυνάμενα· ταῦτα οὖν οὔτε ἀγαθὰ οὔτε κακά ἐστι. Τῶν ἄρα ὄντων τὰ μὲν ἀγαθά, τὰ δὲ κακά, τὰ δὲ οὐδέτερα τούτων.

Cod. Marc. 55 : Διαιρεῖται ἕκαστον τῶν ὄντων εἰς τρία· ἔστι γὰρ ἢ ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερον. Τὸ μὲν οὖν ἀγαθόν ἐστιν ὅταν ὠφελήσῃ τινὰ καὶ οὐ βλάψῃ, τὸ δὲ κακὸν ὅταν βλάπτῃ ἀεί, τὸ δὲ οὐδέτερον ὅπερ ποτὲ μὲν βλάψει ποτὲ δὲ ὠφελήσει, οἷον οἱ περί-

---

dere, ut si quis cernit oculis, audit auribus, narium præterea et oris sensu valet ubi opus est; prosperitatem rerum esse, quum quis quod agere intendit, recte egerit, ut decet strenuum virum; bonam opinionem, quum quis bene audit; rerum affluentiam, quum cui ad vitæ usus ita suppetit pecuniarum copia, ut et amicos fovere beneficio ac reipublicæ ornandæ et adjuvandæ splendide et large sumptus facere possit. Porro cui hæc suppetant omnia, eum perfecto felicem ac beatum esse. Felicitatis igitur una quidem pars est prudens consilium, altera sensuum integritas et corporis valetudo, tertia rerum prosperitas, quarta bona opinio, quinta rerum affluentia.

XXII. Artes trifariam dividit, quarum alia prima, alia secunda, alia tertia est. Prima in tractatione metallorum lignisque cædendis constat; materiam enim præbent; secunda ars ærarii et fabri, quæ ex his conficiat aliquid : nam ex ferro ærarius arma fabricat, ex lignis faber tibias et lyras : tertia in usu earum rerum est, ut equestris ars frenis utitur, armis ars bellica, musica tibiis et lyra. Artis igitur tres species sunt, prima, secunda, tertia.

XXIII. Bonum in quattuor genera dividitur, quorum unum dicimus esse, quum quis virtute præditus proprie bonus sit; aliud vero virtutem ipsam jam et justitiam nominamus; tertium veluti cibos, commodas exercitationes ac medicamenta; quartum tibiis canendi peritia et histrionia dicitur et reliqua ejus generis.

36. Bonum in quattuor partes dividitur : una est virtus et justitia, altera quod habet virtutem, tertia quod utile est, quarta quod jucundum est et quod oblectat. Virtus et justitia vero quod utraque bonum esse dicitur, alia, est quod virtutem habet ut equus et homo et quæ hujus sunt generis; eorum enim quodcunque bonum esse dicitur quum virtutem habet. Quod utile vero est, ut corporis exercitationes et medicamenta et alia quæ ad bonam valetudinem et sanitatem corporis pertinent; eorum enim quodcunque illi bonum esse dicitur cui utile est. Jucundum vero et quod oblectat ut histrio et tibicen et ciborum quidam et alia hujus generis. Histrio enim et tibicen boni non dicuntur quod prosunt, sed quod oblectatio inter bona ponitur.

XXIV. Eorum quæ sunt quædam dicimus mala, quædam bona, alia neutra. Ex his mala dicimus ea quæ semper nocere possunt, ut intemperantia, dementia, iniquitas et hujusmodi; bona, quæ his contraria sunt; alia quæ interdum prodesse, interdum obesse possunt, cujusmodi sunt ambulatio, sessio, cibique perceptio, aut quæ omnino neque prodesse possunt, neque obesse : ea igitur neque bona esse neque mala. Eorum ergo quæ sunt alia sunt bona, alia mala, alia neutra.

55. Eorum quæ sunt quodcunque in tria dividitur : est enim sive bonum, sive malum, sive neutrum. Bonum autem est quum prodest et non nocet, malum quod nocet semper, neutrum vero quod interdum nocebit, interdum proderit, ut ambulationes, somni, elleborus et quæ hujus sunt generis, et ea quæ neque nocebunt omnino neque proderunt.

πατοι καὶ οἱ ὕπνοι καὶ οἱ ἐλλέβοροι καὶ τὰ τοιαῦτα, ἣ οὔτε βλάψει ὅλως οὔτε ὠφελήσει.

XXV. Diog. Laert. III, 103 : Εὐνομία διαιρεῖται εἰς τρία· ἓν μὲν ἐὰν ὦσιν οἱ νόμοι σπουδαῖοι, εὐνομίαν φαμὲν εἶναι· ἕτερον δ' ἐὰν τοῖς κειμένοις νόμοις ἐμμένωσιν οἱ πολῖται, καὶ τοῦτό φαμεν εὐνομίαν εἶναι· τρίτον δ' ἐὰν μὴ ὄντων τῶν νόμων κατ' ἔθη καὶ ἐπιτηδεύματα χρηστῶς πολιτεύωνται, καὶ τοῦτο εὐνομίαν προσαγορεύομεν. Τῆς εὐνομίας ἄρα ἓν μέν ἐστι τοὺς νόμους σπουδαίους εἶναι· ἄλλο δ' ἐὰν τοῖς οὖσι νόμοις ἐμμένωσι· τρίτον δ' ἐὰν ἔθεσι καὶ ἐπιτηδεύμασι χρηστοῖς πολιτεύωνται.

Cod. Marc. 14 : Διαιρεῖται ἡ εὐνομία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν νόμοις σπουδαίοις χρῆσθαι, ἓν δὲ τοῖς ὑπάρχουσιν ἂν ὦσι μὴ φαῦλοι πείθεσθαι, ἓν δὲ τοῖς ἔθεσι τοῖς σπουδαίοις πολιτεύεσθαι ἐὰν μὴ ὦσι νόμοι γεγραμμένοι.

XXVI. Diog. Laert. III, 103 : Διαιρεῖται ἡ ἀνομία εἰς τρία· ὧν ἓν μέν ἐστι ἐὰν ὦσιν οἱ νόμοι μοχθηροὶ καὶ πρὸς ξένους καὶ πρὸς πολίτας· ἕτερον δ' ἐὰν τοῖς ὑπάρχουσι μὴ πείθωνται· ἄλλο δ' ἐὰν τοῖς οὖσι μὴ πείθωνται· ἄλλο δ' ἐὰν ὅλως μηδεὶς ᾖ νόμος. Τῆς ἄρα ἀνομίας ἓν μέν ἐστι τὸ μοχθηροὺς εἶναι τοὺς νόμους· ἄλλο δ' ἐὰν τοῖς οὖσι μὴ πείθωνται· τρίτον ἐὰν μηδεὶς ᾖ νόμος.

Cod. Marc. 15 : Διαιρεῖται ἡ ἀνομία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν νόμοις φαύλοις καὶ [an καὶ μή?] μετρίοις κεχρῆσθαι, ἓν δὲ τὸ μὴ πείθεσθαι τοῖς κειμένοις ἂν ὦσι σπουδαῖοι, ἓν δὲ τὸ φαύλοις ἔθεσι πολιτεύεσθαι ἂν μὴ ὦσι νόμοι τὸ σύνολον.

XXVII. Diog. Laert. III, 104 : Τὰ ἐναντία διαιρεῖται εἰς τρία· οἷον ἀγαθὰ κακοῖς ἐναντία φαμὲν εἶναι, ὡς τὴν δικαιοσύνην τῇ ἀδικίᾳ καὶ τὴν φρόνησιν τῇ ἀφροσύνῃ καὶ τὰ τοιαῦτα. Κακὰ δὲ κακοῖς ἐναντία ἐστίν, οἷον ἡ ἀσωτία τῇ ἀνελευθερίᾳ καὶ τὸ ἀδίκως στρεβλοῦσθαι τῷ δικαίως στρεβλοῦσθαι· καὶ τὰ τοιαῦτα κακὰ κακοῖς ἐναντία ἐστί. Τὸ δὲ βαρὺ τῷ κούφῳ καὶ τὸ ταχὺ τῷ βραδεῖ καὶ τὸ μέλαν τῷ λευκῷ, ὡς οὐδέτερα οὐδετέροις ἐστὶν ἐναντία. Τῶν ἐναντίων ἄρα τὰ μὲν ὡς ἀγαθὰ κακοῖς ἐναντία ἐστί· τὰ δὲ ὡς κακὰ κακοῖς· τὰ δὲ ὡς οὐδετέροις οὐδέτερα.

Cod. Marc. 23 : Διαιρεῖται τὰ ἐναντία εἰς τρία· ἔστι γὰρ αὐτῶν τὸ μὲν ὡς ἀγαθὸν κακῷ, οἷον ὑγεία νόσῳ καὶ κάλλος αἴσχει καὶ τὰ τοιαῦτα· τὸ δὲ ὡς οὐδέτερον οὐδετέρῳ, οἷον λευκότης μελανότητι καὶ κουφότης βαρύτητι καὶ τὰ τοιαῦτα· τὸ δὲ ὡς φευκτὸν φευκτῷ, οἷον ἀσωτία ἀνελευθερίᾳ καὶ θερμότης ψυχρότητι καὶ ἰσχνότης παχύτητι καὶ τὰ τοιαῦτα. (Cf. infra LXX.)

XXVIII. Diog. Laert. III, 105 : Τῶν ἀγαθῶν γένη ἐστὶ τρία· τὰ μὲν γάρ ἐστιν ἑκτά, τὰ δὲ μεθεκτά, τὰ δὲ ὑπαρκτά. Τὰ μὲν οὖν ἑκτά ἐστιν ὅσα ἐνδέχεται ἔχειν οἷον ἡ δικαιοσύνη καὶ ἡ ὑγίεια· μεθεκτὰ δ' ὅσα ἔχειν

XXV. Bona constitutio legum in tria dividitur : primum, si sint leges præclaræ et graves, bonam constitutionem legum dicimus; secundum, si cives eas leges quæ latæ sunt omni studio observent, hoc quoque bonam constitutionem legum vocamus; tertium si, quum leges nullæ sint, secundum consuetudines ac studia quorumlibet bene respublica administratur, id quoque bonam constitutionem legum vocamus. Est igitur prima pars ejusce constitutionis, ut sint leges bonæ; secunda, ut illæ observentur; tertia, ut præclaris consuetudinibus, institutis ac moribus respublica administretur.

14. Bona legum constitutio in tria dividitur; prima illius species est uti bonis legibus; altera, iis quæ latæ sunt si non malæ sint obtemperare; tertia, bonis institutis regi, si nullæ scriptæ sint leges.

XXVI. Malus legum status in tria dividitur. Primum ex his est, si sint leges latæ peregrinis et civibus noxiæ; alterum, si his quæ sunt minime obtemperetur; tertium, si nulla omnino sit lex. Ergo sine legibus esse uno modo est, quum pravæ leges sint; alio, si latis legibus cives non obtemperant; tertio, si nulla lex obtinet.

15. Malus legum status in tria dividitur. Primum est legibus uti malis et mediocribus; alterum legibus quæ latæ sunt, si bonæ sint non obtemperare; tertium vero si nullæ omnino leges sint malis moribus vivere.

XXVII. Contraria trifariam dividuntur quemadmodum bona malis contraria dicimus, ut justitiam injustitiæ, prudentiam stultitiæ et hujusmodi cetera. Mala autem malis contraria, ut prodigalitas illiberalitati et injusta pœna justæ pœnæ et cetera id genus mala malis contraria sunt. Porro levia gravibus, tardis velocia et nigra candidis ut neutris neutra contraria sunt. Contrariorum igitur partim ut bona malis contraria sunt, partim ut mala malis, partim ut neutra neutris contraria dicuntur.

23. Contraria in tria dividuntur : aliud enim est ut bonum malo contrarium est, sanitas morbo, pulchra facies turpi et similia, aliud ut neutrum neutri, albus color nigro, levitas gravitati et similia; aliud ut quod fugiendum est fugiendo, ut prodigalitas illiberalitati, calor frigori, macies crassitudini et similia.

XXVIII. Bonorum tria sunt genera : alia enim ex his haberi, alia participari possunt, alia per se constant. Prima illa sunt quæ haberi possunt, ut justitia et sanitas; secunda quæ haberi quidem nequeunt, eorum tamen participes esse possumus, ut bonum ipsum quidem habere non possumus, possumus tamen ejus participes esse; constant autem per sese, quæ neque participationem admittunt, neque haberi possunt, sed esse oportet, ut probum esse et justum esse bonum est. Ea vero neque habere neque his participare licet, sed ipsum esse oportet quod dicimus bonum sese et justum esse. Bonorum igitur alia sunt quæ habere possumus, alia quæ aliis participare, alia per se constant.

μὲν μὴ ἐνδέχεται, μετασχεῖν δ' αὐτῶν ἐνδέχεται· οἷον αὐτὸ τὸ ἀγαθὸν ἔχειν μὲν οὐκ ἐνδέχεται, μετασχεῖν δ' αὐτοῦ ἐνδέχεται. Ὑπαρκτὰ δὲ ὅσα μήτε μετασχεῖν μήτε ἔχειν ἐνδέχεται, ὑπάρχειν δὲ δεῖ· οἷον τὸ σπουδαῖον εἶναι ἀγαθὸν καὶ δίκαιον εἶναί ἐστι. Καὶ ταῦτα οὔτε μετασχεῖν οὔτε ἔχειν ἀλλ' ὑπάρχειν δεῖ τὸ σπουδαῖον εἶναι καὶ δίκαιον εἶναι. Τῶν ἀγαθῶν ἄρα τὰ μέν ἐστιν ἑκτά, τὰ δὲ μεθεκτά, τὰ δὲ ὑπαρκτά.

XXIX. Diog. Laert. III, 106 : Ἡ συμβουλία διαιρεῖται εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐκ τῶν παροιχομένων χρόνων λαμβανόμενον, ἓν δ' ἐκ τῶν μελλόντων, ἓν δ' ἐκ τῶν ἐνεστώτων. Τὰ μὲν οὖν ἐκ τῶν παροιχομένων παραδείγματα, οἷον τί ἔπαθον Λακεδαιμόνιοι πιστεύσαντες· τὰ δ' ἐκ τῶν παρόντων, οἷον ἀποφαίνειν τείχη ἀσθενῆ, δειλοὺς ἀνθρώπους, σῖτον ὀλίγον· τὰ δ' ἐκ τῶν μελλόντων, οἷον ταῖς ὑπονοίαις μὴ ἀδικεῖν τὰς πρεσβείας, ὅπως μὴ ἄδοξος ἡ Ἑλλὰς γένηται. Τῆς ἄρα συμβουλίας τὰ μέν ἐστιν ἐκ τῶν παροιχομένων, τὰ δ' ἐκ τῶν παρόντων, τὰ δ' ἐκ τῶν μελλόντων.

Quum enim tum nonaginta tum centum dicat, sibi ipsi repugnare videtur. Heraclides vero et alii hoc ita solvere conati sunt... Aristoteles autem non male se habere dicit, si non omnes eadem dicentes a poeta inducuntur, ita enim oportebat eadem plane alios aliis dicere.

6.

Cur finxit Helenam ignorantem quam ob causam fratres non præsentes sint, quum jam decem annos bellum duravisset et multi captivi facti essent; absurdum enim. Præterea vero etiam si ignorabat, nihil opus erat hujus rei mentionem ab illa fieri, quum ipsam Priamus non de illis interrogavisset, neque enim horum mentio utilis erat carmini. Dicit vero Aristoteles : custodiebatur fortasse ab Alexandro ne cum captivis congrederetur. Sive ut ipsius mores meliores viderentur neque curiosius se gereret, ubi fratres essent ignorabat. Omnia enim dicere et facere videtur, ut et Priamus et Trojani in hanc sententiam adducantur se invitam et contra sententiam animi Ilium venisse.

7.

Cur, quum perjurii reos facere velit Trojanos poeta, ut jure pereant, nullibi perjuros fecit, sed putat? Jusjurandum enim hoc erat : Si Alexandrum interfecerit Menelaus, Helena tradetur. Non interfecto vero Alexandro nequaquam injuste egerunt non tradentes Helenam neque jusjurandum fefellerunt. Aristoteles autem inquit poetam non dixisse Trojanos perjuros factos esse sicut de aliis dixit :

Sic dixit et sane perjurium juravit (Il. X, 332 s.),

sed diris devotos fuisse, ipsi enim se devoverunt quum dixerint :

Jupiter augustissime, maxime et immortales dii ceteri;
uti priores præter fœdera offenderint,
sic ipsis cerebrum humi fluat, sicut hoc vinum
(Il. III, 298 ss.).

Non perjuraverunt igitur, sed male egerunt et contra jusjurandum. Devoti igitur diris fuerunt. Itaque et Juno illos noxios facere tentat ex ipsis ob quæ se devoverant. Quum enim illi dixissent :

Uti priores præter fœdera offenderint,
sic ipsis cerebrum humi fluat, sicut hoc vinum,

Ζεῦ κύδιστε, μέγιστε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν,
ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος
(Il. γ, 298 sqq.).

Οὐκ ἐπιώρκησαν μὲν οὖν, ἐκακούργησαν δὲ καὶ ἔβλαψαν τοὺς ὅρκους· ἐπάρατοι οὖν ἦσαν. Ταῦτά τοι καὶ Ἥρα πειρᾶται ἐξ αὐτῶν ὧν κατηράσαντο γενέσθαι αὐτοῖς τὴν βλάβην· εὐξαμένων γὰρ ἐκείνων,

Ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν
ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος,

ἡ Ἥρα αὐτὸ τοῦτο παρακελεύεται τῇ Ἀθηνᾷ·

Ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν,
πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι (Il. δ, 65 ss.).

Τὸ δὲ βλάψαι οὐκ ἔστιν ἐπιορκῆσαι.

Expressit hoc scholium e cod. Veneto Mehler, *Proben homerischer Scholien aus cod. Venet. B in ihrer wahren Gestalt, Rhein. Mus. N. F.* t. VII, p. 147. Eadem quæstio in Porphyrii scholio ad Il. γ, 457, p. 118, B, 22 tractatur.

8 (173).

Schol. Ven. B ad Iliad. γ, 277 (Ἠέλιός θ' ὃς πάνθ' ἐφορᾷς), p. 110, A, 51 Bekk. (cf. Schol. cod. Lips. p. 173,31 Bachm.). Πορφυρίου. Διὰ τί τὸν ἥλιον πάντα ἐφορᾶν καὶ πάντα ἐπακούειν εἰπών, ἐπὶ τῶν ἑαυτοῦ βοῶν ἀγγέλου δεόμενον ἐποίησεν·

Ὠκέα δ' ἠελίῳ ὑπερίονι ἄγγελος ἦλθε
Λαμπετίη τανύπεπλος, ὅ οἱ βόας ἔκταν ἑταῖροι
(Od. μ, 374 s.).

Λύων δ' Ἀριστοτέλης φησίν, ἤτοι ὅτι πάντα μὲν ὁρᾷ ἥλιος ἀλλ' οὐχὶ ἅμα, ἤτοι ὅτι τῷ ἡλίῳ ἦν τὸ ἐξαγγεῖλαι ἡ Λαμπετία ὥσπερ (τὴν Λαμπετίαν ὅπερ Lehrs. ap. Kammer. l. l. p. 36) τῷ ἀνθρώπῳ ἡ ὄψις· ἢ ὅτι, φησίν, ἁρμόττον ἦν εἰπεῖν οὕτως τόν τε Ἀγαμέμνονα ὁρκίζοντα ἐν τῇ μονομαχίᾳ·

Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις
(Il. γ, 277),

καὶ τὸν Ὀδυσσέα πρὸς τοὺς ἑταίρους λέγοντα· οὐ γὰρ δὴ καὶ τὰ ἐν Ἅδου ὁρᾷ.

Idem scholium, cujus pars tantum exstat in Ambrosianis B et Q apud Dindorfium, in cod. Vindob. Græc. phil. 133 ad Odyss. μ, 374 appositum legitur, unde protulit Rosius : Πορφυρίου· ὠκέα δ' ἠελίῳ ὑπερίονι· ἐναντίον τοῦτο τῷ· « Ἠέλιος ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις »· ἀφ' ἑαυτοῦ γὰρ ἐχρῆν ἐγνωκέναι τὸν πάντα ἐφορῶντα. Λύοιτο δ' ἂν ἡ τῇ λέξει· τὸ γὰρ πάντα δηλοῖ τὰ πλεῖστα. Ἄλλως τε οὐκ ἠγνόει τὸ πεπραγμένον ὁ ἥλιος, ἀλλ' ἔδει ὡς ποιμαίνουσαν καὶ ταύτην ἀπαγγεῖλαι. Ἢ τῷ καιρῷ λύεται, ὡς νυκτὸς ἐπιθεμένων ταῖς βουσὶ τῶν ἑταίρων. Ἢ ὅτι ἡλίῳ ἐξαγγέλλει ἡ Λαμπετία ὥσπερ τῷ ἀνθρώπῳ ἡ ὄψις· ἢ ὅτι, φησίν, ἁρμοστὸν ἦν εἰπεῖν οὕτω τόν τε Ἀγαμέμνονα, etc., ut in cod. Ven. Nomen Ἀριστοτέλους in margine adscriptum esse, quasi ad alterum scholium cui præfigatur ἄλλως, testatur Rosius.

9 (174).

Schol. Ven. B ad Iliad. γ, 441, p. 117, B, 26 Bekk., Schol. L. p. 184, 33 Bachm., Schol. Eton. (p. 38 apud Nœhden, *De Porphyrii scholl. in Homer.* Gotting. 1797) : Πορφυρίου. Διὰ τί τὸν Ἀλέξανδρον πεποίηκεν οὕτως ἄθλιον ὥστε μὴ μόνον ἡττηθῆναι μονομαχοῦντα, ἀλλὰ καὶ φυγεῖν καὶ ἀφροδισίων μεμνημένον εὐθύς, καὶ ἐρᾶν μάλιστα τότε φάσκοντα, καὶ οὕτως ἀσώτως διακεῖσθαι; Ἀριστοτέλης μέν φησιν εἰκότως· ἐρωτικῶς μὲν γὰρ καὶ πρότερον διέκειτο, ἐπέτεινε δὲ τότε. Πάντες γὰρ ὅτε μὴ ἐξῇ ἢ φοβοῦνται μὴ ἕξουσι, τότε ἐρῶσι μάλιστα· διὸ καὶ νουθετούμενοι ἐπιτείνουσι μᾶλλον· ἐκείνῳ δὲ ἡ μάχη τοῦτο ἐποίησεν.

Pro πέφηνε, quod post Villois. Bekkerus dedit, in cod. Ven. ut in ceteris ἐπέτεινε legi Ro-

Juno hoc ipsum injungit Minervæ :

Ire in Trojanorum et Achivorum pugnam gravem
tentareque, ut Trojani gloria-elatos Achivos
incipiant priores præter fœdera lædere (Il. IV, 65 ss.).

Offendere vero non est perjurare·

8.

Cur Solem, quem omnia videre et omnia audire dicit poeta, finxit egentem nuntii de ipsius bobus :

Velox autem soli sublimi nuntia venit
Lampetia longo-peplo-induta, quod ei boves interfece-
[rant socii.

Aristoteles solvens dicit Solem omnia videre sed non simul : sive Soli nuntiasse Lampetiam, ut visus nuntiat homini : sive, dicit, conveniens erat ita loqui Agamemnonem quum in singulari certamine juraret

Solque, qui omnia adspicis, et omnia audis,

et Ulyssem quum ad socios verba faceret : nec enim videt ea quæ sunt apud inferos.

9.

Cur Paridem poeta tam miserum finxit, ut qui in singulari certamine superatus sit et fugerit, statim rei venereæ meminerit et se tum maxime amare dicat, ita ut libidinis impotens ostendatur? Aristoteles vero observat convenienter hoc esse factum : antea enim jam Helenam Paris amabat : tunc vero magis illam deperiebat. Omnes enim, quum non licet, sive metuunt ne potiantur, maxime

sius declarat. De re aliter Plutarch. De Aud. poet. c. 3 et Quæst. conviv. III, 6.

10 (175).

Schol. Ven. A in Iliad. δ, 88, p. 124, A, 43 Bekk., Schol. L. p. 194, 38 Bachm., Schol. Eton. ad δ, 84, p. 39 Nœhd., Didym. f. 102 recto Ald. : Πορφυρίου. Διὰ τί ἡ Ἀθηνᾶ εἰς σύγχυσιν τῶν ὅρκων οὐ τῶν Τρώων τινὰ ἐπελέξατο ἀλλὰ τῶν ἐπικούρων; καίτοι κεχαρισμένος ἄν τις ἐγένετο Ἀλεξάνδρῳ μᾶλλον, εἰ τῶν οἰκείων ἦν. Καὶ διὰ τί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο; Φησὶν οὖν (ita B L, ceteri καί φησιν) ὁ Ἀριστοτέλης ὅτι τῶν μὲν Τρώων οὐδένα, διότι πάντες αὐτὸν ἐμίσουν, ὡς ὁ ποιητής φησιν·

Ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ
(Il. γ, 454),

τῶν δὲ ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο ὡς φιλοχρήματον· σημεῖον δὲ ἡ τῷ οἴκῳ αὐτοῦ τῶν ἵππων κατάλειψις, ἵνα μὴ δαπανᾷ (ε, 302)· καὶ ὅτι φύσει ἐπίορκος ἦν· τὸ γὰρ ἔθνος ἔτι καὶ νῦν δοκεῖ εἶναι, ὅθεν ἐκεῖνος ἦν, ἐπίορκον. Aliorum deinde solutionibus interpositis scholium hisce verbis concluditur : Ὡς ἄριστον οὖν αὐτὸν ἐπελέξαντο τοξότην, quibus in cod. Parisino 2556 apud Cram. Anecd. Paris. t. III, 162, 9, et in Marciano 531 apud Rosium hæc adduntur : Ὅθεν οὐχὶ ἀσεβὴς ἦν, ὡς Ἀριστοτέλης ἀπεφήνατο, ἀλλ' εὔστοχος.

Ad Aristotelem item provocant schol. Venet. A, cod. L. p. 195 21 Bachm., Didym. f. 102 recto ad Il. δ, 88, ubi dicunt : ἄπιστοι γὰρ Λυκάονες, ὡς καὶ Ἀριστοτέλης μαρτυρεῖ.

11 (176).

Schol. Ven. B, Vaticani, p. 133, B, 5 Bekk., Eton. p. 40 Nœhd. ad Il. δ., 297 : Πορφυρίου. Διὰ τί τὴν τάξιν ταύτην ἐποίησεν, ἱππῆας μὲν πρῶτον, πεζοὺς δ' ἐξόπισθε, κακοὺς δ' ἐς μέσον; ἄτοπον γὰρ τὸ τοὺς ἱππέας πρὸ τῆς φάλαγγος ποιῆσαι καὶ τούτων μεταξὺ τοὺς φαύλους. Λύει δ' Ἀριστοτέλης· ἢ οὐ πρὸ τῆς φάλαγγος λέγειν τοὺς ἱππεῖς φησίν, ἀλλ' ἐπὶ τοῖς κέρασιν, καὶ οὕτως πρῶτοι εἶεν ἄν. Τοὺς δὲ κακοὺς οὐ τόπῳ διορίζει, ἀλλ' ἐναλλὰξ μεταξὺ ἀνδρείου τὸν ἀσθενέστερον, πεζοὺς δ' ἐξόπισθεν τῶν ἱππέων, ὥστε τὰ μὲν κέρατα κρατεῖν τοὺς ἱππέας, μετὰ δὲ τούτους τοὺς πεζούς. Πανταχοῦ δὲ μεταξὺ τῶν ἀνδρείων ἱππέων τε καὶ πεζῶν τετάχθαι τοὺς κακοὺς ἤτοι ἱππέας τε καὶ πεζούς.

Ultima, manca apud Villoisonium, e codice supplevit Rosius. Quæ deinde addit ex variis scholiis excerpta omisimus, quum ad Aristotelem nihil facere videantur.

12 (177).

Schol. Ven. B ad Iliad. ε, 741. p. 171, A, 42 Bekk. : Διὰ τί ποτὲ μέν φησι τὴν κεφαλὴν τῆς Γοργόνος ἐν Ἅδου εἶναι λέγων·

Μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου
ἐξ Ἅδου πέμψειε (Odyss. λ, 634 sq.),

ποτὲ δὲ τὴν Ἀθηνᾶν ἔχειν ἐν τῇ αἰγίδι, λέγων·

Βάλετ' αἰγίδα θυσανόεσσαν (Il. ε, 738),

καὶ ἐπάγει·

amant. Quamobrem et qui castigantur magis exardescunt : illi vero pugna hoc fecit.

10.

Cur Minerva ad perturbationem jurisjurandi non Trojanorum aliquem sed sociorum elegit, quum tamen gratior factus esset Paridi si suorum aliquis fuisset, et cur ex sociariis Pandarum elegit? Dicit igitur Aristoteles nullum Trojanorum electum esse, quod omnibus odiosus erat, ipso poeta teste :

Æque enim ipsis omnibus odio erat, atque mors atra
(Il. III, 454),

ex sociariis vero Pandarum elegit quod avarus erat; avaritiæ enim indicium est equos domi eum reliquisse; deinde quod natura perjurus erat, nam ista gens e qua oriundus fuit et nunc quoque perjura est.

Perfidos esse Lycaones Aristoteles quoque testatur.

11.

Cur aciem ita instruxit, equites quidem primos, pedites vero a tergo et ignavos in medio? Absurdum enim est equites ante phalangem peditum constitui et inter utrosque ignavos. Solvit autem Aristoteles dicens equites non ante phalangem sed in utroque cornu positos esse et ita primos appellari. Ignavos vero non loco a ceteris disjungit, sed alternatim, ita ut minus fortes milites fortibus interponeret; pedites vero post equites, ut in cornubus equites dominarentur, post ipsos vero pedites : ubique vero collocari inter fortes equites et pedites, ignavos sive equites sive pedites.

11.

Cur modo dicit Gorgonis caput apud inferos esse ita :

Ne mihi Gorgonium caput horrendi monstri
Ex Orco mitteret,

modo vero id Minervam in ægide habere affirmat :

Posuit ægidem fimbriatam;

continuat vero :

In ea Contentio, in ea Fortitudo, in ea atrox Insectatio
In ea et Gorgonium caput, horrendi monstri.

Aristoteles inquit, eam nequaquam in clypeo habere caput

'Εν δ' ἔρις, ἐν δ' ἀλκή, ἐν δὲ κρυόεσσα ἰωκή,
ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου (Il. ε, 740 sq.).

Φησὶ δ' Ἀριστοτέλης ὅτι μήποτε ἐν τῇ ἀσπίδι οὐκ αὐτὴν εἶχε τὴν κεφαλὴν τῆς Γοργόνος, ὥσπερ οὐδὲ τὴν Ἔριν οὐδὲ τὴν κρυόεσσαν Ἰωκήν, ἀλλὰ τὸ ἐκ τῆς Γοργόνος γιγνόμενον τοῖς ἐνορῶσι πάθος καταπληκτικόν.

Idem scholium, eisdem fere verbis, ad Odyss. λ, 634 occurrit, p. 527, 15 Dind., et diserte tribuitur Porphyrio, ut Rosius observat, in cod. Vindobonensi. Eo usus est Eustathius quoque p. 1704, qui ex errore ad Iliad., p. 603, ἴδιόν τι σύγγραμμα περὶ αἰγίδος Aristophanis Byzantii memorat, quod Porphyrii erat, ut ex Schol. Ven. B ad Il. β, 447 apparet. Non erat igitur cur de Aristophanis nomine in Aristotelis apud Eustathium l. l. mutando cogitaret Nauckius, *Aristoph. Byz. fragmenta* p. 273.

13 (178).

Schol. Venet. B ad Il. ε, 778 : Αἱ δὲ βάτην, τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι, p. 172 A, 36 Bekk. : τὴν ὁρμὴν καὶ τὴν πτῆσιν· ἄτοπον γὰρ τρυφερῶς βαδίζειν τὰς εἰς πόλεμον ἐσκευασμένας. Ἄλλως. Καλῶς τῶν βουλομένων λαθεῖν τὰ ἴχνη περιστεραῖς εἴκασεν· ἀφανῆ γὰρ αὐτῶν τὰ ἴχνη, ὡς Ἀριστοτέλης. Ἢ καὶ διὰ τὸ καθαρόν· ἢ διὰ τὸ ταχύ. Eadem cod. L. p. 278, 34 Bachm. : ἀφανῆ γὰρ τῶν περιστερῶν τὰ ἴχνη, ὡς καὶ Ἀριστοτέλης λέγει.

14 (179).

Schol. Ven. B ad Il. ζ, 234 : Ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς, p. 187, B, 39 Bekk. : Πορφυρίου. Διὰ τί ὁ μὲν Γλαῦκος προήχθη εἰς φιλοτιμίαν τοῦ ἀλλάσσειν τὰ ὅπλα χρυσᾶ ὄντα πρὸς Διομήδη, ὁ δὲ ποιητὴς ἐπιτιμᾷ ὡς οὐ δέον, οὐδ' εἰ φίλος εἴη, προΐεσθαι πλείονος ἄξιον;..... Ὁ ποιητὴς δέ, φησὶν Ἀριστοτέλης, οὐχ ὅτι τὰ πλείονος ἄξια ὄντα προήκατο ἐπιτιμᾷ, ἀλλ' ὅτι ἐν πολέμῳ καὶ χρώμενος προΐετο· οὐδὲν γὰρ ἀλλοιότερον, ὥσπερ ἂν εἰ ἀπέβαλε τὰ ὅπλα. Ἐπιτιμᾷ οὖν ὅτι κρείττω προΐετο οὐκ εἰς τιμὴν ἀλλ' εἰς χρῆσιν· ἀναγκαῖον δὲ τοῦτο δηλῶσαι εἰπόντα τὴν ἀξίαν. Pro εἰπόντα, εἰπόντος (sc. Ὁμήρου) conj. Kammer. l. l. p. 45.

15 (180).

Schol. Ven. B ad Iliad. η, 93, p. 204, B, 33 Bekk.: Πορφυρίου. Διὰ τί προκαλουμένου Ἕκτορος εἰς μονομαχίαν οἱ μὲν ἄλλοι ἄριστοι αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι, Μενέλαος δὲ πρῶτος ἀνίσταται καὶ μεμψάμενος τοὺς ἄλλους κατεδύσατο τεύχεα καλά, μάχεσθαι προθυμούμενος· ὅτε δὲ προτραπέντες οἱ ἐννέα ἀνίσταντο, οὐδαμοῦ αὐτὸς ἐν τούτοις εὑρίσκεται, ἀλλ' Ἀγαμέμνων καὶ Διομήδης καὶ οἱ Αἴαντες καὶ Ἰδομενεὺς καὶ Μηριόνης καὶ Εὐρύπυλος καὶ Θόας καὶ Ὀδυσσεύς; Φησὶ δὲ ὁ Ἀριστοτέλης ὅτι ἅπαξ ἀκούσας·

μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι
Ἕκτορι (Il. η, 111 s.),

οὐκ ἔμελλεν αὖθις ἀνίστασθαι· καὶ ὅτι τὸ πρότερον ἐκ φιλονεικίας ἡ ἀνάστασις· καὶ ὅτι ἤδη μονομαχήσας ἐτύγχανεν Ἀλεξάνδρῳ καὶ οὐ καλῶς ἀπαλλάξας, καὶ νεωστὶ ἐτέτρωτο ὑπὸ Πανδάρου· καὶ ὅτι ἀποκινδυνεύειν τοῦτον οὐκ ἐχρῆν, ἐν ᾧ τὸ τέλος ἤρτητο τοῦ πολέμου· ἐπὶ γὰρ Ἀλεξάνδρου ἴσον ἦν τὸ τοῦ κινδύνου.

Gorgonis, utpote neque Contentionem, neque atrocem Insectationem, sed illum sensum pavoris qui gignitur adspicientibus Gorgonis caput.

13.

Columbarum vestigia non apparere dicit Aristoteles.

14.

Cur Glaucus adducitur in cupiditatem permutandi arma aurea quæ gerit cum Diomede, poeta vero succenset quod non oporteat, etiamsi amicus sit ita projicere quæ majoris pretii sunt?.. Poeta vero, inquit Aristoteles, non succenset quod projecerit quæ majoris sunt pretii, sed quod in bello et quum utendum iis erat projecerit. Neque enim differt ac si abjecisset arma : succenset igitur quod projecit meliora non pretio sed usu : hoc autem indicare oportebat de pretio dicentem.

15.

Cur provocati ab Hectore ad singulare certamen, ceteri omnes fortissimi viri veriti sunt certamen recusare, metuerunt vero suscipere. Menelaus autem primus assurrexit et vituperans ceteros pulchra arma induit, pugnandi avidus : quum vero impulsi novem assurrexerunt, ipse nequaquam inter illos reperitur, sed Agamemnon et Diomedes et Ajaces et Idomeneus et Eurypylus et Thoas et Ulysses. Dicit autem Aristoteles illum, quum semel audierit :

Neque velis, præ contentionis studio, te fortiori cum viro pugnare
Hectore,

noluisse iterum assurgere : prius autem assurrexisse æmulatione; jam vero illum singulari certamine cum Alexandro congressum fuisse, nec rem feliciter gessisse; nuper vero a Pandaro vulneratum esse; nec oportuisse illum in periculo versari a quo totius belli finis penderet : nam quod ad Alexandrum attinebat, par erat periculum.

16 (181).

Schol. Ven. B ad Il. η, 228, p. 183 Vill., p. 209, B, 14 Bekk. : Πορφυρίου. Διὰ τί ὁ Αἴας τῷ Ἕκτορι δεδήλωκε τὴν τοῦ Ἀχιλλέως μῆνιν; οὐδεμία γὰρ ἀνάγκη ἦν, οὐδὲ φρονίμου ἀνδρὸς τὰ παρ' αὐτοῦ κακὰ τοῖς πολεμίοις ἐξαγγέλλειν. Ἢ ὅτι.... Ἀριστοτέλης δέ, ἵνα μὴ οἴηται τὸν Ἀχιλλέα ἀποδεδειλιακέναι, ἀλλὰ κἀκεῖνον καὶ ἄλλους αὐτοῦ εἶναι κρείττους· εἶτα εἰπών·

Νῦν... δὴ σάφα εἴσεαι οἰόθεν οἶος,
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι,
καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα (Il. η, 226 sqq.),

ἵνα καταπλήξῃ τῆς Ἀχιλλέως ἀρετῆς ἀναμνήσας, ὃν ἐδόκει πεφοβῆσθαι, εἰκότως πέπονθεν Ἀχιλλεύς· τὸ γὰρ « μετ' Ἀχιλλῆα » ἀμφίβολον πότερον μετὰ τὴν ἐκείνου τελευτὴν ἢ μετὰ τὴν ἐκείνου ἀρετήν, ἢ καθάπερ ἐκεῖνος ἦν καὶ ἄλλοι εἰσίν· ἀναγκαῖον οὖν δηλῶσαι τί πέπονθεν Ἀχιλλεύς, καὶ ὅτι μηνίων οὐ πάρεστιν, ἀλλ' οὐχὶ τεθνηκὼς ἢ ἀποπλεύσας, ἀλλ' ὅτι ἐν νηυσὶ κορωνίσι μηνίων· ὀργὴ δ' ἐν ἀγαθοῖς ἀνδράσιν εὐδιάλυτον.

Num et ultima inde ab εἶτα εἰπών Aristotelis sint, affirmare non audeo.

17 (182).

Schol. Venet. B ad Il. ι, 17, p. 211 Vill., p. 240, B, 39 Bekk. ubi falso A : Πορφυρίου. Διὰ τί λέγοντα ποιεῖ ἐν δήμῳ

Ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες

τοὺς ἡγήτορας καὶ βασιλεῖς προσφωνῶν, καίπερ πάντων παρόντων; Φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι ὁ μὲν δῆμος μόνον τοῦ ἀκοῦσαι κύριος, οἱ δὲ ἡγεμόνες καὶ τοῦ πρᾶξαι.

18 (183).

Schol. Ven. B ad Il. κ, 98, p. 245 Vill., p. 282, A, 18 Bekk. ad κ, v. 198 : Πορφυρίου. Ἠπόρησεν Ἀριστοτέλης, διὰ τί ἔξω τοῦ τείχους ἐποίησε τοὺς ἀριστέας βουλευομένους ἐν νυκτηγορίᾳ, ἐξὸν ἐντὸς τοῦ τείχους ἐν ἀσφαλεῖ. Καί φησι· Πρῶτον μὲν οὖν οὐκ εἰκὸς ἦν ἀποκινδυνεύειν τοὺς Τρῶας οὔτ' ἐπιτίθεσθαι νύκτωρ· οὐ γὰρ τῶν εὐτυχούντων ἦν ἀποκινδυνεύειν· ἔπειτα ἐν ἐρημίᾳ καὶ καθ' ἡσυχίαν βουλεύεσθαι περὶ τῶν τηλικούτων ἔθος. Ἄτοπον δ' ἂν ἦν, εἰ ἠξίουν μὲν πορευθῆναί τινας εἰς τοὺς Τρῶας, αὐτοὶ δὲ οὐδὲ μικρὸν προσελθεῖν ἐτόλμων. Ἔπειτα στρατηγῶν ἂν εἴη τὸ φυλάσσεσθαι τοὺς νυκτερινοὺς θορύβους, τὸ δ' ἐν τῷ στρατεύματι νυκτὸς συνιόντας βουλεύεσθαι, νεωτερισμοῦ ὑποψίαν παρασχόν, φόβον ἐνεποίει. Quæ sequuntur Porphyrii esse videntur.

19 (184).

Schol. Ven. B ad Iliad. κ, 153, p. 247 Vill., p. 279, B, 42 Bekk. : Πορφυρίου. Φαύλη δοκεῖ εἶναι ἡ τῶν δοράτων ἐπὶ σαυρωτῆρας στάσις· καὶ δὴ πανταχοῦ θόρυβον ἤδη πεποίηκε νύκτωρ ἓν μόνον πεσόν. Λύει δ' Ἀριστοτέλης λέγων ὅτι τοιαῦτα ἀεὶ ποιεῖ Ὅμηρος, οἷα ἦν τότε. Ἦν δὲ τοιαῦτα τὰ παλαιὰ

16.

Cur Ajax Hectori iram Achillis nuntiavit? Nulla enim erat necessitas neque prudentis est viri propriam calamitatem hostibus declarare... Aristoteles vero factum esse dicit ne putaret Achillem laborem belli detrectasse, sed et illum et alios ipso esse fortiores. Deinde quum dicit :

Nunc sane — manifesto scies cum-solo solus,
Quales etiam Danais principes intersint,
Etiam post Achillem hostium-agmina perrumpentem, animo-leonino-præditum

ut terreat Achillis virtute in memoriam revocata, quem in terrorem versum putabat, in Achillem bene cadunt. Verba enim « post Achillem » ambigua sunt et sive post illius mortem, sive post illius virtutem, sive ut ille erat et alii sunt significant. Necesse igitur erat declarare quid Achilles passus esset, eumque iratum abesse, nec mortuum sive profectum sed iratum apud naves bene coronatas consedere; iræ vero in fortibus viris facilis excusatio.

17.

Cur Agamemnonem loquentem facit coram populo :
O amici Achivorum ductores et principes,
verba faciens ad ductores et reges quamquam omnes adsunt? Dicit autem Aristoteles populo tantum audiendi licentiam esse, principibus vero et agendi.

18.

Quæsivit Aristoteles cur principes in nocturno concilio extra munitiones ad deliberandum congregaverit, quum tuti intra potuissent. Et dicit : Primum verisimile non erat Trojanos periclitari neque noctu aggredi, non enim eorum erat qui prospera fortuna utebantur aggredi. Mos est deinde de tam gravibus rebus in solitudine et per tranquillitatem deliberare. Absurdum deinde fuisset si voluissent nonnullos ad Trojanos ire, nec ipsi ausi essent aliquantum accedere. Ducum est deinde a nocturnis tumultibus cavere, nocturnum vero concilium in castris, quum suspicionem moveat novi aliquid accidisse, terrorem gignit.

19.

Mala videtur fuisse consuetudo hastas in terram defigere quum vel una per noctem ruente tumultus ubique oriatur. Aristoteles solvit difficultatem dicens Homerum suæ ætatis morem expressisse. Idem vero antiquis mos fuit qui et nunc apud barbaros obtinet, hanc autem consuetudinem multi ex barbaris servant.

οἷάπερ καὶ νῦν ἐν τοῖς βαρβάροις· πολλοὶ δὲ οὕτω χρῶνται τῶν βαρβάρων.

Πανταχοῦ e codice Rosius, pro πολλαχοῦ quod est apud Bekkerum p. 279, B, 45. Plane cum his consentiunt quæ in Poetica c. 25 § 14 leguntur :... Οἷον τὰ περὶ τῶν ὅπλων — « Ἔγχεα δέ σφιν ὄρθ' ἐπὶ σαυρωτῆρος »· οὕτω γὰρ τότ' ἐνόμιζον, ὥσπερ καὶ νῦν Ἰλλυριοί.

20 (185).

Schol. Ven. B ad Il. κ, 252, p. 251 Vill., p. 285, B, 42 Bekk. Πορφυρίου. Quæstionis quæ ex verbis poetæ :

> Ἄστρα δὲ δὴ προβέβηκεν, παρῴχηκεν δὲ πλέον νὺξ
> τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται,

oritur, cum et multorum solutiones recensentur, tum et Aristotelis :.... Ἀριστοτέλης δὲ οὕτως ἀξιοῖ λύειν, ἐν οἷς φησίν· « Ἡ εἰς δύο διαίρεσις εἰς ἴσην δύναται γενέσθαι ἐν τούτοις· ἐπεὶ δὲ τὸ πλέον τοῦ ἡμίσεος ἀόριστόν ἐστιν, ὅταν τοσοῦτον αὐξηθῇ ὡς τοῦ ὅλου τρίτον ἀπολείπεσθαι, ἀκριβῶς ἂν εἴη τὸ ἀφορίσαι τοῦτο καὶ δηλῶσαι ὅσον ἐστὶ τὸ καταλειφθὲν, ἵνα ὅσον ηὐξήθη τοῦ ὅλου τὸ ἥμισυ δῆλον γένηται· οἷον τῶν ϛ' ἥμισυ τὰ γ'. Εἴπερ διαιρεθείη τὰ ϛ' εἰς β' ἴσα, ἔσται γ'. Ἐὰν τὸ ἕτερον μέρος αὐξηθῇ, ἄδηλον πότερον μορίῳ ἀριθμοῦ ἢ ὅλῃ μονάδι. Ἐὰν οὖν ὅλῃ μονάδι πλέον γένηται, τὸ μέρος τὸ ὑπολειπόμενον τρίτον ἔσται τοῦ ὅλου, ὥστε καὶ ὁ εἰπὼν « τῶν δύο μερῶν θάτερον πλέον γενόμενον καταλέλοιπε τριτάτην μοῖραν », δεδήλωκεν ὅτι ἐν αὐξήσει τὸ πλέον μονάδι γέγονε, τεσσάρων γεγονότων τῶν τριῶν καὶ δύο ὑπολειπομένων, ὅπερ ἦν τῶν ἓξ τὸ τρίτον. » Ἐπεὶ οὖν καὶ τῆς νυκτὸς αἱ δώδεκα μοῖραι εἰς δύο ἴσας μερίδας μερίζεσθαι δύνανται εἰς ἕξ, ηὐξήθη δὲ καὶ πλέον γεγονὸς θάτερον μέρος, ἄδηλον δὲ τὸ πόσαις ὥραις (καὶ γὰρ μιᾷ καὶ δύο καὶ τρισὶ καὶ πλείοσιν ἡ αὔξησις δύναται γίνεσθαι) ἀφορίζει ὁ ποιητὴς τὸ ἀόριστον τοῦ πλείονος πόσον ἦν καὶ ὅτι δύο ὥραις ηὐξήθη, ἐπήγαγεν ὅτι τριτάτη μοῖρα λέλειπται, ὡς ὀκτὼ μὲν γενέσθαι τὰς παρῳχηκυίας ὥρας, καταλείπεσθαι δὲ τέσσαρας, αἵπερ εἰσὶ τοῦ ὅλου τρίτον. Οὕτω καὶ εἰ ιη' εἴη μερῶν, ὅτι δίχα διαιρεῖται εἰς θ', εἴποις δ' ὅτι πλέον τῆς εἰς β' μοίρας παρῴχηκεν, ἡ δὲ τρίτη μοῖρα περιλείπεται, δῆλον ποιήσεις ἐκ τοῦ τὸ τρίτον φάναι περιλείπεσθαι, ὅπερ ἐστὶν ϛ', ὅτι ιβ' φησιν εἰλῆφθαι. Ἔστω δὲ καὶ ἐπὶ τοῦ νυχθημέρου τῶν ὡρῶν τὸ αὐτὸ ζητούμενον, καὶ λεγέτω τις ὅτι πλέον τι τῶν εἰς β' μοίρας νεμομένων ὡρῶν παρῴχηκεν, ἔτι μὴ ἀφορίσας τὸ πόσον, ἐπαγέτω δὲ ὅτι ἡ τρίτη μοῖρα τοῦ παντὸς λέλειπται· δῆλον γίνεται ὅτι τῆς εἰς β' διαιρέσεως εἰς ιβ' καὶ ιβ' γενομένης, τοῦ τρίτου καταλειφθέντος τοῦ παντός, ὅπερ ἐστὶν η', θάτερον μέρος τὸ πλέον ἐν τέτρασιν ἔσχεν, ὥστε ιϛ' ὥρας τὰς πάσας παρεληλυθέναι, ὑπολείπεσθαι δὲ η'. Ἐν οἷς οὖν εἰς β' ἴσα καὶ εἰς γ' ἐστὶ διαίρεσις, ἐάν τις εἰς β' πλεονάσαντα τὸ γ' τῆς εἰς γ' καταλίποι, ἀφορίζει ὅσῳ πλέον ἡ αὔξησις γέγονε. Σοφῶς οὖν ὁ ποιητὴς τὸ ἀόριστον τρίτον τῆς αὐξήσεως τοῦ ἡμίσεος δεδήλωκεν ὅσον ἦν, ὅτι ὥραις δύο καὶ ὀγδόη παρεληλύθει ὥρα, διὰ τοῦ φάναι

> Τριτάτη δ' ἔτι [γὰρ] μοῖρα λέλειπται.

Εἰδὼς γάρ τις ὅτι ιβ' μὲν αἱ ὧραι πᾶσαι τῆς νυκτός, ὧν ἡ εἰς δύο μὲν μοίρας διαίρεσις ϛ' καὶ ϛ' ποιεῖ, ἡ δὲ εἰς γ' δ' καὶ δ', καὶ ἀκούσας τῆς εἰς β' μοίρας διαιρέσεως πλέον τι παρῳχηκέναι, εἶτα γνοὺς ὅτι τῆς εἰς γ' τὸ τρίτον ἐπιμένει, ὅπερ ἐστὶν ὧραι δ', εὐθὺς γινώσκει ὅτι ἀπὸ μεσονυκτίου β' ὧραι ἦσαν παραλλάξασαι μεταβάντος. Αὐτόχθων σέ φησιν...

Quæ inde ab ἐπεὶ οὖν καὶ τῆς νυκτὸς ad μεταβάντος leguntur, Rosius Porphyrio, non Aristoteli, tribuit. Nescio an recte. Eadem hæc, sed multo brevius, attigit Aristoteles in Poetica c. 25, § 20 : Τὰ δὲ ἀμφιβολίᾳ (δεῖ λύειν scilicet) « Παρῴχηκεν δὲ πλέων νύξ· » τὸ γὰρ πλέων ἀμφίβολόν ἐστιν. In cod. Ven. A ad hos versus adscribitur : Ἡ διπλῆ διὰ τὸ πολυθρύλλητον ζήτημα καὶ τὰς γεγονυίας ἀποδόσεις.

20.

Aristoteles arbitratur ita solvendam esse difficultatem (quæ e verbis poetæ oritur :

> Stellæ utique multum processerunt : præteriitque major noctis pars
> duarum partium, tertia autem adhuc pars reliqua est)

quum dicit : Divisio in duas partes in his ita fieri potest, ut inter se æquales sint. Quoniam vero plus quam dimidium non finitum est, quum in tantum augetur ut totius tertia pars relinquatur, accurate definiri et indicari posset quantum sit quod relinquitur, ut quantum totius dimidium auctum sit appareat. Ita dimidium VI sunt III, siquidem in duas æquales partes dividatur. Si altera pars augetur, incertum est utrum parte numeri, an tota unitate. Si igitur tota unitate pars quæ restat augetur, tertia erit totius, ita ut qui dicat : duarum partium altera majore facta, tertiam partem reliquit, ostendit in augmentatione unitatem accessisse, quum e tribus quattuor sint, duo autem relictas esse quæ sunt tertia pars quum totum ex sex partibus constet. Quum igitur et noctis duodecim divisiones in binas æquales partes dividi possint, quarum senis quæque constat, atque altera quæ major fit augetur incertum vero quot horis : etenim sive una, sive duobus, sive tribus et majore etiam numero augeri potest. Definit autem poeta illam accessionem ostenditque duobus horis auctam esse majorem partem, adjiciens tertiam partem relictam esse, ita ut octo sint quæ jam præterierant horæ, quattuor vero relinquantur, quæ totius sunt tertia pars. Ita quoque et si totum XVIII partibus constat, dimidium IX erunt, et dicas duarum partium majorem præteriisse, tertiam vero partem relictam esse, ostendes, adjiciendo tertiam relictam esse partem quæ VI constat, XII præteriisse. Idem vero de toto horarum numero quæratur et dicat aliquis majorem partem horarum in duas partes divisarum præteriisse, quanto vero major sit non definiat, addat vero tertiam omnium horarum partem relictam esse, manifestum fiet, divisione in XII et XII facta, quum totius tertia pars relicta sit quæ est VIII, alteram partem quattuor partibus majorem esse, ut numerus horarum quæ jam præterierunt XVI sit, relinquantur vero VIII, etc.

21 (186).

Schol. Vict. Il. λ, 385, p. 316, A, 6 Bekk. : Κέρᾳ ἀγλαέ. Ἄλλως. Τῇ τριχὶ, ὅθεν καὶ τὸ κείρειν. Ἀριστοτέλης δὲ ὦ τῷ τόξῳ σεμνυνόμενε.

Idem scholium et in cod. Townleiano legitur. Aristotelis nomen male hîc pro Aristarchi positum esse indicavit Spitznerus ad l. l. collato Apollonio Lex. Hom. s. v. Κέρᾳ ἀγλαέ : οἱ μὲν γλωσσογράφοι ταῖς θριξὶν ἀγαλλόμενε· κέρας γὰρ τὴν τρίχα λέγεσθαι. Ὁ δὲ Ἀρίσταρχος κυρίως ἀκούει τὸ τοῦ βοὸς κέρας οἷον τὸ κεράτινον συρίγγιον· τὸ γὰρ παλαιὸν πρὸς τὸ μὴ ἀποτρῶξαι τὸν ἰχθὺν τῷ ἀγκίστρῳ περιτίθεσθαι τοῦτο. Τὸν δὲ Ὅμηρον μηδέποτε εἰρηκέναι κέρας τὴν τρίχα· ὅθεν ἐπὶ τοῦ κέρᾳ ἀγλαὲ, τόξῳ ἀγαλλόμενε. Locus scholiastæ mancus atque mutilus (cf. Lehrs. *de Aristarchi stud. Homeric.* p. 50) ex Eustathio supplendus esse videtur : qui quum primum in Iliad. p. 851, 39 Aristarchi explicationem apposuisset : Τὸ δὲ κέρᾳ ἀγλαὲ, οἱ μὲν ἀντὶ τοῦ τόξοις ἀγλαϊζόμενε, ἵνα λέγῃ κέρατα τοὺς προρρηθέντας πήχεις τοῦ τόξου, οἵπερ εἰσὶν, ὡς ἐδηλώθη, συμβεβλημένα κέρατα, cui et aliam addit : Οἱ δέ φασι, τὸ κέρᾳ ἀγλαὲ, ἀντὶ τοῦ κάλλιστε τὴν τρίχα... Aristotelis meminit hisce verbis : Ἀριστοτέλης δέ, φασί, κέρᾳ ἀγλαὸν εἶπεν ἀντὶ τοῦ αἰδοίῳ σεμνυνόμενον, ἐπὶ τοιούτου σημαινομένου τὴν λέξιν ἐκεῖνος νοήσας. Καὶ ἔοικεν ὁ σκορπιώδης τὴν γλῶσσαν Ἀρχίλοχος, ἁπαλὸν κέρας τὸ αἰδοῖον εἰπὼν, ἐντεῦθεν τὴν λέξιν πορίσασθαι, ubi illud notandum videtur ex Aristotelis explicatione vocem saltem σεμνυνόμενε apud scholiastem exstare, quum in priore explicatione Eustathius ἀγλαϊζόμενε dixerit, quod propius ad ἀγαλλόμενε accedit, quo usus est Apollonius et quod item apud schol. A ad l. l., p. 316, A, 23 Bekk. recurrit. Ejus hæc sunt verba, ex eodem fonte ducta e quo et Eustathius sua habet : Τοξότα, λωβητὴρ, κέρᾳ ἀγλαέ, παρθενοπῖπα : ἡ διπλῆ ὅτι κέρᾳ οὐ τῇ τριχὶ ψιλῶς, ἀλλ' ἐμπλοκῆς τι γένος· εἰς κέρατος τρόπον ἀνεπλέκοντο οἱ παλαιοί. Σώφρων· « Κορώνας ἀνδούμενοι· » καὶ οἱ Ἀθηναῖοι τέττιγας ἐνεπλέκοντο· καὶ παρ' Ὁμήρῳ. « Πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ· » (Il. ρ, 52). Ἔνιοι δὲ τῷ τόξῳ ἀγαλλόμενε· προείρηκε δὲ τοξότα λωβητήρ. Interpretationis quæ ab Eustathio Aristoteli tribuitur, quamque ut cum Rosio Aristophani adscribamus nulla causa est, meminit quoque Hesychius, s. v. Κέρας : θρίξ, τόξον καὶ αἰδοῖον. Ceterum de vocis κέρας significatione cf. infra fragm. 191.

22 (187).

Schol. cod. Leid. ad Iliad. λ, 636, apud Valckenar. in Ammon. p. 244 (Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν) : Πορφυρίου. Διὰ τί πεποίηκε μόνον τὸν Νέστορα αἴροντα τὸ ἔκπωμα; οὐ γὰρ εἰκὸς ῥᾷον αἴρειν νεώτερον (scrib. νεωτέρου). Καὶ Στησίμβροτος μὲν οὖν φησι, ἵνα δοκῇ εἰκότως πολλὰ ἔτη βεβιωκέναι· εἰ γὰρ παράνομος ἡ ἰσχὺς καὶ οὐχ ὑπὸ γήρως μεμάρανται, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια. Ἀντισθένης δὲ οὐ περὶ τῆς κατὰ χεῖρα βαρύτητος λέγει, ἀλλ' ὅτι οὐκ ἐμεθύσκετο σημαίνει, ἀλλ' ἔφερε ῥᾳδίως τὸν οἶνον. Γλαῦκος (Γλαύκων? cf. Schol. Iliad. α, 1 et Wolf. Proleg. p. CLXII. Γλαῦκος tamen legitur in Schol. B L ad hunc l. et ad Il. π, 414, p. 456, B, 32) δέ, ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα, ἐκ μέσου δὲ πανεύφορον (scrib. πᾶν εὔφορον). Ἀριστοτέλης δὲ τὸ Νέστωρ ὁ γέρων ἀπὸ κοινοῦ ἔφη δεῖν ἀκούειν ἐπὶ τοῦ ἄλλως (scrib. ἄλλος)· ἵν' ᾖ, Ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε τραπέζης, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν· πρὸς γὰρ τοὺς καθ' ἡλικίαν ὁμοίους γενέσθαι τὴν σύγκρισιν.

Idem schol. e cod. Paris. 2679 exstat apud Cramer. Anecd. Paris. t. III, p. 16, 20, ubi recte ἄλλος editum est. Omisso Aristotelis nomine schol. D p. 325, A, 25 Bekk. : Προσληπτέον τὸ

21.

Κέρᾳ ἀγλαέ, Aristoteles (immo Aristarchus) interpretatur arcu superbe.

Aristoteles, ut ferunt, κέρᾳ ἀγλαόν dixit pro insignem pudendo.

22.

Cur in his versibus :

> Alius quidem non sine labore submovisset de mensa,
> Plenum si esset, Nestor vero senex nullo labore tollebat;

unum Nestorem dicit tollere poculum ?... Aristoteles vero dicit verba Nestor senex in commune esse intelligenda cum voce ἄλλος, ita ut sit : Alius quidem senex non sine labore submovisset de mensa, Nestor autem senex nullo labore tollebat; comparationem enim fieri cum iis qui ætate æquales sint.

πρεσβύτης, ἵν' ᾖ οὐ ῥᾳδίως οὐδὲ εὐχερῶς αὐτὸ ἐκίνει τῆς τραπέζης τις τῶν λοιπῶν γερόντων, ἀλλὰ μογέων, ὅ ἐστιν ὀκνῶν. Schol. B L ib. v. 31 : Ἔνιοι δὲ ἀπὸ κοινοῦ τὸ γέρων, ἵν' ᾖ ἄλλος μὲν γέρων μογέων ἐκίνει, ὁ δὲ γέρων Νέστωρ ἀμογητὶ ἄειρεν. Itaque in Schol. A v. 11 : Ἄλλως. Ὁ Ἀσκαλωνίτης ψιλοῖ, καί φησιν ὅτι ἐπὶ τοῦ Νέστορος κεῖται· ἄλλος μὲν γὰρ ἄν τις αὐτὸ μόγις ἐκίνησε, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν· πολὺ πρότερον δὲ οὕτως καὶ Ἀρίσταρχος, pro Ἀρίσταρχος potius reponendum est Ἀριστοτέλης, quam, ut voluit Rosius, Ἀρίσταρχος pro Ἀριστοτέλης in Schol. cod. Paris. : etenim si recte disputata sunt, quæ de ætate Ptolemæi Ascalonitæ a Beccardo, *De scholiis in Homer. Venetis* A, p. 71 n., observantur, eum Dionysii Thracis et Ammonii æqualem fuisse, nec ita multo post Aristarchum vixisse, illud apud Scholiastam πολὺ πρότερον δὲ οὕτως vix in Aristarchum cadere poterit. Aristotelis nomen deinde recte se habere, cum Porphyrii mentio demonstrat quæ in cod. Leid. invenitur (de hac re vide quæ Rosius dixit ad fr. 21, p. 169), tum et similis plane explicatio quæ apud Athenæum XI, p. 493, C, e Sosibio Lacone legitur, Aristarcho antiquiore (cf. Müller. Fragm. hist. Græc. T. II, p. 625) : Σωσίβιος δὲ ὁ λυτικὸς προθεὶς τὰ ἔπη·

Ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης
πλεῖον ἐόν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν,

γράφει κατὰ λέξιν· « Νῦν τὸ μὲν ἐπιτιμώμενόν ἐστι τῷ ποιητῇ ὅτι τοὺς μὲν λοιποὺς ἔστι μογέοντας ἀείρειν τὸ δέπας, τὸν δὲ Νέστορα μόνον ἀμογητί. Ἄλογον δ' ἐδόκει Διομήδους καὶ Αἴαντος, ἔτι δ' Ἀχιλλέως παρόντων εἰσάγεσθαι τὸν Νέστορα γενναιότερον, τῇ ἡλικίᾳ προβεβηκότα. Τούτων τοίνυν οὕτως κατηγορουμένων τῇ ἀναστροφῇ χρησάμενοι ἀπολύομεν τὸν ποιητήν. Ἀπὸ γὰρ τούτου τοῦ ἑξαμέτρου,

Πλεῖον ἐόν, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν,

ἀπὸ τοῦ μέσου ἐξελόντες τὸ γέρων τάξομεν τοῦ πρώτου στίχου πρὸς τὴν ἀρχὴν ὑπὸ τὸ « ἄλλος μέν, » εἶτα τὸ ἐξ ἀρχῆς συνεροῦμεν· « Ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε τραπέζης πλεῖον ἐόν, ὁ δὲ Νέστωρ ἀπονητὶ ἄειρεν. » Νῦν οὖν οὕτω τεταγμένων ὁ Νέστωρ φαίνεται τῶν μὲν λοιπῶν πρεσβυτῶν μόνος τὸ δέπας ἀμογητὶ ἀείρων. Cf. Eustath. in Iliad. p. 870, 40.

23 (188).

Etymol. Magn. p. 180, 49 : Ἀχερωίς : ἡ λεύκη τὸ δένδρον· παρὰ τὸν Ἀχέροντα ποταμόν. Φασὶ γὰρ τὸν Ἡρακλέα ἐπὶ τὸν Κέρβερον κατελθόντα καὶ παρὰ τῷ Ἀχέροντι πεφυκὸς τὸ δένδρον ἑωρακότα, ἡσθῆναι ἐπ' αὐτῷ καὶ ἀνενεγκεῖν· καὶ παρὰ τὸν Ἀχέροντα ἀχερωΐδα καλεῖσθαι ἵν' ᾖ ἀχεροντίς· καὶ κατὰ συγκοπὴν καὶ ἔκτασιν τοῦ ο εἰς ω ἀχερωίς. Ἀριστοτέλης δὲ τὴν αἴγειρον λέγει, ὅτι πάντα τὰ ὑλώδη φυτὰ ἀχερούσια λέγει.

Hæc e scholiis ad Il. ν, 389, sive π, 482 desumpta esse demonstrant vestigia in codicibus servata. Schol. ABD Iliad. ν, 389 (p. 369, B, 33 Bekk.) : Ἀχερωίς : ἡ λεύκη, παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους, στεψαμένου αὐτὴν ἐπὶ τῇ Κερβέρου νίκῃ. Schol. AD Il. π, 482 : Ἀχερωίς : δένδρον ὃ καλεῖται λεύκη· ἔνιοι δὲ φηγοῦ εἶδος εἶπον αὐτήν. Apud Hesychium s. v. Ἀχερούσια : ὕδατα ἐλώδη, ubi corrigendum est fortasse φυτὰ ἐλώδη, et Ἀχερωίς : δένδρου γένος ἀκάρπου· λεύκη. In Etymologici loco pro ὑλώδη, ἐλώδη scribendum esse apparet. Cf. Eustath. in Iliad. p. 939 1 : Ἕτεροι δὲ ἀντὶ τοῦ ἀχερωὶς ἀχελωὶς γράφουσιν, ὡς ἄν τις εἴποι ὑδατοτρεφής, ὡς Ἀχελῴου λεγομένου παντὸς ὕδατος, καθὰ καὶ ἑξῆς που ῥηθήσεται (p. 1231, 11). Καὶ νοοῦσιν, ὡς αὐτοὶ βούλονται, ἀχελωίδα τὴν αἴγειρον, ὡς ὕδασι χαίρουσαν.

24 (189).

Schol. A ad Iliad. τ, 108 (Εἰ δ' ἄγε νῦν μοι ὄμοσσον), p. 520, B, 9 Bekk. : Διὰ τί ἡ Ἥρα ὀμόσαι πρὸς τὸν Δία; ἢ δῆλον ὡς οὐ ποιοῦντα ἃ ἂν φῇ. Εἰ δὲ τοῦτο, διὰ τί οὐ κατανεῦσαι ἀλλὰ καὶ ὀμόσαι ἠξίωσεν, ὡς καὶ ψευδομένου ἂν μὴ ὀμόσῃ; Ὁ δὲ ποιητὴς φησιν ἀληθεύειν « ὅ τι κεν κεφαλῇ κατανεύσῃ · » (Il. α, 527). Τὸ μὲν οὖν ὅλον μυθῶδες· καὶ γὰρ οὐδ' ἀφ' ἑαυτοῦ ταῦτά φησιν Ὅμηρος οὐδὲ γινόμενα εἰσάγει,

23.

Aristoteles dicit arborem quam poeta ἀχερωΐδα appellat populum esse, propterea quod omnia quæ in paludibus sint ἀχερούσια vocet.

24.

Cur Juno impellit Jovem ad jusjurandum? Nimirum quia credit eum non facturum quæ dicat. Si vero hoc est, cur non ab eo petit ut adnuat sed ut juret, utpote ab aliquo qui nisi juratus sit mentiatur? Poeta vero dicit vera dicere ea quæcunque capite adnuerit. Totum autem fabulosum est : etenim hæc neque quasi propria persona dicit, nec facta narrat, sed eorum meminit quæ de Herculis ortu tradita sunt. Dicendum etiam illud est fabulam recte Junonem inducere Jovem jurare cogentem. Omnes enim in illis rebus de quibus valde metuunt ne aliter evadant quam maxime tuti a fraude esse volunt : quare Juno utpote quæ non de parvis contendat et sciat

ἀλλ' ὡς διαδεδομένων περὶ τὴν Ἡρακλέους γένεσιν μέμνηται. Ῥητέον δὲ ὅτι καὶ ὁ μῦθος εἰκότως εἰσάγει τὴν Ἥραν ὁρκοῦσαν τὸν Δία· πάντες γὰρ περὶ ὧν φοβοῦνται μὴ ἄλλως ἀποβῇ, πολὺ τῷ ἀσφαλεῖ προέχειν πειρῶνται· διὸ καὶ ἡ Ἥρα ἅτε οὐ περὶ μικρῶν ἀγωνιζομένη καὶ τὸν Δία εἰδυῖα ὅτι αἰσθόμενος τὸν Ἡρακλέα δουλεύοντα ὑπεραγανακτήσει, τῇ ἰσχυροτάτῃ ἀνάγκῃ κατέλαβεν αὐτόν. Οὕτως Ἀριστοτέλης.

In quæstione προάγει vel tale quid scribendum esse animadvertit Rosius.

24^{b} (149^{b}).

Schol. A ad Iliad. ψ, 269 (τῷ τε τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα), p. 611, A, 47 Bekk. : Πῶς τῷ τετάρτῳ πάντων μεῖζον δίδωσι; φησὶν οὖν ὁ Ἀριστοτέλης μὴ εἶναι τὸ τάλαντον ὡρισμένον ποσόν, ἀλλὰ καὶ ἐπὶ ἥσσονος καὶ μείζονος λαμβάνεσθαι· νῦν μὲν γὰρ ὡς ἧττον ἵππου λαμβάνεται, ἐν δὲ ταῖς Λιταῖς ὡς μεῖζον.

Initium scholii ita e mss. apud Kammer. l. l. p. 21 : Πορφυρίου. Διὰ τί Ἀχιλλεὺς ἐν τῷ τετάρτῳ ἀγῶνι πλεῖστον ἀποδίδωσιν ἆθλον; τὰ γὰρ δύο τάλαντα τοῦ χρυσοῦ πλεῖον ἵππου καὶ γυναικός· ὅτι δὲ οὐχ ὀλίγον ἦν, σημεῖον ὅτι ἐν Λιταῖς προτίθησι δέκα τάλαντα χρυσοῦ πρὸς πολλῇ προικί· λύων οὖν ὁ Ἀριστοτέλης κτέ. Sequuntur cetera quæ ad 169 leguntur. Cf. supra fr. 2 et Eustathium ad ψ, 269, p. 1299, 50.

25 (190).

Schol. BM Iliad. ω, 15, p. 628, A, 30 : Πορφυρίου. Διὰ τί ὁ Ἀχιλλεὺς τὸν Ἕκτορα εἷλκε περὶ τὸν τάφον τοῦ Πατρόκλου, παρὰ τὰ νενομισμένα ποιῶν εἰς τὸν νεκρόν; ἢ παρανομοῦσι τὰ αὐτὰ οὐχ οἱ ἀμυνόμενοι ἀλλ' οἱ ἄρχοντες, ὁ δὲ Ἕκτωρ πρότερος ἐπεχείρησε λωβήσασθαι Πάτροκλον τὰ τοιαῦτα... Ἔστι δὲ λύειν (item, λύσις B), φησὶν Ἀριστοτέλης, καὶ εἰς τὰ ὑπάρχοντα ἀνάγειν (codd. ἀνάγων) ἔθη, ὅτι τοιαῦτα ἦν, ἐπεὶ καὶ νῦν ἐν Θετταλίᾳ περιέλκουσι περὶ τοὺς τάφους (adde τοὺς τῶν φιλτάτων φονέας).

Similis plane solutio in schol. AB Leid. ad Iliad. χ, 397 legitur p. 600, A, 36 : Διὰ τί Ἀχιλλεὺς θανόντα σύρει τὸν Ἕκτορα... Ὁ δὲ Καλλίμαχός φησιν ὅτι πάτριόν ἐστι Θεσσαλοῖς τοὺς τῶν φιλτάτων φονέας σύρειν περὶ τοὺς τῶν φονευθέντων τάφους. Σίμωνα γάρ, φησί, Θεσσαλὸν τὸ γένος, Εὐρυδάμαντα τὸν Μειδίου ἀποκτείναντα Θράσυλλον τὸν ἀδελφὸν αὐτοῦ ἄρξασθαι (ἅψασθαι cod. Leid.) τοῦ νόμου πρῶτον. Τοῦτον γὰρ ἐξάψαι τοῦ δίφρου τὸν φονέα καὶ περὶ τὸν τοῦ τετελευτηκότος τάφον ἕλκειν. Ὡς Θεσσαλὸν οὖν καὶ τὸν Ἀχιλλέα πατρίῳ ἔθει καὶ τοῦτο ποιῆσαι καὶ δῆσαι τὸν Ἕκτορα. Callimachum hæc ex Aristotele mutuasse satis probabilis est conjectura. Nec minus verisimile est, de his in Thessalorum Republica locutum fuisse philosophum, ut in Cretensium Republica de Achille pyrrhicham circa Patrocli tumulum saltanti locutus fuerat.

26 (191).

Plutarch. de Solertia animal. c. 24 : Καὶ τῶν τριχῶν τὰ καθήκοντα πρὸς τὸ ἄγκιστρον ὡς ἔνι μάλιστα λευκὰ φαίνεσθαι μηχανῶνται· μᾶλλον γὰρ οὕτως ἐν τῇ θαλάττῃ δι' ὁμοιότητα τῆς χρόας λανθάνουσι. Τὸ δὲ ὑπὸ τοῦ ποιητοῦ λεγόμενον (Il. ω, 80-82)

Ἡ δὲ μολυβδαίνῃ ἰκέλη ἐς βυσσὸν ὄρουσεν,
ἥτε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα
ἔρχεται ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα·

παρακούοντες ἔνιοι βοείαις θριξὶν οἴονται πρὸς τὰς ὁρμιὰς χρῆσθαι τοὺς παλαιούς· κέρας γὰρ τὴν τρίχα λέγεσθαι, καὶ τὸ κείρασθαι διὰ τοῦτο, καὶ τὴν κουράν· καὶ τὸν παρ' Ἀρχιλόχῳ « κεροπλάστην » φιλόκοσμον εἶναι περὶ κόμην καὶ καλλωπιστήν. Ἔστι δ' οὐκ ἀληθές· ἱππείαις γὰρ θριξὶ χρῶνται, τὰς τῶν ἀρρένων λαμβάνοντες· αἱ γὰρ θήλειαι τῷ οὔρῳ τὴν τρίχα βεβρεγμένην ἀδρανῆ ποιοῦσιν. Ἀριστοτέλης δέ φησι, μηδὲν ἐν τούτοις λέγεσθαι σοφὸν ἢ περιττόν, ἀλλὰ τῷ ὄντι κεράτιον περιτίθεσθαι πρὸ τοῦ ἀγκί-

Jovem, postquam compererit Herculem in servitute esse, id ægerrime laturum, eum obstringit firmissima necessitate.

24^{b}.

Cur quarto dedit omnium maximum præmium? Solvit Aristoteles talentum non habuisse definitam magnitudinem, sed majoris et minoris pretii fuisse. Nunc enim minoris est pretii quam equus, in Precibus vero majoris.

25.

Cur Achilles Hectorem circa tumulum Patroclis raptavit præter morem in illius corpus agens? An non æqualiter præter leges faciunt qui se defendunt atque qui cœperunt, Hector autem prior conatus est simili modo contumelia afficere Patroclum..... Solvi autem potest, Aristoteles inquit, et ad morem qui tunc obtinebat referri, quum nunc quoque in Thessalia raptent circa sepulcra.

26.

Setæ partes quibus uncus alligatur, quam maxime albas faciunt, ut eo facilius lateant in mari ob similitudinem coloris. Versus autem Homeri :

Illa cito, plumbi similis, petit impete fundum;
quod bovis agrestis cornu ducente sub undas
crudivoris missum mortem fert piscibus atram,

quidam sic accipiunt, ut putent veteres boum crinibus ad hamorum funiculos conficiendos fuisse usos : κέρας

στρου περὶ τὴν ὁρμιάν, ἐπεὶ πρὸς ἄλλο ἐρχόμενοι διεσθίουσι.

Ex eodem fonte quo Plutarchus scholia ad l. l. Iliadis hauserunt. Schol. B, p. 632, A, 22 : Κέρας : ὃ προσάπτουσι τῇ ὁρμιᾷ πρὸς τὸ μὴ ἐσθίεσθαι καὶ ὁμόχροον εἶναι τῇ θαλάσσῃ. Οἱ δὲ νεώτεροι κέρας τὴν συμπλοκὴν τῶν τριχῶν. Schol. V : Ὁμοίαν κέρατι· « Τὸν κεροπλάστην ἄειδε Γλαῦκον » Ἀρχίλοχος. Schol. A : Ἡ διπλῆ, ὅτι οὐ λέγει βοὸς κέρας βοὸς τρίχα διὰ τὸ τριχίνην εἶναι τὴν ὁρμιάν· λιναῖς γὰρ ἐχρῶντο.... Οἱ δὲ νῦν οὐδὲ βοείαις χρῶνται ἀλλ' ἱππείαις. Λέγοι ἂν οὖν βοὸς κέρας κυρίως· κατεσκεύαζον γὰρ σύριγγα ἐκ κέρατος βοείου, ἣν παρετίθεσαν τῇ ὁρμιᾷ ὑπὲρ τὸ ἄγκιστρον, ὅπως μὴ οἱ ἰχθύες ἀποτρώγωσι τὸ λίνον, quæ ultima leguntur apud eundem schol. ad Il. π, 408, ubi et illud : Λίνῳ : τῇ διὰ νεύριων ἢ τριχῶν ἱππείων ὁρμιᾷ· καὶ ταῦτα γὰρ λίνα φασί (corrig. φησί scil. ὁ ποιητής). Quæ hic absque nomine ponitur explicatio (eadem legitur in Etymol. M. p. 505, 16, apud Hesych. et Apollon. Lex. Hom. s. v. Βοὸς κέρας, et apud Eustathium p. 1340, 42), apud Plutarchum Aristoteli tributa, adscribitur Aristarcho in scholiis cod. Q ad Odyss. μ, 253 : Κέρας : Ἀρίσταρχος τὸ κεράτινον συρίγγιον, ὃ ἐπιτιθέασι πρὸς τὸ μὴ ἐσθίεσθαι ὑπὸ τοῦ ἰχθύος τὴν ὁρμιάν. Ἔνιοι δὲ τὴν τρίχα. Sine auctoris nomine eadem in schol. BQV ad l. l. Aristarchi nomen cum illa conjungitur apud Apollonium quoque Lex. Hom. s. v. Κέρᾳ ἀγλαέ : ὁ δὲ Ἀρίσταρχος κυρίως (eodem verbo utitur schol. A, quem vide supra, et Etym. M. l. l.) ἀκούει τὸ τοῦ βοὸς κέρας οἷον τὸ κεράτινον συρίγγιον· τὸ γὰρ παλαιὸν πρὸς τὸ μὴ ἀποτρῶξαι τὸν ἰχθὺν τῷ ἀγκίστρῳ περιτίθεσθαι τοῦτο.

27 (192).

Schol. Vict. ad Iliad. ω, 340, p. 640, A, 12 : Πέδιλα : Ἀριστοτέλης αὐτὰ πτερωτὰ οἴεται· ψευδῶς.

Conferri fortasse possunt quæ apud Eustath. ad Odyss. α, 98 annotata sunt, p. 1395, 12 : Ὅρα δὲ ὅτι οὐ φέρεσθαι τὰ πέδιλα λέγει ἀλλ' αὐτὰ φέρειν καὶ κουφίζειν τὴν Ἀθηνᾶν ὡς οἷον πτερόεντα. Pro Ἀριστοτέλης, Ἀριστοφάνης reponendum censet Rosius l. l. p. 167.

28 (193).

Schol. Vict. ad Il. ω, 420 p. 642, A, 28 : Σὺν δ' ἕλκεα πάντα μέμυκε : παράδοξον· τὰ μὲν γὰρ τῶν ζώντων ἕλκη μετὰ θάνατον μύει, τὰ δὲ μετὰ θάνατον γινόμενα σήπεται. Ib. : Ἀδύνατον νεκρῶν τραύματα μύειν, ὥς φησιν Ἀριστοτέλης εἰρηκέναι Ὅμηρον· « Μῦσεν δὲ περιβροτόεσσα ὠτειλή. » Τοῦτο δὲ τὸ ἡμιστίχιον οὐδὲ φέρεται.

Unde hæc sua habuerit Scholiasta non liquet. Notandum est præterea neque ὠτειλή nominativo casu, neque περιβροτόεσσα in nostris usquam carminibus Homericis reperiri. Spitznerus ad l. l. Iliad. ita scribi voluit : Μῦσεν δὲ περὶ βροτόεσσα ὠτειλή. E scholio longiore ad h. l. desumpta sunt quæ apud Suidam inveniuntur s. v. Μεμυκότα : κρύψαντα, καμμύσαντα ἢ κεκολλημένα, καὶ Ὅμηρός φησι τῶν ἐν πολέμῳ τρωθέντων τὰ τραύματα μὴ μύειν, μόνον δὲ τοῦ Ἕκτορος κατὰ θείαν πρόνοιαν.

29 (194).

Schol. B ad Iliad. ω, 569 (Μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσι ἐάσω), p. 646, A, 8 : Ἀριστοτέλης φησὶν ἀνώμαλον εἶναι τὸ Ἀχιλλέως ἦθος. Οἱ δέ φασιν ὅτι ἵνα ἀποστήσῃ αὐτὸν τοῦ ἐφ' Ἕκτορι θρήνου, διὰ τοῦτο δειδίσσει. Plura apud Eustathium leguntur p. 1365, 56 : Σημείωσαι δ' ὅτι Ἀριστοτέλης, ὥς φασιν οἱ παλαιοί, ἀνώμαλον εἶναι τὸ τοῦ Ἀχιλλέως ἦθος συνάγει, ὃς τὰ πρῶτα μειλιχίοις δεξιωσάμενος τὸν ἱκέτην Πρίαμον, εἶτα λεοντωθεὶς οἷον, ὡς δηλοῖ τὸ « Λέων ὣς ἆλτο θύραζε » (v. 572), διὸ καὶ νῦν ἔδεισεν ὁ γέρων, καὶ ἐπείθετο μύθῳ, ἀγριοῦται καὶ ἀπειλεῖται τὰ προρρηθέντα. Καὶ δοκεῖ μὲν ἐπίτηδες οὕτω ποιεῖν, ὡς ἂν ἐκπλήξῃ τὸν γέροντα καὶ ἀποστήσῃ τοῦ οἴκτου· τὸ δ' ἐστὶν οὐ τοιοῦτον· καὶ προϊὼν γὰρ ὁ ποιητὴς (v. 584 sqq.) ὑπολαλεῖ δέος εἶναι μή ποτε Πρίαμος μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύ-

enim hic esse crinem : unde κείρασθαι (*tondere*) et κουρά (*tonsura*) et κεροπλάστης dicatur ille apud Archilochum, nimirum studiosus comæ ornandæ. Sed errant hi. Nam setis equinis utebantur masculis; quum equarum caudæ urina madefactæ setas habeant invalidas. Aristoteles in his nihil ait docte aut subtiliter dictum esse : sed revera funiculo ante hamum apponi corniculum, quia pisces pervorent, si quid aliud attingant.

27.

Aristoteles falso alaria (*Mercurii scil.*) alata fuisse putat.

28.

Mortuorum vulnera claudi non possunt, ut Aristoteles refert Homerum dixisse « vulnus autem cruore circumdatum clausum est. » Hoc vero hemistichium non reperitur.

29.

Aristoteles dicit inconstans esse Achilli ingenium. Hi autem dicunt eum minis terrere Priamum ut a lamentis de Hectore avocet.

Aristoteles ut dicunt veteres inconstans esse Achilli ingenium inde concludit, quod quum primum blandis vocibus excepisset supplicem Priamum, deinde efferatus sæviat, ut illud ostendit « Tanquam leo, prosiliit foras », et minas prædictas proferat, quamobrem senex timuit et

σαιτο παῖδα ἰδών, Ἀχιλῆι δ' ὀρινθείη φίλον ἦτορ καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς, ὅ ἐστιν ἐντολάς... Ὅλως γὰρ ταράσσεται ὁ Ἀχιλλεὺς ἐνταῦθα ὡς μάλιστα, εἰ καὶ μόνον ἀκούσοι Ἕκτορος ὄνομα, ὃ δὴ καὶ Φίλιππος λέγεται πάσχειν μετὰ τὴν ἐν μάχῃ πήρωσιν... Διὸ οὐδ' ἐμφανίζει αὐτῷ τὸν υἱόν, μὴ καὶ ὁ ἐπὶ τῷ νεκρῷ οἶκτος τοῦ πατρὸς ἀναζωπυρήσῃ χόλον τῷ Ἀχιλλεῖ, ἅμα δὲ ἠοῖ φαινομένῃ ὄψεσθαι αὐτὸν λέγει. Συνάγεται δὲ τὸ τοῦ Ἀχιλλέως ἄστατον καὶ ἐν τῇ α' ῥαψῳδίᾳ καὶ ἐν ταῖς Λιταῖς.

Τὸ ὁμαλὸν in ingeniis exprimendis esse observandum, præcipit Aristoteles in libro de Poetica c. 15 § 4.

30 (195).

Strabo XIII, p. 598 : Καὶ μὴν τόγε ναύσταθμον τὸ νῦν ἔτι λεγόμενον πλησίον οὕτως ἐστὶ τῆς νῦν πόλεως (scil. Ἰλίου), ὥστε θαυμάζειν εἰκότως ἄν τινα τῶν μὲν τῆς ἀπονοίας, τῶν δὲ τοὐναντίον τῆς ἀψυχίας· ἀπονοίας μέν, εἰ τοσοῦτον χρόνον ἀτείχιστον αὐτὸ εἶχον, πλησίον οὔσης τῆς πόλεως καὶ τοσούτου πλήθους τοῦ τ' ἐν αὐτῇ καὶ τοῦ ἐπικουρικοῦ· νεωστὶ γὰρ γεγονέναι φησὶ τὸ τεῖχος· ἢ οὐδ' ἐγένετο, ὁ δὲ πλάσας ποιητὴς ἠφάνισεν, ὡς Ἀριστοτέλης φησίν· ἀψυχίας δέ, εἰ γενομένου τοῦ τείχους ἐτειχομάχουν καὶ εἰσέπεσον εἰς αὐτὸ τὸ ναύσταθμον καὶ προσεμάχοντο ταῖς ναυσίν; ἀτείχιστον δὲ ἔχοντες οὐκ ἐθάρρουν προσιόντες πολιορκεῖν μικροῦ τοῦ διαστήματος ὄντος.

In tota hac de Trojano agro disputatione secutus est Strabo Demetrii Scepsii librum Τρωϊκὸς Διάκοσμος inscriptum, cui fortasse debetur etiam testimonium ex Aristotele prolatum. Num ex Strabone hauserit Eustathius qui duobus locis verborum Aristotelis meminit dubium, quum etiam in scholiis ad Iliadem legantur. Eustath. in Iliad. p. 689 57 : Σημείωσαι δὲ καὶ ὅτι τὸ Ἑλληνικὸν τοῦτο τεῖχος ἀρέσκει τοῖς παλαιοῖς πλάσμα εἶναι Ὁμηρικόν. Τῇ γὰρ ἀληθείᾳ, φασίν, οὐ γέγονεν, ἀλλ' ἐπλάσατο τὴν πρὸς τῷ ναυστάθμῳ τειχοποιίαν, καὶ τὰ κατ' αὐτὴν ὁ ποιητὴς οὐχ ἱστορῶν πρᾶγμα γενόμενον, ἀλλ' ὡς γενόμενον ἐκτιθέμενος. Ib. p. 690 8 : Διὰ δὲ τοῦ παντελοῦς αὖθις ἀφανισμοῦ διαφεύγει τὸν τοῦ ψευδοῦς ἔλεγχον, αὐτὸς ποιήσας τὸ τεῖχος αὐτὸς ἀφανίσας, ὡς καὶ Ἀριστοτέλης δηλοῖ, ὅπου ἔφη ὅτι τὸ τεῖχος ὁ φράσας (leg. fortasse ὁ πλάσας) ποιητὴς ἠφάνισεν, cf. p. 888, 51 : Αὐτὸς τὸ τεῖχος ἐγείρας, ὡς καὶ προερρέθη, αὐτὸς καὶ ἀφανίσας καὶ καταρρίψας, ὡς παντελῶς πλάσμα ὂν αὐτοῦ, συναφανίζων τοῖς ἐρειπίοις καὶ τὸν ἐσύστερον ἔλεγχον. Quibus similia sunt quæ in Schol. BL ad Il. η, 445, præsertim vero in BLV ad Iliad. μ, 4 legimus : Τούτου γὰρ χάριν καὶ ἀνέπλασε τὴν τειχοποιίαν, ὑπὲρ τοῦ ἀγῶνας κινῆσαι ἐπὶ τῇ τειχομαχίᾳ. Ἐπὶ οὖν τοῦ Τρωϊκοῦ τείχους τοῦτο ἀμήχανον (θεοποίητον γὰρ ἦν)· ὑπὲρ δὲ τοῦ μηδὲ ταύτην καταλιπεῖν τὴν ἰδέαν, ἐπὶ τῷ τῶν Ἑλλήνων τείχει τὴν τειχομαχίαν ποιεῖ. Ἐπεὶ δὲ αὐτὸς ἀνήγειρε τὸ τεῖχος, διὰ τοῦτο καὶ ἠφάνισεν αὐτό, τὸν ἔλεγχον συναφανίζων. Hæc aperte ex eodem fonte fluxerunt. Qui tamen, utrum dialogus an Quæstiones Homericæ fuerint, dubitari licet.

31 (196).

Athenæus XIII, p. 556, D : Θαυμάσαι δ' ἄν τις, φησὶν Ἀριστοτέλης, ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα, πᾶσι δοὺς γυναῖκας. Κοιμῶνται γοῦν παρ' αὐτῷ καὶ οἱ γέροντες μετὰ γυναικῶν, Νέστωρ (Il. λ, 626) καὶ Φοίνιξ. Οὐ γὰρ ἦσαν οὗτοι ἐκλελυμένοι τοῖς σώμασιν ἐν τοῖς τῆς νεότητος χρόνοις ἢ διὰ μέθης ἢ δι' ἀφροδισίων ἢ καὶ διὰ τῆς ἐν ταῖς ἀδηφαγίαις ἀπεψίας, ὥστε εἰκότως ἔρρωνται τῷ γήρᾳ. Ἔοικεν οὖν ὁ Σπαρ-

paruit sermoni. Videtur autem id convenienter facere ut terreat senem et a lamentis avocet. Hoc vero non ita est : in sequentibus enim poeta indicat ita fieri oportere, ne Priamus filium dolenti corde conspicatus iram non contineret, Achilles vero in iram commotus ipsum interficeret, Jovisque violaret mandata... Prorsus enim quam maxime hoc loco turbatur Achilles solum audiens nomen Hectoris, quod et Philippo accidisse dicitur postquam in prœlio oculo orbatus est... Quare nec ostendit Priamo filium ne luctus in defuncti conspectu iram Achilli accendat, dicitque Priamum simul atque aurora apparuerit filium conspecturum. Inconstantiæ arguitur Achillis ingenium et in prima rhapsodia et in Precibus.

30.

Porro Naustathmus sive navium statio, quæ nunc dicitur, ita vicina est recenti Ilio, ut mirari subeat alterorum dementiam, alterorum timiditatem. Græcorum inquam vecordiam, si tanto eum tempore sine muris tenuerunt, Ilio tam propinquo, tantaque Trojanorum et sociorum multitudine in eo versante : nam sub fine demum belli factus est murus, quem Aristoteles ait ab ipso poeta ut factum, ita deletum fuisse. Timiditatem vero Trojanorum, si muro demum facto irruere et impugnare eum ac naves aggressi sunt, stationem autem muro nondum cinctam ausi non sunt invadere, non longe dissitam.

31.

Miretur vero aliquis, ait Aristoteles, quod nusquam in Iliade Menelaum cum pellice concumbentem faciat Homerus, qui tamen aliis omnibus mulieres tribuit. Concumbunt sane apud illum cum mulieribus etiam senes Nestor et Phœnix. Non fuerunt enim hi effœto corpore, vitio ex juvenili ætate contracto, sive per temulentiam,

τιάτης αἰδεῖσθαι γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς καὶ τὴν στρατιὰν ἤθροισε· διόπερ φυλάττεται τὴν πρὸς ἄλλην κοινωνίαν. Ὁ δ' Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου λοιδορεῖται·

> Πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
> εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
> πρωτίστῳ δίδομεν (Il. β, 226 sq.).

Ἀλλ' οὐκ εἰκός, φησὶν ὁ Ἀριστοτέλης, εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν, ἀλλ' εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον εἰς τὸ μεθύειν παρεσκευάσατο.

Ex Athenæo eadem brevius Eustathius in Iliad. p. 1361, 25.

32 (197).

Plutarch. De audiend. poetis c. 12 (t. III, p. 40, 2 Plutarchi op. ed. Dübner.) : Οἱ δὲ παῖδες, ἂν ὀρθῶς ἐκτρέφωνται τοῖς ποιήμασιν, καὶ ἀπὸ τῶν φαύλους καὶ ἀτόπους ὑποψίας ἐχόντων ἕλκειν τι χρήσιμον ἀμωσγέπως μαθήσονται καὶ ὠφέλιμον. Αὐτίκα γοῦν ὕποπτός ἐστιν ὁ Ἀγαμέμνων, ὡς διὰ δωροδοκίαν ἀφεὶς τῆς στρατείας τὸν πλούσιον ἐκεῖνον (τὸν Ἐχέπωλον scil. cf. Il. ψ, 296), καὶ τὴν Αἴθην χαρισάμενον αὐτῷ

> Δῶρ' ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
> ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκεν
> Ζεὺς ἄφενος (Il. ψ, 277 ss.).

Ὀρθῶς δέ γε ἐποίησεν, ὡς Ἀριστοτέλης φησίν, ἵππον ἀγαθὴν ἀνθρώπου τοιούτου προτιμήσας. Οὐδὲ γὰρ κυνὸς ἀντάξιος οὐδ' ὄνου, μὰ Δία, δειλὸς ἀνὴρ καὶ ἄναλκις, ὑπὸ πλούτου καὶ μαλακίας διερρυηκώς.

Et iterum Gryllo c. 4, 8 : Τὴν δ' Αἴθην ὁ βασιλεὺς ὑμῶν ἔλαβε παρὰ τοῦ Σικυωνίου μισθὸν ἀστρατείας, ἄριστα βουλευσάμενος, ὃς δειλοῦ προετίμησεν ἀνδρὸς ἵππον ἀγαθὴν καὶ φιλόνεικον.

Cf. schol. BY ad l. l. Iliad. : Δῶρ' ἵνα μή οἱ ἕποιθ'. p. 612, A, 43 Bekk. : ἀπεσέμνυνε τὴν ἵππον οὕτως αὐτὴν εὐγενίσας, ὥστε καὶ δῶρον (λύτρον V) ἀστρατείας δοθῆναι. Κρεῖττον δὲ ἡγήσατο πολεμικὴν (πολεμιστὴν V) ἵππον ὑπὲρ ἀπόλεμον ἄνθρωπον Ἀγαμέμνων. Schol. A : Χρησιμώτερον γὰρ ἐνόμιζε πολεμικὸν ἵππον ἢ ἀστράτευτον ἄνδρα λαβεῖν. Eadem Eustathius p. 1302, 10.

ΟΔΥΣΣΕΙΑ.

33 (198).

Plutarch. V. Pericl. c. 9 : Ἄλλοι δὲ πολλοὶ πρῶτον ὑπ' ἐκείνου (τοῦ Περικλέους) φασὶ τὸν δῆμον ἐπὶ κληρουχίας καὶ θεωρικὰ καὶ μισθῶν διανομὰς προαχθῆναι κακῶς ἐθισθέντα καὶ γενόμενον πολυτελῆ καὶ ἀκόλαστον ὑπὸ τῶν τότε πολιτευμάτων ἀντὶ σώφρονος καὶ αὐτουργοῦ, θεωρείσθω διὰ τῶν πραγμάτων αὐτῶν ἡ αἰτία τῆς μεταβολῆς. Ἐν ἀρχῇ μὲν γάρ, ὥσπερ εἴρηται, πρὸς τὴν Κίμωνος δόξαν ἀντιταττόμενος ὑπεποιεῖτο τὸν δῆμον, ἐλαττούμενος δὲ πλούτῳ καὶ χρήμασιν, ἀφ' ὧν ἐκεῖνος ἀνελάμβανε τοὺς πένητας δεῖπνόν τε καθ' ἡμέραν τῷ δεομένῳ παρέχων Ἀθηναίων καὶ τοὺς πρεσβυτέρους ἀμφιεννύων τῶν τε χωρίων τοὺς φραγμοὺς ἀφαιρῶν, ὅπως ὀπωρίζωσιν οἱ βουλόμενοι, τούτοις ὁ Περικλῆς καταδημαγωγούμενος τρέπεται πρὸς τὴν τῶν δημοσίων διανομήν, συμβουλεύσαντος αὐτῷ Δημωνίδου τοῦ Οἴηθεν, ὡς Ἀριστοτέλης ἱστόρηκε. Καὶ ταχὺ θεωρικοῖς καὶ δικαστικοῖς λήμμασιν ἄλλαις τε μισθοφοραῖς καὶ χορηγίαις συνδεκάσας τὸ πλῆθος ἐχρῆτο κατὰ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, ἧς αὐτὸς οὐ μετεῖχε διὰ τὸ μήτ' ἄρχων μήτε θεσμοθέτης μήτε βασιλεὺς μήτε πολέμαρχος λαχεῖν. Αὗται γὰρ αἱ ἀρχαὶ κληρωταί τε ἦσαν ἐκ παλαιοῦ καὶ δι' αὐτῶν οἱ δοκιμασθέντες ἀνέβαινον εἰς Ἄρειον πάγον. Διὸ καὶ μᾶλλον ἰσχύσας ὁ Περικλῆς, ἐν τῷ δήμῳ κατεστασίασε τὴν βουλήν, ὥστε τὴν μὲν ἀφαιρεθῆναι τὰς πλείστας κρίσεις δι' Ἐφιάλτου, Κίμωνα δ' ὡς φιλολάκωνα καὶ μισόδημον ἐξοστρακισθῆναι, πλούτῳ μὲν καὶ γένει μηδενὸς ἀπολειπόμενον, νίκας δὲ καλλίστας νενικηκότα τοὺς βαρβάρους καὶ χρημάτων πολλῶν καὶ λαφύρων ἐμπεπληκότα τὴν πόλιν.

22.

Aristoteles Cimonem non omnibus Atheniensibus, sed curialibus suis Laciadis, quicunque ex iis vellent, cœnam parasse scribit.

23.

In musicis plerique præceptorem fuisse Pericli Damonem tradunt. Aristoteles autem virum hunc apud Pythoclidem musicam tractasse memorat.

24.

His in populum gratis Cimonis institutis superatus Pericles ad publicorum bonorum divisionem animum adjecit, usus, ut Aristoteles auctor est, consilio Damonidis Œensis. Itaque celeriter theatralibus ac præmiis judiciorum aliisque mercedibus et emolumentis multitudine corrupta, usus est ejus opera contra senatum Areopagiticum, in quo ipse non erat, quod neque archon, neque thesmotheta, neque rex sacrorum, neque polemarchus sorte erat lectus, nam hi magistratus sorte antiquitus obveniebant, ac qui se in iis obeundis probassent, ii in senatum Areopagiticum cooptabantur. Ceterum populi auxilio Pericles senatum istum factione sua vicit effecitque opera Ephialtis, ut ei major pars judiciorum adimeretur, Cimonque tanquam Lacedæmoniorum fautor, et infensus populo, ostracismo urbe exigeretur : qui et divitiis et genere nemini secundus, victorias de barbaris pulcherrimas reportaverat, urbemque magna pecuniæ et spoliorum copia repleverat.

Demonidem qui hîc nominatur cum Damonide, Damonis musici patre (cf. supra fr. 23), quem Ὄαθεν esse dicit Stephan. Byz. s. v. Ὄα, eundem esse, suspicatus est C. Müllerus, qui et Aristot. Polit. II, 9, 3 conferri jubet. Cf. Sauppe, *Die Quellen Plut. für das Leben des Perikl.*, Gotting. 1867, p. 17 sq.

25 (394).

Argum. Isocrat. Areopagit. apud Schol. in Æschin. et Isocrat. ed. G. Dindorf. Oxon. 1852 p. 111, Orator. Att. ed. Didot. t. II, p. 484 : Ἐφιάλτης τις καὶ Θεμιστοκλῆς, χρεωστοῦντες τῇ πόλει χρήματα καὶ εἰδότες ὅτι, ἐὰν δικασθῶσιν, οἱ Ἀρεοπαγῖται πάντως ἀποδώσουσι, καταλῦσαι αὐτοὺς ἔπεισαν τὴν πόλιν, οὕτως οὔπως τινὸς μέλλοντος κριθῆναι. Ὁ γὰρ Ἀριστοτέλης λέγει ἐν τῇ Πολιτείᾳ τῶν Ἀθηναίων ὅτι καὶ ὁ Θεμιστοκλῆς αἴτιος ἦν μὴ πάντα δικάζειν τοὺς Ἀρεοπαγίτας· δῆθεν μὲν ὡς δι' αὐτοὺς τοῦτο ποιοῦντες, τὸ δ' ἀληθὲς διὰ τοῦτο πάντα κατασκευάζοντες· εἶτα οἱ Ἀθηναῖοι, ἀσμένως ἀκούσαντες τῆς τοιαύτης συμβουλῆς, κατέλυσαν αὐτούς.

Pro Θεμιστοκλῆς, bis ex errore scriptum Περικλῆς, quod jam correxit Andr. Mustoxydes, in libro Συλλογὴ Ἑλληνικῶν ἀνεκδότων, Venet. 1816. fasc. I, p. 7.

26 (395).

Plutarch. Vita Pericl. c. 10 : Ἐφιάλτην μὲν οὖν φοβερὸν ὄντα τοῖς ὀλιγαρχικοῖς καὶ περὶ τὰς εὐθύνας καὶ διώξεις τῶν τὸν δῆμον ἀδικούντων ἀπαραίτητον ἐπιβουλεύσαντες οἱ ἐχθροὶ δι' Ἀριστοδίκου τοῦ Ταναγρικοῦ κρυφαίως ἀνεῖλον, ὡς Ἀριστοτέλης εἴρηκεν. Cf. Antiphon de cæde Herod. § 68 et Diodor. Sic. XI, 77.

27 (396).

Schol. in Lucian. Timon. c. 30 p. 47 ed Jacobitz : Ἐπέστη δὲ (Κλέων) καὶ τῇ πρὸς Λακεδαιμονίους εἰρήνῃ, ὡς Φιλόχορος καὶ Ἀριστοφάνης προσθεὶς ἄρχοντα Εὔθυνον. (Ol. 88. 3) Ἀριστοτέλης δὲ καὶ περιζωσάμενον αὐτὸν λέγει δημηγορῆσαι, εἰς τὴν θρασύτητα αὐτοῦ ἀποσκώπτων.

Hæc sine dubio cum Hemsterhusio ita corrigenda sunt : Ὡς Φιλόχορος προσθεὶς ἄρχοντα Εὔθυνον καὶ Ἀριστοτέλης. Ἀριστοφάνης δὲ καὶ περιζωσάμενον κτέ. De re cf. Schol. in Æschin. c. Timarch. § 25 : Λέγεται δὲ Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα (scilicet τὸ ἐντὸς ἔχειν τὴν χεῖρα λέγοντα) περιζωσάμενος δημηγορῆσαι.

28 (397).

Plutarch. V. Niciæ c. 2 : Ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου καὶ Θουκυδίδης ὁ Μελησίου καὶ Θηραμένης ὁ Ἅγνωνος.

29 (398).

Schol. Aristoph. Ran. 1532 : Κλεοφῶν δὲ μαχέσθω : παρόσον, ὡς Ἀριστοτέλης φησί, μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι ἐφ' οἷς ἔχουσιν ἑκάτεροι καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ Καλλίου (Ol. 93, 3), Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι.

Verba ἐπὶ τοῦ Καλλίου statim post μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν poni jubet Cobetius ad Platonis comici reliquias p. 168.

30 (399).

Harpocration s. v. Δεκάζων ... Ἀριστο-

25.

Aristoteles in Atheniensium Republica dicit Periclem in causa fuisse ut non omnia dijudicarent Areopagitæ.

26.

Aristoteles auctor est Ephialti, quod esset iis qui paucorum in republica principatui studebant formidabilis, inque eorum qui plebem læsissent criminibus deferendis nimis rigidus, inimicos insidias struxisse atque opera Aristodici Tanagræi clam occidisse.

27.

Obstitit Cleon ne pax cum Lacedæmoniis fieret, ut Philochorus ait. Aristophanes et Philochorus id factum esse memorant sub archonte Euthyno. Aristoteles etiam præcinctum in concione dixisse ait temeritatem ejus notans.

28.

De Nicia primum commemorare licet, quod scripsit Aristoteles; nimirum tres ait optimos fuisse cives patriæ amore et in populum benevolentia insignes, Niciam Nicerati, Thucydidem Melesii et Theramenem Agnonis filium.

29.

Aristoteles dicit post prælium navale ad Arginusas sub Callia archonte commissum, quum Lacedæmonii Decelia excedere vellent ea conditione ut retinerent utrique quæ jam possiderent, et pacem agere, Cleophon populo suasit ne has conditiones admitterent, ebrius et loricatus in concionem veniens, jactansque minime se ut Decelia decedant Lacedæmonii concessurum, nisi reliquas quoque urbes universas Atheniensibus reddiderint.

τέλης δ' ἐν Ἀθηναίων Πολιτείᾳ Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαστήρια.

Cf. Lex. Seguer. p. 236, 6 Bekk. : Πρῶτος δ' ἐδόκει δεκάσαι Μέλητος (male pro Ἄνυτος) τὰς εὐθύνας διδοὺς τῆς ἐν Πύλῳ στρατηγίας ἣν κακῶς ἐστρατήγησεν. Etym. M. p. 254, 31.

31 (400).

Harpocration s. v. Τετρακόσιοι.... Οἱ τετρακόσιοι πρὸ ἑπτὰ ἐτῶν κατέστησαν τῶν τριάκοντα τυράννων παρ' Ἀθηναίοις, οἵτινες τέτταρας μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Eadem Suidas et Photius, omisso tamen Aristotelis nomine.

32 (401).

Schol. Aristophan. Vesp. 157 : Δρακοντίδης : Πονηρὸς οὗτος καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων Σοφισταῖς. Καλλίστρατος δὲ ἕνα τῶν τριάκοντά φησιν, εἰ μὴ ὁμώνυμος· ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν τριάκοντα ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις.

Cf. Lysias contra Eratosth. § 73, Xenoph. Hell. II, 3, 2.

33 (402).

Pollux Onom. VIII, 85-87 : Ἀρχόντων δὲ τῶν Ἀθήνησιν ὀνόματα οἱ ἐννέα ἄρχοντες. Εἰσὶ δὲ ἄρχων, βασιλεύς, πολέμαρχος καὶ θεσμοθέται ἕξ· ἐκ τούτων γὰρ οἱ ἐννέα συμπληροῦνται. Ἐκαλεῖτο δέ τις θεσμοθετῶν ἀνάκρισις, εἰ Ἀθηναῖοί εἰσιν ἑκατέρωθεν ἐκ τριγονίας καὶ τὸν δῆμον πόθεν καὶ εἰ Ἀπόλλων ἔστιν αὐτοῖς πατρῷος καὶ Ζεὺς ἕρκειος καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι καὶ εἰ ἐστράτευνται ὑπὲρ τῆς πατρίδος καὶ εἰ τὸ τίμημα ἔστιν αὐτοῖς. Ἐπηρώτα δ' ἡ βουλή, ὤμνυον δ' οὗτοι πρὸς τῇ βασιλείῳ στοᾷ, ἐπὶ τοῦ λίθου ὑφ' ᾧ τὰ ταμιεῖα, συμφυλάξειν τοὺς νόμους καὶ μὴ δωροδοκήσειν, ἢ χρυσοῦν ἀνδριάντα ἀποτῖσαι. Εἶτα ἐντεῦθεν εἰς ἀκρόπολιν ἀνελθόντες ὤμνυον ταὐτά. Μυρρίνῃ δ' ἐστεφάνωντο, καὶ κοινῇ μὲν ἔχουσιν ἐξουσίαν θανάτου ἐάν τις κατίῃ ὅποι μὴ ἔξεστι, καὶ κληροῦν δικαστάς, καὶ ἀθλοθέτας ἕνα κατὰ φυλὴν ἑκάστην καὶ στρατηγοὺς χειροτονεῖν ἐξ ἁπάντων, καὶ καθ' ἑκάστην πρυτανείαν ἐπερωτᾶν εἰ δοκεῖ καλῶς ἄρχειν ἕκαστος, τὸν δ' ἀποχειροτονηθέντα κρίνουσιν, καὶ ἱππάρχους δύο καὶ φυλάρχους δέκα καὶ ταξιάρχους δέκα. Καὶ κοινῇ μὲν ταῦτα.

Hæc omnia, ut multa præterea apud Pollucem, in octavo scilicet Onomastici libro, ex Aristotelis Republica Atheniensium petita et in brevius contracta esse jamdudum viderunt viri docti, atque manifesto probant quæ jam sequentur fragmenta de magistratuum apud Athenienses muneribus, præsertim vero quod ex eodem Aristotele servatum est excerptum Heraclidis 1, 11 : Εἰσὶ δὲ καὶ ἐννέα ἄρχοντες θεσμοθετικοὶ οἳ δοκιμασθέντες ὀμνύουσι δικαίως ἄρξειν καὶ δῶρα μὴ λήψεσθαι ἢ ἀνδριάντα χρυσοῦν ἀναθήσειν, ubi cum Bergkio, *Rhein. Mus. n. F.* 1858, p. 478 pro ἄρχοντες θεσμοθετικοί, scribendum est ἄρχοντες οἱ καὶ θεσμοθέται.

34 (403).

Harpocration s. v.: Θεσμοθέται.... Ἀρχή τίς ἐστιν Ἀθήνησιν ἡ τῶν θεσμοθετῶν ἓξ τὸν ἀριθμὸν ὄντων· εἰσὶ δὲ ἐκ τῶν καλουμένων θ' ἀρχόντων. Κα-

30.

Aristoteles in Atheniensium Republica ait Anytum corrumpendorum judiciorum auctorem fuisse.

31.

Quadringenti apud Athenienses septem anni ante triginta tyrannos constituti fuere, qui menses quattuor civitati præfuerunt, ut tradit Aristoteles in Republica Atheniensium.

32.

Dracontides decretum de triginta virorum dominatione scripsit, ut tradit Aristoteles in opere de Rebus publicis.

33.

Magistratus Atheniensium nomina, novem magistratus. Sunt vero archon, rex, polemarchus et sex thesmothetæ; hisce enim novem illi archontes complentur. Erat et quædam thesmothetarum discussio appellata, num scilicet ex utroque parente Athenienses sint a tertia usque generatione, et ex quibus demis oriundi : num Apollo ipsis sit patrius, et Jupiter herceus : num parentes bene tractent, num pro patria arma tulerint, num censum habeant. Interrogabat autem senatus : hi vero jurabant apud porticum regiam, quæ est lapidea, se leges observaturos et munera non accepturos, aut auream statuam persoluturos : deinde in acropolim profecti, eadem jurabant. Myrto autem coronabantur et communiter mortis potestatem habent, si quis, quo non licet, descendat; judices sortiri, et arbitros unum e tribubus singulis, imperatores eligere ex omnibus, et secundum singulas prytanias inquirere, num singuli bene imperare videantur et suffragiis civium condemnatum judicant, atque hipparchos duos et phylarchos decem et taxiarchos decem, et hæc quidem publice.

34.

Thesmothetæ, Atheniensium magistratus, numero erant sex, ex novem archontibus, quos dicunt. Nomen inde datum est, quod legum curam habebant : nam

λοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. Θεσμοὶ δὲ ἐκαλοῦντο οἱ νόμοι, ὡς προείπομεν (s. v. Θεσμός). Ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης τε ἐν τῷ κατὰ Κτησιφῶντος (§ 58) καὶ Θεόφραστος ἐν γ' Νόμων. Ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ διέρχεται ὅσα οὗτοι πράττουσιν.

In cod. A : ἐν τῇ α' Ἀθηναίων. Thesmothetarum munia ex Aristotele sine dubio recenset Pollux VIII, 87-88 : Ἰδίᾳ δὲ οἱ μὲν θεσμοθέται προγράφουσι πότε δεῖ δικάζειν τὰ δικαστήρια, καὶ τὰς εἰσαγγελίας εἰσαγγέλλουσιν εἰς τὸν δῆμον καὶ τὰς χειροτονίας, καὶ τὰς προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφὰς καὶ εἴ τις μὴ ἐπιτήδειον νόμον γράψειεν, καὶ στρατηγοῖς εὐθύνας. Γίνονται δὲ γραφαὶ πρὸς αὐτοὺς ξενίας, δωροξενίας, δώρων, συκοφαντίας, ψευδοκλητείας, ψευδεγγραφῆς, βουλεύσεως, ἀγραφίου, μοιχείας. Εἰσάγουσι δὲ καὶ δοκιμασίαν ταῖς ἀρχαῖς, καὶ τοὺς ἀπεψηφισμένους, καὶ τὰς ἐκ τῆς βουλῆς καταγνώσεις, καὶ δίκας ἐμπορικὰς καὶ μεταλλικάς, καὶ ἐὰν δοῦλος κακῶς ἀγορεύῃ τὸν ἐλεύθερον, καὶ ταῖς ἀρχαῖς ἐπικληροῦσι τὰ δικαστήρια τὰ ἴδια καὶ τὰ δημόσια, καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις κυροῦσι καὶ δίκας τὰς ἀπὸ συμβόλων εἰσάγουσι, καὶ τὰς τῶν ψευδομαρτυριῶν τῶν ἐξ Ἀρείου πάγου.

35 (404).

Lex. Rhet. Cantabr. ad calcem Photii Cantabr. 1822, p. 670, 14 : Θεσμοθετῶν ἀνάκρισις : Κατὰ Ἀριστοτέλην οἱ θεσμοθέται ἐκ τῶν θ' ἀρχόντων, αὐτοὶ ἓξ ὄντες. Οἱ δὲ λαχόντες ὑπὸ τῆς βουλῆς τῶν πεντακοσίων καὶ τοῦ δικαστηρίου δοκιμάζονται, πλὴν τοῦ γραμματέως ἐρωτώμενοι τίνες αὐτῶν πατέρες, ὁμοίως καὶ δήμων τίνων εἰσί, καὶ εἰ ἔστιν αὐτοῖς Ἀπόλλων πατρῷος καὶ Ζεὺς ἕρκειος, καὶ εἰ τοὺς γονέας εὖ ποιοῦσι, καὶ εἰ τὰ τέλη τελοῦσι, καὶ εἰ τὰς ὑπὲρ τῆς πατρίδος στρατείας ἐστρατεύσαντο. Πάντα οὖν [ταῦτα] ἀνάκρισιν εὐλόγως ὠνόμασαν. Cf. supra fr. 33.

36 (405).

Pollux III, 17 : Ὁ δὲ πάππου ἢ τήθης πατὴρ πρόπαππος, ὡς Ἰσοκράτης, τάχα δ' ἂν τοῦτον τριτοπάτορα Ἀριστοτέλης καλοῖ.

Ita Bekkerus ; alii : Τάχα δὲ τοῦτον εἴποις τριτοπάτορα, ὡς Ἀριστοτέλης. Hæc a Müllero ad Rempublicam Atheniensium relata sunt ob Schol. Aristophan. Vesp. 578 (cf. fr. 86), a Rosio vero, ob ea quæ apud Pollucem l. supra laudato (fr. 33) memorantur, scilicet ab archontibus quæsitum esse εἰ Ἀθηναῖοί εἰσιν ἑκατέρωθεν ἐκ τριγονίας, i. e. ita ut jam ipsi τριτοπάτορες sive πρόπαπποι Athenienses fuerint. Bournotius contra, *Philologus*, t. IV, p. 276 Ἀριστοτέλης male pro Ἀριστοφάνης positum existimat, ad cujus Συγγενικὰ locum refert. Utramque tamen sententiam non satis probabilem puto : etsi enim, e glossa quæ est apud Photium, Suidam, Etymol. M. s. v. Τριτοπάτορες apparet, τριτοπατόρων mentionem apud Atthidum scriptores Demonem, Philochorum, Phanodemum factam est, de alia tamen hujus vocabuli significatione locutus est Pollux, quam tetigit quoque auctor Lex. Seguer. p. 307, 16 Bekk. : Τριτοπάτορες : Οἱ μὲν τοὺς πρώτους ἀρχηγέτας, οἱ δὲ τρίτους ἀπὸ τοῦ πατρὸς ὅπερ ἐστὶ προπάππους, ita ut non multum fortasse a vero aberraverit Lobeckius quum in *Aglaophamo*, t. I, p. 760, hunc usum Aristotelis ad dialogum περὶ Εὐγενείας referendum esse conjiceret. Neque illud prætereundum videtur in iis quæ statim sequuntur apud Pollucem, Phædonem Socraticum in dialogo Zopyro laudari.

37 (406).

Harpocration s. v. Λίθος :... Ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ γ' (fr. 65 apud Müller) ὑποσημαίνουσιν.

Eadem Suidas et Photius. Plut. V. Solon. c. 25 : Κοινὸν μὲν οὖν ὤμνυεν ὅρκον ἡ βουλὴ τοὺς Σόλωνος νόμους ἐμπεδώσειν, ἴδιον δ' ἕκαστος τῶν θεσμοθετῶν ἐν ἀγορᾷ πρὸς τῷ λίθῳ καταφατίζων εἴ τι παραβαίη τῶν θεσμῶν ἀνδριάντα χρυσοῦν ἰσομέτρη-

θεσμοί, ut supra diximus, appellabantur leges. Hi quotannis leges emendabant, ut docuit Æschines in Oratione adversus Ctesiphontem et Theophrastus in libro tertio de Legibus. Munia eorum recenset Aristoteles in Republica Atheniensium.

35.

Secundum Aristotelem thesmothetæ erant sex numero ex novem archontibus. Qui sorte creati a senatu quingentorum et a dicasterio examen subibant, quo interrogabantur quinam eorum patres, cujusnam essent, demi, num Apollo ipsis esset patrius et Jupiter herceus, num parentes suos bene haberent, censumque solverent et pro patria militassent. Hæc omnia inquisitionem merito nominabant.

36.

Avi vel aviæ pater πρόπαππος (*proavus*) ut Isocrates ; hunc fortasse Aristoteles τριτοπάτορα (*tertium patrem*) nominat.

37.

Videntur Athenienses ad quoddam saxum jurare soliti

τον ἀναθήσειν ἐν Δελφοῖς. Cf. supra fr. 34 et Schol. Plat. Phædr. p. 313 Bekk.

38 (407).

Lex. Rhet. Cantabr. p. 674, 7 : Ξενίας γραφὴ καὶ δωροξενίας διαφέρει. Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ φησὶ περὶ τῶν θεσμοθετῶν διαλεγόμενος· « Εἰσὶ δὲ καὶ γραφαὶ πρὸς (cod. περὶ) αὐτοὺς ὧν παράστασις (cod. περὶ στάσεις) τίθεται ξενίας καὶ δωροξενίας· ξενίας μὲν ἐάν τις κατηγορῆται ξένος εἶναι, δωροξενίας δὲ ἐάν τις δῶρα δοὺς (cod. διδοὺς) ἀποφύγῃ τὴν ξενίαν. Locum emendavit M. H. Meier. *Fragm. Lexic. rhetor.* Hal. 1844, p. 25.

Eadem apud Harpocrationem ex quo Photius et Suidas s. v. Παράστασις... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων Πολιτείᾳ περὶ θεσμοθετῶν λέγων φησὶν οὕτως· «Εἰσὶ δὲ γραφαὶ πρὸς αὐτούς, ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν. Καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητείας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ μοιχείας, et iterum s. v. Δωροξενία : Λυσίας... καὶ Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων γράφει ταυτί· « Εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν συκοφαντίαν, quod male scriptum est pro ξενίαν.

Præterea conferenda sunt quæ apud Harpocrationem, Photium et Suidam leguntur s. v. Ἡγεμονία δικαστηρίου... Πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας (ἐλαγχάνοντο δίκαι) καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως καὶ ἄλλων, Lex. Rhet. Seguer. p. 310, 12 Bekk., Polluc. VIII, 44 : Δωροξενίας δέ, εἴ τις ξενίας κρινόμενος δῶρα δοὺς ἀποφύγοι.

39 (408).

Synag. Lex. Seguer. p. 436, 1 : Ἀπὸ συμβόλων δικάζει : Ἀθηναῖοι ἀπὸ συμβόλων ἐδίκαζον τοῖς ὑπηκόοις· οὕτως Ἀριστοτέλης. Quid sint σύμβολα ab Harpocratione exponitur s. v. : Σύμβολα : Τὰς συνθήκας, ἃς ἂν αἱ πόλεις ἀλλήλαις θέμεναι τάττωσι τοῖς πολίταις ὥστε διδόναι καὶ λαμβάνειν τὰ δίκαια. Cf. Pollux VIII, 63 : Ἀπὸ συμβόλων δέ, ὅτε οἱ σύμμαχοι ἐδικάζοντο.

40 (409).

Pollux VIII, 89 : Ὁ δὲ ἄρχων διατίθησι μὲν Διονύσια καὶ Θαργήλια μετὰ τῶν ἐπιμελητῶν, δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται κακώσεως, παρανοίας, εἰς δατητῶν (ita scrib. pro διαιτητῶν, cf. infra fr. 42) αἵρεσιν, ἐπιτροπῆς ὀρφανῶν, ἐπιτρόπων καταστάσεις, κλήρων καὶ ἐπικλήρων ἐπιδικασίαι. Ἐπιμελεῖται δὲ καὶ τῶν γυναικῶν αἳ ἂν φῶσιν ἐπ' ἀνδρὸς τελευτῇ κύειν, καὶ τοὺς οἴκους ἐκμισθοῖ τῶν ὀρφανῶν· ἔστι δὲ ἐπώνυμος οὗτος, καὶ ἀπ' αὐτοῦ ὁ χρόνος ἀριθμεῖται.

Cf. Lex. Rhet. Cantabr. p. 670, 4 : Ἐπώνυμος ἄρχων : Ἀφ' οὗ ἡ πόλις χρηματίζει· ἔχει δὲ ἐπιμέλειαν χορηγοὺς καταστῆσαι εἰς Διονύσια καὶ Θαργήλια, ἐπιμελεῖται δὲ καὶ τῶν εἰς Δῆλον καὶ τῶν ἀλλαχόσε πεμπομένων Ἀθήνηθεν χορῶν. Λαγχάνονται δὲ πρὸς αὐτὸν (cod. παρ' αὐτῶν) καὶ γραφαί, καὶ δίκας εἰς τὸ δικαστήριον εἰσάγει. Lex. Rhet. Seguer. p. 310, 1 : Πρὸς τὸν ἄρχοντα κακώσεως ἐλαγχάνοντο γραφαὶ καὶ τῶν γονέων, εἰ τούτους τις αἰτίαν ἔχοι κακοῦν, καὶ τῶν ὀρφανῶν, ἔτι δὲ παρανοίας καὶ ἀργίας, καὶ ἐπιδικασίαι ἐπικλήρων γυναικῶν, cum quibus consentiunt Harpocration, Photius, Suidas s. v. Ἡγεμονία δικαστηρίου.

41 (410).

Harpocration s. v. Εἰς ἐμφανῶν κατάστασιν : Ὄνομα δίκης ἐστὶν ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα εἶναι ἐν φανερῷ. Ἰσαῖος ἐν τῷ περὶ τοῦ Φιλοκτήμονος κλήρου. Ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πο-

fuisse, ut ex Aristotele in Atheniensium Republica et ex Philochoro in Atthidis libro quarto colligere licet.

38.

Aristoteles in Republica Atheniensium de thesmothetis dicens scribit hæc : « Actiones apud eos intenduntur in quibus parastasis sive sacramenta deponebantur, peregrinitatis, peregrinitatis dono tentatæ et illius quidem, si quis peregrinus esse accusatur, hujus vero, si quis dona dando hanc peregrinitatis actionem devitare studet, falsæ relationis, ementitæ citationis, insidiarum, deleti nominis et adulterii.

39.

Athenienses ex pactis conventis jus dicebant sociis subditis. Ita Aristoteles.

40.

Archon vero Dionysia disponit et Thargelia cum suis procuratoribus. Actiones vero apud illum sortiuntur, injuriarum, dementiæ in arbitrorum delectum, orphanorum tutelæ, tutelarum ordinationes, heredum et coheredum adjudicationes, curatores quoque mulierum quæ a viri obitu imprægnatas sese dicunt. Tum et orphanorum domus elocant. Hic vero eponymus est et ab eo tempus computatur.

41.

Εἰς ἐμφανῶν κατάστασιν, *manifestatio vel actio ad exhibendum*, litis nomen est quæ ob id intendebatur, ut ea, de quibus esset controversia, in apertum producerentur. Isæus in Oratione de hereditate Philoctemonis. Aristoteles

λιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, τὸν δὲ ἀνακρίναντα εἰσάγειν εἰς τὸ δικαστήριον.

Pro ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα εἶναι ἐν φανερῷ, codices DE et Suidas τὰ ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι. Ἀνακρίναντα emendatio est Bekkeri, in codd. ἀνακρίνοντα præter N qui ἀνακριθέντα habet. De re cf. Pollux VIII, 33 : Ἦν δὲ δίκη καὶ εἰς ἐμφανῶν κατάστασιν καλουμένη, ὁπότε τις ἐγγυήσαιτο ἢ αὐτόν τινα ἢ τὰ χρήματα, Lex. Seguer. p. 246, 4 Bekk. et Etymol. m. cod. Marc apud E. Miller, *Mélanges de litt. gr.*, Paris, 1868, p. 1031.

42 (411).

Harpocration s. v. Δατεῖσθαι : Τὸ μερίζεσθαι, οἱ δὲ δατηταὶ οἱονεὶ μερισταί. Τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός τι δίκης ἐστίν. Ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινά, οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις προσκαλούμενοι εἰς δατητῶν αἵρεσιν. Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον, εἰ γνήσιος, καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ.

Eadem hæc Suidas et Lex. Seguer. p. 235, 26. Apud Etymol. M. p. 249, 43 tantummodo leguntur : Δατητής : Παρὰ Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης. Lex. Rhet. Cant. p. 667, 28 : Εἰς δατητῶν (αἵρεσιν) : Πρόκλησις νεμέσεως ἢ κληρονομίας ἢ κοινοῦ τινὸς ἀγορασμοῦ· ἐπὶ τῶν διανεμόντων τὰ κοινά τισιν, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ· « Δίκαι λαγχάνονται πρὸς τὸν ἄρχοντα ἄλλαι τινὲς (cod. ἀλλ' εἴ τις) καὶ εἰς δατητῶν αἵρεσιν, ὅταν μὴ θέλῃ τὰ ὄντα νέμεσθαι (Meier. l. l.: ὅταν ὁ μὲν θέλῃ, ὁ δὲ μὴ θέλῃ τὰ κοινὰ ὄντα νέμεσθαι).» Lex. Rhet. Seguer. p. 310, 17 Bekk.: Οἱ διαιτηταὶ (ita male hîc et supra p. 235, 26 pro δατηταί) πᾶσαν δίκην δικάζουσι πλὴν τῶν ξενικῶν, οἷον πρόκλησιν νεμήσεως ἐπί τινων ἢ κληρονομίας ἢ κοινὸν ἀγορασμόν. Κυρίως μέντοι οἱ διανέμοντες τὰ κοινά τισιν.

43 (412).

Harpocration s. v. Σῖτος :... Σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ τοῦ Σόλωνος α' ἄξονος καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων Πολιτείας.

Καὶ ἐκ Σόλωνος ἄξονον codd. AB et Vindob. Eadem apud Photium et Suidam, ubi legitur : Καὶ ἐκ τῶν τοῦ Σόλωνος πρώτου ἄξονος. Cf. supra fr. 12. Pollux VIII, 33 : Τὰς δ' ἐπὶ τῷ σίτῳ δίκας ἐν Ὠδείῳ ἐδίκαζον· σῖτος δέ ἐστιν αἱ ὀφειλόμεναι τροφαί.

44 (413).

Harpocration s. v. Ἐπιμελητὴς τῶν μυστηρίων : Παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς... Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ φησὶν οὕτως· « Ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν οὓς ὁ δῆμος ἐχειροτόνει (corr. χειροτονεῖ c. Bekkero) δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ Κηρύκων.» Eadem, omisso Aristotelis nomine, apud Suidam s. v. et Etymol. M. p. 362, 10, qui addunt post ἐχειροτόνει, τέσσαρες δὲ ἦσαν.

45 (414).

Pollux VIII, 90 : Ὁ δὲ βασιλεὺς μυστηρίων προέστηκε μετὰ τῶν ἐπιμελητῶν καὶ Ληναίων καὶ ἀγώνων τῶν ἐπὶ λαμπάδι, καὶ τὰ περὶ τὰς πατρίους θυσίας διοικεῖ. Δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται ἀσεβείας, ἱερωσύνης ἀμφισβητήσεως. Καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι πᾶσιν αὐτὸς δικάζει, καὶ τὰς τοῦ φόνου δίκας εἰς Ἄρειον πάγον εἰσάγει καὶ τὸν στέφανον ἀποθέμενος σὺν αὐτοῖς δικάζει. Προαγορεύει δὲ τοῖς ἐν αἰτίᾳ ἀπέχεσθαι μυστηρίων καὶ τῶν ἄλλων νομίμων. Δικάζει δὲ καὶ τὰς τῶν ἀψύχων δίκας. Τὴν δὲ συνοικοῦσαν αὐτῷ βασίλισσαν καλοῦσιν.

... vero in Republica Atheniensium dicit apud archontem hanc actionem intendi, qui re excussa in forum eam introducat.

42.

Δατεῖσθαι, dividere, δατηταὶ vero quasi divisores. Porro εἰς δατητῶν αἵρεσιν, *ad divisorum electionem*, est judicii forma. Quoties enim ex iis qui societatem coiissent, communem rem dividere volebant, litem intendebant iis qui recusabant, in jus vocantes ad divisorum electionem. Lysias in Oratione contra Alexidemum, si modo genuina est, et Aristoteles in Republica Atheniensium.

43.

Σῖτος vocatur reditus qui ad alimenta mulieribus et pupillis præbetur, quod cum ex aliis discere est tum ex primo axe Solonis et ex Aristotele in Republica Atheniensium.

44.

Curator mysteriorum apud Athenienses erat rex sacrorum. Aristoteles in Republica Atheniensium sic ait : « Rex curat primum mysteria cum curatoribus, qui a populo creantur numero quattuor, duo ex omnibus civibus Atheniensibus, tertius ex Eumolpidis, quartus e Cerycibus.

45.

Rex vero mysteriis præest cum curatoribus eorum, Lenæis et lampadis certaminibus et patria administrat sacrificia. Fiunt autem apud illum actiones impietatis, et de sacerdotii controversiis, sed et generibus et sacris omnibus ille jus dicit, et cædis actiones in Areopagum inducit, coronaque deposita simul cum illis judicat. Contendentibus porro interdicit a mysteriis et aliis legitimis abstinere, judicat et inanimatorum causas. Hujus conjugem reginam vocant.

Exscripsit hunc locum sive ex eodem fonte sive e Polluce Schol. Plat. Euthyphr. p. 325 Bekk., e quo plura in verbis Pollucis tentavit Rosius. Similia præbet Lex. Rhet. Seguer. p. 219, 14 Bekk. : Βασιλεύς : Βασιλεύς ἐστιν εἷς τῶν ἐννέα ἀρχόντων. Ὁ δὲ βασιλεὺς μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν οὓς ὁ δῆμος ἐχειροτόνησε. Γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας. Καὶ ἄν τις ἱερωσύνης ἀμφισβητήσῃ, προστιμᾷ. Διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν γερῶν. Λαγχάνονται δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον. Cf. præterea Photius s. v. Ἡγεμονία δικαστηρίου, p. 59, 11 (eadem Suidas et Lex. Rhet. Seguer. p. 310, 6): Τῷ μέντοι γε βασιλεῖ τάς τε φονικὰς καὶ τὰς τῆς ἀσεβείας, καὶ ἄν τις ἱερωσύνης ἠμφισβήτει· πρότερον δὲ καὶ τὰς περὶ τῶν ἱερῶν (γερῶν ut supra in Lex. Seg. emend. Meier, in libro *Attischer Process*, p. 49) τοῖς ἱερεῦσιν ἀμφισβητήσεις. Προηγόρευε δὲ καὶ τῶν νομίμων εἴργεσθαι τοὺς ἐν αἰτίᾳ. De femino βασίλισσα cf. supra Quæst. homer. p. 150 fr. 46.

46 (415).

Harpocration s. v. Πολέμαρχος... Ἀρχή τις ἦν παρ' Ἀθηναίοις οὕτω καλουμένη, ἔστι δὲ εἷς τῶν θ' ἀρχόντων. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ, διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος, « Πρὸς ταῦτα, φησίν, αὐτός τε εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος. »

Eadem Photius et Suidas, sine Aristotelis mentione. Ad eundem Aristotelis locum spectat Harpocration s. v. Ἀποστασίου : Δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνταί τε ἀπ' αὐτῶν ἢ ἕτερον ἐπιγράφωνται προστάτην καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσιν. Καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων Πολιτείᾳ περὶ τοῦ πολεμάρχου γράφει ταυτί· « Οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων, » ubi e priore loco supplendum est τοῖς μετοίκοις. Priora plenius exhibet Lex. Rhet. Seguer. p. 201, 5 Bekk. Cf. præterea Harpocrat. s. v. Ἡγεμονία δικαστηρίου, Lex. Rhet. Seguer. p. 310, 9, Harpocrat. s. v. Ἀπροστασίου, Pollux VIII, 91 : Ὁ δὲ πολέμαρχος θύει μὲν Ἀρτέμιδι ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δὲ τὸν ἐπιτάφιον ἀγῶνα τῶν ἐν πολέμῳ ἀποθανόντων, καὶ τοῖς περὶ Ἁρμόδιον ἐναγίζει. Δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται μετοίκων, ἰσοτελῶν, προξένων. Καὶ διανέμει τὸ λαχόν, ἑκάστῃ φυλῇ τι μέρος, τὸ μὲν διαιτηταῖς παραδιδούς, εἰσάγων δὲ δίκας ἀποστασίου, ἀπροστασίου, κλήρων, μετοίκων. Lex. Rhet. Seguer. p. 290, 27 : Πολέμαρχος : Ἄρχων ἐστὶν Ἀθήνησι· τῶν ἐννέα ἀρχόντων καὶ τῷ Ἐνυαλίῳ διατίθησι τὸν ἀγῶνα τὸν ἐπιτάφιον quæ aperte nimis contracta sunt. Aliunde fluxisse videtur quæ legitur altera apud Photium glossa v. Πολέμαρχος.

47 (416).

Harpocration s. v. Πάρεδρος... Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ φησί· « Λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται, καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύωσιν (παρεδρεύσωσιν conjecit Bekker).»

Eadem Photius et Suidas et a tertia manu in margine adscripta in cod. Hesychii v. Εὐθύνας. Ceterum manca est glossa et e Polluce VIII, 92 supplenda et corrigenda : Πάρεδροι δ' ὀνομάζονται οὓς αἱροῦνται ἄρχων καὶ βασιλεὺς καὶ πολέμαρχος, δύο ἕκαστος οὓς βούλεται. Δοκιμασθῆναι δ' αὐτοὺς ἐχρῆν ἐν τοῖς πεντακοσίοις, εἶτ' ἐν δικαστηρίῳ. Προσαιροῦνται δὲ καὶ γραμματέα, ὃς ἐννόμῳ δικαστηρίῳ κρίνεται.

48 (417).

Harpocration s. v. Στρατηγοί... Οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν, ὡς μαθεῖν ἔστιν ἔκ τε τῶν Ὑπερίδου κατ' Αὐ-

---

46.

Polemarchus magistratus erat Athenis, unus de novem archontibus. Aristoteles in Republica Atheniensium, quæ polemarchus administraret persecutus, « Ad hæc, inquit, polemarchus introducit causas detrectati et neglecti patrocinii et hereditatum et pupillarum heredum inquilinis, et omnino quodcunque archon civibus, id præstat inquilinis polemarchus.

47.

Aristoteles in Republica Atheniensium scribit : Archon et Polemarchus binos singuli assessores suo arbitratu sumunt; atque hi in judicio ante munus initum explorantur, et rationes reddunt muneris functi.

48.

Imperatores quoquo anno eligebantur decem, ut discere

τοκλέους καὶ ἐκ τῆς Ἀθηναίων Πολιτείας Ἀριστοτέλους.

Eadem omisso Aristotelis nomine apud Photium et Suidam.

49 (418).

Harpocration s. v. Ἵππαρχος... Λέγεται δὲ παρ' Ἀθηναίοις ἵππαρχος καὶ ὁ τῶν ἱππέων ἄρχων. Δύο δ' ἦσαν οὗτοι, ὡς Δημοσθένης ἐν δ' Φιλιππικῶν (I, 26) φησὶ καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Photius s. v. Ἵππαρχοι: Δύο ἦσαν, οἳ τῶν ἱππέων ἡγοῦντο, διελόμενοι τὰς φυλὰς ἑκάτερος ἀνὰ πέντε· ἐπιμεληταὶ δέ εἰσι τῶν ἱππέων, καθάπερ οἱ ταξίαρχοι δέκα ὄντες, εἷς ἐφ' ἑκάστης φυλῆς τῶν ὁπλιτῶν, ubi post alterum ἱππέων inserendum est οἱ φύλαρχοι, collato Polluce VIII, 94 et Harpocratione v. Φύλαρχος.

50 (419).

Harpocration s. v. Φύλαρχος:... Φύλαρχός ἐστιν ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ φησί. Cf. Photius s. v. Ἵππαρχοι et Pollux VIII, 94: Ἵππαρχοι δὲ δύο ἐξ ἁπάντων Ἀθηναίων αἱρεθέντες ἐπιμελοῦνται τῶν πολέμων. Οἱ δὲ φύλαρχοι δέκα, εἷς ἀπὸ φυλῆς ἑκάστης, τῶν ἱππέων προΐστανται, καθάπερ οἱ ταξίαρχοι τῶν ὁπλιτῶν. Harpocrationis glossa apud Suidam quoque exstat, neglecta Aristotelis mentione. Cf. Lex. Rhet. Seguer. p. 313, 32: Φύλαρχος: Ὁ κατὰ φυλὴν ἑκάστην τῆς ἵππου ἄρχων φύλαρχος καλεῖται· ἦσαν δὲ δέκα τὸν ἀριθμόν, ὑποτεταγμένοι τῷ ἱππάρχῳ.

51 (420).

Harpocration s. v. Πρυτανείας... Ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λς' ἢ λε', καὶ ἑκάστη φυλὴ πρυτανεύει. Διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ.

In cod. A pro λς', λη' quod ex errore legitur quoque apud Schol. Plat. Legg. p. 459 Bekk.: Πρυτάνεις εἰσὶ μέρος τι τῶν πεντακοσίων τὸ δέκατον, πεντήκοντα ἄνδρες, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς βουλῆς πραττόμενα, καὶ ἐπρυτάνευον κατὰ πρυτανείαν ἐκ διαδοχῆς. Πρυτανεία δέ ἐστιν ἀριθμός τις ἡμερῶν, ἤτοι λς' ἢ λη' ἢ λε', ἃς ἑκάστη φυλὴ πρυτανεύειν λέγεται. Ιϛ' μὲν γὰρ οἱ μῆνες, ι' δέ εἰσι πρυτανεῖαι καὶ φυλαὶ ι'. Καὶ διῄρηνται εἰς ταύτας αἱ ἡμέραι τοῦ ἐνιαυτοῦ. Κατὰ γὰρ σελήνην ἄγουσι τοῦτον, ὡς ἑκάστῃ τῶν ι' φυλῇ ἐπιβάλλειν λε' ἡμέρας, πλεονάζειν δὲ ὀλίγας. Διὸ καὶ τὰς λοιπὰς ἀπέδωκαν οἱ Ἀθηναῖοι ταῖς πρώταις λαχούσαις τέσσαρσι φυλαῖς, ἵνα ἐκείνων μὲν ἑκάστη τὰς λς' ἡμέρας πρυτανεύῃ, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ λε'. Quæ omnia ut jam Grashofius suspicabatur (*Jahn's Jahrbücher für Philol. u. Pædag.* t. X, p. 133), non minus quam glossæ apud Photium, Suidam, Lex. Rhet. Seguer. p. 291, 11, paulo discrepantes, ad Aristotelem referenda sunt. Eadem fortasse et de Schol. Æschin. contra Timarch. § 104, p. 273 ed. Schultz valent: Ἐπειδὴ δέκα ἦσαν πρυτανεῖαι, ἑκάστης δὲ τούτων πεντήκοντα βουλευταί, ἄνδρες πεντακόσιοι πρυτανεύουσιν, ἕκαστος μῆνα καὶ ἡμέρας ἕξ, ἕως τὸ ἔτος περιέλθοι εἰς τὰς δέκα φυλάς. Ὁ δὴ χρόνος, ὃν ἄρχει ἡ μία φυλή, πρυτανεία καλεῖται. Καὶ μετροῦσι κοινότερον οὐ πρὸς μῆνας ἀλλὰ πρὸς πρυτανείας τούς τε μισθοὺς καὶ τόκους καὶ ἐνοίκια.

52 (421).

Harpocration s. v. Κυρία ἐκκλησία... Τίνες δὲ αἱ κύριαι ἐκκλησίαι, Ἀριστοτέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων Πολιτείᾳ, λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, τὴν μὲν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. « Προγράφουσι (codd. προσγράφουσι) δέ, φησί, καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ δοκοῦσι μὴ καλῶς ἄρχειν, καὶ περὶ φυλακῆς δὲ τῆς χώρας. » Καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι καὶ τὰ ἑξῆς.

Eadem Photius et Suidas sine Aristotelis nomine; brevius apud Hesychium leguntur s. Κυρία ἐκκλησία· ἤγετο Ἀθήνησιν ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονεῖν ἔδει, quod corruptum (τοὺς ἄρχοντας ἐχειροτόνουν) recurrit apud Photium p. 191, 8

est ex Hyperidis Oratione contra Autoclem et ex Aristotelis Republica Atheniensium.

49.

Hipparchi sive equitum præfecti duo erant apud Athenienses, ut Demosthenes in Philippica quarta dicit et Aristoteles in Atheniensium Republica.

50.

Phylarchus, qui suæ tribus equitatui præfectus est subditus erat hipparcho, ut Aristoteles in Republica Atheniensium dicit.

51.

Prytania est numerus dierum XXXVI aut XXXV et unaquæque tribus Prytaniam administrat. De his disseruit Aristoteles in Republica Atheniensium.

ed. Porson., in Lexic. Rhet. Seguer. p. 274, 19, Etymol. M. p. 549, 5. Ad hoc et ad sequentia fragmenta spectant quæ ex Aristotele apud Pollucem leguntur VIII, 95-96: Πρυτάνεις. Οὗτοι τὴν βουλὴν συνάγουσιν ὁσημέραι, πλὴν ἄν τις ᾖ ἄφετος, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας· καὶ προγράφουσι πρὸ τῆς βουλῆς καὶ πρὸ τῆς ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. Τῶν δ' ἐκκλησιῶν ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν, εἴπερ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν· ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκουσιν οἱ πρὸς ταῖς δίκαις, καὶ τὰς λήξεις τῶν κλήρων. Ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις, ἱκετηρίαν θεμένοις, λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. Ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις ἀξιοῖ χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτάνεσιν ἀποδοῦναι τὰ γράμματα. Ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων. Ἐπιστάτης δ' ἐστὶν εἷς τῶν πρυτάνεων, ὁ κλήρῳ λαχών. Δὶς δ' οὐκ ἔξεστι γενέσθαι τὸν αὐτὸν ἐπιστάτην. Ἔχει δὲ οὗτος τῶν ἱερῶν τὰς κλεῖς ἐν οἷς τὰ χρήματα καὶ τὰ γράμματα. Καὶ ὅταν οἱ πρυτάνεις τὸν δῆμον ἢ τὴν βουλὴν συνάγωσιν, οὗτος ἐξ ἑκάστης φυλῆς πρόεδρον ἕνα κληροῖ, μόνην τὴν πρυτανεύουσαν ἀφιείς. Eadem usque ad ὁσίων, apud Schol. ad Æschin. c. Timarch. § 104, p. 272 ed. Schultz.

53 (422).

Lex. Rhet. Cantabr. p. 672, 3: Κυρία ἡ ἐκκλησία: Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθηναίων Νομοθεσίας... Ἄμεινον οὖν Ἀριστοτέλει [addendum est πείθεσθαι]· τὰς γὰρ ἀρχὰς ἐν ταῖς κυρίαις ἐκκλησίαις φησὶν ἐπιχειροτονεῖσθαι καὶ τὰς εἰσαγγελίας [τὸν βουλόμενον ποιεῖσθαι sive εἰσαγγέλλειν], καὶ τὰ ἄλλα τῶν ἀναγκαίων χρηματίζειν καὶ περὶ σίτου [καὶ] φυλακῆς τῆς χώρας, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκειν, καὶ τὰς λήξεις (cod. δείξεις) τῶν κλήρων. Ἐπὶ δὲ τῆς ἕκτης πρυτανείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῆς ὀστρακοφορίας προχειροτονίαν, δίδοσθαι εἰ δοκεῖ ἢ μή [εἰσφέρειν τὸ ὄστρακον]. Locum depravatum emendavit Meierus l. l. p. 21.

54 (423).

Harpocration s. v. Ἐπιστάτης... Δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος, ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ. Eadem Lex. Rhet. Seguer. p. 244, 32. Etymol. M. p. 364, 10, omisso Aristotelis nomine. Suidas s. v. Ἐπιστάτης: Τῶν πρυτάνεων εἷς ὁ λαχὼν ἐπιστάτης ἐλέγετο. Δὶς δὲ τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν· φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα. Ἐπειδὰν δὲ οἱ πρυτάνεις συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα, ἀπὸ φυλῆς ἑκάστης ἕνα, πλὴν τῆς πρυτανευούσης. Καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιστάτην ἕνα κληροῖ καὶ τὸ πρᾶγμα παραδίδωσιν, αὐτὸς δὲ εἰσάγει τὴν δίκην καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γενέσθαι καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαστάς. Eadem hæc, iisdem pæne verbis, Telephus (cf. Müller. Fragm. hist. græc. t. III, p. 635), apud Eustathium in

52.

Quæ fuerint conciones κύριαι, (principales) quas vocant in Republica Atheniensium docet Aristoteles; dicit vero Prytanes senatum et populum convocare, et senatum quidem quotidie, nisi dies nefastus sit: populum vero quater intra spatium uniuscujusque prytaniæ. Proscribunt autem etiam κυρίαν ἐκκλησίαν, in qua magistratus abrogant qui male munere suo fungi videantur, et de regionis custodia agunt. Porro si quis publice nomen alicujus deferre velit, hoc eo die facere licet.

Prytanes senatum quotidie congregant, nisi qui dies nefastus fuerit et populum quater per singulas prytanias. Populo præscribunt ante senatum et ante concionem de quibus agendum sit. Concio vero κυρία dicitur ea in qua magistratus confirmant siquidem boni fuerint, aut abrogant: in qua et publicas causas quicunque voluerit recitare potest; et rescriptiones publicatorum bonorum recitabant qui de hereditatibus judicabant. Secunda concio habetur volentibus, supplicatione facta, intrepide loqui de privatis et publicis rebus. Tertia præconibus et legatis habetur, quos oportet prius prytanibus scripta tradere. Quarta vero de sacris et sanctis habetur. Præfectus vero unus est prytanum sorte designatus. Eundem vero bis præfectum creari non licet. Habet autem hic sacrorum claves in quibus pecuniæ et tabulæ depositæ sunt. Quumque prytanes senatum aut populum convocant, hic ex singulis tribubus unum proedrum creat, excepta ea quæ est in imperio.

53.

Præstat Aristoteli fidem habere. Is enim dicit in concionibus quæ κύριαι vocantur, magistratus confirmari, et causas de criminibus publicis a quocunque qui voluerit deferri, deque aliis necessariis agi et de frumentis et de custodia regionis et libellos publicatorum recitari et sortes hereditatum, et decerni num ostracismi habendi causa sit necne.

54.

Duo constituti sunt epistatæ, unus e prytanibus sorte lectus, alter ex proedris. De muneribus utriusque exposuit Aristoteles in Republica Atheniensium.

Odyss. p. 1827 ed. Rom. : Προσενθυμητέον δὲ καὶ Τηλέφου τοῦ, ὡς ἱστορεῖται, Περγαμηνοῦ, ὅτι κατὰ τὴν ἐκείνου παράδοσιν νομική τις ἦν λέξις ἡ τεχνική ἐν τοῖς μεθ' Ὅμηρον ὁ ἐπιστάτης· γίνεται γάρ, φησιν, Ἀθήνησιν ἐκ τῶν πρυτάνεων εἷς ὃς ἐπιστατεῖ νύκτα καὶ ἡμέραν μίαν, καὶ πλείω χρόνον οὐκ ἔξεστιν οὐδὲ δὶς τὸν αὐτὸν γενέσθαι, τάς τε κλεῖς [addendum est τῶν ἱερῶν] ἐν οἷς τὰ χρήματά εἰσι φυλάττει καὶ τὰ γράμματα τῆς πόλεως καὶ τὴν δημοσίαν σφραγῖδα. Κληροῖ δὲ καὶ προέδρους ἐξ ἑκάστης φυλῆς ἕνα, πλὴν τῆς πρυτανευούσης καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα, quæ se satis ut ex Aristotele excerpta produnt.

55 (424).

Harpocration s. v. Πρόεδροι ἐκληροῦντο τῶν πρυτάνεων καθ' ἑκάστην πρυτανείαν εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας διῴκουν. Ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. Πολλάκις δ' ἔστι τοὔνομα παρὰ τοῖς ῥήτορσιν... ὅτι δ' ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτούς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Eadem Photius p. 452, 4 et Suidas omisso Aristotelis nomine. Altera glossa brevior apud Photium p. 451, 25 et Lex. Rhet. Seguer. p. 290, 8, apud quos, pro καθ' ἑκάστην πρυτανείαν, καθ' ἑκάστην ἐκκλησίαν legitur, quod frustra apud Harpocrationem restituere conatus est Luzacius, *De Socrate cive*, Lugd. Batav. 1796, p. 97. Cf. præterea Schol. Æschin. in Orat. c. Ctesiph. § 4, p. 316 Schultz.

56 (425).

Harpocration s. v. Γραμματεύς... Ὁ γραμματεὺς πῶς τε καθίστατο καὶ τί ἔπραττεν, ὡς τῶν γραμμάτων τ' ἐστὶ κύριος καὶ τὰ ψηφίσματα τὰ γενόμενα φυλάττει καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται καὶ παρακάθηται τῇ βουλῇ, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Γραμματέως et ἀντιγραφέως munera male hîc ab Harpocratione confusa esse animadvertit Rosius, collato Polluce VIII, 98 : Γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ τὰ γράμματα φυλάττειν καὶ τὰ ψηφίσματα, καὶ ἕτερος ἐπὶ τοὺς νόμους ὑπὸ τῆς βουλῆς χειροτονούμενος. Ὁ δ' ὑπὸ τοῦ δήμου αἱρεθεὶς γραμματεὺς ἀναγινώσκει τῷ τε δήμῳ καὶ τῇ βουλῇ. Ἀντιγραφεὺς πρότερον μὲν αἱρετός, αὖθις δὲ κληρωτὸς καὶ πάντα ἀντεγράφετο παρακαθήμενος τῇ βουλῇ. Δύο δ' ἦσαν, ὁ μὲν τῆς βουλῆς, ὁ δὲ τῆς διοικήσεως. Cf. Bœckh. *Staatshaushaltung der Athener*, t. I, p. 254 sqq., Köhler. *Attische Inschriften*, *Hermes*, t. II, p. 29. Alia glossa apud Suidam legitur : Γραμματεύς : οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα· ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος ἀπὸ τοῦ γράφειν παρὰ τῇ βουλῇ ὠνόμασται. Lex. Rhet. Seg. p. 185, 14 : Γραμματεύς : Ὁ ἀναγινώσκων τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ προστεταγμένα· κατὰ χρόνους ἠλλάσσετο. Ὁ δὲ καταγραφόμενος τὰ ἐν τῇ βουλῇ γενόμενα ἀντιγραφεὺς ἐλέγετο. Ibid. p. 226, 30 : Γραμματεύς : Καὶ τὸν γραμματέα ὁ δῆμος χειροτονεῖ, ἀναγνωσόμενον αὐτῷ καὶ τῇ βουλῇ. Καὶ οὗτος οὐδενὸς τὸ σύνολον ἄλλου ἐστὶ κύριος ἢ τοῦ ἀναγνῶναι. Ἔστιν οὖν ὁ ἀναγνώστης.

57 (426).

Harpocration s. v. Ἀντιγραφεύς : Ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα ὥστε ἀντιγράφεσθαι ταῦτα... Διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος, ὁ δὲ τῆς βουλῆς, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Eadem omisso Aristotelis et Philochori nomine Suidas s. v. et Lexic. Rhet. Seguer. p. 410, 3.

58 (427).

Harpocration s. v. Ἀποδέκται : Ἀρχή τίς ἐστι παρ' Ἀθηναίοις οἱ ἀποδέκται, ἧς πολλάκις μνημονεύουσιν οἱ ῥήτορες καὶ οἱ κωμικοί. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ δεδήλωκεν ὡς δέκα τε εἴησαν καὶ ὡς παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα τῆς βουλῆς ἐναντίον ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασι τὰ γραμματεῖα τῷ δημοσίῳ. Καὶ ἁπλῶς ἃ πράττουσι διασαφεῖ. Ὅτι δὲ ἀντὶ τῶν κωλακρετῶν οἱ ἀποδέκται ὑπὸ Κλεισθένους ἀπεδείχθησαν, Ἀνδροτίων β'.

55.

Proedri a prytanibus, in singulas prytanias, sorte legebantur, ex qualibet tribu unus, excepta ea quæ prytaniam gerebat; qui curabant ea quæ ad comitia populi pertinebant. Appellabantur autem proedri, quod primam præ reliquis sedem tenebant. Frequens nomen est apud oratores... Eum autem qui vocabatur ἐπιστάτης, proedros sorte legisse Aristoteles in Republica Atheniensium dixit.

56.

De scribæ electione atque officio, quod tabularum penes eum potestas, et decretorum factorum custodia fuerit, ceteraque omnia contra scripserit ac senatui assederit, Aristoteles docuit in Republica Atheniensium.

57.

Contrascriptor, qui præpositus est illis, qui civitati pecuniam solvunt, ut eam transcribat... Erant autem bini, unus administrationis, ut ait Philochorus, alter senatus, ut Aristoteles in Republica Atheniensium.

58.

Ἀποδέκται, *receptores* magistratus fuit apud Athenienses, cujus oratores et comici subinde meminerunt. Aristoteles vero in Republica Atheniensium ostendit denos fuisse, qui acceptis tabulis publicis, nomina debitorum post pecuniæ solutionem, in senatu coram senatoribus delebant, tabulasque iterum ærario tradebant. Idem reliqua eorum munera quæ fuerint exponit. Ceterum apodectæ in locum colacretarum a Clisthene subrogati, ut Androtion libro secundo testatur.

Ex Harpocratione, Suidas, omisso Aristotelis nomine.

Lex. Rhet. Seguer. p. 198, 1 : Ἀποδέκται : Ἄρχοντες κληρωτοί, δέκα τὸν ἀριθμὸν κατὰ φυλήν εἰσιν, οἵτινες παρελάμβανον καὶ ἀπεδέχοντο τὰ γραμματεῖα τῶν ὀφειλόντων τῷ δημοσίῳ. Διὰ τοῦτο γὰρ καὶ ἀποδέκται ἐκαλοῦντο. Εἶτα ἐξήταζον τά τε ὀφειλόμενα καὶ τὰ ἀποδιδόμενα χρήματα σὺν τῇ βουλῇ, καὶ ἐμέριζον εἰς ἃ χρὴ ἀναλίσκειν, quibus addit Suidas in altera glossa, t. I, p. 594, not. Bernh.: Καὶ γενομένης τῆς καταβολῆς τῶν ὀφειλομένων χρημάτων ἀπήλειφον τὰ γραμματεῖα δημοσίᾳ. Cf. Etym. M. p. 124, 41, Zonaras p. 234, Synag. Lex. Seg. p. 427, 13. Alia præbet Pollux VIII, 97 : Ἀποδέκται δὲ ἦσαν δέκα, οἳ τοὺς φόρους καὶ τὰς εἰσφορὰς καὶ τὰ τέλη ὑπεδέχοντο, καὶ τὰ περὶ τούτων ἀμφισβητούμενα ἐδίκαζον· εἰ δέ τι μεῖζον εἴη, εἰσῆγον εἰς δικαστήριον. Cf. Schol. Æschin. in Orat. c. Ctesiphont. § 26, p. 321 Schultz.

59 (428).

Harpocration s. v. Πωληταὶ καὶ πωλητήριον : Οἱ μὲν πωληταὶ ἀρχή τίς ἐστιν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. Διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τέλη καὶ μέταλλα καὶ μισθώσεις καὶ τὰ δημευόμενα ... Διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ. Πωλητήριον δὲ καλεῖται τόπος ἔνθα συνεδρεύουσιν οἱ πωληταί.

Eadem Photius et Suidas, omissa Aristotelis mentione. Lex. Rhet. Seguer. p. 291, 17, post δημευόμενα addit : Καὶ φροντίζουσιν ὅπως ἡ τιμὴ τῶν πιπρασκομένων ἀποδοθῇ τῇ πόλει, et similiter Etym. M. p. 698, 57 : Πωληταί : Ἀρχή τις Ἀθήνησι· οἳ τὰ τῆς πόλεως πωλοῦσι καὶ φροντίζουσιν ἀποδιδόντες τῇ πόλει. Altera est præterea glossa apud Photium p. 478, 5 et Suidam : Πωληταί : Οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν καὶ μὴ ἀποδιδόντων ἐπίπρασκον τὰς οὐσίας· ὑπέκειντο δὲ τοῖς πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον, ἔτι καὶ οἱ ξενίας ἁλόντες, καὶ ὁ μέτοικος προστάτην οὐκ ἔχων, καὶ ὁ ἀποστασίου γραφείς· τούτων γὰρ τὰς οὐσίας πωλοῦντες παρακατέβαλλον εἰς τὸ δημόσιον. Cf. præterea Pollux VIII, 99 : Πωληταὶ τὰ τέλη πιπράσκουσι μετὰ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων, καὶ τὰς τῶν ἐξ Ἀρείου πάγου μετὰ τὸν πρότερον λόγον φυγόντων οὐσίας, καὶ τὰ δεδημευμένα. Πρυτανεύει δὲ ἐξ αὐτῶν εἷς ὃς τὰ πωλούμενα βεβαιοῖ. Ἀπήγοντο δὲ πρὸς τούτους καὶ οἱ μετοίκιον μὴ τιθέντες, quæ licet consentiant cum glossa apud Harpocrationem s. v. Μετοίκιον : Οἱ μέντοι μὴ τιθέντες τὸ μετοίκιον μέτοικοι ἀπήγοντο πρὸς τοὺς πωλητάς, καὶ εἰ ἑάλωσαν ἐπιπράσκοντο, ubi additur : Ὥς φησι Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος (§. 57-58), non tamen necessario e Demosthene derivata sunt.

60 (429).

Harpocration s. v. Ταμίαι : .... Ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, δέκα τὸν ἀριθμόν. Παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ. Εἰσὶ δέ τινες καὶ τῶν [ἱερῶν addendum videtur] τριήρων ταμίαι, ὡς ὁ αὐτὸς φιλόσοφός φησιν. Ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι, δεδήλωκεν Εὔπολις ἐν Μαρικᾷ. Eadem Photius, Etym. M. p. 745, 16, Philemon Lex. Technol. p. 150 ed. Osann. Photius vero atque Suidas et ex parte Lexic. Rhetor. Seguer. p. 306, 7 alteram præterea glossam apponunt : Ταμίαι : Ἄρχοντές εἰσιν Ἀθήνησι κληρωτοὶ ἀπὸ τῶν πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε καὶ δημόσια φυλάττουσιν, ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς [καὶ τὸν κόσμον add. Lex. Seguer.). Εἰσὶ δὲ ἄλλοι ταμίαι, ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς καὶ δημοσίας τριήρεις, ὁ μὲν ἐπὶ τὴν Πάραλον, ὁ δὲ ἐπὶ τὴν τοῦ Ἄμμωνος. Ex

59.

Erant Athenis πωληταί *venditores*, certus quidam magistratus, decem numero viri, ex singulis tribubus unus, qui omnia quæ a civitate vendebantur administrabant, ut vectigalia, metalla, redempturas et quæ publicabantur. De iis disseruit Aristoteles in Republica Atheniensium. Πωλητήριον vero appellabatur locus, ubi πωληταί considere solent.

60.

Ταμίαι (*quæstores*); magistratus fuerant apud Athenienses quæstores, decem numero, qui Minervæ simulacrum et victorias aliaque ornamenta et pecunias in conspectu senatus recipiebant, ut ait Aristoteles in Republica Atheniensium. Sunt etiam triremium sacrarum quæstores, eodem philosopho teste. Trierarchis quoque adjunctos fuisse declarat Eupolis in Marica.

eodem fonte Pollux VIII, 97. Ταμίαι τῆς θεοῦ κληρωτοὶ μὲν ἐκ πενταχοσιομεδίμνων ἦσαν, τὰ δὲ χρήματα παρελάμβανον τῆς βουλῆς παρούσης. Ἐκαλοῦντο δ' οὗτοι κωλακρέται. Εἶχον δ' ἐξουσίαν καὶ ζημίαν ἀφελεῖν, εἰ ἀδίκως ὑπὸ τῶν ἀρχόντων ἐπιβληθείη, et ibid. 116: Ταμίας ἐκάλουν τοὺς ταῖς ἱεραῖς τριήρεσι λειτουργοῦντας, ἄλλους ἢ τριηράρχους. Καὶ οἱ ἐκ τῆς Παράλου καὶ τῆς Σαλαμινίας ναῦται ἐκαλοῦντο οἱ μὲν οὐ πάραλοι μόνον, ἀλλὰ καὶ παραλῖται, οἱ δὲ Σαλαμίνιοι.

61 (430).

Lex. Rhet. Cantabr. p. 675, 28: Πάραλος καὶ Σαλαμινία: Ταύτας τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς τὰς ἐπειγούσας ὑπηρεσίας, ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο· ἐχρῶντο δὲ αὐταῖς εἰ δέοι στρατηγὸν μεταπέμψασθαι κριθησόμενον, ὥσπερ Ἀλκιβιάδην. Ἡ δὲ Πάραλος καὶ ἀπό τινος ἥρωος ἐπιχωρίου ἐκλήθη. Τῆς μὲν Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ μνημονεύει Θουκυδίδης (III, 33 et 77) καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν (v. 1204), Ἀριστοτέλης δὲ Ἀμμωνιάδα καὶ Πάραλον οἶδε καὶ Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους. Φιλόχορος δὲ ἐν τῇ ς' (fr. 130 Müller), τέτταρας αὐτὰς οἶδε, πρώτας μὲν δύο Ἀμμωνιάδα καὶ Πάραλον, προσγενομένας δὲ Δημητριάδα καὶ Ἀντιγονίδα. Ἐκαλοῦντο δὲ οἱ ἐμπλέοντες τῇ Παράλῳ Πάραλοι, ὡς καὶ παρ' Αἰσχίνῃ (adv. Ctesiph. § 162), οἱ δ' ἐν τῇ Σαλαμινίᾳ Σαλαμίνιοι.

105.

Decies mille viri in urbe Megalopoli. Demosthenes in Oratione contra Æschinem. Est commune totius Arcadiæ concilium, cujus sæpe mentionem faciunt historici. Disserit de iis etiam Aristoteles in communi Arcadum Republica, statim initio libelli.

ΑΧΑΙΩΝ.

105b (475).

Photius Biblioth. cod. 161, p. 104, B, 42 Bekk. de Sopatri sophistæ historiarum Eclogis : Ὁ δὲ δωδέκατος αὐτῷ λόγος συνήθροισται ἐξ ἄλλων τε διαφόρων καὶ... ἐκ τῶν Ἀριστοτέλους Πολιτειῶν, Θετταλῶν τέ φημι καὶ Ἀχαιῶν καὶ Παρίων Λυκίων τε καὶ Κίων, καὶ ὧν ἐκεῖνος ἁπλῶς ἐν τοῖς πολιτικοῖς αὐτοῦ διαλαμβάνει.

ΒΟΤΤΙΑΙΩΝ.

106 (476).

Plutarch. V. Thesei c. 15 : Ὅτι μὲν οὖν Ἀνδρόγεω περὶ τὴν Ἀττικὴν ἀποθανεῖν δόλῳ δόξαντος, ὅ τε Μίνως πολλὰ κακὰ πολεμῶν εἰργάζετο τοὺς ἀνθρώπους καὶ τὸ δαιμόνιον ἔφθειρε τὴν χώραν· ἀφορία τε γὰρ καὶ νόσος ἐνέσκηψε πολλὴ καὶ ἀνέδυσαν οἱ ποταμοί· καὶ τοῦ θεοῦ προστάξαντος ἱλασαμένοις τὸν Μίνω καὶ διαλλαγεῖσι λωφήσειν τὸ μήνιμα καὶ τῶν κακῶν ἔσεσθαι παῦλαν, ἐπικηρυκευσάμενοι καὶ δεηθέντες ἐποιήσαντο συνθήκας, ὥστε πέμπειν δι' ἐννέα ἐτῶν δασμὸν ἠϊθέους ἑπτὰ καὶ παρθένους τοσαύτας, ὁμολογοῦσιν οἱ πλεῖστοι τῶν συγγραφέων. Τοὺς δὲ παῖδας εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ λαβυρίνθῳ διαφθείρειν... c. 16 : Φιλόχορος δέ φησιν οὐ ταῦτα συγχωρεῖν Κρῆτας, ἀλλὰ λέγειν (cf. fr. 38. Müll.)... Ἀριστοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ Βοττιαίων Πολιτείᾳ δῆλός ἐστιν οὐ νομίζων ἀναιρεῖσθαι τοὺς παῖδας ὑπὸ τοῦ Μίνω, ἀλλὰ θητεύοντας ἐν τῇ Κρήτῃ καταγηράσκειν· καί ποτε Κρῆτας εὐχὴν παλαιὰν ἀποδιδόντας ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστέλλειν, τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐκγόνους ἐκείνων συνεξελθεῖν· ὡς δὲ οὐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτοὺς αὐτόθι, πρῶτον μὲν εἰς Ἰταλίαν διαπεράσαι κἀκεῖ κατοικεῖν περὶ τὴν Ἰαπυγίαν, ἐκεῖθεν δὲ αὖθις εἰς Θρᾴκην κομισθῆναι καὶ κληθῆναι Βοττιαίους· διὸ καὶ τὰς κόρας τῶν Βοττιαίων θυσίαν τινὰ τελούσας ἐπᾴδειν « Ἴωμεν εἰς Ἀθήνας. »

Eundem morem tangit Plutarchus in Quæst. Græc. c. 35 : Τί δή ποτε ταῖς κόραις τῶν Βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις· « Ἴωμεν εἰς Ἀθήνας »; Κρῆτάς φασιν εὐξαμένους ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστεῖλαι, τοὺς δὲ πεμφθέντας ὡς ἑώρων οὐδεμίαν οὖσαν εὐπορίαν, αὐτόθεν εἰς ἀποικίαν ὁρμῆσαι· καὶ πρῶτον μὲν ἐν Ἰαπυγίᾳ κατοικῆσαι, ἔπειτα τῆς Θρᾴκης τοῦτον τὸν τόπον κατασχεῖν, ἀναμεμιγμένων αὐτοῖς Ἀθηναίων· ἔοικε γὰρ μὴ διαφθείρειν ὁ Μίνως οὓς ἔπεμπον Ἀθηναῖοι κατὰ τὸν δασμὸν ἠϊθέους, ἀλλὰ κατέχειν παρ' ἑαυτῷ λατρεύοντας. Ἐξ ἐκείνων οὖν τινὲς γεγονότες καὶ νομιζόμενοι Κρῆτες εἰς Δελφοὺς συναπεστάλησαν· ὅθεν αἱ θυγατέρες τῶν Βοττιαίων ἀπομνημονεύουσαι τοῦ γένους ᾖδον ἐν ταῖς ἑορταῖς· « Ἴωμεν εἰς Ἀθήνας. »

Ab his diversa narrat Conon c. 25. Utramque fabulam tangit Strabo VI, p. 279 et 282.

ΓΕΛΩΩΝ.

107 (477).

Schol. Pindari Pyth. I, 89 : Καμάτων δ' ἐπίλασιν παράσχοι : Καμάτων φησὶ τῶν συνεχόντων τὸν Ἱέρωνα ἐκ τοῦ νοσήματος τῆς λιθουρίας. Φησὶ γάρ που καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Γελώων Πολιτείᾳ, Γέλωνα τὸν τοῦ Ἱέρωνος ἀδελφὸν ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι, αὐτὸν δὲ τὸν Ἱέρωνα, ἐν τῇ τῶν Συρακουσίων Πολιτείᾳ, δυσουρίᾳ δυστυχῆσαι.

Cf. Plutarch. de Pythiæ orac. c. 19 : Ἴστε τοίνυν, ὅτι Γέλων μὲν ὑδρωπιῶν, Ἱέρων δὲ λιθιῶν ἐτυράννησεν· ὁ δὲ τρίτος Θρασύβουλος (tertius scilicet Dinomenis filius) ἐν στάσεσι καὶ πολέμοις γενόμενος χρόνον οὐ πολὺν ἐξέπεσε τῆς ἀρχῆς.

BOTTIÆORUM.

106.

Ipse quoque Aristoteles in Bottiæorum Republica fatetur non arbitrari se a Minoe interfectos fuisse liberos (quos Athenienses mittebant, scil.), sed mercenariam vitam agentes in Creta consenuisse, ac Cretenses aliquando ad vetera persolvenda vota hominum misisse primitias Delphos, atque cum his qui mittebantur, mistam illorum Atheniensium sobolem una emigrasse. Qui quum victum sibi quærere in illis locis non valerent, in Italiam transmisisse primum, atque illic sedes circa Iapygiam collocasse : inde rursus delatos in Thraciam, et dictos Bottiæos : quapropter Bottiæorum virgines sacris quibusdam accinere solebant : Eamus Athenas.

Cur Bottiæorum virginibus mos fuit choreas ducentibus dicere : Eamus Athenas? Cretenses, ut perhibetur, ex voto primitias hominum Delphos miserunt. Missi quum viderent nullam ibi rerum copiam esse, inde in coloniam profecti primum incoluerunt Iapygiam, post Thraciæ istam partem, quæ Bottiæorum dicitur, obtinuerunt permixtis Atheniensibus. Apparet enim adolescentes, qui tributi nomine ab Atheniensibus mittebantur, a Minoe non fuisse interfectos, sed pro servis detentos. Horum ergo aliqui facti et habiti Cretenses, una cum reliquis Delphos missi erant. Itaque Bottiæorum filiæ gentis suæ memoriam celebrantes, in festivitatibus canebant : « Eamus Athenas. »

GELOORUM.

107.

Aristoteles in Geloorum Republica alicubi dicit Gelonem Hieronis patrem hydrope mortuum esse; Hieronem vero idem in Syracusanorum Republica refert urinæ difficultate laborasse.

ΔΕΛΦΩΝ.

107 (477).

Proverb. Coll. III apud E. Miller, *Mélanges de littérature grecque*, Paris, 1868, p. 369 : Τὸ Αἰσώπειον αἷμα. Αὕτη λέγεται κατὰ τῶν δυσαποτρίπτοις ὀνείδεσι περιπεπτωκότων· τοῖς γὰρ Δελφοῖς ἀνελοῦσι τὸν Αἴσωπον συνέβη δαιμόνιον χαλεπῆναι, ὡς μέμνηται καὶ Ἀριστοτέλης ἐν τῇ Δελφῶν Πολιτείᾳ.

Idem proverbium legitur apud Zenob. I, 47, Diogen. I, 46, Suidam s. v., apud quos δυσαπονίπτοις (v. l. δυσαπορρίπτοις) scriptum est, cf. Prov. Coll. IV apud Miller. l. l. p. 376 : Αἰσώπειον αἷμα. Ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι κακοῖς (καὶ κακοῖς Suid. fortasse κακῶς) συνεχομένων· παρόσον Δελφοὶ τοῦτον ἀνελόντες πολλαῖς δι' αὐτὸν θεομηνίαις ὑπέπεσον ἀεὶ τὸν τούτου φόνου ὀνειδιζόμενοι. Rei mentio facta est apud Heraclidem in Republica Magnetum p. 20, 7 Schneidew : Φᾶμις. ἄρχων ἦν καὶ τούτου τοὺς υἱοὺς ὡς ἱεροσύλους συνέλαβον θύοντας. Ὅπερ φασὶ καὶ περὶ Αἴσωπον γεγονέναι. Καὶ γὰρ ἐκεῖνος ἐπὶ ἱεροσυλίᾳ διεφθάρη, φιάλης χρυσῆς φωραθείσης ἐν τοῖς στρώμασιν αὐτοῦ. Inde suspicatus est Schneidewinus narrationem apud Scholiast. ad Aristoph. Equites v. 1446 ex Aristotele petitam fuisse. Cf. Plutarch. De sera numinis vind. c. 12, Libanius Decl. XXXIX, p. 687, A. Æsopum in Samiorum quoque Republica nominaverat Aristoteles.

ΔΗΛΙΩΝ.

108 (478).

Plinius Hist. nat. IV, 22 : *Hanc* (*Delum* scil.) Aristoteles *ita appellatam tradit, quoniam repente apparuerit enata*. Cf. Etymol. Magn. p. 264, 22 : Δῆλος... Εἴρηται ὅτι κρυπτομένην αὐτὴν ἐν τῇ θαλάσσῃ ὁ Ζεὺς δήλην ἐποίησε καὶ ἀνέδωκεν et ib. v. 30 : Καὶ τὴν νῆσον ἐκάλεσε Δῆλον, ὅτι ἐξ ἀδήλου βάσεως ἐρριζώθη, quæ e scholio in Il. α, 9 desumpta leguntur quoque apud Eustath. in Dionys. Perieg. v. 525. Aliter Eustath. in Odyss. p. 1557, 54 : Ὡς δὲ ἱερὰ ἡ Δῆλος Ἀπόλλωνος ὅ ἐστιν Ἡλίου δι' οὗ δῆλα γίνεται τὰ περὶ γῆν, ἐν ἄλλοις ἐγράφη. Similis narratio de Rhodo apud Heraclid. Pontic. p. 26, 1, Schneidew. Cf. Plin. Hist. nat. II, 89 : *Claræ jam pridem insulæ Delos et Rhodos memoriæ produntur enatæ*.

109 (479).

Diogenes Laert. VIII, 13 : Ἀμέλει καὶ βωμὸν προσκυνῆσαι (Πυθαγόραν φασὶν scil.) μόνον ἐν Δήλῳ τὸν Ἀπόλλωνος τοῦ γενέτορος, ὅς ἐστιν ὄπισθεν τοῦ Κερατίνου, διὰ τὸ πυροὺς καὶ κριθὰς καὶ πόπανα μόνα τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός, ἱερεῖον δὲ μηδέν, ὥς φησιν Ἀριστοτέλης ἐν Δηλίων Πολιτείᾳ.

Iamblichus de Vita Pythag. c. 5 § 25 : Λέγεται δὲ περὶ τὸν αὐτὸν χρόνον θαυμασθῆναι αὐτὸν περὶ τὴν Δῆλον, προσελθόντα μόνον (ita scrib. pro αὐτὸν) πρὸς τὸν ἀναίμακτον, λεγόμενον καὶ τοῦ γενέτορος Ἀπόλλωνος βωμὸν καὶ τοῦτον θεραπεύσαντα. Id. c. 7 § 35 : Καθάπερ καὶ πρότερον ὅτε εἰς Δῆλον κατέπλευσεν· ἐκεῖ τε γὰρ πρὸς μόνον τὸν βωμὸν τὸν τοῦ γενέτορος Ἀπόλλωνος προσευξάμενος, ὃς μόνος ἀναίμακτός ἐστιν, ἐθαυμάσθη παρὰ τοῖς ἐν τῇ νήσῳ.

110 (480).

Athen. VII, p. 296, C. : Ἀριστοτέλης δ' ἐν τῇ Δηλίων Πολιτείᾳ (Γλαῦκόν φησι τὸν θαλάττιον δαίμονα) ἐν Δήλῳ κατοικήσαντα μετὰ τῶν Νηρηΐδων τοῖς θέλουσι μαντεύεσθαι. Cf. Gædechens, *Glaukos der Meergott*, Gotting. 1860, p. 46.

DELPHORUM.

107.

Æsopeus sanguis. Proverbium dicitur de iis qui criminibus a quibus purgari difficile est circumventi sunt. Factum est enim ut numen Delphis qui Æsopum occiderant irasceretur, quemadmodum Aristoteles quoque in Delphorum Republica narrat.

DELIORUM.

109.

Pythagoram aiunt in Delo solam Apollinis genitoris aram, quæ pone aram ceratinam (*corneam*) est adorasse, quod frumentum et hordeum et placentas solas illi absque usu ignis imponere soleant, ceterum nullas victimas, ut Aristotelis in Deliorum Republica testimonio probatur.

110.

Aristoteles in Deliorum Republica Glaucum in Delo insula habitantem cum Nereidibus, volentibus vaticinari ait.

(ΕΠΙΔΑΥΡΙΩΝ.)

111 (481).

Strabo VIII, p. 374 : Ἡ Ἐπίδαυρος δ' ἐκαλεῖτο Ἐπίκαρος· φησὶ γὰρ Ἀριστοτέλης κατασχεῖν αὐτὴν Κᾶρας ὥσπερ καὶ Ἑρμιόνην, τῶν δ' Ἡρακλειδῶν κατελθόντων Ἴωνας αὐτοῖς συνοικῆσαι τοὺς ἐκ τῆς Ἀττικῆς τετραπόλεως συνεπομένους εἰς Ἄργος.

Codd. omnes pro Ἐπίκαρος, Ἐπίταυρος, quod emendavit Casaubonus ex Steph. Byz. s. v. Ἐπίδαυρος... Κατὰ δὲ τὸν γεωγράφον καὶ Ἐπίκαρον αὐτὴν οἴονταί τινες ὡς Καρῶν αὐτήν ποτε κατεχόντων. Ἐπίκαρος habet Epitome Strab. Vatic. et Eustathius qui Strabonem exscripsit, in Iliad. p. 287. Cf. Al. Politus in comm. ad Eustathium, Florent. 1732, t. I, p. 603.

(ΕΡΜΙΟΝΕΩΝ.)

112 (482).

Schol. in Theocrit. Id. XV, 64 : Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην : Φησὶν ὅτι τὰ πάντα αἱ γυναῖκες γινώσκουσι καὶ ὅπως ὁ Ζεὺς λάθρᾳ τῇ Ἥρᾳ συνῆλθε. Καὶ Ὅμηρος·

Εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας.
(Il. ξ, 296.)

Ἀριστοτέλης δ' ἐν τῷ περὶ τῆς Ἑρμιόνης ἱερῶν ἰδιώτερον ἱστορεῖ περὶ τοῦ Διὸς καὶ [τῆς] Ἥρας γάμου. Τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. Βουλόμενον δὲ ἀφανῆ γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβάλλειν εἰς κόκκυγα καὶ καθίσαι εἰς ὄρος, ὃ πρῶτον μὲν Θόρναξ (Θρόναξ vulg. quod corr. Hemsterh.) ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. Καὶ χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ. Τὴν δὲ Ἥραν πορευομένην μόνην ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ καθέζεσθαι ἐπ' αὐτό, ὅπου νῦν ἐστὶν ἱερὸν Ἥρας τελείας. Τὸν δὲ κόκκυγα ἰδόντα καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, πεφρικότα καὶ ῥιγῶντα διὰ τὸν χειμῶνα. Τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. Τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. Τῆς δὲ τὴν μῖξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. Καὶ παρ' Ἀργείοις δὲ οἳ μέγιστα τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν, τὸ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ Κόκκυξ [ἐπικάθηται].

De nomine Aristotelis plerique dubitaverunt: ita, ne de Wartono loquar, Ἀριστοφάνης scribendum esse conjicienti, Prellerus ad Polemon. Perieg. fr. p. 59 Ἀριστείδης malebat, C. Müllerus vero cum Grashofio Ἀριστοκλῆς, quod unice probat Rosius. Nec minor est dubitatio de verbis ἐν τῷ περὶ Ἑρμιόνης ἱερῶν, quæ est Toupii et Hemsterhusii emendatio, pro eo quod in codd. legitur ἱερῷ. Cf. Welcker, *Kleine Schriften*, t. V, p. 13. Pro sequenti ἰδιώτερον, pro quo in cod. Florent. ἡ διατριβῇ exstare dicitur, Kiesslingius διατριβῇ recepit, unde Grashof. l. l. p. 143 conjecit ἐν τῇ περὶ Ἥρας καὶ Διὸς ἱερῶν διατριβῇ. Erroris causam e compendio ortam indicavit Dübnerus v. cl. in annot. crit. in Schol. ad Theocrit., ed. Didot. p. 161, apud quem et reliqua lectionis varietas enotata est. Cf. *Scholia codicis Ambrosiani* 222 *in Theocritum* ed. Ziegler, Tubing. 1867, p. 89. Ceterum totus hic locus exstat quoque in Eudociæ Violario, p. 202, omisso tamen auctoris nomine et initio τὸν Δία μυθολογοῦσι. Pro illo deinde : ὅπου νῦν ἐστὶν ἱερὸν Ἥρας τελείας ibi legitur ὅπου τὸ ἱερὸν μετέπειτα αὐτῆς ἵδρυτο τελέας Ἥρας ἐπονομασθέν : postea vero simili errore quo Scholiastes Θόρναξ habet, de quo ita Pausanias II, 36, 2 : Ἔστι δ' οὖν ὁδὸς καὶ ἐς ταύτην τοῦ τε Πρωνὸς μέση, καὶ τοῦ Θόρνακος καλουμένου τὸ ἀρχαῖον. Ἀπὸ δὲ τῆς Διὸς ἐς κόκκυγα τὸν ὄρνιθα ἀλλαγῆς λεγομένης ἐνταῦθα γενέσθαι μετονομασθῆναι τὸ ὄρος φασίν. Ἱερὰ δὲ καὶ ἐς τόδε ἐπὶ ἄκρων τῶν ὀρῶν, ἐπὶ μὲν τῷ Κοκκυγίῳ Διός, ἐν δὲ τῷ Πρῶνί ἐστιν Ἥρας. De cuculo in sceptro Junonis considenti idem narrat II, 17, 4. Inde perspicitur rem, si ab Aristotele narrata erat (narrari autem potuit eodem plane modo quo a Pausania narrata est, qui hæc adscripsit l. l.: Τοῦτον τὸν λόγον, καὶ ὅσα ἐοικότα εἴρηται περὶ θεῶν, οὐκ ἀποδεχόμενος γράφω, γράφω δὲ οὐδὲν ἧσσον), ad nullum melius librum referri quam ad Hermionensium Politiam. Talem vero ab Aristotele conscriptam fuisse satis manifesto declarant quæ in præcedenti fragmento allata sunt Strabonis verba. Deinde ipsam narrationem antiquissimam et cum urbis origine conjunctam fuisse, immo inde Hermionenses, etsi ridicula etymologia, nomen derivasse, Stephanus Byzant. testatur s. v. : Ἑρμιὼν καὶ Ἑρμιόνη, ἀπὸ τῆς Ἑρμιόνος γενικῆς... ἐκαλεῖτο δὲ καὶ Λακέρεια. Ἕρμιον δὲ ἀπὸ τὸν Δία καὶ τὴν Ἥραν ἐνταῦθα ἀπὸ Κρήτης ἀφικομένους ὁρμισθῆναι, καὶ τροπῇ τοῦ ο εἰς ε, ὅθεν καὶ ἱερὸν Ἥρας παρθένου (immo τελείας) ἦν ἐν αὐτῇ. Minime igitur cum C. Müllero de Cerere Hermione cogitandum, licet deæ nomen et urbis idem fortasse fuerit. Cf. Hesych. et Phot. s. v., Athen. XIV, p. 624, 655 et Lobeck. *Paralipom. gramm. græc.*, t. I, p. 299. De hujus Cereris sacris apud Hermionenses locutus erat Aristocles quidam, versibus elegiacis quos affert Ælianus Hist. An. XI, 4. Cf. C. Mülleri, Fragm. Hist. t. IV, p. 330.

(EPIDAURIORUM.)

111.

Epidaurus olim nominabatur Epicarus : etenim Cares olim urbem tenuisse sicuti etiam Hermionem refert Aristoteles; sub reditu vero Heraclidarum cohabitasse cum iis Iones, qui una cum Heraclidis ex tetrapoli Attica in Argolidem venissent.

(HERMIONENSIUM.)

112.

Aristoteles ubi de Hermiones sacris agit, peculiare quiddam de Jovis et Junonis nuptiis narrat. Etenim Jovem fabulatur voluisse cum Junone consuescere simulac eam a reliquis deabus separatam offenderet. Quum vero invisibilis fieri neque conspici ab ea vellet, in cuculum se mutavit, conseditque in monte, qui olim Thornax vocabatur, nunc appellatur Coccyx. Porro die isto Jovem narrat ingentem excitasse tempestatem; Junonem autem solem ad montem hunc venientem consedisse eo loco, ubi nunc est fanum Junonis Pronubæ. Tunc cuculum tempestate rigentem et trementem in genua Junonis devolasse ibique consedisse. Junonem misertam veste eum sua texisse. Jovem statim mutata forma Junonem comprehendisse, eique matris causa concubitum deprecanti promisisse se uxorem ipsam ducturum esse. Quare apud Argivos, qui præ ceteris Græcis deam hanc colunt, signum Junonis in templo throno insidens manu tenet sceptrum, sceptroque insidet cuculus.

ΗΛΕΙΩΝ.

113 (483).

Harpocration s. v. Ἑλλανοδίκαι : Ὑπερίδης ἐν τῷ ὑπὲρ Καλλίππου πρὸς Ἠλείους. Ἀριστοτέλης Ἠλείων Πολιτείᾳ τὸ μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους Ἑλλανοδίκην, χρονου δὲ διελθόντος β', τὸ δὲ τελευταῖον θ'. Eadem Suidas, Aristotelis nomine omisso.

114 (484).

Strabo VIII, p. 345 : Οἱ μὲν γὰρ ὅλην τὴν νῦν Ἠλείαν, ἀπὸ τῆς Μεσσηνίας μέχρι Δύμης, Καυκωνίαν λεχθῆναί φασιν. Ἀντίμαχος οὖν Ἐπειοὺς καὶ Καύκωνας ἅπαντας προσαγορεύει· τινὲς δὲ ὅλην μὲν μὴ κατασχεῖν αὐτούς, δίχα δὲ μεμερισμένους οἰκεῖν, τοὺς μὲν πρὸς τῇ Μεσσηνίᾳ κατὰ τὴν Τριφυλίαν, τοὺς δὲ πρὸς τῇ Δύμῃ κατὰ τὴν Βουπρασίδα καὶ τὴν κοίλην Ἦλιν. Ἀριστοτέλης δ' ἐνταῦθα μάλιστα οἶδεν ἱδρυμένους αὐτούς. Καὶ δὴ τοῖς ὑφ' Ὁμήρου λεγομένοις ὁμολογεῖ μᾶλλον ἡ ὑστάτη ἀπόφασις τό τε ζητούμενον πρότερον λαμβάνει λύσιν.

Inter Homericas quæstiones memorat Strabo, cf. Odyss. γ, 366 indeque C. Müllerus (fr. 93) ad Ἀπορήματα Ὁμηρικὰ pertinere putabat.

ΗΠΕΙΡΩΤΩΝ.

115 (485).

Stephan. Byzant. s. v. Ἀμύνται : Ἔθνος Θεσπρωτικόν, « μένος πνείοντες Ἀμύνται ». Καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἠπειρωτῶν Πολιτείᾳ.

Versus particulæ ut Meineke in *Analectis Alexandrinis*, p. 188, et C. Müller. suspicati sunt, Rhiani videntur esse.

ΘΕΤΤΑΛΩΝ.

Vide quæ supra e Photii Bibl. in Sopatri excerptis c. 161 allata sunt, ad Achæorum Politiam fr. 105 b.

116 (486).

Junius Philargyrius in Virgilii Georg. II, 97: *Sunt et Aminææ : Aminæos* ARISTOTELES *in Politicis* (*Politiis* corr.) *hoc scribit Thessalos fuisse, qui suæ regionis vites in Italiam transtulerint, atque illis inde nomen dederint.*

ELEORUM.

113.

Aristoteles in Eleorum Republica dicit primum quidem unum tantum Hellanodicam Eleos instituisse, postea duos, postremo novem.

114.

Etenim nonnulli Eleam universam Cauconiam appellatam esse dicunt. Itaque Antimachus Epeos et Caucones omnes appellat; alii vero non totam Eleam eos tenuisse volunt, sed bifariam divisos habitasse, alteros ad Messeniam in Triphylia, alteros ad Dymen in Bupraside et in cava Elide. Aristoteles vero hoc postremo maxime loco eos consedisse novit. Quæ quidem sententia magis convenit cum verbis Homeri, atque sic etiam quod antea quærebatur, jam explicationem invenit.

EPIROTARUM.

115.

Amyntæ populus Thesproticus, Aristoteles in Epirotarum Republica.

Vites Aminæas antiquissimas fuisse tradit Columella de Re rust. III, 9 : *Quum vetustissimas quasque vineas adhuc existimemus Aminæas.* Huc fortasse et Hesychii glossa spectat : Ἀμιναῖον· δι' ἑνὸς ν, τὸν οἶνον λέγει· ἡ γὰρ Πευκετία Ἀμιναία λέγεται. Alia nominis etymologia apud Macrobium legitur Saturnal. III, 20, 6. Ceterum fragmentum potius ad Italicam quandam rempublicam pertinuisse videtur.

117 (487).

Eustath. in Odyss. ν, 408, p. 1746, 66 : Παυσανίας δέ φησιν ὅτι Βοιωτοῖς ἔχρησεν ὁ θεός, ἔνθα λευκοὶ κόρακες αὐτοῖς ὀφθῶσιν, ἐκεῖ κατοικεῖν. Ἰδόντες οὖν φησὶ κόρακας πετομένους περὶ τὸν Παγασητικὸν κόλπον, οὓς ἄκακοι παῖδες ἐγύψωσαν, ἐκεῖ ᾤκησαν καλέσαντες τὸ χωρίον Κόρακας· ὕστερον δὲ Αἰολεῖς ἐκβαλόντες αὐτοὺς ἔπεμπον ἐκεῖ τοὺς φυγαδευομένους, Ὁ δ' αὐτὸς λέγει καὶ ὅτι Ἀριστοτέλης ἱστορεῖ λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ περικαθαίροντας ἐπαοιδαῖς ἀφιέναι ζῶντας καὶ ἐπιλέγειν τῷ λοιμῷ· Φεῦγ' εἰς κόρακας.

Eadem Photius s. v. Ἐς κόρακας, Apostol. VII, 99. In Etymol. Gudian. p. 34, 35 s. v. Ἀπεσκοράκιζεν, plurima corrupta sunt. Priorem proverbii explicationem Zenobius ita dat III, 87 : Ἐς κόρακας. Ἐν Θεσσαλίᾳ τόπος ἐστὶ Κόρακες, ὅπου τοὺς κακούργους ἔβαλλον· ὅθεν ἡ παροιμία. Μέμνηται δὲ ταύτης Μένανδρος συνεχῶς. Λέγουσι δὲ ὅτι Βοιωτοῖς Ἄρνην (cf. O. Müller. *Orchomenos u. die Minyer* p. 385) ποτὲ οἰκοῦσι προείρητο ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι τῆς χώρας λευκῶν κοράκων φανέντων. Νεανίσκοι δέ ποτε μεθυσθέντες καὶ συλλαβόντες κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι. Ἰδόντες δὲ οἱ Βοιωτοὶ ἐταράχθησαν ὡς τῆς μαντείας λαβούσης τὸ τέλος. Καὶ φοβηθέντες οἱ νεανίσκοι τὸν θόρυβον, φυγόντες ᾤκησάν τινα τόπον ὃν ἐκάλεσαν Κόρακας. Μετὰ δὲ ταῦτα ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς (ita male pro Θεσσαλοὶ) ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς Κόρακας καλουμένους. Post hanc explicationem, alia interposita : Οἱ δέ, ὡς τοῦ ζῴου ἀναιδοῦς καὶ δυσοιωνιστικοῦ τῶν ἀνθρώπων ὄντος, Aristotelis quoque adjecit Suidas. Cf. Schol. Aristoph. Nubes, v. 133, Schol. Clement. Alexandr. t. IV, p. 97 ed. Klotz.

Fragmentum ad librum περὶ Παροιμιῶν retulit Müllerus (fr. 280) quem nullum fuisse puto. Ad Politias potius referendum videtur etsi fortasse non ad Thessalorum.

118 (488).

Harpocration s. v. Τετραρχία : Δημοσθένης Φιλιππικοῖς (III, § 26). Τεττάρων μερῶν ὄντων τῆς Θετταλίας ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο, καθά φησιν Ἑλλάνικος ἐν τοῖς Θετταλικοῖς. Ὄνομα δέ φησιν εἶναι ταῖς τετράσι Θετταλιῶτιν, Φθιῶτιν, Πελασγιῶτιν, Ἑστιαιῶτιν. Καὶ Ἀριστοτέλης δὲ ἐν τῇ κοινῇ Θετταλῶν Πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ Πυρροῦ διῃρῆσθαί φησιν εἰς δ' μοίρας τὴν Θετταλίαν. Εἴη ἂν οὖν λέγων ὁ Δημοσθένης τὴν τετραρχίαν. Ὅτι δὲ Φίλιππος καθ' ἑκάστην τούτων τῶν μοιρῶν ἄρχοντα κατέστησε δεδηλώκασιν ἄλλοι τε καὶ Θεόπομπος ἐν τῇ μδ'.

Eadem Photius et Suidas. De Aleua cui cognomen rufo erat cf. Plutarch. de Fraterno amore c. 21.

119 (489).

Schol. A (Vatic.) ad Eurip. Rhesum v. 307 (t. I, p. 28, 17 Dind.) : Πολλὰ πελταστῶν τέλη : Πέλτη ἀσπίς ἐστιν ἴτυν οὐκ ἔχουσα, καθάπερ φησὶν Ἀριστοτέλης ἐν Θεσσαλῶν Πολιτείᾳ γράφων οὕτως· « Διελὼν δὲ τὴν πόλιν Ἀλεύας ἔταξε κατὰ (ita Pflugk. et Ros. pro καὶ) τὸν κλῆρον παρέχειν ἑκάστους, ἱππέας μὲν τεσσαράκοντα, πελταστὰς (cod. ὁπλίτας quod corr. Cobet. et Pflugk.) δὲ ὀγδοήκοντα. Ἦν δὲ ἡ πέλτη ἀσπὶς ἴτυν οὐκ ἔχουσα [οὐδ'] ἐπίχαλκος [οὐδὲ βοὸς ἀλλ'] αἰγὸς [ἢ οἰὸς] δέρματι περιτεταμένη, καὶ τριάκοντα [ὁπλίτας] οἳ (ita Cobet. pro ἢ) μακρὸν δόρυ πάντες ἐφόρουν ὃ σχέδιον ἐκαλεῖτο.

THESSALORUM.

117.

Aristoteles, Pausania teste, narrat peste grassante quum corvi adessent permulti, homines eos cepisse et purgantes incantationibus dimisisse vivos, simulque post dixisse : *Fuge ad corvos.*

118.

Aristoteles in communi Thessalorum Republica sub Aleua qui cognomen rufi habebat Thessaliam in quattuor partes divisam esse ait.

119.

Πέλτη, clypeus est umbone carens, ut dicit Aristoteles in Thessalorum Republica, ita scribens : « Urbe divisa Aleuas jussit [singulos] secundum censum præbere equites quadraginta, peltastas octoginta. Pelta vero clypeus erat umbone destitutus, neque ære factus, obductus vero non bovina sed caprina sive ovina pelle. Præterea vero triginta qui longam hastam gerebant quæ σχέδιον vocabatur. »

Suppleri hæc debent e Schol. ad Plat. Leges p. 453 Bekk. : Πέλτη ἐστὶν εἶδος ἀσπίδος, ὥς φησιν Ἀριστοτέλης, ἥτις ἴτυν οὐκ ἔχει, οὐδ' ἔστιν ἐπίχαλκος, οὐδὲ βοός, ἀλλ' αἰγὸς δέρματι περιτεταμένη : quæ, omisso Aristotelis nomine, exstant quoque apud Photium s. v. Πελτασταί et in Lexic. Rhet. Seguer. p. 297, 8 ubi tamen, post αἰγός additur ἢ ὑός, pro quo Eustathius, duobus in locis eandem descriptionem exhibens, in Iliad. p. 905, 59 et 911, 64 Rom., veriorem scripturam ἢ οἰός præbet. Cf. præterea Hesych. s. v. Πέλτη, Etym. M. p. 660, 25, Timæus Lex. Plat. s. v., Schol. Eurip. Alcest. v. 516. Ad eundem Aristotelis locum sine dubio spectat Hesychii glossa : Σχέδιον. Τὸ δόρυ, ὃ μὴ ἀκοντίζεται. Ἢ τὸ ἀνευπρεπῶς γενόμενον. Ἢ ἐκ τοῦ σύνεγγυς.

Rosii conjecturæ pro τὴν πόλιν, τὰς πόλεις scribentis, illud obstat, quod vix statui poterit singulis urbibus eundem numerum militum imperatum fuisse, ita ut potius de una tantummodo urbe locutum esse Aristotelem credam. Error vero fortasse in voce ἑκάστους latet, totusque locus in hunc modum scriptus erat : Παρέχειν εἴκοσι μὲν ἱππέας, τεσσαράκοντα [δ'] ὁπλίτας, [πελταστὰς] δὲ ὀγδοήκοντα. Triginta vero qui postea nominantur item erant peltastæ aliter vero armati. Ratio numerorum ita jam optime conveniet cum simillimo loco qui apud Xenophontem legitur Hellen. VI, 1, 19 : Ἐπεί γε μὴν ἐτάγευσε, διέταξεν ἱππικόν τε ὅσον ἑκάστη πόλις δυνατὴ ἦν παρέχειν καὶ ὁπλιτικόν. Καὶ ἐγένοντο αὐτῷ ἱππεῖς μὲν σὺν τοῖς συμμάχοις πλείους ἢ ὀκτακισχίλιοι, ὁπλῖται δὲ ἐλογίσθησαν οὐκ ἐλάττους δισμυρίων, πελταστικόν γε μὴν ἱκανὸν πρὸς πάντας ἀνθρώπους ἀντιταχθῆναι. Aliter de loco statuit Prellerus, *Philologus*, t. III, p. 139, qui pro τριάκοντα legi vult τρί' ἀκόντια, servata in sequentibus codicum lectione ἤ.

120 (490).

Athen. XI, p. 499, B : Λάγυνον δὲ μέτρου λέγουσιν εἶναι ὄνομα παρὰ τοῖς Ἕλλησιν, ὡς χοὸς καὶ κοτύλης, χωρεῖν δ' αὐτὸ κοτύλας Ἀττικὰς δώδεκα. Καὶ ἐν Πάτραις δέ φασι τοῦτ' εἶναι τὸ μέτρον τὴν λάγυνον. Ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος... Ἀριστοτέλης δ' ἐν τῇ Θετταλῶν Πολιτείᾳ θηλυκῶς λέγεσθαί φησιν ὑπὸ Θετταλῶν τὴν λάγυνον. Καὶ Ῥιανός... Οὐδετέρως δὲ Δίφιλος ἐν Ἀδελφοῖς εἴρηκεν. Cf. Moeris p. 202, 19 Bekk.: Λάγυνος ἀρρενικῶς Ἀττικοί, θηλυκῶς Ἕλληνες, Pollux X, 72

121 (491).

Ammonius de Differ. voc. p. 147 Valcken. s. v. Χλαμὺς καὶ χλαῖνα διαφέρει, καθὸ διὰ πολλῶν ἀπέδειξε Δίδυμος ἐν ὑπομνήματι δευτέρου Ἰλιάδος (β, 183). Ἡ μὲν χλαῖνα ἡρωικὸν φόρημα, χλαμὺς δὲ Μακεδονικόν, μετὰ ἑξακόσια ἔτη τῶν ἡρωικῶν ὀνομασθεῖσα Σαπφοῖ· πρώτη γὰρ μέμνηται τῆς χλαμύδος. Διαφέρειν φησὶ καὶ τῷ σχήματι· ἡ μὲν γὰρ χλαῖνα τετράγωνον, φησίν, ἱμάτιον, ἡ δὲ χλαμὺς εἰς τέλειον (εἰς κύκλον scribend. videtur Rosio, collato Ptolemæo Ascal. apud Valcken. : Ἡ δὲ χλαμὺς Μακεδόνων ἐστὶν εὕρημα καὶ ἔχει κυκλοτερῆ τὰ κάτω) περὶ τὰ κάτω συνῆκται· καὶ τοὺς χρησαμένους πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι. Προσάγεται Ἀριστοτέλην, Φύλαρχον, Πολέμωνα ὅτι πολὺ διαφέρουσιν.

Cf. Pollux X, 124 : Ὅμηρος καὶ τὰ λεπτὰ (ἱμάτια scil.) χλαίνας καλεῖ. Οἱ μέντοι Ἀττικοὶ τὸ λεπτὸν χλανίδα καὶ τὸ ἱππικὸν χλαμύδα, ὡς Θετταλῶν. Πρώτην δέ φασι χλαμύδα ὀνομάσαι Σαπφώ. Idem VII, 46 : Θετταλικὰς χλαμύδας. Aristotelis sententiam refert Schol. in Il. β, 183 : Χλαῖνα ἡ τετράγωνος, χλαμὺς ἡ εἰς ὀξὺ λήγουσα. Pro Ἀριστοτέλης legendum esse Ἀρίσταρχος vix recte conjecit C. Müller. ad fr. 86. De re cf. Schmidt ad Didymi fragm. p. 180.

(ΘΗΒΑΙΩΝ.)

122 (492).

Schol. in Dionys. Thrac. Gramm. in Bekk. Anecd. t. II, p. 783, 1 : Τῶν στοιχείων εὑρέτην ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρῳ Κάδμον φασί. Τῆς δὲ Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς Διόσκορον γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς Ἱστορίαις (V, 58) καὶ

120.

Aristoteles in Thessalorum Republica τὴν λάγυνον (*mensuræ nomen*) feminino genere apud Thessalos dici tradit.

121.

Multum inter se differre chlænam et chlamydem Didymus comprobat, adductis testimoniis Aristotelis, Phylarchi, Polemonis.

(THEBANORUM.)

122.

Literarum inventorem Ephorus libro secundo, aliique Cadmum fuisse dicunt, alii eum Phœnicum inventum ad nos pertulisse aiunt, ut Herodotus in Historiis et Aristoteles. Dicunt enim Phœnices invenisse literas, Cadmum vero in Græciam attulisse.

'Αριστοτέλης λέγει. Φασὶ γὰρ ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα. Pro τῆς δέ, τινὲς δὲ τῆς conjecit C. Müller ad fragm. 256, sub titulo libri περὶ Εὑρημάτων qui nullus erat.

Eadem in scholio Anonymi ibid. p. 786, 1 : Τῶν στοιχείων ὁ Κάδμος εὑρετής, ὥς φασιν Ἔφορος καὶ 'Αριστοτέλης· ἄλλοι δὲ λέγουσιν ὅτι Φοινίκων εἰσὶν εὑρήματα, Κάδμος δὲ ταῦτα διεπόρθμευσεν εἰς τὴν Ἑλλάδα. Cf. Clemens Alexandr. Strom. I, p. 132 et Suidas s. v. Γράμματα.

Plinius Hist. nat. VII, 57 : *Litteras semper arbitror Assyriis fuisse ; sed alii apud Ægyptios a Mercurio, ut Gellius, alii apud Syros repertas volunt. Utique in Græciam intulisse e Phœnice Cadmum sedecim numero. Quibus Trojano bello Palamedem adjecisse hac figura* Θ Ξ Φ Χ, *totidem post Simonidem melicum* Ζ Η Ψ Ω, *quarum omnium vis in nostris recognoscitur.* ARISTOTELES *decem et octo priscas fuisse* Α Β Γ Δ Ε Ζ Ι Κ Λ Μ Ν Ο Π Ρ Σ Τ Υ Φ *et duas ab Epicharmo additas* Θ Χ *quam a Palamede mavult.*

Sedes fragmenti incerta. Ad Thebanorum Rempublicam retulit Rosius ob Cadmum. De eadem re tamen et in Atheniensium Republica mentio fieri poterat, ut ostendunt quæ legimus apud Photium et Suidam s. v. Σαμίων ὁ δῆμος :... ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρῶτον τὰ κδ' γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι· τοὺς δ' Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχῖνος ὁ Ἀθηναῖος ἐπὶ ἄρχοντος Εὐκλείδου... Περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. Cf. Harpocration s. v. Ἀττικοῖς γράμμασιν : Δημοσθένης κατὰ Νεαίρας (§ 76) ἀντὶ τοῦ παλαιοῖς. Τὴν γὰρ τῶν κδ' στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι. Θεόπομπος δ' ἐν τῇ κε' τῶν Φιλιππικῶν ἐσκευωρῆσθαι λέγει τὰς πρὸς τὸν βάρβαρον συνθήκας, ἃς οὐ τοῖς Ἀττικοῖς γράμμασιν ἐστηλιτεῦσθαι ἀλλὰ τοῖς τῶν Ἰώνων et Grammat. in Bekk. Anecd. p. 461, 13.

123 (493).

Zenobius Prov. VI, 17 : Τί οὐκ ἀπήγξω ἵνα Θήβησιν ἥρως γένῃ : Ταύτης Πλάτων ἐν Μενέλεῳ μέμνηται. Φασὶ δὲ ὅτι ἐν Θήβαις οἱ ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. Καὶ 'Αριστοτέλης δέ φησι περὶ Θηβαίων τὸ αὐτὸ τοῦτο, ὅτι τοὺς αὐτόχειρας ἑαυτῶν γινομένους οὐκ ἐτίμων. Τὸ οὖν· « Ἵνα ἥρως γένῃ » κατ' εὐφημισμὸν εἴρηται.

Eadem, Aristotelis mentione omissa, Plutarch. Prov. 47. Cf. Photius p. 590, 22. Suidas s. v. Apostol. Prov. XVI, 72. Greg. Cypr. III, 80.

124 (494).

Plutarch. Pelopid. c. 18 : Τὸν δ' ἱερὸν λόχον, ὥς φασι, συνετάξατο Γοργίδας πρῶτος... Ἔνιοι δέ φασιν ἐξ ἐραστῶν καὶ ἐρωμένων γενέσθαι τὸ σύστημα τοῦτο... Λέγεται δὲ καὶ τὸν Ἰόλεων τοῦ Ἡρακλέους ἐρώμενον ὄντα κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. 'Αριστοτέλης δὲ καὶ καθ' αὑτὸν ἔτι φησὶν ἐπὶ τοῦ τάφου τοῦ Ἰόλεω τὰς καταπιστώσεις ποιεῖσθαι τοὺς ἐρωμένους καὶ τοὺς ἐραστάς.

Idem iterum Erotic. c. 17 : Ἡρακλέους δὲ τοὺς μὲν ἄλλους ἔρωτας ἔργον ἐστὶν εἰπεῖν διὰ πλῆθος, Ἰόλαον δὲ νομίζοντες ἐρώμενον αὐτοῦ γεγονέναι μέχρι νῦν σέβονται καὶ τιμῶσιν ἔρωτος ὅρκους τε καὶ πίστεις ἐπὶ τοῦ τάφου παρὰ τῶν ἐρωμένων λαμβάνοντες.

Ad dialogum Ἐρωτικόν inscriptum hæc retulit Rosius, nulla satis idonea causa. Illa καθ' αὑτόν quod in priore loco invenitur, μέχρι νῦν in altero, non infrequentia in Rebuspublicis fuisse videntur. Cf. 89. 137, 155, 158 et Νόμιμα Τυρρηνῶν, fr. 2.

(ΙΑΣΕΩΝ.)

125 (495).

Schol. cod. Ven. B et Lips. in Iliad. β, 116 : Ἐς δεκάδας διακοσμηθεῖμεν : Ἔθος πλείους τῶν δέκα μὴ συνεσθίειν, ὡς καὶ 'Αριστοτέλης ἐν Πολιτείαις φησίν.

Hæc ex Iasensium Republica desumpta esse conjecit Grashofius l. l. p. 151, propter Heraclidis Pontici excerptum p. 28, 10 Schneidew. : Ἰασέων : Τούτοις οὐκ ἐξῆν ἐν γάμοις πλείους ἑστιᾶν [τῶν] δέκα καὶ γυναικῶν ἴσων, οὐδὲ γάμους ποιεῖν πλεῖον ἡμερῶν δύο.

123.

Quidni te suspendisti ut Thebis heros fieres? Hujus Plato in Menelao meminit. Referunt enim Thebis mortem qui sibi consciscerent, infames habitos. Idem de Thebanis Aristoteles quoque commemorat, nempe qui sibi manus attulissent, nullo in honore fuisse. Illud itaque « Ut heros fieres, » per euphemismum dictum est.

124.

Sacram cohortem, ut tradunt, Gorgidas primus congregavit... Alii autem dicunt eam ex iis conflatam esse qui se mutuo amarent... Ferunt etiam Iolaum Herculis amasium una cum eo certamina obiisse, auxiliumque tulisse amatori. Et Aristoteles sua etiam ætate ait apud sepulcrum Iolai amatores et amasios mutua se fide obligare.

IASENSIUM.

125.

Mos erat (*apud Iasenses*) non ultra decem convivio adhibere ut Aristoteles in Rebuspublicis ait.

ΙΘΑΚΗΣΙΩΝ.

126 (496).

Etymol. Magn. p. 144, 22 : Ἀρκείσιος : Ὁ ἥρως, ὁ πάππος Ὀδυσσέως. Παρὰ τὸν ἀρκέσω μέλλοντα Ἀρκέσιος καὶ Ἀρκείσιος. Οὕτως Ἡρωδιανός. 'Αριστοτέλης δὲ ἐν τῇ Ἰθακησίων Πολιτείᾳ, τὸν Κέφαλον οἰκοῦντα ἐν ταῖς ἀπ' αὐτοῦ κληθείσαις Κεφαλληνίαις νήσοις ἄπαιδα ἐπιπολὺ ὄντα, ἐρόμενον τὸν θεὸν κελευσθῆναι ᾧ ἂν ἐντύχῃ θήλει συγγενέσθαι· παραγενόμενον δὲ εἰς τὴν πατρίδα καὶ δὴ ἐντυχόντα ἄρκτῳ κατὰ χρησμὸν συγγενέσθαι, τὴν δὲ ἐγκύμονα γενομένην μεταβαλεῖν εἰς γυναῖκα καὶ τεκεῖν παῖδα Ἀρκείσιον, ἀπὸ ἄρκτου.

Eadem Eudocia Viol. p. 394. Cf. Eustath. in Odyss. p. 1756, 54, 1961, 15. Brevius rem narrat Joann. Tzetzes in scholiis ad Antehomerica sua p. 34 ed. Schirach : Κεφαλλῆνες λέγονται ἀπὸ Κεφάλου τοῦ Δηιονέως, τοῦ Ἀρκεισίου πατρός· κυριεύσας γὰρ τῆς χώρας οὕτως αὐτὴν ὠνόμασε. Τούτῳ τῷ Κεφάλῳ ἄπαιδι ὄντι ἐδόθη χρησμὸς παιδοποιῆσαι μιγέντα τῷ ἐντυχόντι θήλει· ὃς ἄρκτῳ μιγεὶς τὸν Ἀρκείσιον ἔτεκεν, ὥς φησιν 'Αριστοτέλης ἐν τῇ Ἰθακησίων Πολιτείᾳ. Ex Aristotele quoque in Heraclidis excerptis leguntur p. 27, 10 Schneidew. : Κεφάλῳ μαντευσαμένῳ περὶ παίδων ὁ θεὸς εἶπεν, ᾧ ἂν ἐντύχῃ (θήλει ins. Coraes) πρῶτον συγγενέσθαι. Τὸν δὲ περιτυχεῖν ἄρκτῳ καὶ πλησιάσαντα γεννῆσαι γυναῖκα, ἐξ ἧς τὸν Ἀρκείσιον φερωνύμως ὀνομασθῆναι. Cf. Müller. ad. h. l. t. II, p. 223.

127 (497).

Eustath. in Odyss. π, 118 p. 1796, 36 ed. Rom. : Ἰστέον δὲ ὅτι γενεαλογοῦσι Διὸς μὲν καὶ Εὐρυοδείας Ἀρκείσιον, αὐτοῦ δὲ καὶ Χαλκομεδούσης Λαέρτην, τοῦ δὲ καὶ Ἀντικλείας Ὀδυσσέα, οὗ καὶ Πηνελόπης Τηλέμαχον, αὐτοῦ δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν, ὡς Ἡσίοδος· (fr. 100 Dübn.)

Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐΰζωνος Πολυκάστη
Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδεω,
Περσέπολιν μιχθεῖσα διὰ χρυσέην Ἀφροδίτην.

'Αριστοτέλης δὲ ἐν Ἰθακησίων Πολιτείᾳ καὶ Ἑλλάνικος (fr. 141) δὲ Τηλέμαχόν φασι Ναυσικάαν γῆμαι τὴν Ἀλκινόου καὶ γεννῆσαι τὸν Περσέπτολιν. Eadem Eudocia Viol. p. 77 : 'Αριστοτέλης δὲ καὶ Ἑλλάνικος. Dictys Cret. de Bello Trojano VI, 6 : *Neque multo post precibus atque hortatu Ulyssis, Alcinoi filia Nausicaa Telemacho denubit.*

128 (498).

Plutarch. Quæst. græc. c. 14 : Τίνες οἱ παρ' Ἰθακησίοις Κολιάδαι καὶ τίς ὁ Φάγιλος; Τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν, μεταπεμφθεὶς δ' ὑπ' ἀμφοτέρων διαιτητὴς Νεοπτόλεμος ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν ἐκ τῆς Κεφαλληνίας καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ' αἵματι, τοὺς δὲ τῶν μνηστήρων ἑταίρους καὶ οἰκείους ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ' ἕκαστον ἐνιαυτόν. Αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη, τὴν δὲ ποινὴν τῷ υἱεῖ καθιερώσας, ἀποφέρειν ἐκέλευσε τοὺς Ἰθακησίους· ἦν δ' ἄλφιτα, οἶνος, κηρία, ἔλαιον, ἅλες, ἱερεῖα πρεσβύτερα φαγίλων. Φάγιλον δέ φησιν 'Αριστοτέλης τὸν ἀμνὸν εἶναι. Τοὺς δὲ περὶ Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος κατέμιξεν εἰς τοὺς πολίτας καὶ τὸ γένος ἐστὶ Κολιαδῶν ἀπ' Εὐμαίου καὶ Βουκολιδῶν ἀπὸ Φιλοιτίου.

Apud Plutarchum Βουκολιῶν legitur; mutavit Rosius, collato Eustath. in Iliad. p. 1018, 47 ubi Βουκολίδης. Cf. Hesychii glossa : Φάγιλος : ἀμνός et Eustath. in Odyss. p. 1625, 38 : Ἔνιοι δέ φασι, καὶ φαγίλους καλοῦσι (τοὺς ἀμνοὺς scil.), ut recte reposuit Nauckius, *Aristoph. Byz. fragm.* p. 107, pro φανυλούς.

ITHACENSIUM.

126.

Aristoteles in Ithacensium Republica narrat Cephalum in Cephalleniis, quæ ab ipso nominantur insulis habitantem, quum diu liberorum expers esset, consuluisse deum, qui imperasset ei ut cum femina, quæ primum fieret obviam, coiret. Reversus in patriam ursæque obviam factum, ex jussu oraculi cum ea coiisse. Hanc autem uterum gerentem in mulierem esse mutatam et genuisse filium, qui ἀπὸ ἄρκτου sive ab ursa nominatus sit Arcisius.

127.

Nimirum genealogiam ita constituunt, ut Jovis et Euryodiæ sit filius Arcisius, hujus et Chalcomedusæ Laertes, hujus et Anticliæ Ulysses, hujus et Penelopes Telemachus, hujus et Polycastes Nestoris filiæ Perseptolis ut Hesiodus dicit. Aristoteles vero in Ithacensium Republica et Hellanicus Telemachum aiunt Nausicaam duxisse Alcinoi filiam et ex ea genuisse Perseptolin.

128.

Quinam sint apud Ithacenses Coliadæ, et quis Phagilus? Adversus Ulyssem procorum ab ipso necatorum necessarii seditionem moverunt. Arbiter adscitus ab utraque parte Neoptolemus, judicavit debere Ulyssem ut sanguine inquinatum exsulare Cephallenia, Zacyntho atque Ithaca : socios autem et familiares procorum quotannis pro damno rei familiaris Ulyssis illato, ei pendere mulctam. Itaque Ulysses in Italiam commigravit, mulctam filio dedicavit, eique ab Ithacensibus solvi jus-

129 (499).

Plutarch. Quæst. gr. c. 34 : Τίς ὁ βοῦν εὐεργέτῃ θύσας; Πλοῖον ὥρμει περὶ τὴν Ἰθακησίαν λῃστρικόν, ἐν ᾧ πρεσβύτης ἐτύγχανε μετὰ κεραμίων ἐχόντων πίτταν. Τούτῳ οὖν κατὰ τύχην προσέσχε πορθμεὺς Ἰθακήσιος, ὀνόματι Πυρρίας, καὶ τὸν πρεσβύτην ἐρρύσατο, μηδενὸς δεόμενος, ἀλλὰ πεισθεὶς ὑπ' αὐτοῦ καὶ οἰκτείρας· προσέλαβε δὲ καὶ τῶν κεραμίων, τοῦ πρεσβύτου κελεύσαντος. Ἀπαλλαγέντων δὲ τῶν λῃστῶν, καὶ γενομένης ἀδείας ὁ πρεσβύτης τοῖς κεραμίοις τὸν Πυρρίαν προσαγαγών, χρυσίον ἐδείκνυεν ἐν αὐτοῖς πολὺ καὶ ἀργύριον τῇ πίττῃ καταμεμιγμένον. Ἐξαίφνης οὖν ὁ Πυρρίας πλούσιος γενόμενος τά τε ἄλλα εὖ περιεῖπε τὸν γέροντα, καὶ βοῦν ἔθυσεν αὐτῷ. Ὃ καὶ παροιμιαζόμενον λέγουσιν· Οὐδεὶς εὐεργέτῃ βοῦν ἔθυσεν, ἀλλ' ἢ Πυρρίας.

Ad Aristotelem hæc referenda esse, licet ejus nomen non addatur, optime perspexit Schneidewinus, teste usus Heraclide, in cujus excerptis hæc leguntur, p. 27, 14 : Ἰθακησίων... Πορθμεύς, Πυρίας ὄνομα, λῃστὰς διεπόρθμευσε, πρεσβύτην αἰχμάλωτον καὶ πίτταν· καὶ ὠνεῖται ταῦτα παρὰ τῶν λῃστῶν, δεηθέντος τοῦ πρεσβύτου. Ἦν δὲ ἐν τῇ πίττῃ κεκρυμμένον χρυσίον. Πλουτήσας οὖν θῦσαι λέγεται τῷ πρεσβύτῃ βοῦν· διὸ καὶ εἰς παροιμίαν ἦλθεν· « Οὐδεὶς πώποτε εὐεργέτῃ βοῦν ἔθυσεν ἀλλ' ἢ Πυρίας. »

130 (500).

Tzetzes ad Lycophron. v. 799 : Μάντιν δὲ νεκρὸν (Εὐρυτὰν στέψει λεώς) : Ἀριστοτέλης φησὶν ἐν Ἰθακησίων Πολιτείᾳ Εὐρυτᾶνας ἔθνος εἶναι τῆς Αἰτωλίας ὀνομασθὲν ἀπὸ Εὐρύτου, παρ' οἷς εἶναι μαντεῖον Ὀδυσσέως. Τὸ δ' αὐτὸ καὶ Νίκανδρος ἐν Αἰτωλικοῖς. Cf. Thucydid. III, 94. Steph. Byz. s. v. et Odyss. φ, 32.

131 (501).

Photius p. 525, 21 s. v. Σκυτάλη : Ἐπιστολὴ Λακωνική. Ἦν δὲ ἡ σκυτάλη ξύλον ἐξεσμένον ἐπίμηκες. Δύο δὲ παρὰ Λακεδαιμονίοις ὑπῆρχον σκυτάλαι· καὶ τὴν μὲν μίαν κατεῖχον οἱ ἔφοροι τῶν Λακεδαιμονίων, τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ παρ' αὐτῶν στρατηγῷ παρεῖχον. Καὶ ὁπότε ἐβούλοντό τι ἐπιστεῖλαι αὐτῷ, φέροντες ἱμάντα λευκὸν περιεῖλλον (Rosius e conject. περιεῖλουν) τὴν σκυτάλην καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον, καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. Τοῦτο δὲ ἐποίουν ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. Ὁ δὲ στρατηγὸς δεχόμενος τὸν ἱμάντα τῇ ἑαυτοῦ σκυτάλῃ περιεῖλιττε καὶ ἀνεγίνωσκεν οὕτω τὰ γεγραμμένα. Λέγεται οὖν καὶ ἡ ἐπιστολὴ σκυτάλη καὶ αὐτὸ τὸ ξύλον ἀφ' οὗ καὶ ἡ ἐπιστολή. Διοσκουρίδης δὲ ἐν τοῖς περὶ Νομίμων τοὺς δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην δύο παρόντων μαρτύρων καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι, καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι, τὸ δὲ δι' ἑαυτοῦ ἔχειν. Ἐχρῶντο δ' αὐτῷ (corrig. αὐτῇ) καὶ ἄλλοι, ὧν Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων Πολιτείᾳ μβ'. Eadem Suidas, e quo fortasse scribendum ἀλλοίως, ὡς. Pro μβ' quod in Photii et Suidæ libris legitur, μνημονεύει scripsit Naber, C. Müllerum secutus, ita corrigentem, in Fragm. Hist. gr. t. II, p. 147. Priora e Lacedæmoniorum Republica fluxisse Rosius putat. Ceterum cf. Gellii Noct. Att. XVII, 9, Schol. Aristoph. Aves, 1283, Lysistr. 991, Schol. Thucyd. I, 131. Apud Schol. Pind. Olymp. VI, 154 : Ἄλλοι δὲ ὅτι ἐχρῶντο πλατείαις σκυτάλαις οἱ Λάκωνες ἐγγράφοντες αὐτῶν (αὐταῖς?) τὰς ἐπιστολὰς καὶ ἐγκλείοντες εἰς σκύτινα ἀγγεῖα καὶ οὕτω σφραγίζοντες.

sit : erat autem farina, vinum, favi mellis, oleum, sal, et victimæ adultiores phagilis. Ceterum Aristoteles *phagilum* ait esse agnum. Porro Eumæum cum suis Telemachus libertate donatum civibus inseruit : estque ab Eumæo Coliadarum gens, a Philætio Bucolidum.

129.

Quis est qui bovem benefactori immolavit? Apud Ithacam in statione erat navis piratica, in eaque senex cum tesſis picem continentibus. Ad hanc forte fortuna portitor appulit Ithacensis, nomine Pyrrhias, qui senem nullius sui commodi causa, sed precibus et miseratione illius inductus redemit, cadorum etiam nonnullis hortatu ejus emptis. Postquam discessu prædonum data est licentia, senex Pyrrhiam ad fictilia ista adduxit, ostenditque multum auri argentique pici permixtum. Ita Pyrrhias subito ditatus, cum aliis officiis senem coluit, tum bovem ei immolavit. Hinc proverbio dicunt : Nemo benefactori bovem immolavit præter Pyrrhiam.

130.

Aristoteles dicit in Ithacensium Republica Eurytanes populum esse Ætoliæ, ab Euryto nominatum, apud eosque esse oraculum Ulyssis.

131.

Σκυτάλη. Epistola Laconica. Scytale autem lignum erat politum et oblongum. Duæ vero scytalæ erant apud Lacedæmonios : quarum alteram ephori Lacedæmoniorum retinebant, alteram vero tradebant duci, quem ad bellum emittebant. Quoties igitur aliquid ei mandare vellent, afferebant album lorum, quo scytalen involvebant, et in eo scribebant. Deinde lorum replicantes tabellario tradebant; hoc autem faciebant ne tabellarii scire possent, quid in eo scriptum esset. Dux vero lorum suum accipiens circa suam scytalen circumvolvebat, et ita res in eo scriptas cognoscebat. Dicitur igitur scytale et epistola et ipsum lignum, in quo scripta est epistola. Dioscorides vero in libro de Institutis dicit, fœneratores Spartæ dividere scytalen, duobus testibus præsentibus, et in utraque ejus parte contractum scribere; et alteram quidem uni ex testibus dare, alteram vero sibi reservare. Utebantur autem scytala etiam alio modo, ut Aristoteles in Ithacensium Republica XLII.

ΙΜΕΡΑΙΩΝ.

132 (502).

Pollux IV, 174 et IX, 80, cujus verba jam supra in Agrigentinorum Republica apposuimus.

ΚΕΙΩΝ.

132ᵃ (502ᵃ).

Κείων πολιτεία a Sopatro in Excerptis apud Photium nominatur. Vide supra fr. 105ᵇ. Male Κίων scribitur.

133 (503).

Schol. Theocriti Id. V, 53 : Στασῶ (δὲ κρατῆρα μέγαν λευκοῖο γάλακτος ταῖς νύμφαις, στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω) : Παρόσον ἔλαιον ἐκτίθησι ταῖς νύμφαις· αὗται γὰρ ἐκθρέψασαι τὸν Ἀρισταῖον ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ μέλιτος, ὥς φησιν Ἀριστοτέλης.

Ex Ceorum Republica hæc desumpta esse monstravit Bournot. l. l. p. 269, collatis Heraclidis Excerptis p. 13, 16 : Κείων... Ἀρισταῖον δέ φασι μαθεῖν παρὰ μὲν νυμφῶν τὴν προβάτων καὶ βοῶν ἐπιστήμην, παρὰ δὲ Βρισῶν τὴν μελιττουργίαν· φθορᾶς δὲ οὔσης φυτῶν καὶ ζῴων διὰ τὸ λείπειν ἐτησίας. Quæ hîc desunt leguntur in Valerii Probi Comm. ad Virg. Georg. I, 14, p. 28, 20 Keil. Rem tetigit Theophrastus de Ventis c. 14 : Εἰ δέ ποτ' ἐξέλιπον καὶ Ἀρισταῖος αὐτοὺς ἀνεκαλέσατο θύσας τὰς ἐν Κέῳ θυσίας τῷ Διί, καθάπερ μυθολογεύουσιν. Cf. Clem. Alex. Stromat. VI, p. 267 Sylb. : Ἱστοροῦσιν Ἕλληνες ἐκλειπόντων ποτὲ τῶν ἐτησίων ἀνέμων Ἀρισταῖον ἐν Κέῳ θῦσαι ἰκμαίῳ Διί· πολλὴ γὰρ ἦν φθορὰ φλογμῷ διαπιμπραμένων πάντων καὶ δὴ καὶ τῶν ἀναψύχειν τοὺς καρποὺς εἰωθότων ἀνέμων μὴ πνεόντων ῥᾳδίως αὐτοὺς ἀνεκαλέσατο. De mellis et olei studio Aristæi multi narrant. Ita Schol. in Apollon. Rhod. II, 498 : Ἀρισταῖος δὲ ἐν Κέῳ εὑρὼν τὰ μελισσουργικὰ πρῶτος καὶ τὴν τοῦ ἐλαίου κατεργασίαν, καὶ κατακαλεσάμενος τοὺς ἐτησίας Ζεὺς Ἀρισταῖος ἐκλήθη καὶ Ἀπόλλων Ἀγρεὺς καὶ Νόμιος, Schol. Pind. Pyth. IX, 113, Plin. H. Nat. VII, 57 : *Oleum et trapetas Aristæus Atheniensis, idem mella (invenit)*, Etym. M. p. 213, 55 : Βρῖσαι. Νύμφαι οὕτω καλούμεναι ἢ ὅτι βλίσαι, καὶ γὰρ μελισσουργίαν αὗται τὸν Ἀρισταῖον ἐδίδαξαν, τροπῇ τοῦ λ εἰς ρ· ἢ παρὰ τὸ βρύειν, ὅ ἐστιν ἀνθεῖν τὴν ἐλαίαν, ἧς τὴν ἐργασίαν καὶ αὐτὴν ὑπέδειξεν Ἀρισταῖος τὴν διὰ τῆς ἀμβροσίας· ἢ ἀπὸ τοῦ βρίξαι καὶ κατακοιμίσαι αὐτὸν καὶ καταβαυκαλίσαι, ὅτι ἐτιθήνουν αὐτόν.

ΚΕΡΚΥΡΑΙΩΝ.

134 (504).

Schol. Laurent. Apollonii Rhod. IV, 983 : Ἤ ὕπο δὴ κεῖσθαι δρέπανον φάτις : ἡ νῆσος ἡ Κέρκυρα. Αὕτη πρότερον Σχερία ἐκαλεῖτο. Ἀποδίδωσι δὲ τὴν αἰτίαν Ἀριστοτέλης ἐν τῇ Κερκυραίων Πολιτείᾳ. Φησὶ γὰρ τὴν Δήμητρα φοβουμένην μὴ οἱ ἐκ τῆς ἠπείρου ἐρχόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι Ποσειδῶνος ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα· ἐπισχεθέντων οὖν τούτων, ἀντὶ Δρεπάνης Σχερίαν ὀνομασθῆναι. Δρεπάνη δὲ ἐκαλεῖτο διὰ τὴν Δήμητρα αἰτησαμένην δρεπάνην παρ' Ἡφαίστου τοὺς Τιτᾶνας διδάξαι θερίζειν, εἶτα αὐτὴν κρύψαι εἰς τὸ παραθαλάσσιον μέρος τῆς νήσου. Προσκλυζούσης δὲ τῆς θαλάσσης ἐξομοιωθῆναι τὴν θέσιν τῆς γῆς δρεπάνῃ. Τίμαιος δέ φησιν, ἐκ τοῦ δρεπάνου ᾧ ἐξέτεμε τοῦ Οὐρανοῦ ἢ τοῦ Κρόνου τὰ αἰδοῖα ὁ Ζεύς, τοῦτο (γὰρ αὐτοῦ add. e Schol. Florent.) κεκρύφθαι.

Priorem tantum partem ad ὀνομασθῆναι usque Steph. Byzant. v. Σχερία : ἡ Φαιακία. Κέκληται, ὡς Ἀριστοτέλης φησίν, ἀπὸ τοῦ τὴν Δήμητρα φοβουμένην κτέ· apud quem pro ἐρχόμενοι, ἐπιχεόμεναι legitur, et ex eo Eustath. in Odyss. p. 1521, 35.

CEORUM.

133.

Nymphæ Aristæum educaverunt eumque olearum culturam et mellificium docuerunt, ut dicit Aristoteles.

CORCYRÆORUM.

134.

Corcyra antiquitus Drepane nominabatur, deinde Scheria. Causam rei tradit Aristoteles in Corcyræorum Republica. Dicit enim Cererem metuentem ne fluviorum Epiroticorum alluvie insula continenti jungeretur, e Neptuno petiisse, ut fluviorum cursus averteret. Inhibitis igitur (ἐπισχεθέντων) fluviis Drepanem mutato nomine Scheriam appellatam esse. Drepane vero nominabatur propterea, quod Ceres falce a Vulcano petita Titanas metere docuit, deinde autem, quum falcem in maritimo insulæ loco abscondisset, maris affluxu formam insulæ falci assimilatam esse.

135 (505).

Schol. Aristoph. Aves 1463 : Κορκυραῖα : Λέγεταί τις Κορκυραία μάστιξ. Συνεχῶς δὲ παρὰ Κορκυραίοις ἀταξίαι γίνονται· διὰ τὸ στασιάζειν οὖν ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκώποις. Ἄλλως. Λέγεταί τις Κορκυραία μάστιξ. Φρύνιχος Σατύροις· « Κορκυραῖαι δ' οὐδὲν ἐπιβάλλουσι μάστιγες. » Ὥστε καὶ εἰς παροιμίαν ἤδη ἐλθεῖν. Ἀ ρ ι σ τ ο τ έ λ η ς δὲ τὸ Κορκυραία μάστιξ λέγων φησὶν οὕτως· « Διὸ καὶ τὰς κώπας αὐτῶν ἐλεφαντίνας ἐποιήσαντο καὶ τῷ μεγέθει περιττάς· ὅθεν ἡ Κορκυραία ἐπεπόλασε μάστιξ καὶ εἰς παροιμίαν ἦλθε. » Ταῦτα δὲ λέγων τύπτει αὐτόν.

Codices Ἀριστοφάνης, quod defendit Nauckius, *Aristoph. Byz. Fragm.*, p. 239. Ἀριστοτέλης bene scriptum invenitur apud Zenobium Prov. IV, 49 et Hesychium v. Κερκυραία μάστιξ : Περιττήν τινα κατασκευὴν εἶχον αἱ Κερκυραῖαι μάστιγες. Οἱ δὲ καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι, εἶχον δὲ ἐλεφαντίνας κώπας καὶ τῷ μεγέθει περιτταὶ ἦσαν. Ὑπερηφάνους γὰρ εὐπραγοῦντας τοὺς Κερκυραίους φησὶν Ἀ ρ ι σ τ ο τ έ λ η ς γενέσθαι.

Diversa est proverbii explicatio quæ legitur apud Strabonem, Fragm. Palat. 3, p. 274 Müller: Ὅτι ἡ παροιμία, τὸ ἐν Δωδώνῃ χαλκεῖον ἐντεῦθεν ὠνομάσθη· χαλκεῖον ἦν ἐν τῷ ἱερῷ ἔχον ὑπερκείμενον ἀνδριάντα, κρατοῦντα μάστιγα χαλκῆν, ἀνάθημα Κερκυραίων· ἡ δὲ μάστιξ ἦν τριπλῆ, ἁλυσιδωτή, ἀπηρτημένους ἔχουσα ἐξ αὐτῆς ἀστραγάλους, οἳ πλήττοντες τὸ χαλκεῖον συνεχῶς, ὁπότε αἰωροῖντο ὑπὸ τῶν ἀνέμων, μακροὺς ἤχους ἀπειργάζοντο, ἕως ὁ μετρῶν τὸν χρόνον ἀπὸ τῆς ἀρχῆς τοῦ ἤχου μέχρι τέλους καὶ ἐπὶ τετρακόσια προέλθοι· ὅθεν καὶ ἡ παροιμία ἐλέχθη· Ἡ Κερκυραίων μάστιξ. Quomodo factum sit, ut hîc Κερκυραία μάστιξ et Δωδωναῖον χαλκεῖον commisceantur equidem ignoro, illud vero adjiciam nomen Aristotelis male apud Schol. B Iliad. π, 233, p. 449, A, 46 Bekk., Eustath. ad Odyss. p. 1760, 55, Suidam s. v. Δωδωναῖον χαλκεῖον, Zenobium Prov. VI, 5, Apostolium VI, 42, in alterius proverbii explicatione afferri, pro Aristidis, quem e Polemone sua exscripsisse testatur Stephanus Byz. s. v. Δωδώνη. Cf. Preller. ad Polemonis fragm. p. 59 sq.

ΚΙΑΝΩΝ.

136 (506).

Schol. Apollon. Rhod. I, 1177 : Κιανίδος : Περιφραστικῶς τὴν Κίον· ἔστι δὲ πόλις Μυσίας ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀ ρ ι σ τ ο τ έ λ η ς ἐν Κιανῶν Πολιτείᾳ. Κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοί, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι. Aristotelis nomine omisso, eadem Etymol. M. p. 512, 37.

ΚΟΛΟΦΩΝΙΩΝ.

137 (507).

Athenæus XIV, p. 618, E : Ἦν δὲ καὶ ἐπὶ ταῖς αἰώραις τις ἐπ' Ἠριγόνῃ ἣν καὶ ἀλῆτιν λέγουσιν ᾠδήν. Ἀ ρ ι σ τ ο τ έ λ η ς γοῦν ἐν τῇ Κολοφωνίων Πολιτείᾳ φησίν· « Ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ὕστερον βιαίῳ θανάτῳ· λέγεται δὲ γενέσθαι τρυφῶν τις, ὡς ἐκ τῆς ποιήσεως δῆλόν ἐστιν· ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη περὶ τὰς αἰώρας. »

Cf. Pollux IV, 55 : Ἦν δέ τι καὶ ἀλῆτις ᾆσμα ταῖς αἰώραις προσᾳδόμενον, Θεοδώρου ποίημα τοῦ Κολοφωνίου.

(ΚΟΡΙΝΘΙΩΝ.)

138 (508).

Diogen. Laertius I, 98 : Οὗτος (ὁ Περίανδρος

135.

Dicitur scutica quædam Corcyræa. Nimirum quum continuæ apud Corcyræos seditiones essent, scuticæ usus apud eos invaluit, adeo ut duplices et permagnas eburneisque manubriis instructas usurparent. *Aliter*. Dicitur scutica quædam Corcyræa... Aristoteles proverbiale illud Corcyræa scutica commemorans ait : « Quapropter etiam eburneis manubriis instruxerunt eas eximiæque fecerunt magnitudinis. Unde Corcyræa scutica invaluit et in proverbium abiit. Corcyræi ob prosperitatem superbiebant ut Aristoteles ait.

CIANORUM.

136.

Cios, urbs Mysiæ, nomen habet a Cio, qui Milesiorum coloniam eo deduxit, uti tradit Aristoteles in Cianorum Republica. Incoluere eam primum Mysi, deinde Cares, tertii Milesii.

COLOPHONIORUM.

137.

Erat etiam cantilena aliqua quam Aletam vocant et Oscillorum festis diebus canunt in honorem Erigonæ. Aristoteles in Colophoniorum Republica ait : « Mortuus vero est deinde ipse etiam Theodorus morte violenta. Dicitur autem fuisse homo luxuriæ indulgens, quod etiam ex carminibus ejus patet. Nam etiamnum mulieres carmina ejus canunt Oscillorum festis diebus. »

(CORINTHIORUM.)

138.

Periander primus satellites habuit et rempublicam in

scil.) πρῶτος δορυφόρους ἔσχε καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε καὶ οὐκ εἴα ἐν ἄστει ζῆν τοὺς βουλομένους, καθά φησιν Ἔφορος καὶ Ἀ ρ ι σ τ ο τ έ λ η ς.

Hæc, licet similia legantur in Aristotelis Politic. V, c. 9 § 2, ex opere de Rebuspublicis ducta esse docent Excerpta Heraclidis, quæ ad verba consentiunt, p. 11, 8 : Κορινθίων :... Περίανδρος δὲ πρῶτος μετέστησε τὴν ἀρχὴν δορυφόρους ἔχων, καὶ οὐκ ἐπιτρέπων ἐν ἄστει ζῆν, ἔτι δὲ δούλων κτήσεις, καὶ τρυφὴν ὅλως περιαιρῶν. Μέτριος δὲ ἦν ἐν ἄλλοις, τῷ τε μηδένα τέλος πράσσεσθαι ἀρκεῖσθαί τε τοῖς ἀπὸ τῆς ἀγορᾶς καὶ τῶν λιμένων. Καὶ τῷ μήτε ἄδικος μήτε ὑβριστὴς εἶναι, μισοπόνηρος δὲ τὰς προαγωγοὺς πάσας κατεπόντισε. Βουλὴν δὲ ἐπ' ἐσχάτων κατέστησεν, οἳ οὐκ ἐφίεσαν δαπανᾶν πλέον ἢ κατὰ τὰς προσόδους. (Cf. Nicol. Damasc. fragm. 59 Müller: Καὶ δορυφόρους εἶχε τριακοσίους. Ἐκώλυέ τε τοὺς πολίτας δούλους κτᾶσθαι καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων.

139 (509).

Diogen. Laert. I, 99 : Σωτίων δὲ καὶ Ἡρακλείδης καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν Ὑπομνημάτων δύο φασὶ Περιάνδρους γεγονέναι, τὸν μὲν τύραννον, τὸν δὲ σοφὸν καὶ Ἀμβρακιώτην. Τοῦτο καὶ Νεάνθης φησὶν ὁ Κυζικηνὸς ἀνεψιούς τε εἶναι ἀλλήλοις. Καὶ Ἀ ρ ι σ τ ο τ έ λ η ς μὲν τὸν Κορίνθιόν φησιν εἶναι τὸν σοφόν, Πλάτων δὲ οὔ φησι.

Nicol. Damasc. fr. 59 : Φασὶ δέ τινες αὐτὸν καὶ τῶν ἑπτὰ σοφῶν γεγονέναι· τὸ δ' οὐκ ἦν. Cf. Clem. Alex. Strom. I, 14, 59, p. 129 Sylb., Suidas s. v., Platon. Protagor. p. 343, A, Diog. Laert. I, 41, 108.

(ΚΡΗΤΩΝ.)

140 (510).

Schol. Theocrit. XIII, 9 : Ὅσσα μαθὼν ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγεντο (scil. Ἡρακλῆς) : Ἀ ρ ι σ τ ο τ έ λ η ς φησὶν ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα. Ἡρόδωρος δὲ ὑπὸ τῶν βουκόλων Ἀμφιτρύωνος, τινὲς δὲ ὑπὸ Χείρωνος καὶ Θεστιάδου. Codex Ambrosianus 222 habet Ἀριστοφάνης, cf. Ziegler, *Scholia in Theocrit. cod. Ambr.*, Tub. 1867, p. 79.

Ad Cretensium Rempublicam hoc fragmentum referendum esse videtur, ob ea quæ Apollodorus Biblioth. II, 4, 9, 2 s. narrat.

141 (511).

Schol. Pindari Pyth. II, 127 : Τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς... Διέλκεται δὲ ἡ τῆς πυρρίχης ὄρχησις, πρὸς ἣν τὰ ὑπορχήματα ἐγράφησαν. Ἔνιοι μὲν οὖν φασὶ πρῶτον Κουρῆτας τὴν ἔνοπλον ὀρχήσασθαι ὄρχησιν, αὖθις δὲ Πύρριχον Κρῆτα συντάξασθαι, Θάλητα δὲ πρῶτον τὰ εἰς αὐτὴν ὑπορχήματα· Σωσίβιος δὲ τὰ ὑπορχηματικὰ μέλη πάντα Κρητικὰ λέγεσθαι· ἔνιοι δὲ οὐκ ἀπὸ Πυρρίχου τοῦ Κρητὸς τὴν πυρρίχην ὠνομάσθαι, ἀλλ' ἀπὸ Πύρρου τοῦ Ἀχιλλέως παιδὸς ἐν τοῖς ὅπλοις ὀρχησαμένου ἐν τῇ κατὰ Εὐρυπύλου τοῦ Τηλέφου νίκῃ. Ἀ ρ ι σ τ ο τ έ λ η ς δὲ πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυρρίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κυπρίοις φησὶ πρύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυρρίχης τὸ ὄνομα θέσθαι.

Cum prioribus cf. Strabo X, p. 480. Pro Κυπρίοις, corrigendum esse Κρησί, ostendit Eustathius ad Il. μ, 77, p. 893 : Πρυλέες δὲ οἱ ἐν μάχῃ πεζοὶ κατὰ γλῶσσαν Γορτυνίων, ὥς φασιν οἱ παλαιοί, cf. Schol. Victor. ad eund. loc. πρυλέες : οὕτως Γορτύνιοι.

